PATROLOGIÆ

CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, OECONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM.

QUI AB ÆVO APOSTOLICO AD ÆTATEM INNOCENTII III (ANN. 1216) PRO LATINIS, ET AD CONCILII FLORENTINI TEMPORA (ANN. 1439) PRO GRÆCIS FLORUERUNT :

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIORA ECCLESIÆ SÆCULA,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA ; DISSERTATIONIBUS, COMMENTARIIS VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA ; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS, DETECTIS AUCTA ; INDICIBUS ORDINARIIS VEL ETIAM ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA ; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA ; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA ;

DUCENTIS ET QUADRAGINTA INDICIBUS SUB OMNI RESPECTU, SCILICET, ALPHABETICO, CHRONOLOGICO, ANALYTICO, ANALOGICO, STATISTICO, SYNTHETICO, ETC., OPERA, RES ET AUCTORES EXHIBENTIBUS, ITA UT NON SOLUM STUDIOSO, SED NEGOTIIS IMPLICATO, ET SI FORTE SINT, PIGRIS ETIAM ET IMPERITIS PATEANT OMNES SS. PATRES, LOCUPLETATA ; SED PRÆSERTIM DUOBUS IMMENSIS ET GENERALIBUS INDICIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, ABSQUE ULLA EXCEPTIONE, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR ; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT ;

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, CORRECTIONIS PERFECTIO, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, VEL ETIAM INEDITORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM,

ET EX INNUMERIS OPERIBUS TRADITIONEM CATHOLICAM CONFLANTIBUS, OPUS UNICUM MIRABILITER EFFICIENTIUM.

SERIES GRÆCA POSTERIOR

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ AB ÆVO PHOTIANO AD CONCILII USQUE FLORENTINI TEMPORA, ET AMPLIUS, NEMPE MORTEM CARDINALIS BESSARIONIS.

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIAM NEMPE LATINAM, ALIAM GRÆCO-LATINAM. AMBÆ PARTES JAM INTEGRE EXARATÆ SUNT. LATINA, 222 VOLUMINIBUS MOLE SUA STANS, 1110 FRANCIS VENIT : GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALI COMPLECTITUR, ET 104 VOLUMINA IN 109 TOMIS, PRO PRIMA SERIE, NON EXCEDIT. POSTERIOR VERSIONEM LATINAM TANTUM EXHIBET, IDEOQUE INTRA 55 VOLUMINA RETINETUR. SECUNDA SERIES GRÆCO-LATINA AD 53 VOLUMINA TANTUM ATTINGIT ; DUM HUJUS VERSIO MERE LATINA 29 VOLUMINIBUS EST ABSOLUTA. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM 8, UNUMQUODQUE MERE LATINUM 5 FRANCIS SOLUMMODO EMITUR : UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE LATINAM, SIVE GRÆCAM COMPARET NECESSE ERIT ; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. IDEO, SI QUIS TANTUM EMAT LICET INTEGRE, SED SEORSUM, COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO 9 VEL PRO 6 FRANCIS SOLUM OBTINEBIT. ISTÆ CONDITIONES POSTERIORI PATROLOGIÆ LATINÆ SERIEI, PATRES AB INNOCENTIO III AD CONCILIUM TRIDENTINUM EXHIBENTI, APPLICABUNTUR. PATROLOGIA QUÆ MANUSCRIPTIS IN BIBLIOTHECIS ORBIS UNIVERSI QUIESCENTIBUS CONSTABIT, NECNON PATROLOGIA ORIENTALIS, CONDITIONIBUS SPECIALIBUS SUBJICIENTUR, ET IN TEMPORE SUO ANNUNTIABUNTUR, SI TEMPUS EAS TYPIS MANDANDI NOBIS NON DEFUERIT.

PATROLOGIÆ GRÆCÆ TOMUS CXL.

NICETÆ AMBO. GEORG. ACROPOLITA. THEOD. DUCAS. ALEXANDER PAPA IV. ALII.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE, EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1863

PATHOLOGIE

TRADITIO CATHOLICA.

SÆCULUM XIII. ANNI 1205-1270.

NIKHTA

ΤΟΥ ΧΩΝΙΑΤΟΥ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

NICETÆ CHONIATÆ

OPERA OMNIA,

NEC NON FRATRIS EJUS

MICH. ACOMINATI CHONIATÆ

ATHENIENSIS ARCHIEPISCOPI

QUÆ ÆTATEM TULERUNT SCRIPTA VEL SCRIPTORUM FRAGMENTA;

INSUNT PRÆTEREA

GEORGII ACROPOLITÆ ANNALES BYZANTINI

ET

ALEXANDRI PAPÆ IV, THEODORI DUCÆ IMP. NICÆNI, GERMANI II, NICEPHORI, ARSENII, CPOLITANORUM PATRIARCHARUM; NICEPHORI CHUMNI, METHODII MONACHI

OPUSCULA, DIPLOMATA, EPISTOLÆ;

ACCURANTE ET DENUO RECOGNOSCENTE J.-P. MIGNE,

BIBLIOTHECÆ CLERI UNIVERSÆ,

SIVE

CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

NICETÆ TOMUS POSTERIOR. CÆTERORUM TOMUS UNICUS.

ALMA COLLEGE
LIBRARY
Alma, California

VENEUNT 2 VOLUMINA 23 FRANCIS GALLICIS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1865

8225

sacro calice inquisierunt et de episcopalis sedis eversione, vera quidem prætermiserunt, falsa autem ipsi imaginati sunt, deposueruntque, ut credebant, Athanasium, ejus loco ipsum Arsenium accipientes, cujus manum amputatam esse dicebant: qui prius Meletianorum superstitionis episcopus, tunc apud ipsos ut Hypseletorum urbis episcopus contra Athanasium subscripsit.

A νος, Μακεδόνιος Μοψουεστίας, οἳ καὶ ζητήσαντες τὰ περὶ τῆς τοῦ μυστικοῦ ποτηρίου συντριβῆς, καὶ τῆς καθαιρέσεως τοῦ ἐπισκοπικοῦ θρόνου, τὰ μὲν ἀληθῆ παρῆλθον, ἐπλάσαντο δὲ καὶ αὐτοὶ τὰ ψευδῆ, καὶ καθῆρησαν, ὡς ἐνόμισαν, Ἀθάνασιον, δεξάμενοι καὶ αὐτὸν Ἀρσένιον, οὗ ἔλεγον ἐκκεκόφθαι τὴν χεῖρα· ὃς, πρότερον τῆς Μελιτιανῶν θρησκείας ἐπίσκοπος ὢν, τηνικαῦτα παρ' αὐτοῖς ὡς τῆς Ὑψηλετητῶν ἐπίσκοπος πόλεως ὑπέγραψε κατὰ Ἀθανασίου.

5. Interea vero perfecto Hierosolymis templo prope cum calvarii locum qui magnum testimonium vocatur, jussit imperator episcopos qui Tyri aderant Hierosolymam venire et hoc templum consecrare. Tunc autem occasionem invenientes Arianorum fautores tentaverunt ut Hierosolymis synodus fieret et communio Ario et Euzoio concederetur. Imperatori igitur illud per ipsius sororem Constantiam quemdamque hujus mulieris familiarem presbyterum arianum persuasere, et curavere ut Arium Euzoiumque videret, quos postquam vidit censuitque fere ut Nicænos Patres credere, eos ad episcopos Hierosolymis congregatos misit, scribens ut de illis benignum ferretur suffragium, si recte credere viderentur. Occasionem igitur arripientes Arianieos exceperunt, imperatorique et universis episcopis scripsere eos orthodoxos esse.

γ'. Ἐν τούτῳ δ' ἐξεργασθέντος τοῦ ἐν Ἱεροσολύμοις ναοῦ περὶ τὸν τοῦ κρανίου χῶρον ὃς μέγα προσαγορεύεται μαρτύριον, ἐκέλευσεν ὁ βασιλεὺς τοὺς ἐν Τύρῳ συνειλεγμένους ἐπισκόπους καταλαβεῖν τὰ Ἱεροσόλυμα, καὶ τὸν τοιοῦτον καθιερῶσαι ναόν. Τηνικαῦτα δὲ καιρὸν εὑρόντες οἱ ἀρειανόφρονες ἐσπούδασαν ἐν Ἱεροσολύμοις γενέσθαι σύνοδον, καὶ κοινωνίας μεταδοῦναι Ἀρείῳ καὶ Εὐζωΐῳ· πείσαντες τοίνυν τὸν βασιλέα διὰ τῆς ἑαυτοῦ ἀδελφῆς Κωνσταντίας καὶ τοῦ προσψκειωμένου ταύτῃ πρεσβυτέρου ὀρειανοῦ, παρεσκεύασαν αὐτὸν θεάσασθαι Ἄρειον καὶ Εὐζώϊον, οὓς ἰδὼν καὶ ὑπολαβὼν παραπλησίως τοῖς ἐν Νικαίᾳ δοξάζειν, ἔπεμψε πρὸς τοὺς ἐν Ἱεροσολύμοις συνελθόντας, γράψας φιλάνθρωπον ἐπ' αὐτοῖς ἐνεχθῆναι ψῆφον, εἰ ὀρθῶς φανεῖεν δοξάζοντες· καιροῦ τοίνυν δραξάμενοι οἱ Ἀρειανοὶ ἐδέξαντο τούτους, καὶ αὐτῷ βασιλεῖ καὶ τοῖς ἁπανταχοῦ ἐπισκόποις ἔγραψαν ὀρθοδόξους ὑπάρχειν αὐτούς.

4. His ita actis, Athanasius Tyro fugiens Constantinopolim venit; cujus precibus annuens imperator dicentis se non juste damnatum esse, scripsit episcopis tunc Tyri congregatis ut ad ipsum descenderent, ut coram ipso Anathasii causa examinaretur. Postquam igitur advenerunt, Eusebius Nicomediæ contendebat justam in Athanasium latam esse sententiam; testes præstitit Theognim et Marium et Theodorum et Valentem et Ursacium. Imperator autem sive crederet vera quæ dicebantur, sive consentire suspicaretur episcopos ut e medio tolleretur Athanasius, mandavit ut is Treverim abduceretur, quæ est urbs occidentalium Gallorum; abductusque est Athanasius ibique mansit usque ad mortem Constantini.

δ'. Τούτων οὕτω πραττομένων, Ἀθανάσιος ἐκ Τύρου φυγὼν εἰς Κωνσταντινούπολιν ἦλθεν· οὗ τῆς δεήσεως ἀκούσας ὁ βασιλεὺς μὴ δικαίως κριθῆναι λέγοντος, ἔγραψε τοῖς ἐν Τύρῳ συναθροισθεῖσι τηνικαῦτα καταλαβεῖν πρὸς αὐτὸν, ὡς ἂν ἐπ' ὄψεσιν αὐτοῦ δοκιμασθείη τὰ κατὰ Ἀθανασίου. Καταλεβόντων οὖν αὐτῶν, Εὐσέβιος ὁ Νικομηδείας ἰσχυρίζετο δικαίαν τὴν ἐπὶ Ἀθανάσιον γενέσθαι ψῆφον, μάρτυρας παρῆγε Θέογνιν καὶ Μάριν καὶ Θεόδωρον καὶ Οὐάλεντα καὶ Οὐρσάκιον. Ὁ δὲ βασιλεὺς εἴτε ἀληθῆ πιστεύσας εἶναι τὰ λεγόμενα, εἴτε ὁμονοήσειν ὑπονοήσας τοὺς ἐπισκόπους, ἵν' ἐκποδὼν γένοιτο Ἀθανάσιος, προσέταττε ἀπηνεχθῆναι τοῦτον εἰς Τρίβειριν τῶν πρὸς δύσιν Γαλατῶν· καὶ ὁ μὲν ἀπῆχθη, καὶ ἦν ἐκεῖ ἕως τῆς Κωνσταντίνου τελευτῆς.

5. Arius autem post habitam Hierosolymis synodum in Ægyptum venit. Cum illo autem non communicante Alexandrinorum Ecclesia, rursum Constantinopolim rediit. Atque ita adimpletæ sunt sancti Alexandri preces. Post hæc autem manifeste cœperunt innovare Eusebiani circa episcoporum Nicææ congregatorum expositionem et scripto consubstantiale rejicere. Synodum igitur Constantinopolim convenire curarunt, deposueruntque et in exilium mitti studuerunt consubstantialis præcones, Asclepium Gazæ episcopum, Climatium Antaradi, alterum Clinatium Palti, Ephrationem Balani Cyrum Berrœæ, Domnionem Sirmii, Ellaneum Tripolis, Arium Petrarum Palconæ, et Asterium Petrarum Arabiæ, Olympium Æni, Theodulum Trajanopolis, Vincentium Capuæ, Ephratam Agrippinæ, Eutropium Adrianopolis, cui successit Lucius,

ε'. Ὁ δὲ Ἄρειος μετὰ τὴν ἐν Ἱεροσολύμοις σύνοδον, ἦκεν εἰς Αἴγυπτον· μὴ κοινωνούσης δὲ αὐτῷ τῆς Ἀλεξανδρέων Ἐκκλησίας, πάλιν ἀνῆλθεν εἰς Κωνσταντινούπολιν· καὶ οὕτως ἔργον ἐγένετο τῆς Ἀλεξάνδρου τοῦ ἱεροῦ προσευχῆς. Μετὰ δὲ ταῦτα νεωτερίζειν φανερῶς οἱ περὶ Εὐσέβιον ἤρξαντο περὶ τὴν ἔκθεσιν τῶν ἐν Νικαίᾳ συνελθυθότων, καὶ ἐκβάλλειν ἐγγράφως τὸ ὁμοούσιον· σύνοδον οὖν ἀθροισθῆναι παρασκευάσαντες ἐν Κωνσταντινουπόλει καθεῖλον καὶ πεμφθῆναι πρὸς ὑπερορίαν ἔσπευσαν τοὺς τοῦ ὁμοουσίου κήρυκας, Ἀσκληπᾶν ἐπίσκοπον Γάζης, καὶ Κλιμάτιον Ἀνταράδου, ἕτερον Κλιμάτιον Πάλτου, Ἐφρατίωνα Βαλανείων, Κῦρον Βερρόης, Δομνίωνα Σιρμίου, Ἑλλάνεον Τριπόλεως, Ἄρειον Πετρῶν τῆς Παλαιστίνης, καὶ Ἀστέριον Πετρῶν τῆς Ἀραβίας, Ὀλύμπιον Αἴνου, Θεόδουλον Τραϊανουπόλεως, Βικέντιον Καπύης, Ἐφράταν Ἀγριππίνης, Εὐ-

τρόπιον Ἀδριανουπόλεως, οὗ διάδοχος Λουκιος, καὶ ἐπὶ πᾶσι τὸν εἰρημένον Μάρκελλον τῆς Ἀγκύρας καθῆρησαν· ὑπερφυῶς γὰρ ἐχαλέπαινον αὐτῷ, οἷα μήτε ἐν τῇ κατὰ Φοινίκην συνόδῳ τοῖς ὑπ' αὐτῶν ὁρισθεῖσι κατὰ Ἀθανασίου συνθεμένῳ, μήτε τοῖς ἐν Ἱεροσολύμοις ἐπὶ Ἀρείῳ, μήτε τῆς καθιερώσεως τοῦ μεγάλου μαρτυρίου μετασχόντι δι' ἀποφυγὴν τῆς πρὸς αὐτοὺς κοινωνίας· καὶ ταῦτα μὲν ἔτι τοῦ μεγάλου περιόντος Κωνσταντίνου. A

ς'. Τελευτήσαντος δ' ἐκείνου, καὶ τῆς ἀνὰ τὴν ἕω βασιλείας εἰς Κωνστάντιον περιστάσης, ἔσχε μᾶλλον ἐπίδοσιν τὰ τῶν Ἀρειανῶν· ὁ γάρ τοι πρεσβύτερος ἐκεῖνος ὃν ἀρειανόφρονα ὄντα Κωνσταντίνῳ συνέστησεν ἡ αὐτοῦ ἀδελφή, γέγονε καὶ Κωνσταντίῳ κεχαρισμένος οἷα τὰς τοῦ Κωνσταντίνου διαθήκας ἀποδώσας αὐτῷ· συνήθης οὖν ἐντεῦθεν καὶ τῇ βασιλίδι γενόμενος καὶ τοῖς ἐν δυνάμει θαλαμηπόλοις εὐνούχοις, ὧν Εὐσέβιος ὁ ἐπαινέτης Ἀρείου προειστήκει, σφόδρα συνεχρότει τοὺς Ἀρειανούς. Ἐν τούτῳ δὲ Ἀθανάσιος ἐκ τῶν Γαλλιῶν ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν, ἐπιτρέψαντος αὐτῷ τὴν κάθοδον, καὶ γράμματα δόντος πρὸς τοὺς Ἀλεξανδρεῖς Κωνσταντίνου τοῦ ὁμωνύμου τῷ μεγάλῳ Κωνσταντίνῳ παιδὸς αὐτοῦ, ὃς ἦρχε τῶν πρὸς ἑσπέραν Γαλατῶν. B

6 Illo autem mortuo, et Orientis imperio ad Constantium deveniente, res Arianorum incrementum accepere. Ille enim presbyter quem Arii partes tenentem Constantino ipsius soror conciliaverat, fuit et Constantio charus, utpote qui illi Constantini testamentum detulerit. Inde igitur imperatrici familiaris factus et eunuchis regii cubiculi potentissimis, quibus præerat Eusebius, Arii fautor, Arianos fovebat. Interea vero Athanasius ex Galliis Alexandriam redierat, reditum illi permittente litterasque ad Alexandrinos dante Constantino Constantini Magni filio, qui ad occidentem Galliæ imperabat.

ζ'. Κατὰ δὲ τοῦτον τὸν χρόνον Εὐσεβίου τοῦ Παμφίλου τὸν βίον λιπόντος, διεδέξατο τὴν ἐν τῇ Καισαρείᾳ τῆς Παλαιστίνης ἐπισκοπὴν Ἀκάκιος· οὐκ εἰς μακρὰν δὲ καὶ Κωνσταντῖνος ὁ βασιλεὺς, πόλεμον ἐπαγαγὼν τῷ ἰδίῳ ἀδελφῷ Κώνσταντι, κτείνεται παρὰ τῶν ἐκείνου στρατηγῶν ἐν Ἀκυλίᾳ. Τότε δὲ καὶ Ἀλεξάνδρου τοῦ Κωνσταντινουπόλεως τελευτήσαντος, προεβλήθησαν παρὰ μὲν τῶν Ἀρειανῶν Μακεδόνιος, παρὰ δὲ τῶν ὀρθοδόξων Παῦλος, παρὰ γνώμην τοῦ Νικομηδείας ἐπισκόπου Εὐσεβίου, καὶ Θεοδώρου τοῦ τῆς ἐν Θρᾴᾳ Ἡρακλείας, οἷς ὡς γείτοσιν ἡ χειροτονία διέφερεν. Ἐπὶ τούτοις οὖν ὀργισθεὶς Κωνστάντιος, παραγέγονεν εἰς Βυζάντιον, ἦν γὰρ ἀπόδημος τηνικάδε, καὶ σύνοδον καθίσας, παρέδωκεν Εὐσεβίῳ τῷ Νικομηδείας τὸν Κωνσταντινουπόλεως θρόνον, δευτέραν ταύτην μετατεθέντι μετάθεσιν· ἐπὶ τούτου συνηθροίσθησαν εἰς Ἀντιόχειαν τὴν μεγάλην ἐνενήκοντα καὶ ἑπτὰ ἐπίσκοποι, ὧν εἰσι καὶ οἱ φερόμενοι κανόνες· ἠθροίσθησαν δὲ προφάσει μὲν ἐπὶ καθιερώσει τῆς ἐκεῖ νεουργηθείσης ἐκκλησίας ἣν ἤρξατο μὲν οἰκοδομεῖν Κωνσταντῖνος, ἐξειργάσατο δὲ Κωνστάντιος· ὡς δὲ τὸ ἀποδὰν ἔδειξεν ἐπὶ μεταποιήσει τῶν ἐν Νικαίᾳ δοξάντων. C D

7. Hoc autem tempore Eusebio Pamphili e vita profecto, Cæsareæ in Palæstina episcopatum suscepit Acacius. Nec longo post tempore Constantinus imperator qui proprio fratri Constanti bellum indixerat, Aquileiæ ab ejus ducibus interficitur. Tunc autem et Alexandro Constantinopolitano mortuo, electi sunt ab Arianis Macedonius, ab orthodoxis vero Paulus, contra mentem Nicomediæ episcopi Eusebii, et Theodori Heracleæ in Thracia episcopi, ad quos ut vicinos pertinebat ordinatio. Ideo iratus Constantius Byzantium venit (tunc enim aberat); et synodo convocata Eusebio Nicomedensi Constantinopolitanum thronum tradidit qui hanc secundam translationem accepit. Interea Antiochiam magnam convenere nonaginta septem episcopi; convenerunt autem ut recenter ædificatam ecclesiam consecraturi, quam ædificare inceperat Constantinus; reipsa vero, ut eventus probavit, Nicæna decreta mutaturi.

η'. Ἡγοῦντο δὲ τῆς συνόδου ταύτης Εὐσέβιος Κωνσταντινουπόλεως ὁ ἀπὸ Νικομηδείας μετατεθείς, Ἀκάκιος Καισαρείας τῆς κατὰ Παλαιστίνην, Πατρόφιλος Σκυθοπόλεως, Θεόδωρος Περινθίου, Εὐδόξιος Γερμανικείας, Διαύσιος Καισαρείας Καππαδοκίας, καὶ Γεώργιος Λαοδικείας τῆς παρὰ Σύρους· Μάξιμος δὲ ὁ μετὰ Μακάριον Ἱεροσολύμων ἐπίσκοπος γεγονὼς ἐπίτηδες ἀπέφυγε ταύτην τὴν σύνοδον, μεταμελόμενος καθότι ἀπατηθεὶς ἐγένετο σύμψηφος τοῖς Ἀθανάσιον καθελοῦσιν ἐν Τύρῳ. Ὑπὸ τούτων οὖν τῶν ἐν Ἀντιοχείᾳ συνειλυθότων πρὸς τῇ διαστροφῇ τοῦ δόγματος Ἀθανασίου καταψηφισαμένων, προεβλήθη Ἀλεξανδρείας ἐπίσκοπος Εὐσέβιος ὁ ἐξ

8. Ducebant autem hanc synodum Eusebius Constantinopolitanus qui Nicomedia translatus fuerat, Acacius Cæsareæ in Palæstina, Patrophilus Scythopolis, Theoderus Perinthi, Eudoxius Germaniciæ, Dianisius Cæsareæ in Cappadocia, et Georgius Laodiceæ apud Syros. Maximus qui post Maçarium Hierosolymæ episcopus factus erat, de industria synodum vitaverat; eum enim pœnitebat quod deceptus suffragium tulisset cum iis qui Tyri Anathasium deposuerant. Ab iis igitur qui Antiochiæ conversabantur et præter dogmatis perversionem Athanasium condemnaverant, electus est Alexandriæ episcopus Eusebius, Edessa, Osroeno-

rum urbe oriundus, factus vero deinceps Emesæ episcopus, qui partem astronomiæ auguralem dictam exercuisse arguebatur. Recusante vero Alexandriam Eusebio, suffectus est Gregorius Tarbæ episcopus, qua de re indignantes Alexandrini, ecclesiam Dionysii hujus urbis episcopi nomine dictam incenderunt; et Athanasius quidem fugiens Romam venit.

9. Paulo post mortuo Eusebio, contenderunt rursum de Constantinopoli Paulus et Macedonius. Quod ubi cognovit Constantius Antiochiæ, Hermogeni exercitus duci qui in Thraciam missus erat, mandavit, ut iter pergeret ad expellendum Paulum ex ecclesia. Cum illuc advenisset, militarique manu uteretur, insurrexit populus, eumque raptatum interfecerunt. De eo certior factus Constantius, Constantinopolim venit, et Paulum quidem expulit, urbem vero punivit, frumenti eam quod pater præstabat, quadraginta mensurarum millibus et ultra eam privavit. Octoginta enim millia prius dabantur civibus singulis annis ex tributis Ægyptiaco populo impositis. Macedonium autem non statim urbis episcopum fecit; sed sivit illum adversus Paulum in prædicta ecclesia concilium facere in qua et ordinatus est; atque ita ipse Antiochiam reversus est; Paulus vero Romam descendit.

10. Ea vero quæ Alexandriæ facta sunt aliter narrat Theodoretus. Dicit enim Gregorium post Athanasii fugam episcopatum gessisse usque ad Sardicæ habitam synodum. Post hanc autem synodum Gregorium ab Alexandrinis depositum esse, rediisse tunc Anathasium in propriam sedem per Constantis litteras, qui tunc Romæ regnabat. Postquam autem Constans mortuus fuit, rursum fugisse Anathasium, et electum esse ab Arianis Georgium Cappadocem, eumque sexcenta mala Athanasii fautoribus machinatum esse, in exsiliumque misisse nonnullos Ægypti Lybiæque episcopos, Caium Parætonii, Agathum Phragonis et partis Elearchiæ Ægypti, Ammonium Pachnemunis et reliquæ Elearchiæ partis, Agathodæmonem Schedeæ et Menelaiti, Dracontium Hermopolis minoris, Adelphium Onuphis, Paphnutium Sais, cujus meminit magnus Athanasius in sua de ipsius fuga Apologia; et præter illos alterum Ammonium, Moium, Philonem, Hermem, Plinium, Psenesirim, Agamphum, Marcum, Nilammonem, Marcum alterum, Athenodorum, et presbyteros Hieracem et Dioscorum. Atque ita quidem Theodoretus. Socrates autem et Sozomenus narrant Arianos statim post Pauli expulsionem et reditum imperatoris Antiochiam, deposuisse Gregorium tanquam Alexandrinis non gratum et negligentem proprii dogmatis propugnationem; cujus in locum Georgium misere qui ex Cappodacia oriundus, sibi famam in Ariana superstitione acquisiverat.

Ἐδέσσης μὲν τῆς Ὀσροηνῶν ὑπάρχων, γενόμενος δὲ ὕστερον Ἐμέσης ἐπίσκοπος, ὃς καὶ διεβάλλετο ἀσκεῖσθαι τῆς ἀστρονομίας τὸ ἀποτελεσματικὸν καλούμενον μέρος· παραιτησαμένου δὲ τοῦ Εὐσεβίου τὴν Ἀλεξάνδρειαν, ἐπετράπη ὁ Γρηγόριος τῶν Ταρβασθηνῶν, ἐφ' ᾧ χαλεπήναντες οἱ Ἀλεξανδρεῖς, τὴν ὁμώνυμον Διονυσίου τοῦ τῇδε ἐπισκοπήσαντος, ἐκκλησίαν ἐνέπρησαν· καὶ Ἀθανάσιος μὲν φυγὼν εἰς Ῥώμην ἀφίκετο.

θ'. Μετ' οὐ πολὺ δὲ τελευτήσαντος Εὐσεβίου, ἀντεποιήσαντο πάλιν τῆς Κωνσταντινουπόλεως Παῦλος καὶ Μακεδόνιος. Κωνστάντιος δὲ, τοῦτο μαθὼν ἐν Ἀντιοχείᾳ, ἐπέτρεψεν Ἑρμογένει τῷ στρατηλάτῃ πρὸς τὰ Θράκια πεμπομένῳ μέρη, ὁδοῦ πάρεργον ποιῆσαι τὸ ἐξωθῆσαι Παῦλον τῆς ἐκκλησίας· οὗ παραγενομένου καὶ στρατιωτικῇ χειρὶ χρησαμένου, ἐστασίασε τὸ πλῆθος, καὶ αὐτὸν σύραντες ἀπέκτειναν. Πυθόμενος δὲ τὸ γεγονὸς Κωνστάντιος, κατέλαβε τὴν Κωνσταντινούπολιν καὶ τὸν μὲν Παῦλον ἐξήλασε, τὴν δὲ πόλιν ἐζημίωσεν, ἀφελὼν τοῦ σιτηρεσίου τοῦ παρασχεθέντος ὑπὸ τοῦ πατρὸς αὐτοῦ ὑπὲρ τὰς τέσσαρας μυριάδας· ὀκτὼ γὰρ ἐγγὺς μυριάδες ἐχορηγοῦντο πρότερον σίτου τοῖς πολίταις ἑκάστου ἔτους ἐκ τῶν κομιζομένων ἀπ' Αἰγύπτου τῷ δήμῳ φόρων. Μακεδόνιον δὲ τῆς πόλεως τέως ἐπίσκοπον οὐκ ἐποίησεν, ἀλλ' εἴασεν αὐτὸν ἐν τῇ λεγομένῃ ἐπὶ Παύλου ἐκκλησίᾳ συνάγειν, ἐν ᾗ καὶ ἐχειροτονήθη· καὶ οὕτως αὐτὸς μὲν ἀνέζευξεν εἰς Ἀντιόχειαν· Παῦλος δὲ τὴν Ῥώμην κατέλαβεν.

ι'. Περὶ δὲ τῶν κατ' Ἀλεξάνδρειαν συμβεβηκότων Θεοδώριτος μὲν ἄλλως ἱστορεῖ. Φησὶ γὰρ μετὰ τὴν Ἀθανασίου φυγὴν ἐπισκοπῆσαι Γρηγόριον ἄχρι τῆς ἐν Σαρδικῇ συνόδου, μετὰ δὲ τὴν σύνοδον ταύτην, τὸν μὲν Γρηγόριον ἀναιρεθῆναι παρὰ τῶν Ἀλεξανδρέων, ἐπανελθεῖν δὲ πάλιν τὸν Ἀθανάσιον εἰς τὸν οἰκεῖον θρόνον διὰ γραμμάτων Κώνσταντος τοῦ ἐν Ῥώμῃ βασιλεύοντος. Ἐπεὶ δὲ Κώνστας ἐτελεύτησεν, αὖθις φυγεῖν Ἀθανάσιον, καὶ προβεβλῆσθαι παρὰ τῶν Ἀρειανῶν Γεώργιον τὸν Καππαδόκην, μυρία κακὰ τοῖς τὰ Ἀθανασίου φρονοῦσιν ἐνδείξασθαι, καί τινας τῶν ἀπ' Αἰγύπτου καὶ Λιβύης ἐπισκόπων ἐξορίσαι, Γάϊον Παραιτονίου, Ἄγαθον Φραγώνεως καὶ μέρους Ἐλεαρχίας τῆς Αἰγύπτου, Ἀμμώνιον Παχνεμούνεως καὶ τοῦ λοιποῦ μέρους τῆς Ἐλεαρχίας, Ἀγαθοδαίμονα Σχεδίας καὶ Μενελαΐτου, Δρακόντιον Ἑρμουπόλεως μικρᾶς, Ἀδέλφιον Ὀνοὐφεως, Παφνούτιον Σάεως, ὧν καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῇ ὑπὲρ τῆς φυγῆς αὐτοῦ ἀπολογίᾳ μέμνηται· καὶ πρὸς τούτοις Ἀμμώνιον ἕτερον, Μῶϊον, Φίλωνα, Ἑρμῆν, Πλήνιον, Ψενέσιριν, Ἄγαμφον, Μάρκον, Νειλάμμωνα, Μάρκον ἕτερον, Ἀθηνόδωρον, καὶ πρεσβυτέρους Ἱέρακα καὶ Διόσκορον. Οὕτως μὲν οὖν Θεοδώριτος· Σωκράτης δὲ καὶ Σωζόμενός φασιν ὅτι εὐθὺς μετὰ τὸ ἐκβληθῆναι Παῦλον, καὶ ἀναζεῦξαι Κωνστάντιον εἰς Ἀντιόχειαν, οἱ ἀρειανίζοντες μετέστησαν ἐκ τῆς Ἀλεξανδρείας Γρηγόριον, ὡς οὔτε Ἀλεξανδρεῦσι κατὰθύμιον, καὶ ὡς ἀμελῆ πρὸς σύστασιν τοῦ οἰκείου δόγματος· ἀντὶ δὲ τούτου, Γεώργιον ἐπεμψαν, ὃς ἐκ Καππαδοκίας μὲν ὥρμᾶτο, δόξαν δὲ περὶ τὴν ἀρειανὴν θρησκείαν ἐκέκτητο.

ια'. Ἐν τούτῳ δὲ τὴν Ῥώμην, ὡς ἔφαμεν, κατέλαβον Ἀθανάσιος καὶ Παῦλος, ἀλλὰ καὶ Μάρκελλος ὁ Ἀγκύρας, καὶ Ἀσκληπᾶς ὁ Γάζης, ὃν οἱ Ἀρειανοὶ, διαβαλόντες ὡς θυσιαστήριον καταστρέψαντα, καθεῖλον, καὶ ἀντ' αὐτοῦ Κεντιανὸν ἐχειροτόνησαν· πρὸς δὲ καὶ Λούκιος ὁ Ἀδριανουπόλεως ἐπ' ἄλλῳ τινὶ κατηγορηθείς. Ὁ δὲ Ῥώμης ἐπίσκοπος Ἰούλιος, ὁμονοοῦντας τούτους εὑρὼν τῇ ἐν Νικαίᾳ συνόδῳ, εἰς κοινωνίαν προσήκατο, καὶ τοῖς ἀνὰ τὴν Ἕω πᾶσιν ἐπισκόποις ἔγραψεν ἀποδοῦναι μὲν αὐτοῖς τοὺς ἰδίους θρόνους, πέμψαι δέ τινας εἰς ῥητὴν ἡμέραν τοὺς ἐλέγξοντας αὐτοὺς δικαίως ἐκβεβλημένους. Τούτοις θαῤῥήσαντες τοῖς γράμμασιν οἱ ἀμφὶ τὸν Ἀθανάσιον, ἕκαστος τὸν ἑαυτοῦ κατέλαβε θρόνον. Οἱ δὲ τὰς ἐπιστολὰς δεξάμενοι, χαλεπῶς ἤνεγκαν· καὶ συλλεγέντες, εἰς Ἀντιόχειαν, Ἰουλίῳ μὲν ἀντέγραψαν ὡς οὐ δεῖ κανονίζεσθαι παρ' αὐτοῦ τοὺς τῆς Ἀνατολῆς ἐπισκόπους, εἰ βούλοιντό τινας ἐξελαύνειν τῶν ἐκκλησιῶν, ὅτι μηδὲ οἱ τῆς Ἀνατολῆς ἀντεῖπον, ὅτε Ναυάτον ἐξήλασαν οἱ τῆς Δύσεως. Κωνστάντιον δὲ παρώτρυναν κατὰ Ἀθανασίου καὶ Παύλου· καὶ ὃς ἔγραψεν ἀπ' Ἀντιοχείας τῷ ἐπάρχῳ Κωνσταντινουπόλεως Φιλίππῳ Παῦλον μὲν ἐξελάσαι τῆς πόλεως Μακεδονίῳ δὲ παραδοῦναι τὴν ἐκκλησίαν· ὁ μὲν οὖν Παῦλος εὐθὺς ἐξηλάθη· Φίλιππος δ' ἐπὶ τὴν ἐκκλησίαν ἠπείγετο, σύνθρονον ἐπὶ τοῦ ὀχήματος ἔχων τὸν Μακεδόνιον· παρείπετο δὲ τούτοις καὶ χεὶρ στρατιωτικὴ ξιφήρης· πλήθους δὲ πολλοῦ παρόντος, καὶ τῷ ἐπάρχῳ καὶ τῷ Μακεδονίῳ παρόδου μὴ γινομένης, ὑπέλαβον οἱ στρατιῶται τοὺς ὄχλους ἀνθίστασθαι· καὶ λοιπὸν πολλοὺς μὲν αὐτοὶ τοῖς ξίφεσιν ἀνεῖλον, πολλοὶ δὲ καὶ ὑπ' ἀλλήλων συνεπατήθησαν· καὶ ἀπέθανον, ὡς λέγεται, περὶ τοὺς ἑκατὸν καὶ πεντήκοντα καὶ τρισχιλίους. Ἐπὶ τοιούτοις μὲν οὖν κατορθώμασι Μακεδόνιος παρὰ τοῦ ἐπάρχου ἐνεθρονίσθη.

A

B

C

11. Interea autem Romam, ut diximus, venerant Athanasius et Paulus, sed et Marcellus Ancyræ, et Asclepius Gazæ quem Ariani deposuerant, falso eum criminantes quod aram evertisset, et cujus loco Centianum ordinaverant; ac præter illos Lucius Adrianopolis alio crimine accusatus. Romæ vero episcopus Julius eos fidei Nicænæ consentientes inveniens in suam communionem admisit, atque omnibus Orientis episcopis scripsit ut iis proprias sedes redderent, mitterentque dicta die qui eos probarent juste depositos esse. His litteris confidentes Athanasii fautores receperunt singuli proprias sedes. Qui autem has litteras accepere, ægre tulerunt; convenientesque Antiochiam, Julio responderunt non oportere ab illo regi Orientis episcopos, si quos ex ecclesiis vellent expellere; quia neque Orientis episcopi restiterint, quando Novatum expulere Occidentis episcopi. Constantium autem excitaverunt in Athanasium et Paulum; isque Antiochia scripsit ad Constantinopolis præfectum Philippum, ut Paulum quidem ex urbe pelleret, Macedonio autem traderet ecclesiam. Paulus igitur statim expulsus est. Philippus vero ad ecclesiam evectus est, consedentem in curru Macedonium habens; quos sequebatur militaris manus gladiis armata. Cum autem ingens adesset multitudo neque præfecto et Macedonio iter præberent, crediderunt milites velle turbam resistere; multosque gladiis interfecerunt, multi autem alii ab aliis conculcati sunt. Mortui sunt, ut dicitur, quasi tria millia centum et quinquaginta. Tali igitur successu Macedonius a præfecto in episcopali sede constitutus est.

ιβ'. Ἀθανάσιος δὲ τὴν ἐπιβουλὴν Κωνσταντίου δείσας, θανάτῳ γὰρ ζημιοῦν αὐτὸν ἠπείλησεν, εἰς τὴν Ῥώμην ἀφίκετο· καὶ Παῦλος εἰς τὴν Θεσσαλονίκην ἀπενεχθείς, ὅθεν καὶ τοὺς προγόνους ἔχειν ἐλέγετο, καὶ τὴν μὲν Ἕω φεύγειν ἐπιτραπείς, Ἰλλυρικῆς δὲ καὶ τῆς ἐπέκεινα γῆς ἐπιβαίνειν οὐ κωλυθείς, ἀπαίρειν εἰς Κόρινθον προεφασίσατο, καὶ τὴν Ῥώμην κατέλαβε καὶ αὐτός. Ἀναδιδάξαντος οὖν Ἰουλίου τὸν βασιλέα Κώνσταντα τὰ περὶ αὐτῶν, ἔγραψεν ἐκεῖνος τῷ βασιλεῖ Κωνσταντίῳ πέμψαι τινὰς τῶν ἐπισκόπων ἀπολογησομένους περὶ τῆς τούτων καθαιρέσεως. Ἐπέμφθησαν οὖν Νάρκισσος Εἰρηνουπόλεως, Θεόδωρος ὁ Ἡρακλείας, Μάρις ὁ Χαλκηδόνος, καὶ Μάρκος ὁ Ἀρεθούσης· οἳ τὴν μὲν ἐν Ἀντιοχείᾳ παρ' αὐτῶν ἐκτεθεῖσαν ἀπέκρυψαν πίστιν, ἑτέραν δ' ἐκάτυσαν ἀπάδουσαν ὅλως τῇ ἐν Νικαίᾳ· καὶ ταύτην τῷ βασιλεῖ Κώσταντι δεδωκότες, καὶ περὶ ὧν ἐβούλοντο μηδὲν ἀνύσαντες, ὑπέστρεψαν ἄπρακτοι. Μετὰ δὲ τριετῆ χρόνον ἑτέραν οἱ τῆς Ἕω συντάξαντες πίστιν, ἣν καὶ μακρόστιχον ἔκθεσιν ὠνόμασαν, ἔπεμψαν τοῖς ἀνὰ τὴν Δύσιν δι' Εὐδοξίου τοῦ Γερμανικείας καὶ Μακεδονίου τοῦ Μοψουεστίας, ἐν ᾗ μνήμην μὲν οὐσίας οὐκ ἐποιήσαντο Θεοῦ, ἀπεκήρυξαν δὲ τοὺς ἐξ οὐκ ὄντων λέ-

D

12. Athanasius autem Constantii insidias formidans (ei enim mortem minatus erat) Romam abiit. Et Paulus Thessalonicam delatus, unde proavi orti dicebantur, cum Orientem relinquendi permissionem accepisset, neque Illyricum et quæ ultra est regionem petere prohiberetur, Corinthum se proficisci prætexuit, Romamque et ipse venit. Cum autem Julius monuisset imperatorem Constantem de eorum conditione, scripsit ille ad imperatorem Constantium ut episcopos mitteret qui eorum depositionem defenderent. Missi sunt igitur Narcissus Irenopolis, Theodorus Heracleæ, Maris Chalcedonis et Marcus Arethusæ; qui quidem a scipsis Antiochiæ expositam fidem celavere, alteram autem struxerunt omnino Nicænæ repugnantem. Eamque postquam imperatori Constanti tradidere neque quidquam eorum quæ volebant perfecissent, reversi sunt nihil operati. Post autem tres annos, Orientis episcopi alteram composuerunt fidem quam μακρόστιχον ἔκθεσιν (longi ordinis expositionem) nominavere, eamque ad Occidentis episcopos misere per Eudoxium Germaniciæ et Macedonium Mopsuestiæ; in qua quidem nullam de Dei essentia mentionem faciebant, excommunicabant autem eos

qui dicebant Filium Dei esse de nihilo, ac fuisse tempus quando non erat; præterea et Sabellianos, quos nominant Romani Patropassimos, utpote Patrem cum Filio et Spiritu sancto confundentes, et nunc quidem eum Patrem, nunc Filium, nunc Spiritum sanctum appellantes. Promiscue enim et indiscrete Romana lingua dicitur passim. Cum autem hanc fidem non recepissent Occidentales, sed dicerent sibi sufficere Nicæna dogmata, scripsit ad fratrem Constans sibi justum videri ut Athanasii fautoribus propriæ sedes restituerentur.

A γοντας τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ὅτι ἦν ὅτε οὐκ ἦν· πρὸς δὲ καὶ τοὺς Σαβελλιανούς, οὓς ὀνομάζουσι Ῥωμαῖοι πατροπασσίμους, ὡς τὸν Πατέρα συγχέοντας εἰς Υἱὸν καὶ τὸ Πνεῦμα, καὶ ποτὲ μὲν αὐτὸν Πατέρα, ποτὲ δὲ Υἱόν, ποτὲ δὲ Πνεῦμα ὀνομάζοντας· τὸ γὰρ χύδην καὶ ἀδιακρίτως πάσσιμον ἡ Ῥωμαϊκὴ λέγει φωνή. Ταύτην δὲ τὴν πίστιν μὴ παραδεξαμένων τῶν Δυτικῶν, ἀλλ' εἰπόντων ἀρκεῖσθαι τοῖς ἐν Νικαίᾳ δόξασιν, ἔγραψε πρὸς τὸν ἀδελφὸν ὁ Κώνστας ἀξιῶν ἀποδοθῆναι τοῖς περὶ Ἀθανάσιον τοὺς οἰκείους θρόνους.

13. Quoniam autem nihil perfectum fuerat, duobus imperatoribus placuit concilium Sardicam convocari. Et convenerunt ex Theodoreto ducenti et quinquaginta episcopi; ex Socrate autem et Sozomeno, ex occidentalibus partibus fere trecenti, ex orientalibus autem sex et septuaginta; quorum in numero erant Sabinus, Heracleæ in Thracia Macedonianorum episcopus, et Ischyras qui Marcotiæ episcopatum ab Athanasii adversariis acceperat. Occidentales quidem Sardicam convenerunt, orientales vero, cum Philippopolim pervenissent, iis notum fecerunt se cum iis non velle colloqui, nisi a sessione et communione expulerint Athanasii fautores ut depositos. Illis autem id non ferentibus, ii concilium habuere in ipsa urbe Philippopoli, et deposuerunt, pro libito, Julium Romanum, eo quod primus cum Athanasio et ejus fautoribus communicasset, Hosium Cordubensem propter eamdem causam, et quia amicus fuerat Paulini et Eustathii qui Antiochiam rexerant, Maximinum Trevirensem, utpote qui primus cum Paulo communicasset, Protogenem Sardicæ eo quod Marcellum defenderet quem prius condemnaverat, Gaudentium ut aliter agentem ac Cyriacus cui successerat, et ut plurimi facientem eos quos deposuerant.

ιγ'. Ὡς δὲ οὐδὲν ἠνύετο πλέον, ἔδοξε γνώμῃ τῶν δύο βασιλέων ἀθροισθῆναι σύνοδον ἐν Σαρδικῇ τῇ πόλει· καὶ ἠθροίσθησαν κατὰ μὲν Θεοδώρητον πεντήκοντα καὶ διακόσιοι ἐπίσκοποι, κατὰ δὲ Σωκράτην καὶ Σωζόμενον ἐκ μὲν τῶν ἑσπερίων μερῶν περὶ τοὺς τριακοσίους, ἐκ δὲ τῶν ἑῴων ἓξ καὶ ἑβδομήκοντα· οἷς συνηριθμεῖτο καὶ Σαβῖνος ὁ τῶν ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης Μακεδονιανῶν ἐπίσκοπος, καὶ Ἰσχύρας ἐπιτραπεὶς τὴν τοῦ Μαρεώτου ἐπισκοπὴν παρὰ τῶν ἀπεχθανομένων τῷ Ἀθανασίῳ. Καὶ οἱ μὲν Δυτικοὶ κατ' αὐτὴν τὴν Σαρδικὴν συνῆλθον· οἱ δὲ Ἀνατολικοί, καταλαβόντες τὴν Φιλιππούπολιν, ἐδήλωσαν αὐτοῖς ὡς οὐκ ἄλλως εἰς λόγους ἐλθεῖν αὐτοῖς ἐθέλουσιν, εἰ μὴ τοὺς περὶ Ἀθανάσιον ἀπελάσουσι τοῦ συνεδρίου καὶ τῆς κοινωνίας ὡς καθηρημένους. Τῶν δὲ μὴ ἀνεχομένων, ἐκεῖνοι συνήδρευσαν ἀλλήλοις ἐν αὐτῇ τῇ Φιλιππουπόλει, καὶ καθεῖλον, ὡς ἐνόμισαν, Ἰούλιον μὲν τῆς Ῥώμης, ὡς ἅρξαντα τῆς πρὸς Ἀθανάσιον καὶ τοὺς ἅμ' αὐτὸν κοινωνίας, Ὅσιον δὲ τὸν Κορδούβης διά τε τὴν αὐτὴν αἰτίαν, καὶ ὅτι φίλος ἐγένετο Παυλίνῳ καὶ Εὐσταθίῳ τοῖς ἡγησαμένοις τῆς Ἀντιοχείας, Μαξιμῖνον δὲ Τριβέρεως ὡς πρῶτον Παύλῳ κοινωνήσαντα, Πρωτογένην δὲ τῆς Σαρδικῆς ὡς ὑπερμαχοῦντα Μαρκέλλου τοῦ πρότερον ὑπ' αὐτοῦ καταψηφισθέντος, Γαυδέντιον δὲ ὡς ὑπεναντία σπουδάζοντα Κυριακῷ ὃν διεδέξατο, καὶ τοὺς παρ' αὐτῶν καθῃρημένους περὶ πολλοῦ ποιούμενον.

14. Hosii autem fautores postquam convenerant, innocentes declaraverunt Athanasium quidem ut injuste ab iis qui Tyrum congressi erant vexatum, Marcellum vero ut minime annuentem se cogitare quæ falso arguebantur. Manifestæ enim erant, inquit Theodoretus, malæ Eusebianorum artes. Quæ enim Marcellus ut quæsita dixerat, ea ut ab ipso extra controversiam posita calumniabantur. Cum autem ea in synodo Sardicæ habita lecta essent, recta inventa est hujus hominis fides. Socrates autem dicit Marcellum ut condemnationem repelleret, persuasisse episcopis Sardicæ congregatis eos qui ipsum deposuerant non intelligere quæ scripserat, atque ideo se Samosatensis episcopi suspiciones incurrisse. Patriarcha vero Photius narrationes conferens Socratis ac Theodoreti, dicit Sardicenses episcopos vere deceptos esse; cumque non bene intellexissent Marcelli scripta, male eum justificasse; inde neminem accepisse eorum

ιδ'. Οἱ δέ γε ἀμφὶ τὸν Ὅσιον, συνελθόντες, ἀθώους ἀπέφηναν Ἀθανάσιον μὲν ὡς ἀδίκως ἐπιβουλευθέντα παρὰ τῶν ἐν Τύρῳ συνελθόντων, Μάρκελλον δὲ οἷα μὴ οὕτω λέγοντα φρονεῖν ὡς διεβάλλετο· ἐφωράθη γάρ, φησὶν ὁ Θεοδώρητος, τῶν περὶ τὸν Εὐσέβιον ἡ κακοτεχνία· ὅτι ἃ ζητῶν ὁ Μάρκελλος εἴρηκε, ταῦτα ὡς ὡμολογημένα διαβεβλήκασι. Τούτων δ' ἐπὶ τῆς συνόδου τῆς κατὰ Σαρδικὴν ἀναγνωσθέντων, ὀρθὴ τοῦ ἀνδρὸς ἡ πίστις εὑρέθη. Σωκράτης δέ φησιν ὅτι ἀναπαλαίων ὁ Μάρκελλος τὴν καταδίκην ἔπεισε τοὺς ἐν Σαρδικῇ μὴ νοῆσαι τοὺς καθελόντας αὐτὸν, ἃ γέγραφε· καὶ διὰ τοῦτο τὴν ὑπόνοιαν τοῦ Σαμοσατέως λαβεῖν. Ὁ δὲ πατριάρχης Φώτιος, σχόλια παραθεὶς τοῦ τε Σωκράτους καὶ τοῦ Θεοδωρήτου, φησὶν ὅτι ἐν Σαρδικῇ μᾶλλον ἠπατήθησαν· καὶ μὴ νοήσαντες ἀκριβῶς τὸ Μαρκέλλου σύγγραμμα, κακῶς αὐτὸν ἐδικαίωσαν· ὅθεν οὐδεὶς παρεδέξατο τὴν περὶ τούτου κρίσιν αὐτῶν· ἀλλ' ἔστιν ἔξω τῆς Ἐκκλησίας ὁ Μάρκελλος. Ἠθώω-

σαν δὲ οἱ ἐν Σαρδικῇ καὶ Ἀσκληπᾶν τὸν Γάζης, ὡς Εὐσεβίου τοῦ Παμφίλου καὶ πολλῶν ἄλλων ὑπομνήματα ἐπιφερόμενον δικαιοῦντα αὐτόν· ἔτι δὲ καὶ Λούκιον τὸν Ἀδριανουπόλεως, ὡς τῶν κατηγόρων αὐτοῦ φυγῇ χρησαμένων· καθεῖλον δὲ Γεώργιον τὸν Ἀλεξανδρείας, Βασίλειον Ἀγκύρας τὸν ἀντὶ Μαρκέλλου, Κεντισνὸν Γάζης τὸν ἀντὶ Ἀσκληπᾶ, Θεόδωρον Ἡρακλείας, Νάρκισσον Εἰρηνουπόλεως, Ἀκάκιον Καισαρείας τῆς Παλαιστίνης, Μηνόφαντον Ἐφέσου, Οὐρσάκιον Σιγγηδόνος, Οὐάλεντα Μούρσης, Γεώργιον Λαοδικείας, καίτοι μὴ παρόντα ἐν τῇ συνόδῳ ταύτῃ· καὶ οὗτος κατὰ τὸν μέγαν Ἀθανάσιον καὶ τοῦ πρεσβυτερίου καθαιρεθεὶς ὑπὸ τοῦ μακαρίου Ἀλεξάνδρου δι' ἀσωτίαν. Καὶ ταῦτα μὲν τοιοῦτον ἔσχε τὸν τρόπον.

ιε'. Οἱ δὲ περὶ Ἀθανάσιον πάλιν τὴν Ῥώμην κατέσχον· καὶ ὁ τῶν ἑσπερίων βασιλεὺς Κώνστας, τὰ ἐν Σαρδικῇ γενόμενα μαθὼν, ἔγραψε τῷ βασιλεῖ Κωνσταντίῳ τοῖς περὶ Ἀθανάσιον ἀποδοῦναι τὰς ἰδίας ἐκκλησίας. Ὡς δ' ἀνεβάλλετο, πάλιν ἔγραψεν ἢ δέχεσθαι τούτους, ἢ πρὸς πόλεμον παρασκευάσασθαι. Τοῖς ἀνὰ τὴν ἕω τοίνυν ἐπισκόποις τοῦτο Κωνστάντιος κοινωσάμενος, καὶ νομίσας εὔηθες εἶναι διὰ ταύτην αἰτίαν ἐμφύλιον αἱρεῖσθαι μάχην, τρισὶ γράμμασιν Ἀθανάσιον μετεκαλέσατο καὶ τοὺς σὺν αὐτῷ· κατέλαβον οὖν τοὺς ἑαυτῶν θρόνους Παῦλος ὁ Κωνσταντινουπόλεως, Μάρκελλος ὁ Ἀγκύρας, Ἀσκληπᾶς ὁ Γάζης, καὶ Λούκιος ὁ Ἀδριανουπόλεως· Ἀθανάσιος δ' εἰς Ἀντιόχειαν τῆς Συρίας ἀφικόμενος, ἔνθα διέτριβε Κωνστάντιος, εὔνουν δῆθεν αὐτοῦ ἐπειράθη· τῶν Ἀρειανῶν δὲ ὑποθεμένων, ἔφη πρὸς αὐτὸν ὁ Κωνστάντιος· Ἀξιῶ ἐκ πολλῶν τῶν ὑπὸ σὲ Ἐκκλησιῶν μίαν ἔχειν ἐν Ἀλεξανδρείᾳ τοὺς κοινωνεῖν σοι παραιτουμένους. Ὁ δὲ, ὑπολαβών, Πλεονεξίαν, ἔφη, χάριν αἰτῶ κἀγὼ, βασιλεῦ, ὥστε μίαν ἔχειν ἐκκλησίαν ἐν Ἀντιοχείᾳ τοὺς τῶν ἑτεροδοξούντων τὴν κοινωνίαν φεύγοντας· ὅπερ ἀκούσαντες οἱ Ἀρειανοὶ παρὰ τοῦ βασιλέως, ἐζήτησαν πλέον οὐδέν. Ἐκεῖθεν τοίνυν Ἀθανάσιος ἐξορμήσας, τὰ Ἱεροσόλυμα κατέλαβεν· ὧν ὁ ἐπίσκοπος Μάξιμος, σύνοδον τοπικὴν ἐπιτελέσας, ἐκοινώνησεν αὐτῷ· καὶ οὕτως εἰς Ἀλεξάνδρειαν ἀφικόμενος Ἀθανάσιος, τοὺς τὰ Ἀρείου φρονοῦντας ἅπαντας καθεῖλεν.

ις'. Ἐν τούτῳ δὲ Κώνστας ὁ τῆς Ἑσπέρας βασιλεύων ὑπὸ Μαγνεντίου κατὰ συσκευὴν ἀνῃρέθη, καὶ Κωνστάντιος αὐτοκράτωρ γέγονε τῆς ἀρχῆς ἁπάσης· ὃς καὶ, τοῖς Ἀρειανοῖς πειθόμενος, τὰ προδεδογμένα πάντα μετέστρεψεν εἰς τὸ ἐναντίον. Παῦλος τοίνυν ὁ Κωνσταντινουπόλεως εἰς Κουκουσὸν τῆς Ἀρμενίας ἐξορισθεὶς ἀνῃρέθη βρόχῳ, καὶ πάλιν τὴν ἐκκλησίαν κατέσχε Μακεδόνιος· Μαρκέλλου δ' ἐκβληθέντος, ἐγχρατὴς αὖθις ἐγένετο τῆς ἐπισκοπῆς Βασίλειος· Λούκιος δὲ σιδήρῳ δέσμιος ἐν τῇ εἱρκτῇ διεφθάρη· Ἀθανάσιος δὲ κελευσθεὶς ἀναιρεθῆναι, μόλις διέφυγεν. Ἐκστρατεύσας δὲ ἐπὶ τὴν Ἰλλυρίδα Κωνστάντιος κατὰ Βρεττανίωνος τυραννήσαντος, ἦκεν εἰς τὸ Σίρμιον, ἔνθα δὴ τῆς κατὰ

A de illo sententiam; sed extra Ecclesiam esse Marcellum. Innocentes autem declaravere Sardicenses episcopi Asclepium Gazæ, ut ab Eusebio Pamphili multisque aliis testimonia afferentem quæ eum defendebant; adhuc et Lucium Adrianopolis, cujus accusatores aufugerant; deposuerunt autem Georgium Alexandriæ, Basilium Ancyræ, Marcelli adversarium, Centianum Gazæ qui Asclepium urgebat, Theodorum Heracleæ, Narcissum Irenopolis, Acacium Cæsareæ in Palæstina, Menophantum Ephesi, Ursacium Singidonis, Valentem Mursæ, Georgium Laodiceæ, quanquam ipse ab hac synodo aberat; et is, juxta magnum Athanasium, ex sacerdotio propter luxuriam a beato Alexandro depositus fuerat. Et hæc quidem hoc modo se

B habuere.

15. Athanasii autem fautores Romæ aderant, et Occidentis imperator Constans, cum ea quæ Sardicæ facta fuerant didicisset, ad imperatorem Constantium scripsit ut Athanasii fautoribus suas ecclesias redderet. Cum autem hic procrastinaret, rursum ei scripsit ut aut illos restitueret aut ad bellum se appararet. Quod orientalibus episcopis notum faciens Constantius credensque stultum esse ob hanc causam fraternum bellum suscitare, tribus litteris Athanasium ejusque amicos revocavit. Receperunt igitur suas sedes Paulus Constantinopolis, Marcellus Ancyræ, Asclepas Gazæ, et Lucius Adrianopolis. Cum autem Athanasius

C Antiochiam Syriæ rediisset ubi versabatur Constantius, benevolum eum expertus est: ex Arianorum autem consilio, illi subjecit Constantius: Justum censeo ex multis quæ sub te sunt ecclesiis ut unam habeant Alexandriæ qui tecum communicare nolunt. Econtra autem ille: Similem, inquit, a te, imperator, efflagito gratiam, nempe ut unam Antiochiæ habeant ecclesiam qui heterodoxorum communionem fugiunt. Quod audientes Ariani, nihil amplius quæsierunt. Inde igitur profectus Athanasius Hierolosymam pervenit; cujus urbis episcopus Maximus, locali synodo convocata, cum illo communicavit. Atque ita cum Alexandriam rediisset Athanasius, omnes eos qui Ariana

D dogmata profitebantur, deposuit.

16. Interea vero Constans qui in Occidente regnabat, a Magnentio per insidias interfectus est, et factus est Constantius orbis universi imperator. Qui ab Arianis seductus quæcumque ante decreta erant in contrarium mutavit. Paulus igitur Constantinopolis in urbem Armeniæ Cucusum exsulatus laqueo interfectus est, et rursus hanc ecclesiam habuit Macedonius. Marcello autem expulso, episcopatu rursum potitus est Basilius. Lucius ferro vinctus in carcere periit. Athanasius autem, quem interfici jusserat, vix aufugit. Profectus vero in Illyriam Constantius contra Brettanionem regnum affectantem, Sirmium venit ubi habita est contra Photinum synodus. Interea a suis legatis

interfectus est qui Romæ imperaverat Magnentius, et tyrannus alter, Silvanus nomine. Magna igitur securitate in veterem Romam profectus est Constantius jussitque synodum Mediolani fieri.

17. Interea, ut narrat Sozomenus, cum Antiochiam convenissent Narcissus Irenopolis, et Theodorus Heracleæ, et Eugenius qui Theognidi Nicæno successerat et Petrophilus Scythopolis, et Menophantus Ephesi et alii prope triginta, universis episcopis contra Athanasium scripsere. Convenerunt autem Mediolanum pauci quidem ex Oriente, aliis prætexentibus, ut verisimile est, senectutem aut morbum aut itineris difficultatem; ex Occidente autem congregati sunt ultra trecentos. Orientalibus igitur dignum existimantibus communem ferri contra Athanasium sententiam, restiterunt quidam ex occidentalibus qui et in exsilium missi sunt, ut Liberius Romæ, Paulinus Treveris in Galliis, Dionysius Albæ in Italia, Eusebius Vercellensis in Liguria, Lucifer Carallarum in Sardinia, et Hilarius Pictaviensis in secunda Aquitania.

18. Soluta autem infecta re synodo, Eudoxius Germanicize cum didicisset mortuum esse Leontium Antiochiæ in Syria, postulavit ab imperatore ut redire posset Roma Germaniciam, quæ ipsius reditum cupiebat. Quod cum obtinuisset, sortitus est Antiochiam, et Arianorum favore, præsertim vero regiorum eunuchorum, sibi hujus urbis episcopatum assecutus est. Cæterum rediit ad Aetii doctrinam dissimilem Patri Filium docentem, una cum Acacii Cæsareæ, et Uranii Cyri episcopi fautoribus. Georgius autem Laodiceæ de hac Eudoxii innovatione monuit Basilium Ancyræ, Macedonium Mopsuestiæ, et Necropœum Nicomediæ; qui, Eustathio Sebastæ, et Eleusio Cyzici juncti imperatori quod accidisset indicavere; rogantes ut ea fides prævaleret quæ dicit Filium non consubstantialem, sed similem natura Patri, sive non consubstantialem; et ut ii qui consubstantialem dicerent, deponerentur. His precibus annuens imperator, quas cæteroqui ab aliis episcopis laudatas reperiebat, nempe a Valente Mursæ, Ursacio Sigidonis, Germano Sirmii, Auxentio Mediolani, Demophilo Berrœæ in Thracia, decrevit celebrandam esse Nicææ synodum. Recusantibus autem iis qui imperatorem circumdabant, eo quod olim in eadem urbe de doctrina quæstiones agitatæ fuissent, placuit illam Nicomediæ fieri. Cum autem terræ motus eam vastavisset, rursum decretum est ut Nicææ fieret synodus. Imperator autem mutavit sententiam, et Seleuciæ in Isauria eam voluit congregari.

19. Considerantes autem ii qui Eudoxii partes tenebant fore ut non possent omnibus episcopis una congregatis persuadere ut dissimile acciperent, sy-

A Φωτεινοῦ συνόδου γεγονυίας, ἐν τῷ μεταξὺ καθηρέθη παρὰ τῶν αὐτοῦ στρατηγῶν ὁ τυραννήσας Ῥώμης Μαγνέντιος, καὶ ἕτερος τύραννος ᾧ Σιλβανὸς ὄνομα· κατὰ πολλὴν τοίνυν ἄδειαν ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην ὁ Κωνστάντιος ὁρμήσας, ἐκέλευσεν ἐν Μεδιολάνῳ γενέσθαι σύνοδον.

ιζ'. Ἐν τούτῳ, καθά φησιν Σωζόμενος, εἰς Ἀντιόχειαν συνελθόντες Νάρκισσος ὁ Εἰρηνουπόλεως, καὶ Θεόδωρος Ἡρακλείας, καὶ Εὐγένιος ὁ διάδοχος Θεόγνιδος τοῦ Νικαίας, καὶ Πατρόφιλος Σκυθοπόλεως, καὶ Μηνόφαντος ὁ Ἐφέσου, καὶ ἄλλοι ἀμφὶ τριάκοντα, ἔγραψαν τοῖς πανταχοῦ ἐπισκόποις κατὰ Ἀθανασίου· συνῆλθον δὲ εἰς τὸ Μεδιόλανον ὀλίγοι μὲν ἐκ τῆς Ἑω, τῶν ἄλλων, ὡς εἰκὸς, προφασισαμένων γῆρας ἢ νόσον ἢ ὁδοιπορίαν μακράν· ἐκ δὲ B τῶν Ἑσπερίων ὑπὲρ τοὺς τριακοσίους. Ἀξιούντων οὖν τῶν ἀνατολικῶν κοινὴν ἐκφέρεσθαι κατὰ Ἀθανασίου ψῆφον, ἀντέστησάν τινες τῶν ἑσπερίων οἳ καὶ πρὸς ὑπερορίαν ἐπέμφθησαν, οἷον Λιβέριος ὁ Ῥώμης, Παυλῖνος ὁ Τριβέρεως τῆς ἐν Γαλλίαις, Διονύσιος ὁ Ἄλβης τῆς ἐν Ἰταλίᾳ, Εὐσέβιος ὁ Βερκέλλων τῆς Λιγουρίας, Λουκίφερ ὁ Καράλλων τῆς Σαρδανίας, καὶ Ἱλάριος ὁ Πικτάβων ἢ Ποτάμων τῆς δευτέρας Ἀκυϊτανίας.

ιη'. Ἀπράκτου δὲ τῆς συνόδου ταύτης διαλυθείσης, Εὐδόξιος ὁ Γερμανικείας τελευτῆσαι μαθὼν Λεόντιον τὸν Ἀντιοχείας τῆς κατὰ Συρίαν, ἐδεήθη τοῦ βασιλέως ἐπανελθεῖν ἀπὸ Ῥώμης εἰς Γερμανικείαν, ὡς χρῃζούσης αὐτοῦ τῆς τοιαύτης πόλεως· C ἐπιτραπεὶς οὖν τοῦτο, κατέλαχε τὴν Ἀντιόχειαν, καὶ σπουδῇ τῶν Ἀρειανῶν, μάλιστα δὲ τῶν βασιλικῶν εὐνούχων, περιεποίησεν ἑαυτῷ τὴν ἐνθάδε ἐπισκοπήν· καὶ λοιπὸν ἐπανῄει τὸ Ἀετίου δόγμα τὸν Υἱὸν ἀνόμοιον τῷ Πατρὶ δοξάζον, ἅμα τοῖς ὁμόφροσιν Ἀκακίῳ τῷ Καισαρείας καὶ Οὐρανίῳ τῷ Τύρου. Γεώργιος δὲ ὁ Λαοδικείας ἐπέστειλε περὶ τῆς τοιαύτης Εὐδοξίου νεωτεροποιίας Βασιλείῳ τῷ Ἀγκύρας, καὶ Μακεδονίῳ τῷ Μοψουεστίας, καὶ Νεκροπολίῳ τῷ Νικομηδείας· οἱ, προσλαβόντες Εὐστάθιον τὸν Σεβαστείας καὶ Ἐλεύσιον τὸν Κυζίκου, τῷ βασιλεῖ τὸ γεγονὸς ἐδήλωσαν, αἰτοῦντες ἐκείνην κρατεῖν τὴν πίστιν ἣ λέγει τὸν Υἱὸν οὐχ ὁμοούσιον, ἀλλ' ὅμοιον τῷ Πατρὶ κατ' οὐσίαν εἴτε ἀνομοιούσιον· τοὺς δὲ λέγοντας ὁμοούσιον καθαιρεῖσθαι. Δεξάμενος D δὲ τὴν αἴτησιν τούτων ὁ βασιλεὺς, καὶ εὑρὼν ταύτην συνεπαινουμένην καὶ παρ' ἑτέρων ἐπισκόπων, οἷον Οὐάλεντος Μούρσης, Οὐρσακίου Σιγηδόνος, Γερμινίου Σιρμίου, Αὐξεντίου Μεδιολάνων, Δημοφίλου Βερρόιας τῆς Θρᾴκης, ἔκρινεν ἐπιτελέσαι σύνοδον ἐν Νικαίᾳ. Παραιτησαμένων δὲ τῶν ἀμφὶ τὸν βασιλέα διὰ τὸ καὶ πάλαι ἐνθάδε τὴν περὶ τοῦ δόγματος συμβῆναι ζήτησιν, ἔδοξε ταύτην ἐν Νικομηδείᾳ γενέσθαι· σεισμοῦ δὲ αὐτῇ ἐνσκήψαντος, πάλιν ἐκρίθη γενέσθαι τὴν σύνοδον ἐν Νικαίᾳ· μεταβουλευσάμενος δ' ὁ βασιλεὺς, ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας αὐτὴν ἠθέλησεν ἀθροισθῆναι.

ιθ'. Λογισάμενοι δὲ οἱ περὶ Εὐδόξιον ὡς, ἁπάντων ὁμοῦ τῶν ἐπισκόπων ἀθροιζομένων, οὐκ ἂν αὐτοὺς δυνηθεῖεν πεῖσαι τὸ ἀνόμοιον παραδέξασθαι, μερι-

σθείσης δὲ τῆς συνόδου ῥᾷον πείσουσι τοὺς ὀλίγους, παρεσκεύασαν, συμπραττόντων αὐτοῖς τῶν εὐνούχων, δύο γενέσθαι τὰς συνόδους, τῶν μὲν ἑσπερίων ἐπισκόπων ἐν Ἀριμίνῳ τῆς Ἰταλίας, τῶν δὲ ἑῴων ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας· καὶ ἵνα τὰ πολλὰ συντέμνω, τοῦ τῆς μακαρίας λήξεως Παύλου τὸν τῆς ὁμολογίας στέφανον εἰληφότος, ἀντεισάγεται Μακεδόνιος, ὡς ἂν τις εἴπῃ σκότος ἡμέρας διάδοχον. Ἦν δὲ τὰ μὲν πρῶτα συμφερόμενος τοῖς περὶ Ἀκάκιον τὸν Καισαρείας τῆς Παλαιστίνης, καὶ οὔτε ὁμοιούσιον τῷ Πατρὶ ἔλεγε τὸν Υἱόν, ἀλλ' ὅμοιον· μετὰ δὲ τὸ καθαιρεθῆναι πρὸς ἐκείνων ἀποχρησαμένων τῇ κατ' αὐτοῦ ὀργῇ τοῦ βασιλέως Κωνσταντίου, οἷς τὸν νεκρὸν τοῦ πατρὸς αὐτοῦ Κωνσταντίνου τοῦ Μεγάλου παρεκίνησε, καὶ τῶν ἐντεῦθεν σφαγῶν ἀνεφάνη αἴτιος, περὶ δὲ τούτων εἰπεῖν ἔρθημεν, διέτριβε μὲν εἴς τι περὶ Πύλας τῆς Βιθυνίας χωρίον, ἔνθα καὶ ἐτελεύτησε· πρὸς δὲ τοὺς τοῦ ἑτέρου μέρους ἦτοι τοὺς Ἡμιαρείους, φημὶ δὲ τοὺς ἀμφὶ Γεώργιον τὸν Λαοδικείας καὶ Βασίλειον τὸν Ἀγκύρας, ἀπέκλινε, καὶ τὸν Υἱὸν κατ' αὐτοὺς ἐδογμάτιζεν ὁμοιούσιον.

κ'. Αἱρεσιάρχης δὲ φιλοτιμηθεὶς ἀναῤῥηθῆναι, καινότερόν τι προσεπενόησε, καὶ σφοδρότερον ἐλύττησε κατὰ τοῦ ἁγίου Πνεύματος· τοῦτο γὰρ καὶ οἱ τὸ ὁμοιούσιον εἰσάγοντες, καὶ οἱ τὸ ὅμοιον ληροῦντες τῆς οὐσίας χωρὶς, καὶ ἁπλῶς οἱ ἀπὸ Ἀρειανῶν πάντες κτίσμα μὲν ἔλεγον καὶ τοῦ Υἱοῦ καταδεέστερον, ὅμως δ' οὖν τῇ ἁγίᾳ Τριάδι συνηρίθμουν· οὗτος δὲ ὁ κατάρατος εἰς τὴν Τριάδος αὐτὸ θεολογίαν συναναλαμβάνειν ἐξέκλινεν, ἄμοιρον εἶναι λέγων τῶν τοιούτων πρεσβείων, διάκονόν τε καὶ ὑπηρέτην καλῶν, καὶ ὅσα περὶ ἀγγέλων τις λέγων οὐκ ἂν ἁμάρτοι· ὅθεν αὐτός τε καὶ ἡ αὐτοῦ συμμορία πνευματομάχοι παρὰ τῶν ὀρθοδόξων ἐκλήθησαν. Ἤξησαν δὲ μάλιστα τὴν αἵρεσιν ταύτην Μαραθώνιος ὁ Νικομηδείας, ἀφ' οὗ καὶ Μαραθωνιανοὶ πρός τινων οἱ Μακεδονιανοὶ ὠνομάσθησαν, καὶ Ἐλεύσιος ὁ Κυζίκου. Ἰουλιανοῦ δὲ βασιλεύσαντος, ἀδείας τῇ Κωνσταντίου τελευτῇ λαβόμενοι οἱ πνευματομάχοι, ὧν ἦν Βασίλειος ὁ Ἀγκύρας, Σιλβανὸς ὁ Ταρσοῦ, Εὐστάθιος ὁ Σεβαστείας, Ἐλεύσιος ὁ Κυζίκου, Παυσίνικος ὁ Ζήλων, Λεόντιος ὁ Κωμάνων, Καλλίστρατος ὁ Καλλιουπόλεως, Θεόφιλος ὁ Κασταβάλων, Σωφρόνιος ὁ Πομπηϊουπόλεως, καὶ οἱ τούτων ὁμόφρονες, εἰς ἴδιον σύστημα διεκρίθησαν, καὶ Μακεδονιανοὶ καλεῖσθαι φανερῶς ἤρξαντο, συνόδους τέ τινας ποιησάμενοι, τοὺς ἀμφὶ Ἀκάκιον ἀπεκήρυξαν.

κα'. Ἰοβιανοῦ δὲ τῆς βασιλείας ἐπιβατεύσαντος, βιβλίον αὐτῷ δεήσεως ἔδωκαν, ἀξιοῦντες ἐξωθεῖσθαι τῶν ἐκκλησιῶν τοὺς τὸ ἀνόμοιον δογματίζοντας, ἀντεισάγεσθαι δὲ ἑαυτοὺς ὡς τὸ ὁμοούσιον κηρύττοντες. Ὁ δὲ βασιλεὺς ἀναποκρίτους αὐτοὺς ἀπέπεμψε, μόνον τοῦτο ἐπιφθεγξάμενος, μισεῖν μὲν φιλονεικίαν, ἀγαπᾶν δὲ τοὺς τῇ ὁμονοίᾳ προστρέχοντας. Τηνικαῦτα δὲ ὁ φιλόνεικος τρόπος τῶν περὶ Ἀκάκιον ἐξηλέγχετο, καὶ ὡς εἴησαν ἀεὶ πρὸς τοὺς κρατοῦντας ἀποκλίνοντες. Συνελθόντες γὰρ ἐν Ἀν-

A nodo autem dissociata facilius fore ut paucis persuaderent, curaverunt ex eunuchorum auctoritate ut duæ synodi fierent, occidentalium episcoporum Ariminii in Italia, orientalium autem Seleuciæ in Isauria. Atque ut brevissime dicam, beatæ confessionis Paulo confessionis coronam adepto sufficitur Macedonius, ut ita dicam, quasi post lucem tenebræ. Erat autem primum Acacii Cæsareæ in Palæstina asseclis consentiens neque Filium Patri in substantia similem esse dicebat, sed tantum similem; postquam autem depositus est ab iis qui Constantis imperatoris ira abutebantur in eum indignantis eo quod Constantini patris cadaver loco moverat et recentis cædis causa fuerat (de his diximus antea), aliquandiu prope Pylas Bithyniæ lo-
B cum commoratus est, ubi et mortuus est. Ad eos vero qui alterum partem constituebant, Semiarianos nempe, Georgii Laodiceæ, Basilii Ancyræ fautores declinavit, et Filium, sicut et ipsi, in substantia Patri similem esse docuit.

20. Hæresiarcha autem renuntiari peroptans novum aliquid excogitavit, et in quamdam violentiorem rabiem contra Spiritum sanctum incidit. Illum enim et qui Filium substantia similem fuxerant et qui similem esse dicendo deliraverant, excepta substantia, utque uno verbo dicam, quotquot Arianas partes tenebant, creaturam Spiritum dicebant, Filioque minorem, illum tamen in
C sancta Trinitate connumerabant, ille autem scelestus in Triadis theologia eum comprehendere renuit, talis dignitatis non participem esse dicens, ministrumque et servum eum vocans, iisque utens nominibus quibus ne angeli quidem nuncuparentur. Unde ipse et ejus consocii Spiritus sancti adversarii ab orthodoxis appellati sunt. Auxerunt autem hanc hæresim Marathonius Nicomediæ, a quo et Marathoniani a nonnullis Macedoniani nominati sunt, et Eleusius Cyzici. Juliano autem imperante, securitatem ex Constantii morte adepti pneumatomachi, ex quorum numero erant Basilius Ancyræ, Silvanus Tarsi, Eustathius Sebastiæ, Eleusius Cyzici, Pausinicus Zelarum, Leontius Comanæ,
D Callistratus Calliopolis, Theophilus Castabali, Sophronius Pompeiopolis, eorumque asseclæ, in quoddam proprium collegium discreti sunt, et Macedoniani vocari manifeste cœperunt, synodosque facientes, Acacii fautores excommunicavere.

21. Joviano ad regiam dignitatem evecto, librum illi rogatorium dederunt, postulantes ut ab ecclesiis arcerentur qui Filium non similem esse docebant, ipsi vero introducerentur, ut consubstantialem proclamantes. Imperator autem illos absque sententia dimisit, illud tantum addens, se rixarum cupidos odisse, diligere vero eos qui ad concordiam properarent. Tum rixarum studium apud Acacii fautores reprehendebatur, simulque eis objurgabatur quod semper ad potentiores declina-

rent. Convenientes enim Antiochiam Syriæ, in colloquium cum Meletio venere, qui consubstantiale docebat. Atque ita egerunt, postquam eum honoratum videre ab imperatore ibi tunc temporis degente. Communi igitur sententia concilium septem et viginti episcoporum convocavere, libelloque composito, consubstantiale confessi sunt; et Nicænam fidem confirmantes illum imperatori tradidere. Præerant huic synodo Meletius Antiochiæ, Eusebius Samosatæ, Acacius Cæsareæ, Pelagius Laodiceæ in Syria, Athanasius Ancyræ.

22. Ubi autem Valentinianus et Valens imperare cœperunt, omnes Macedoniani deputarunt pro se legatum ad Valentinianum Hypatum Perinthi episcopum, rogantes ut sibi liceret convenire ad corrigendam doctrinam. Respondit autem Valentinianus « Mihi non licet in populi ordine posito talia agitare; sacerdotes vero quibus de his rebus cura est, per seipsos quocunque voluerint, conveniant. Statim igitur illi Lampsacum convenere, duosque menses deliberationem habuere, et decreverunt irrita esse quæ Antiochiæ ab ipsis facta fuerant et melius esse Filium Patri substantia similem esse opinari. His definitis, redeunti ex Thracia Valenti (cum fratre enim Romam proficiscente aliquantum itineris fecerat), Heracleæ occurrerunt. Qui quidem iis suasit ne ab Eudoxio dissentirent. Hic autem Macedonio successerat, Eunomioque et ejus fautoribus consentiebat. Cum autem rennissent, eos in exsilium ire jussit. Postea vero Eleusium reduxit, coegitque ut cum Eudoxio in fide consentiret. Ac principio ille restitit; deinde vero exsilium et expulsionem reformidans, quod jussus erat, fecit; at statim eum pœnituit. Cyzicum enim rediens peccatum suum in ecclesia confessus est, suosque hortatus est ut sibi alium episcopum eligerent, eo quod ipse necessitate compulsus propriam doctrinam abnuisset. Cyziceni autem suo erga eum amore victi illius hæresim non admisere, mansere vero postea sub illius gubernatione; quo audito, Eudoxius Eunomium in Cyzici episcopatum proposuit.

23. Expulsi sunt ab Eudoxio Constantinopolis episcopo et Valente imperatore non modo qui consubstantialem Filium profitebantur, sed jam et ipsi Macedoniani; qui injuriam non ferentes, statuerunt ad imperatoris fratrem et ad Liberium Romæ episcopum confugere, eorum fidem amplecti quam cum Eudoxio communicare præferentes. Mittunt igitur Eustathium Sebastiæ et Silvanum Tarsi, et Theophilum Castabali in Cilicia; qui postquam Liberium adiere, Arium condemnant et similiter eos qui Ario consentiebant ejusque doctrinam docebant, rejiciunt autem omnem hæresin filii Nicænæ contrariam; et consubstantiale solummodo recipiunt, in eo sensu quod hæc vox substantia similem significaret. Hanc eorum confessionem scriptam accipiens Liberius, cum illis causam egit; litterisque ab illo acceptis, in Siciliam navi-

τιοχείᾳ τῆς Συρίας, εἰς λόγους ἔρχονται Μελετίῳ πρεσβεύοντι τὸ ὁμοούσιον· τοῦτο δὲ ἐποίησαν, ἐπειδὴ τιμώμενον ὑπὸ τοῦ βασιλέως ἐώρων ἐκεῖ τότε διάγοντος· κοινῇ οὖν γνώμῃ σύνοδον ἀθροίσαντες ἐπισκόπων ἑπτὰ καὶ εἴκοσι, βιβλίον συντάττουσι, καθομολογοῦσί τε τὸ ὁμοούσιον· καὶ τὴν ἐν Νικαίᾳ κυρώσαντες πίστιν, τῷ βασιλεῖ τοῦτο δεδώκασι· ἡγοῦντο δὲ τῆς συνόδου ταύτης Μελέτιος Ἀντιοχείας, Εὐσέβιος Σαμοσάτων, Ἀκάκιος Καισαρείας, Πελάγιος Λαοδικείας τῆς κατὰ Συρίαν, Ἀθανάσιος Ἀγκύρας.

κβ'. Ἅμα δὲ τῷ βασιλεῦσαι Οὐαλεντιανὸν καὶ Οὐάλεντα, πάντες οἱ Μακεδονιανοὶ προεβάλοντο ὑπὲρ ἑαυτῶν πρέσβυν πρὸς Οὐαλεντιανὸν Ὑπάτιον τὸν Περίνθου ἐπίσκοπον, ἀξιοῦντες ἐπιτραπῆναι συνελθεῖν ἐπὶ διορθώσει τοῦ δόγματος. Ὁ δὲ Οὐαλεντιανὸς ἔφη· Ἐμοὶ οὐ θέμις μετὰ λαοῦ τεταγμένῳ τὰ τοιαῦτα πολυπραγμονεῖν· οἱ δὲ ἱερεῖς οἷς τούτων μέλει, καθ' ἑαυτοὺς ὅπῃ βούλονται συνίτωσαν. Εὐθὺς οὖν ἐκεῖνοι συνῆλθον εἰς Λαμψακὸν, καὶ δύο βουλευσάμενοι μῆνας, ἐψηφίσαντο ἄκυρα εἶναι τὰ ἐν Ἀντιοχείᾳ παρ' αὐτῶν πεπραγμένα, καὶ κρατεῖν τὸ ὅμοιον δοξάζειν τῷ Πατρὶ τὸν Υἱὸν κατ' οὐσίαν· ταῦτα ὁρίσαντες ἐπανιόντι τῷ Οὐάλεντι ἐκ τῆς Θρᾴκης (ἦν γὰρ ἀποδημοῦντι τῷ ἀδελφῷ εἰς Ῥώμην μέχρι τινὸς συναπελθὼν), ἐν Ἡρακλείᾳ περιέτυχον. Ὁ δὲ ἐπέτρεψεν αὐτοῖς μὴ διαφέρεσθαι πρὸς Εὐδόξιον· ἦν δὲ οὗτος διαδεξάμενος Μακεδόνιον καὶ σύμφρων Εὐνομίῳ καὶ τοῖς κατὰ τοῦτον. Ἐπεὶ δὲ ἀντεῖπον, ἐκέλευσεν αὐτοὺς ὑπερορισθῆναι· μετέπειτα δὲ ἀγαγὼν Ἐλεύσιον ἐδιάζετο κοινωνεῖν Εὐδοξίῳ τῆς πίστεως. Ὁ δὲ τὸ μὲν πρῶτον ἀντέτεινεν· εἶτα ὑπερορίας φυγὴν καὶ δήμευσιν δειλιάσας, τὸ προσταχθὲν ἐποίει· καὶ εὐθὺς μετεμέλετο, ἐπανελθὼν γὰρ εἰς Κύζικον, τὴν ἁμαρτίαν ἐπὶ τῆς ἐκκλησίας ἐξήγγειλε, καὶ ζητεῖν ἑαυτοῖς ἕτερον ἐπίσκοπον ἐπέτρεπε, διότι αὐτὸς ἀνάγκῃ τὸ οἰκεῖον ἠρνήσατο δόγμα. Κυζικηνοὶ δὲ, τῇ περὶ τοῦτον φιλοστοργίᾳ κρατούμενοι, τῆς μὲν οἰκείας αἱρέσεως οὐ μετετίθεντο, ἔμενον δὲ ὅμως ὑπ' αὐτῷ ταττόμενοι· ὅπερ μαθὼν Εὐδόξιος προεβάλετο Εὐνόμιον εἰς τὴν Κυζίκου ἐπισκοπήν.

κγ'. Ἠλαύνοντο δὲ παρὰ Εὐδοξίου τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου καὶ Οὐάλεντος τοῦ βασιλέως οὐχ οἱ τὸν ὁμοούσιον πρεσβεύοντες μόνον, ἀλλ' ἤδη καὶ αὐτοὶ οἱ Μακεδονιανοί· οἳ καὶ, μὴ φέροντες τὴν ἐπήρειαν, δεῖν ἔγνωσαν καταφυγεῖν ἐπὶ τὸν τοῦ βασιλέως ἀδελφὸν, καὶ ἐπὶ Λιβέριον τὸν Ῥώμης ἐπίσκοπον, ἀσπάζεσθαι μᾶλλον ἑλόμενοι τὴν ἐκείνων πίστιν ἢ κοινωνεῖν τοῖς περὶ Εὔδοξιον· πέμπουσιν οὖν Εὐστάθιον τὸν Σεβαστείας, καὶ Σιλβανὸν τὸν Ταρσοῦ, καὶ Θεόφιλον τὸν Κασταβάλων τῆς Κιλικίας· οἳ καὶ, πρὸς Λιβέριον παραγεγονότες, καταγινώσκουσι μὲν Ἀρείου καὶ τῶν ὁμοίως αὐτῷ φρονούντων καὶ διδασκόντων· ἀποκηρύττουσι δὲ πᾶσαν αἵρεσιν ἐναντιουμένην τῇ πίστει τῆς ἐν Νικαίᾳ συνόδου· καὶ τὸ ὁμοούσιον μόνον δέχονται, ὡς τῷ ὁμοίῳ κατ' οὐσίαν ταυτὸν σημαῖνον. Ταύτην αὐτῶν τὴν ὁμολογίαν ἔγγραφον λαβὼν ὁ Λιβέριος, ἐκει-

νώνησεν αὐτοῖς· καὶ γράμματα παρ' αὐτοῦ λαβόντες, ἔπλευσαν εἰς Σικελίαν· συνόδου δὲ κἀκεῖ συναχθείσης, καὶ τὰ αὐτὰ ψηφισαμένων τῶν τῇδε ἐπισκόπων, ἐπανῆλθον.

κδ'. Κατ' ἐκεῖνο δὲ καιροῦ σύνοδον ἀγόντων ἐν Τυάνοις Εὐσεβίου τοῦ Καισαρείας Καππαδοκίας, Ἀθανασίου Ἀγκύρας, Πελαγίου Λαοδικείας τῆς Συρίας, Ζήνωνος Τύρου, Παύλου Ἐμέσης, Ὀτρηίου Μελιτηνῆς, Γρηγορίου Ναζιανζοῦ, καὶ πολλῶν ἄλλων, οἳ καὶ ἐν Ἀντιοχείᾳ τὸ ὁμοούσιον ἐψηφίσαντο ἐπὶ τῆς Ἰοβιανοῦ βασιλείας, ἀνεγνώσθη τὰ Λιβερίου καὶ τῶν ἀνὰ τὴν δύσιν γράμματα· καὶ περιχαρεῖς ἐπὶ τούτοις γενόμενοι, ἔγραψαν πάσαις ταῖς κατὰ τὴν Ἀσίαν Ἐκκλησίαις ἐντυχεῖν τοῖς τοιούτοις γράμμασι, καὶ ἔτι ἦρος ὄντος, εἰς Ταρσὸν συνελθεῖν. Ἤδη δὲ συνίστασθαι μελλούσης τῆς ἐν Ταρσῷ συνόδου, τριάκοντα καὶ τέσσαρες Ἀσιανοὶ ἐπίσκοποι, συνελθόντες ἐν Ἀντιοχείᾳ τῆς Καρίας, τὴν μὲν ἐπὶ τῇ ὁμονοίᾳ τῶν Ἐκκλησιῶν σπουδὴν ἐπῄνουν, παρῆτοῦντο δὲ τὸ τοῦ ὁμοουσίου· Οὐάλης δὲ ὁ βασιλεὺς Εὐδοξίου σπουδῇ τὴν ἐν Κιλικίᾳ προσδοκωμένην σύνοδον ἔλυσεν· οἱ δὲ Μακεδονιανοὶ ἀδιάφορον ἔως τινὸς χρόνου τὴν κοινωνίαν ἐποιοῦντο ἀνὰ ἐκκλησίας τὰς ἐν ἑκάστῃ πόλει, ἀλλήλοις τε ἐπιμιγνύμενοι καὶ τοῖς ἐξ ἀρχῆς πρεσβεύουσι τὸ ὁμοούσιον.

κε'. Ἐπεὶ δὲ Οὐάλεντος τελευτήσαντος Γρατιανὸς ἐνομοθέτησε μετὰ ἀδείας ἑκάστους θρησκεύειν ὡς βούλονται καὶ ἐκκλησιάζειν, πλὴν Μανιχαίων καὶ τῶν τὰ Φωτεινοῦ καὶ Εὐνομίου φρονούντων, πάλιν οἱ πλείους ἐδογμάτισαν ἐκτρέπεσθαι τὴν τοῦ *ὁμοουσίου* φωνήν. Ὁ δὲ βασιλεὺς Θεοδόσιος ὁ Μέγας τοῦ ὁμοουσίου σπουδαστὴς ὤν, σύνοδον ἐπισκόπων ὁμοδόξων ἑαυτῷ συνεκάλεσε βεβαιώσεως ἕνεκα τῶν ἐν Νικαίᾳ δοξάντων· ὑπολαβὼν δὲ δύνασθαι συντάξαι τῇ καθόλου Ἐκκλησίᾳ τοὺς καλουμένους Μακεδονιανούς, συνεκάλεσε καὶ τούτους· συνῆλθον οὖν ἐν Κωνσταντινουπόλει ἐκ τῶν ὁμοούσιον τὴν Τριάδα δοξαζόντων ἀμφὶ ἑκατὸν καὶ πεντήκοντα, ἐν οἷς ἦν Γρηγόριος ὁ Θεολόγος, ὁ Νύσσης Γρηγόριος (1), Ἀμφιλόχιός τε καὶ ἕτεροι τῶν ἐπισήμων τότε Πατέρων, οἳ δὴ πάντες ἐδέοντο τῶν Μακεδονιανῶν ἐπιγνῶναι τὸ ὁμοούσιον, ἀναμιμνήσκοντες αὐτοὺς τῆς πρεσβείας καὶ ὁμολογίας ἣν ἔθεντο πρὸς Λιβέριον τὸν Ῥώμης διὰ Εὐσταθίου καὶ Σιλβανοῦ καὶ Θεοφίλου. Οἱ δὲ μηδέποτε ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν ἀναφανδὸν δοξάζειν εἰπόντες, εἰ καὶ ἐναντία ταῖς πρὸς Λιβέριον ὁμολογίαις ἐροῦσιν, ἀπηλλάγησαν· οἱ δὲ τοῦ ἑτέρου μέρους ἐπιμείναντες καὶ τὸ Πνεῦμα τὸ ἅγιον, Κύριον καὶ ζωοποιὸν καὶ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον καὶ τῷ Πατρὶ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον δογματίσαντες, ὡς καὶ ἐν τῷ Σεἰῳ συμβόλῳ ἔγκειται, καὶ τὸν Μακεδόνιον καθυποβαλόντες ἀναθέματι, ὡσαύτως καὶ τοὺς τὸ ὁμοιούσιον καὶ ὅμοιον ἐπὶ τοῦ Υἱοῦ δοξάζοντας, καὶ μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον, δευτέραν ταύτην εὐσεβῆ συστησάμενοι, ἀλλὰ καὶ κανόνας ἐκθέμενοι περὶ

A gaverunt; synodoque ibi congregata, eadem decreverunt ac hujus insulæ episcopi, et reversi sunt.

21. Hoc autem tempore Tyani synodum agentibus Eusebio Cæsareæ in Cappadocia, Athanasio Ancyræ, Pelagio Laodiceæ in Syria, Zenone Tyri, Paulo Emesæ, Otrio Melitenæ, Gregorio Nazianzi et multis aliis, qui et Antiochiæ consubstantialem Filium decreverant, Joviano imperante, lectæ sunt Liberii et occidentalium litteræ. Quibus lætantes, ad omnes Asiæ Ecclesias scripserunt ut his litteris concordarent, et, dum adhuc ver esset, Tarsum convenirent. Cum autem jam in eo essent ut synodum Tarsi haberent episcopi, quatuor et triginta asiatici episB scopi Antiochiæ in Caria congregati ad Ecclesiarum concordiam ardorem laudavere, sed rejecere consubstantiale. Imperator autem Valens Eudoxii machinationibus synodum quæ in Cilicia fieri debebat, dissolvit. Macedoniani vero indifferenter cum aliis in singularum urbium ecclesiis aliquantum temporis communicabant, alii aliis immisti iisque qui ab initio consubstantiale professi erant.

25. Postquam autem, Valente mortuo, Gratianus legem tulit ex qua secure quisque ut vellet, Deum coleret et concionaretur, exceptis Manichæis iisque qui Photino et Eunomio consentiebant, rursum plerique docuerunt exstirpandam esse vocem *Consubstantialis*. Imperator autem Theodosius Magnus, Consubstantialis fautor, synodum episcoporum sibi consentientium convocavit, ad confirmanda ea quæ Nicææ decreta erant; possibile autem fore putans catholicæ Ecclesiæ Macedonianos apponere, eos quoque convocavit. Convenerunt igitur Constantinopolim ex iis qui consubstantialem Trinitatem confitebantur centum et quinquaginta circiter, in quibus erat Gregorius Theologus, et Gregorius Nyssenus, Amphilochiusque et alii ex celeberrimis hujus temporis Patribus, qui quidem omnes a Macedonianis petiere ut consubstantiale agnoscerent, in memoriam iis revocantes legationem et confessionem quas ad Liberium Romæ per Eustathium et Silvanum et Theophilum miserant. Illi autem se nunquam Patri consubstantialem esse Filium aperte docuisse dicentes, etsi contrarium in sua ad Liberium confessione dixerint, dimissi sunt. Cæteri vero partium aliarum remanserunt, et postquam decreverunt Spiritum sanctum Dominum esse vivificantem et ex Patre procedere et cum Patre adorari et glorificari ut in divino symbolo scriptum est, Macedoniumque eosque qui Filium substantia similem vel simpliciter similem docebant anathemate percusserunt, eamque secundam piam synodum esse post Nicænam constituerunt, canonesque de di-

(1) Hac fortasse occasione S. Gregorius Nyssenus scripsit illos adversus Arium Macedoniumque tractatus, quos ego ex Vaticano codice edidi in Collectionis Vaticanæ tomo VIII.

versis ecclesiasticis quæstionibus composuere, deliberationem habuerunt, quem in sede Constantinopolitana statuerent. Imperator autem qui Gregorium Theologum admiratione prosequebatur, hoc episcopatu eum dignum esse decrevit; consenserunt hujus synodi plerique. Ipse autem intelligens nonnullos obsistere præsertimque Ægyptios, aliquanto post recusavit. Diodoro igitur teste, Nestorius Tarsensis, nondum baptizatus, eligitur et baptizatur, baptismalique adhuc veste indutus Constantinopolitanus episcopus ordinatur.

26. Post hæc autem convenientes Nectarius et alii Nicænam fidem confirmarunt et omnem hæresin excommunicaverunt, decreveruntque omnes ecclesias administrandas esse juxta veteres canones, et episcopos in propriis ecclesiis manere debere : neque ad externas procedere neque non vocatos se peregrinis ordinationibus injicere, ut prius fiebat, et sæpius accidebat, male habita catholica Ecclesia; ea autem quæ acciderent apud uniuscujusque nationis concilium administranda, ut optime fieri posset. Post Romæ episcopum, præsidentiam habere Constantinopolis episcopum, quippe qui novæ Romæ thronum occuparet. Confirmaveruntque rursum Nicænam fidem, et patriarchas constituerunt distribuentes provincias, ita ut episcopos ultra suam diœcesim ad externas ecclesias non accederent. Sortitur vero imperatoriam urbem et Thraciam Nectarius; patriarchatum autem Ponticæ diœceseos Helladius Cæsareæ, et Gregorius Nyssæ, et Otreius Melitenæ, Asiaticam sortiuntur Amphilochius Iconii et Optimus Antiochiæ in Pisidia, Ægypti vero regiones Timotheo Alexandriæ commissæ sunt. Orientalium autem ecclesiarum administrationem Pelagio Laodiceæ, et Diodoro Tarsi tradidere, salva Antiochenæ ecclesiæ dignitate, quam Meletio, qui aderat, dedere. Definivit autem synodus provinciæ synodo, si opus esset, ea quæ per singulas provincias contingerent, curanda esse. Examini quoque subjecta sunt quæ ad Maximum spectabant, quem Alexandrinum genere, cynicumque ratione vivendi philosophum, ar lentem vero Nicænæ doctrinæ fautorem clam Ægyptii tum congregati ordinaverant, episcopumque Constantinopolis constituerant, Gregorio Theologo hanc sedem adhuc tenente. Et decretum est nunquam illum fuisse episcopum, neque esse, neque clericos ab ipso ordinatos, sed manere irrita quæ de illo et ab illo facta fuerant.

A διαφόρων ἐκκλησιαστικῶν ζητημάτων, ἐβουλεύσαντο τίνι δέοι τὴν ἐπισκοπὴν Κωνσταντινουπόλεως ἐπιτρέψαι. Ὁ δὲ βασιλεὺς, θαυμάζων τὸν Γρηγόριον τὸν Θεολόγον, τῆς ἐπισκοπῆς ἄξιον ἐψηφίζετο ταύτης· συνήνουν δὲ καὶ τῆς συνόδου οἱ πλείονες. Ἀλλ' αὐτὸς, αἰσθόμενός τινας ἀναίρειν, καὶ μάλιστα τοὺς ἀπ' Αἰγύπτου, παρῃτήσατο μετὰ καιρόν· Διοδώρου τοίνυν μαρτυρίᾳ Νεκτάριος συγκλητικὸς ὁ Ταρσεὺς ἀμύητος ὢν ψηφίζεται καὶ μυεῖται, καὶ τὴν μυστικὴν ἔτι ἐσθῆτα ἡμφιεσμένος χειροτονεῖται Κωνσταντινουπόλεως ἐπίσκοπος.

B κς'. Μετὰ δὲ ταῦτα συνελθόντες Νεκτάριος καὶ οἱ ἄλλοι, τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσαν, καὶ πᾶσαν αἵρεσιν ἀπεκήρυξαν, καὶ διοικεῖσθαι τὰς πανταχοῦ διέταξαν Ἐκκλησίας κατὰ τοὺς πάλαι κανόνας, καὶ τοὺς ἐπισκόπους ἐπὶ τῶν ἰδίων μένειν Ἐκκλησιῶν, καὶ μὴ ταῖς ὑπερορίοις προβαίνειν, μήτε ἀκλήτους χειροτονίαις ἀλλοτρίαις ἑαυτοὺς ἐπιβάλλειν, καθὸ πρότερον, ὡς ἔτυχε πολλάκις καὶ συνέβη, διωκομένης τῆς καθόλου Ἐκκλησίας· τὰ δὲ παρ' ἑκάστην συμβαίνοντα τὴν τοῦ ἔθνους σύνοδον, ὡς ἂν ἄριστα φανείη, διοικεῖν· μετὰ δὲ τὸν Ῥώμης, τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον τὰ πρεσβεῖα ἔχειν, ὡς τὸν θρόνον ἐπισκοπεύοντα τῆς νέας Ῥώμης· ἐβεβαίωσάν τε αὖθις τὴν ἐν Νικαίᾳ πίστιν, καὶ πατριάρχας κατέστησαν διανειμάμενοι τὰς ἐπαρχίας· ὥστε τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους ταῖς ὑπερορίοις Ἐκκλησίαις μὴ προβαίνειν. Κληροῦται δὲ τὴν μὲν βασιλίδα πόλιν καὶ τὴν Θρᾴκην Νεκτάριος· τὴν

C δὲ τῆς Ποντικῆς διοικήσεως πατριαρχίαν Ἑλλάδιος ὁ Καισαρείας, καὶ Γρηγόριος ὁ Νύσσης, καὶ Ὀτρήϊος ὁ Μελιτηνῆς· τὴν Ἀσιανὴν δὲ λαγχάνουσιν Ἀμφιλόχιος ὁ Ἰκονίου, καὶ Ὄπτιμος ὁ Ἀντιοχείας τῆς κατὰ Πισιδίαν· τὰ δὲ κατὰ τὴν Αἴγυπτον Τιμοθέῳ τῷ Ἀλεξανδρείας προσενεμήθη· τῶν δὲ κατὰ τὴν ἀνατολὴν Ἐκκλησιῶν διοίκησιν ἐπέτρεψαν Πελαγίῳ τῷ Λαοδικείας, καὶ Διοδώρῳ τῷ Ταρσοῦ, φυλάξαντες τὰ πρεσβεῖα τῆς Ἐκκλησίας τῶν Ἀντιοχέων, ἅπερ ἔδοσαν τῷ Μελετίῳ παρόντι. Ὥρισε δὲ ὥστε, εἰ χρεία καλέσοι, τὰ καθ' ἑκάστην ἐπαρχίαν τὴν τῆς ἐπαρχίας σύνοδον διοικεῖν. Ἐζητήθη δὲ καὶ τὰ κατὰ Μάξιμον, ὃν Ἀλεξανδρέα τὸ γένος ὄντα, κυνικόν τε φιλόσοφον τὸ ἐπιτήδευμα, σπουδαῖον δὲ περὶ

D τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου, κλέψαντες τὴν χειροτονίαν οἱ τότε ἐξ Αἰγύπτου συνεληλυθότες, ἐπίσκοπον Κωνσταντινουπόλεως κατέστησαν, ἔτι Γρηγορίου τοῦ Θεολόγου τὸν θρόνον τοῦτον διέποντος· καὶ ὡρίσθη μήτε γεγενῆσθαι τοῦτον μήτε εἶναι ἐπίσκοπον μήτε κληρικοὺς τοὺς παρ' αὐτοῦ χειροτονηθέντας, ἀλλὰ μένειν ἄκυρα τὰ ἐπ' αὐτῷ καὶ παρ' αὐτοῦ πεπραγμένα.

NICETÆ CHONIATÆ

EX LIBRO VIII

THESAURI ORTHODOXÆ FIDEI

—

Περὶ Νεστορίου.

α'. Νεστόριος ὥρμητο μὲν ἐκ Γερμανικίων πολίχνης, οὐκ οἶδα ποταποῖς τὸ ἐξ ἀρχῆς ἐκτεθραμμένος ἐπιτηδεύμασιν, ἄλλην δὲ ἐξ ἄλλης ἀμείβων χώραν, καθάπερ Αἰγυπτιακή τις μάστιξ, τῇ μεγάλῃ τῶν Ἀντιοχέων ἐνέσκηψε πόλει. Ἐν ταύτῃ λόγων ἐλευθερίων μετρίως μετεσχηκὼς, φωνήν τε ὅτι καλλίστην καὶ μεγίστην ἀσκήσας, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ προσιὼν εἰσεφθάρη, καὶ τῷ καταλόγῳ τῶν πρεσβυτέρων ἐναρίθμιος γεγονὼς, τόν τε τοῦ Θεοῦ λαὸν διδάσκειν πεπιστευμένος, ἔδειξεν εὐθὺς ἐν προοιμίοις οἷος παρὰ πάντα τὸν βίον γενήσεται· οὐ γὰρ τὸν εὐγενῆ καὶ γόνιμον, καὶ γεωργῆσαι ψυχὰς ἀνθρώπων δυνάμενον ἐζήλωσε χαρακτῆρα τῶν λόγων, ἀλλὰ πρὸς τὸ δημοτερπὲς ἀποκλίνας, καὶ τῶν εἰς ἀέρα λυομένων χρότων θηρευτὴς εἰ καί τις ἄλλος γενόμενος, τὸ συρφετῶδες καὶ ἀστάθμητον πλῆθος πρὸς τὸν οἰκεῖον ἐξεκαλέσατο πόθον, φαιὸν περιδεδλημένος ἱμάτιον, ἐστυγνακὼς βαδίζων, τοὺς ἀγοραίους ἐκκλίνων θορύβους, ὠχρότητι σώματος τὸ δοκεῖν ἐγκρατευτὴς εἶναι θηρώμενος, οἴκοι τὰ πολλὰ βιβλίοις προσανέχων, καὶ καθ' ἡσυχίαν ἑαυτῷ συγγινόμενος, τοιούτοις σχήμασι καὶ πλάσμασι τοὺς πολλοὺς δελεάζων, μέχρι πόῤῥω προῆλθε τῆς ἡλικίας, τὸ δοκεῖν Χριστιανὸς εἶναι πρὸ τοῦ εἶναι διώκων, καὶ τῆς τοῦ Χριστοῦ δόξης τὴν ἑαυτοῦ προτιμῶν.

β'. Ἐπεὶ δὲ, κατὰ τὸ εἰρημένον τῷ Δεσπότῃ, οὐδὲν κρυπτὸν ὃ οὐ γνωσθήσεται, οὐδὲ ἀπόκρυφον ὃ οὐ μὴ εἰς φανερὸν ἔλθῃ, καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύναται, κατὰ τὴν ἀνεξιχνίαστον τῶν τοῦ Θεοῦ κριμάτων ἄβυσσον, καὶ Νεστόριος ψήφῳ τῶν περὶ τὰ βασίλεια καὶ τοὺς θρόνους, καὶ αὐτοῦ τηνικαῦτα τῆς οἰκουμένης τὰ σκῆπτρα διέποντος, τῆς κατὰ Κωνσταντινούπολιν τῶν ὀρθοδόξων καθολικῆς Ἐκκλησίας τὴν προστασίαν πιστεύεται, οὐδὲν δὲ ἧττον καὶ τῆς οἰκουμένης ἁπάσης. Ὡς δὲ τὸν μέγιστον ἐκεῖνον κατέλαβε θρόνον, καθάπερ τινὰ τυραννίδα τῆς ἀρχιερωσύνης τὴν προστασίαν ἁρπάσας, οὐκέτι κατέσχεν ἐν ἑαυτῷ τὴν ὠδῖνα τῆς ἀσεβείας οἷός τ' ἦν, ἀλλ' ἀπὸ τῆς ἐξουσίας προσλαβὼν ἀμαθῆ παῤῥησίαν, εἰς μέσον ἄγει καὶ προτίθησιν ἅπασι, ἣν πάλαι συνέλαβε κατὰ τοῦ Μονογενοῦς βλασφημίαν, καὶ πόλεμον ἄντικρυς κατὰ τῶν ἀποστολικῶν αἱρεῖται δογμάτων· καὶ τῶν ἁγίων Πατέρων, ἀφ' οὗ κατηγγέλη τὸ Εὐαγγέλιον τῆς τῶν ὀρθοδόξων καθηγησαμένων

De Nestorio.

1. Nestorius ortus erat ex Germaniæ oppido, nescio quibus ab initio disciplinis eruditus; de loco autem in locum migrans, tanquam quoddam Ægyptiacum flagellum, in magnam Antiochenorum urbem irruit. Ibi mediocriter bonarum artium particeps effectus, vocemque pulcherrimam ac optimam exercitio adeptus, in Dei Ecclesiam irrepsit et catalogo presbyterorum adscriptus, Deique populum docendi curam sortitus, ab initio exhibuit qualis per totam vitam futurus esset. Non enim ingeniosum et nobilem et animis excolendis aptum sectatus est orationum caracterem, sed ad populi adulationem proclivis plausuumque in aerem dissipatorum ut qui maxime amator, vilem et instabilem plebeculam suo desiderio imbuebat, fusco indutus pallio, tristis incedens, fori tumultum evitans, corporis pallore temperans videri cupiens, domi plerumque libris incumbens et per otium secum conversans, tali habitu et forma multitudinem captans, ad multam ætatem processit, Christianus videri potius quam esse peroptans, et Christi gloriæ propriam gloriam anteponens.

2. Cum autem, ut a Domino dictum est, nihil sit secretum quod non sciatur, nihil obscurum quod non reveletur, et bona opera manifesta sint et mala nequeant occultari, juxta investigabilem judiciorum Dei abyssum, et Nestorius eorum suffragio qui regiis et thronis assident et ipsius qui tum temporis orbis universi sceptra tenebat, orthodoxorum catholicæ Constantinopolitanæ Ecclesiæ præficitur, nec minus quam universo terrarum orbi. Ubi autem in maximam illam sedem ascendit rapuitque præsidentiam tanquam tyrannidem quamdam episcopatus, non jam in se cohibere valuit impietatis partum, sed ex sua potentia inauditam concipiens audaciam, in medium adducit præfertque cunctis quam jam dudum imaginatus esset in unigenitum blasphemiam, et bellum palam adversus apostolica dogmata suscitat; et sanctorum Patrum, ex quo annuntiatum est Evangelium orthodoxorum ducum fidei, expellere conatur voces, turbans quidem regiæ civitatis Eccle-

siam, turbans et orbem universum. Neque a divino Paulo clamante conversus : *Qui vos turbat, judicium feret, quicunque sit* ; sed super candelabrum divinæ episcoporum cathedræ non veritatis lumen, sed impietatis tenebras ponit.

ἀλλ' ἐπὶ τὴν λυχνίαν τοῦ θείου τῶν ἀρχιερέων εἴθησι τῆς ἀσεβείας.

3. Fit autem illiprimum .n novationis tentamen, non oportere sanctissimam Virginem Dei Verbi secundum carnem matrem Dei matrem confiteri, sed tantum Christi, dum contra vetustissimi Ecclesiæ præcones, secundum apostolicam traditionem, Dei Matrem eam nominandam esse docerent et Domini Matrem credendam. Age vero, et blasphemam hanc verborum artem nemini prius non am observa : « Christi appellatio, inquit, duas naturas significat, Unigeniti nempe divinitatem et humanitatem; *Dei* autem sejuncta vox simplicem et incorporalem Dei Verbi substantiam præbet; vox autem *homo* solam humanam ostendit naturam : ideo Christi genitricem, inquit, non autem Dei, Virginem confiteri necesse est, ne forte nobis accidat ut Dei Verbum principium exsistendi ex sancta Virgine acceperit; atque ita prius genitam esse matrem quam ille qui ex ea natus est, confiteri cogamur. »

4. Ne autem videamur vanis injuriis sic hominem persequi, eum ipsum per ea quæ dixit, propriæ impietatis testem faciemus. Suis enim cogitationibus omnem apostolicarum doctrinarum memoriam transgressus et cujuslibet rancti, in orthodoxorum ecclesia multas istiusmodi proclamavit voces : « Non peperit, o optime, Deum Maria, sed hominem peperit divinitatis instrumentum. Et in aliis rursum negatoriis irreprehensibilem Matrem gentium diis assimilat. Judaicam enim sententiam amplexus, non Verbum carnem factum esse absolute dicebat, sed in quodam homine inhabitasse, ut in aliquo prophetarum et sibi hunc proprium peculiari amore fecisse; et esse quidem alium Filium, alium vero dici, neque esse genuinum Filium, sed adoptivum qui hoc nomine dicebatur, Jesum Christum. Inde dictum esse duos esse Filios, neque unum tantum. Itaque synodali suffragio et regia voluntate episcopatu expellitur; et Oasim inhabitare jussus, futuræ impiorum pœnæ præludium accepit, sua propria demcntia absumptus et in se adimplens illud Apostoli oraculum : *Quorumdam hominum culpæ manifeste ducunt ad damnationem.* Suscitavit enim in illum Deus spiritum Cyrilli Alexandriæ patriarchæ; qui ad ipsum Nestorium scripsit, eum in orthodoxorum fidem impellens et hortans ut Dei Matrem sanctissimam Mariam nominaret ac crederet. Cum autem precibus non cederet, alteram rursus misit epistolam; contradicente autem illo, convocatur postea Ephe-

πίστεως, ἐκβάλλειν πειρᾶται τοὺς λόγους, τεράστιον μὲν τῆς βασιλίδος πόλεως τὴν Ἐκκλησίαν, τεράστιον δὲ καὶ τὴν οἰκουμένην ἅπασαν· οὐδὲ τοῦ θεσπεσίου Παύλου κεκραγότος ἐπιστρεφόμενος· *Ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρῖμα, ὅστις ἂν ᾖ·* βήματος οὐ τὸν λύχνον τῆς ἀληθείας, ἀλλὰ ζόφον

γ'. Γίνεται δὲ αὐτῷ πρῶτον τῆς καινοτομίας ἐγχείρημα τὸ μὴ δεῖν τὴν ἁγίαν Παρθένον τὴν τοῦ Θεοῦ Λόγου κατὰ σάρκα μητέρα Θεοτόκον ὁμολογεῖν, Χριστοτόκον δὲ μόνον, τῶν πάλαι καὶ τῶν πρὸ πάλαι τῆς Ἐκκλησίας κηρύκων, κατὰ τὴν ἀποστολικὴν παράδοσιν, Θεοτόκον δοξαζόντων ὀνομάζειν καὶ πιστεύειν τὴν τοῦ Κυρίου Μητέρα. Φέρε μοι λοιπὸν καὶ τὴν βλάσφημον τεχνολογίαν παρατήρησον, οὐδενὶ πρότερον ἐγνωσμένην. Ἡ τοῦ Χριστοῦ προσηγορία, φησὶ, τῶν δύο φύσεων σημαντική, τῆς τε θεότητος τοῦ Μονογενοῦς καὶ τῆς ἀνθρωπότητος· ἡ δὲ τοῦ *Θεοῦ* ἀπολύτως λεγομένη φωνὴ τὴν ἁπλῆν καὶ ἀσώματον τοῦ Θεοῦ Λόγου παρίστησιν οὐσίαν· ἡ δὲ τοῦ *ἄνθρωπος* μόνην τὴν ἀνθρωπείαν ὑποδείκνυσι φύσιν· διὰ τοῦτο Χριστοτόκον, φησὶν, ἀλλ' οὐ Θεοτόκον τὴν Παρθένον ὁμολογεῖν ἀναγκαῖον, μήποτε λάθωμεν ἀρχὴν τοῦ εἶναι λέγοντες τὸν Θεὸν Λόγον ἐκ τῆς ἁγίας εἰληφότα Παρθένου· καὶ οὕτω προγενεστέραν τὴν μητέρα τοῦ γεννηθέντος ἐξ αὐτῆς, κατὰ τὸ ἀκόλουθον, ὁμολογεῖν βιασθῶμεν.

δ'. Ἵνα δὲ μὴ δόξωμεν λοιδορίαις κεναῖς ταῦτα τοῦ ἀνδρὸς κατηγορεῖν, αὐτὸν ἐκεῖνον οἷς εἶπε τῆς οἰκείας δυσσεβείας ποιήσομαι μάρτυρα. Τῶν γὰρ ἀποστολικῶν διδαγμάτων καὶ παντὸς ἁγίου μνήμην τῆς ἑαυτοῦ διανοίας ὑπερορίσας, ἐν τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ πολλὰς τοιαύτας ἐξεβόησε φωνάς· « Οὐκ ἔτεκεν, ὦ βέλτιστε, Μαρία Θεὸν, ἀλλ' ἔτεκεν ἄνθρωπον θεότητος ὄργανον. » Καὶ ἐν ἑτέροις πάλιν φληνάφοις ἀνέγκλητον μητέρα Ἑλλήνων θεοῖς ἐκεισάγων. Ἰουδαϊκὸν γὰρ ἀναδεξάμενος φρόνημα, οὐ τὸν Λόγον σάρκα ἀτρέπτως γεγενῆσθαι ἔλεγεν, ἀλλ' εἴ τινα ἄνθρωπον ἐνοικῆσαι, ὡς εἰς ἕνα τῶν προφητῶν, καὶ ἰδιοποιεῖσθαι τοῦτον ἐξαιρέτῳ ἀγαπήσει· καὶ εἶναι μὲν ἄλλον υἱὸν, ἄλλον δὲ λέγεσθαι μὲν, μὴ εἶναι δὲ γνήσιον, θετὸν δὲ υἱὸν τὸν λεγόμενον Ἰησοῦν Χριστόν· ἐντεῦθεν δύο Υἱοὺς, καὶ μὴ ἕνα, λέγεσθαι εἶναι. Ὅθεν τῆς ἀρχιερωσύνης ἐκβάλλεται ψήφῳ [συνοδικῇ] καὶ βασιλικῷ νεύματι· καὶ τὴν Ὄασιν καταδικασθεὶς οἰκεῖν, τῆς μελλούσης τῶν ἀσεβῶν κολάσεως ἐδέξατο τὰ προοίμια, παρανάλωμα τῆς οἰκείας φρενοβλαβείας γενόμενος, καὶ ἐφ' ἑαυτῷ πληρώσας τὸ ἀποστολικὸν ἐκεῖνο λόγιον, ὅτι *Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν.* Ἐξήγειρε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ τὸ πνεῦμα Κυρίλλου πατριάρχου Ἀλεξανδρείας, καὶ γράφει πρὸς αὐτὸν Νεστόριον, εἰς τὴν ὀρθόδοξον ἐμβιβάζων πίστιν, καὶ Θεοτόκον τὴν ἁγίαν Μαρίαν παρακαλῶν ὀνομάζειν τε καὶ φρονεῖν. Ὃς δὲ οὐκ ἐνεδίδου, ἑτέρα πάλιν ἔπεμψε γράμματι· ἀντιλέγοντος δὲ αὐτοῦ, καὶ πρὸς ταῦτα σύνοδος ἐν

Ἐφέσῳ συγκροτεῖται, καὶ παραπέμπεται ἐκεῖσε Νεστόριος παρὰ τοῦ ἐπάρχου τῆς πόλεως καὶ ἑτέρων πολλῶν.

ε'. Θεοδόσιος δὲ ὁ νέος τὰς ἡνίας τότε τῆς βασιλείας ἐνεχείριστο· καὶ προῆδρευεν ἐν ταύτῃ τῇ τρίτῃ συνόδῳ Κύριλλος Ἀλεξανδρείας, Κελεστῖνος Ῥώμης (1), Ἰουβενάλιος Ἱεροσολύμων, Ἀχάκιος Μελιτηνῆς. Καὶ καθαιρεῖται μὲν Νεστόριος, κυροῦνται δὲ καὶ αἱ προγενέστεραι δύο σύνοδοι, τέλειόν τε αὐτὸν καὶ ἕνα Υἱὸν ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι ὁμολογοῦσι, καὶ ἕνα καὶ οὐ δύο Υἱοὺς, ὡς δηλοῖ ὁ παρ' αὐτῶν ἐκφωνηθεὶς ὅρος· καὶ οὕτως ἡ σύνοδος ἀπολύεται. Ἰωάννου δὲ τοῦ τῆς Ἀντιοχείας, καὶ Θεοδωρήτου Κύρου ἀνθισταμένων τῷ μακαρίῳ Κυρίλλῳ, κατὰ πρόφασιν τοῦ δοκεῖν χωρὶς αὐτῶν ἐκφωνηθῆναι τὸν ὅρον, καίτοι γε τοῦ μεγάλου Κυρίλλου ἐπὶ πολλὰς ἡμέρας ἐκδεξαμένου αὐτοὺς, τῇ δὲ ἀληθείᾳ ἐριστικῶς πρὸς αὐτὸν καὶ οὐκ ὀρθῶς διακειμένων, μετέβαινον καὶ αὐτοὶ ἀσύμφωνοι πρὸς τὰ ἴδια, πολλὰ μεταξὺ θορυβήσαντες· ὡς καὶ Θεοδώρητον κατὰ τῶν δώδεκα κεφαλαίων Κυρίλλου ἕτερα δώδεκα συντάξαι κεφάλαια· καὶ πάλιν αὐτὸν Κύριλλον πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ δεόντως τὰ ἴδια συστῆσαι κεφάλαια. Θεοδοσίου δὲ βασιλέως ταῦτα ἐπεγνωκότος, καὶ κινηθέντος καὶ καθ' ἑκατέρων μὲν, μάλιστα δὲ κατὰ Κυρίλλου τοῦ ἐν ἁγίοις, πέμπεται ἐνταῦθα Ἀχάκιος ὁ Μελιτηνῆς ἀνὴρ θεοσεβὴς καὶ λόγιος, εἰς ἄκρον ἐληλακὼς εὐλαβείας, καὶ τὰ τῆς συνόδου ἐμφανίζει τῷ βασιλεῖ, καὶ τὸν τούτου καταστέλλει θυμόν· καὶ τὰ ἐκφωνηθέντα τὸ κῦρος λαμβάνουσι· καὶ Κύριλλος εἰς τὴν ἰδίαν ἀπαίρει πόλιν· καὶ ἕνωσιν οἱ διεστῶτες δέχονται.

A sum synodus, et ad veniendum invitatur Nestorius ab civitatis archiepiscopo et multis aliis.

5. Theodosius vero junior tunc temporis imperii habenas tenebat; et huic synodo præfuerunt Cyrillus Alexandriæ, Cœlestinus Romæ, Juvenalis Hierosolymæ, Acacius Melitenæ. Et deponitur quidem Nestorius, confirmantur duæ priores synodi, perfectumque ipsum et unum Filium in divinitate et perfectum in humanitate confitentur, et unum, neque vero duos Filios esse, ut manifestat proclamata ab illis definitio. Atque ita solvitur synodus. Joannes vero Antiochiæ, et Theodoretus Cyri beato Cyrillo resistentes sub eo prætextu quod sine ipsis proclamata esset definitio, dum tamen magnus Cyrillus eos per multos dies exspectasset, reipsa vero contentiose nec recte erga illum se habentes, abierunt et ipsi discordes ad proprios sensus, multum interea tumultum excitantes; ita ut Theodoretus contra duodecim Cyrilli capita alia duodecim capita composuerit, et rursus ipse Cyrillus ad ea se defenderit, commodeque propria stabilierit capita. Postquam autem imperator de his monitus est, in eos, præsertim vero in sanctum Cyrillum iratus est. Quapropter ad eum missus est, Acacius Melitenæ, vir pius ac doctus, in summam provectus prudentiam, qui acta synodi regi declaravit ejusque animum composuit; et quæ proclamata fuerant, vim acrepere. Cyrillus vero in propriam rediit civitatem; et qui discordabant unitatem recepere.

(1) Perversus ordo.

NICETÆ CHONIATÆ

EX LIBRO IX

THESAURI ORTHODOXÆ FIDEI

Περὶ Εὐτυχοῦς.

α'. Ἐν τῷ χρόνῳ τῆς βασιλείας Θεοδοσίου τοῦ νέου ἦν τις κατὰ τὴν βασιλίδα πόλιν ἀρχιμανδρίτης, ὀνομαζόμενος μὲν Εὐτυχὴς, ἡγούμενος δὲ μοναστηρίου, ὃ πρώην μὲν ὑπὸ τὸν ὅρον τοῦ ἑβδόμου ἦν, καὶ τῆς Κωνσταντινουπόλεως ἔξω διέκειτο, καὶ τοῦ Ἰὼβ ἐπελέγετο, νῦν δὲ ἐντὸς αὐτῆς ὁρᾶται, καὶ τῷ τοῦ ἁγίου Μωκίου νεῷ συνομορεῖ· καὶ τιμῶνται ἐν αὐτῷ Φαῦστος καὶ Δαλμάτιος σὺν Ἰσαακίῳ, ὡς ἐξαμένης ἐς ὕστερον πλατυσμὸν τῆς Κωνσταντινουπόλεως παρὰ τοῦ αὐτοῦ Θεοδοσίου, ὑφ' οὗ καὶ τὰ γερσαῖα τείχη τῆς αὐτῆς φασιν πόλεως δι' ἡμερῶν

De Eutychete.

1. Regnante Theodosio juniore, in urbe regia versabatur quidam archimandrita, Eutyches nomine, monasterio autem præfectus, quod quidem prius in septimi finibus erat et extra Constantinopolim jacebat et de Jobi nomine dicebatur; nunc autem intra urbem videtur et sancti Mocii templo confine est; et honorantur in eo Faustus et Dalmatius cum Isaaco. Recepit enim postea ab ipso Theodosio extensionem Constantinopolis, a quo, ut aiunt, terrestria urbis hujus mœnia intra dies sexaginta erecta sunt. An vera

sit hæc fama non accurate scio. Improbus igitur Eutyches blasphemans dicebat se scire Dominum nostrum Jesum Christum ex duabus constitisse naturis ante unionem, ex unica vero post unionem; et sanctissimam quidem Virginem consubstantialem nobis esse; qui autem ex ea carnem receperat, Deum Verbum non nobis esse consubstantialem. Corpus enim, inquit, Christi corpus dico, non jam est corpus hominis. Illius amicus et familiaris Eusebius Doryleæ episcopus sæpius illum hortatus est ut talia dogmata rectæ fidei contraria non diceret; cum autem illum immutabilem cerneret, Flaviano tunc temporis Constantinopolis patriarchæ denuntiavit.

2. Qui cum Eutychen ad se vocasset, et rem una cum illi versante episcoporum synodo examinasset, Eutyches se condemnatum videns, cuidam Nomo nomine, et tunc temporis consuli et Chrysaphio cubiculario cognomento Zymbæ ipsi consentientibus persuasit ut imperatorem de iis quæ ad ipsum spectabant, certiorem facerent, a patriarcha male haberi virum pium et justum. Quo facto, Florentius patricius a consulibus et proconsulibus missus est sessurus in Flaviani synodo Eutychemque injuria vexari non permissurus. Secundo igitur statuto examine, magis etiam quam prius malæ doctrinæ convictus est Eutyches et sacerdotio depositus est. Sed Nomus et Chrysaphius, levi imperatoris animo abusis, eum adduxere ut synodum juberet fieri Ephesi et judicari sanctissimum Flavianum cum Eutyche deposito, judicante Dioscoro Alexandriæ cum Eutyche consentiente, præsente et Barsumo presbytero et archimandrita cujusdam in Oriente monasterii, qui ut orthodoxus habebatur vitaque irreprehensibilis, cum tamen alius esset Eutyches quoad hæresim; præesse autem synodo Dioscorum Alexandriæ, Juvenalem Hierosolymæ, Thalassium Cæsareæ, Eusebium Ancyræ in Galatia, Basilium Seleuciæ in Isauria, Eustathium Beryti; omnemque auctoritatem et dominationem Dioscorum habere; adesse et Flavianum Constantinopolis, et Eusebium Doryleæ, nihil eos agere tamen aut dicere, ut non habentes judicantium ordinem sed aliorum exspectantes suffragia, quoniam, inquit, ea quæ ab iis decisa sunt, nunc judicantur.

3. Synodo igitur congregata, ingressus est Flavianus tanquam reus, et sedit quintus; vicarii autem Leontis sanctissimi Romæ Papæ, Julius episcopus et Hilarius diaconus, epistolam ejus dogmaticam ad synodum directam proferentes, ut ea legeretur petiere; Dioscorus id noluit concedere. Eutyche porro introducto, eum Dioscorus interrogavit num synodo Nicænæ et synodo Ephesinæ adhæreret; qui ubi respondit se adhærere, nihil amplius egit de hæresi, sed ita locutus est: Quoniam Eutyches dicit se Nicænæ et Ephesinæ synodo

ἀνεγερθῆναι ἐξήκοντα· εἰ δὲ καὶ ἀληθὴς ὁ λόγος οὗτος, ἀκριβῶς οὐκ ἴσημι. Οὗτος οὖν ὁ δείλαιος Εὐτυχὴς βλασφημῶν ἔλεγεν εἰδέναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο μὲν φύσεων πρὸ τῆς ἑνώσεως, μιᾶς δὲ μετὰ τὴν ἕνωσιν· καὶ τὴν μὲν ἁγίαν Θεοτόκον ὁμοούσιον ἡμῖν ὑπάρχουσαν, τὸν δὲ ἐξ αὐτῆς σαρκωθέντα Θεὸν Λόγον οὐχ ὁμοούσιον ἡμῖν. Σῶμα γάρ, φησι, λέγω τὸ τοῦ Χριστοῦ σῶμα, οὐκέτι δὲ καὶ σῶμα ἀνθρώπου. Τούτῳ φίλος καὶ γνώριμος ὢν Εὐσέβιος ὁ Δορυλαίου ἐπίσκοπος, πολλάκις παρῄνεσε μὴ τοιαῦτα λέγειν ἀλλότρια τῆς ὀρθῆς δόγματα πίστεως· ὁρῶν δὲ ἀμεταθέτως ἔχοντα, Φλαβιανῷ προσήγγειλε τὸ τηνικαῦτα πατριάρχῃ Κωνσταντινουπόλεως.

β'. Οὗ μεταχαλεσαμένου τὸν Εὐτυχέα, καὶ μετὰ τῆς ἐνδημούσης τῶν ἐπισκόπων συνόδου τὸ πρᾶγμα ζητήσαντος, ἰδὼν Εὐτυχὴς καταχρινόμενον ἑαυτὸν, Νόμον τινὰ καλούμενον καὶ ὕπατον ὄντα κατ' ἐκεῖνο καιροῦ, πρὸς δὲ καὶ Χρυσάφιον κουβικουλάριον τὸν ἐπίκλην Τζούμβαν ὡς ὁμόφρονας, ἔπεισε τῷ βασιλεῖ γνωρίσαι τὰ κατ' αὐτὸν, ἀδικεῖσθαι παρὰ τοῦ πατριάρχου λέγοντας ἄνδρα θεοσεβῆ καὶ δίκαιον· οὗ γεγονότος, ἐπετράπη Φλωρέντιος πατρίκιος ἀπὸ ὑπάτων τε καὶ ἐπάρχων συνεδρεῦσαι τῇ κατὰ Φλαβιανὸν συνόδῳ, καὶ μὴ περιδεῖν ἀδικούμενον Εὐτυχέα. Ζητήσεως τοιγαροῦν προδάσης δευτέρας, μᾶλλον ἢ πρότερον Εὐτυχὴς ἠλέγχθη κακοδοξῶν, καὶ αὐτὸν Φλωρέντιον ἐσχηκὼς καταψηφιζόμενον, ἐξέπεσε τῆς ἱερωσύνης. Ἀλλ' οἱ περὶ τὸν Νόμον καὶ τὸν Χρυσάφιον, ἀποχρησάμενοι τῇ τοῦ βασιλέως κουφότητι, κελεῦσαι παρεσκεύασαν αὐτὸν ἐν Ἐφέσῳ γενέσθαι σύνοδον, καὶ κριθῆναι τὸν ἁγιώτατον Φλαβιανὸν μετ' Εὐτυχοῦς τοῦ καθῃρημένου, δικάζοντος Διοσκόρου τοῦ Ἀλεξανδρείας ὁμοδόξου τῷ Εὐτυχεῖ, παρόντος δὲ καὶ Βαρσουμᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τινὸς τῶν κατὰ τὴν Ἑω μοναστηρίου, ὀρθοδόξου μὲν ὑπονοουμένου καὶ ἀνεπιλήπτου τὸν βίον, ἄλλου δὲ τὴν αἵρεσιν Εὐτυχοῦς ὑπάρχοντος· προεδρεύοντας μὲν εἶναι τῆς συνόδου Διόσκορον τὸν Ἀλεξανδρείας, Ἰουβενάλιον τὸν Ἱεροσολύμων, Θαλάσσιον τὸν Καισαρείας, Εὐσέβιον τὸν Ἀγκύρας τῆς Γαλατίας, Βασίλειον τὸν Σελευκείας τῆς Ἰσαυρίας, Εὐστάθιον τὸν Βηρυτοῦ· τὴν δὲ πᾶσαν αὐθεντίαν καὶ κυριότητα τὸν Διόσκορον ἔχειν· παρεῖναι δὲ καὶ Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως, καὶ Εὐσέβιον τὸν Δορυλαίου, ἡσυχάζειν μέντοι καὶ λέγειν μηδὲν, ὡς μὴ δικαστῶν ἐπέχοντας τάξιν, ἀλλὰ τὴν τῶν ἄλλων ἐκδεχομένους ψῆφον, ἐπειδὴ τὰ παρ' αὐτῶν, φησὶ, κεκριμένα νῦν δοκιμάζεται.

γ'. Τῆς συνόδου τοίνυν ἀθροισθείσης, εἰσῆλθε Φλαβιανὸς ὡς κατάκριτος, καὶ ἐκαθέσθη πέμπτος. Οἱ δὲ τοποτηρηταὶ Λέοντος τοῦ ἁγιωτάτου πάπα Ῥώμης, Ἰούλιος ἐπίσκοπος καὶ Ἱλάριος διάκονος, ἐπιστολὴν αὐτοῦ δογματικὴν τῇ συνόδῳ πεμφθεῖσαν προφέροντες, ἠξίουν ἀναγνωσθῆναι ταύτην· ἀλλ' οἱ περὶ Διόσκορον οὐ συνεχώρησαν. Εὐτυχοῦς δ' εἰσαχθέντος, ὁ Διόσκορος ἤρετο τοῦτον εἰ συντίθεται τῇ ἐν Νικαίᾳ συνόδῳ καὶ τῇ ἐν Ἐφέσῳ σὺν ταύτῃ. Τοῦ δὲ εἰπόντος συντίθεσθαι, περὶ τῆς αἱρέσεως οὐδὲν ἐπολυπραγμόνησε πλέον, ἀλλὰ διελαλησε

οὕτως· Ἐπειδὴ Εὐτυχὴς ἀκωλύτως ἔφη τοῖς ἐν Νικαίᾳ καὶ τῇ ἐν Ἐφέσῳ συνόδῳ, ὀρθόδοξον αὐτὸν ἡγούμεθα, καὶ τῆς ἱερωσύνης ἄξιον καὶ τῆς ἀρχῆς καὶ τοῦ ἰδίου μοναστηρίου. Ταῦτα διαλαλήσας παρεσκεύασεν ὑπογράψαι τῇ Εὐτυχοῦς ἀθωώσει πάντας καὶ αὐτὸν Βαρσουμᾶν· εἶτα πάλιν ἐξεφώνησεν· Ἐπειδὴ ἥ τε ἐν Νικαίᾳ σύνοδος καὶ ἡ ἐνταῦθα πρώτη ἐτύπωσαν μηδενὶ ἐξεῖναι πίστιν ἑτέραν ἐκτίθεσθαι, ἢ ζητεῖν, ἢ καινουργεῖν τι, ἢ ὅλως ἀνακινεῖν περὶ τῆς εὐαγοῦς ἡμῶν θρησκείας, φαίνονται δὲ Φλαβιανὸς ὁ Κωνσταντινουπόλεως, καὶ Εὐσέβιος ὁ Δορυλαίου σκανδάλου καὶ ταραχῆς γεγονότος πρόφασις ταῖς Ἐκκλησίαις, ἀλλοτρίους αὐτοὺς παντὸς ἱερατικοῦ καὶ ἐπισκοπικοῦ ἀξιώματος κεκρίκαμεν εἶναι. Ταῦτα ἐκφωνήσας, ἠνάγκασε τοὺς ἐπισκόπους εἰς ἄγραφον ὑπογράψαι χάρτην· καὶ ὕστερον οἷαν ἐβούλετο καθαίρεσιν Φλαβιανοῦ καὶ Εὐσεβίου γράψας, ὑπέγραψεν αὐτήν τε καὶ Βαρσουμᾶς. Φλαβιανοῦ δὲ εἰπόντος πρὸς Διόσκορον ὅτι Παραιτοῦμαί σε, λὰξ ἐκεῖνος ἐνέτεινε κατ' αὐτοῦ, καιρίαν τε παίσας, ἀρχὴν τῷ θανάτῳ παρέσχηκεν. Ἕτεροι δέ φασιν ὅτι Βαρσουμᾶς, αὐτὸν παρειληφὼς ἐπὶ τῷ ὑπερορίσαι πρὸς τὰ τῆς Ἑῴας μέρη, κατὰ τὴν ὁδὸν ἀποσφαγῆναι παρεσκεύασε. Καθεῖλε δὲ Διόσκορος καὶ Θεοδώρητον Κύρου, καὶ Ἴβαν τῆς Ἐδέσσης, καὶ Δόμνον τῆς Ἀντιοχείας, καὶ ἑτέρους τῶν ἀνατολικῶν, πάντας ἀπόντας· ἐχειροτόνησε δὲ ἀντὶ Δόμνου Μάξιμον. Εὐσέβιος δὲ ὁ Δορυλαίου, διαφυγὼν ἐκεῖθεν, εἰς Ῥώμην ἦκε πρὸς Λέοντα τὸν Μέγαν ἐν τοῖς μέρεσι τῆς Ἰταλίας.

A obsequi, orthodoxum eum habemus et sacerdotio propriique monasterii gubernatione dignum esse censemus. Hæc locutus curavit ut omnes et ipse Barsumas ejus innocentiæ subscriberent. Deinde rursus verbum fecit: Quoniam Nicæna synodus et quæ prius Ephesi habita erat definierunt nemini licere aliam fidem exponere aut quærere et innovare quidquam aliud, aut ommino suscitare de nostra sancta religione; videntur autem Flavianus Constantinopolis et Eusebius Doryleæ scandali turbarumque ecclesiis causa fuisse, eos omni sacerdotali et episcopali dignitate dejectos esse judicamus. Postquam sic locutus est coegit episcopos in non scripta charta subscribere; ac deinde qualem voluit Flaviani et Eusebii depositionem scripsit, B cui et subscripsit Barsumas. Cum autem Flavianus dixisset Dioscoro, Recuso te, calce eum ille feriit, quo lethali vulnere principium ejus morti præstitit; alii vero dicunt Barsumam, cum eum assumpsisset in exsilium ad orientales regiones abducturus, in itinere eum trucidari jussisse. Deposuit quoque Dioscorus Theodoretum Cyri et Ibam Edessæ et Domnum Antiochiæ et alios orientales qui omnes aberant. Ordinavit autem pro Domno Maximum. Eusebius autem Doryleæ, inde fugiens Romam venit ad Leonem in Italicis regionibus maximum.

δ'. Ἀλλ' ἐν τοσούτῳ λιπόντος Θεοδοσίου τὸν βίον, Μαρκιανός τε καὶ Πουλχερία πρὸς Λέοντα τὸν ἱερώτατον ἔγραψαν· καὶ ἤρεσεν ἀθροισθῆναι τὴν σύνοδον ἐν Κωνσταντινουπόλει. Τοίνυν καὶ συνῆλθον ἐν τῷ κατὰ τὴν Χαλκηδόνα σεπτῷ ναῷ τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐκ μὲν τῶν ἐνδοξοτάτων ἀρχόντων Ἀνατόλιος πατρίκιος ἀπὸ ὑπάτων καὶ στρατηλάτης, Παλλάδιος ἔπαρχος πραιτωρίων, Τατιανὸς ἔπαρχος πόλεως, Βιγκόμαλλος μάγιστρος τῶν θείων ὀφφικίων, Μαρτιάλιος μάγιστρος, Σποράδιος κόμης τῶν δομεστίκων, καὶ Γενέθλιος κόμης πριβάτων· ἐκ δὲ τῶν ἐνδόξων συγκλητικῶν Φλωρέντιος πατρίκιος ἀπὸ ἐπάρχων καὶ ὑπάτων, σενάτωρ ἀπὸ ὑπάτων καὶ πατρικίων, Πρωτογένης ἀπὸ ἐπάρχων πόλεως, Ἀπολλώνιος ἀπὸ ἐπάρχων, Ῥωμανὸς ἀπὸ πραιποσίτων, καὶ Ὀλύγιος ἀπὸ ἐπάρχων Ἰλλυρικοῦ. Τούτων οὖν τῶν ἀρχόντων καὶ τῶν συγκλητικῶν καθεσθέντων ἐν τῷ μέσῳ πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου ἐκ μὲν τοῦ εὐωνύμου μέρους ἐκάθισαν οἱ τοποτηρηταὶ τοῦ Ῥώμης, καὶ Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως, καὶ Μάξιμος ὁ Ἀντιοχείας, καὶ Θαλάσσιος ὁ Καισαρείας, καὶ Στέφανος ὁ Ἐφέσου, καὶ οἱ λοιποὶ τῆς ἀνατολικῆς καὶ Ποντικῆς καὶ Ἀσιανῆς καὶ Θρᾳκικῆς διοικήσεως ἄνευ τῶν Παλαιστίνων· ἐκ δὲ τῶν δεξιῶν Διόσκορος ὁ Ἀλεξανδρείας, καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων, Κύντυλλος ὁ τοποτηρῶν Ἀναστασίῳ τῷ Θεσσαλονίκης, Πέτρος ὁ Κορίνθου, καὶ οἱ λοιποὶ τῆς Αἰγυπτιακῆς καὶ τοῦ Ἰλλυρικοῦ καὶ τῆς Παλαιστίνης. Ἦσαν δὲ τοποτηρηταὶ τοῦ Ῥώμης Πασχασῖνος καὶ Λουκέντιος ἐπίσκοποι, καὶ Βονιφάτιος πρεσβύτερος.

4. Hoc autem tempore cum Theodosius ex hac vita migrasset, Marcianus et Pulcheria ad sanctissimum Leonem scripsere; et jussit synodum Con- C stantinopolim convocari. Tunc igitur Chalcedonem in venerandum sanctæ martyris Euphemiæ templum convenere ex illustrissimis quidem præfectis Anatolius patricius e consulibus et exercitus dux, Palladius prætorii præfectus, Tatianus urbis præfectus, Vicomallus divinorum officiorum magister, Martialis magister, Sporadius domesticorum comes, et Genethlius privatorum comes; ex illustribus autem senatoribus Florentius patricius ex præfectis et consulibus, senator ex consulibus et patriciis, Protogenes ex urbis præfectis, Apollonius e præfectis, Romanus e præpositis, et Olygius ex Illyrici præfectis. His igitur præfectis et senatoribus in D medio ante sacri altaris cancellos, a sinistris quidem sederunt Romani papæ vicarii, et Anatolius Constantinopolis et Maximus Antiochiæ et Thalassius Cæsareæ et Stephanus Ephesi, cæterique orientalis et Ponticæ et Asiaticæ et Thracicæ diœcesis, absque Palæstinis: a dextris vero Dioscorus Alexandriæ, Juvenalis Hierosolymæ, Cyntillus Anastasii Thessalonicæ vicarius, Petrus Corinthi cæterique ex Ægypto et Illyrico et Palæstina. Vicarii autem Romani papæ erant Paschasinus et Lucinius episcopi, et Bonifacius presbyter. Aderat et Theodoretus Cyri. Hic enim ut Nestorianus habitus eo quod contra duodecim beati Cyrilli capita scripsisset, a Dioscoro depositus est; cum autem Leonem Romæ papam adiisset et propriam fidem enuntiasset, or-

theodoxus agnitus est ; cumque ab eo litteras ad imperatorem Theodosium retulisset, episcopatum recepit ; jussus est autem huic soli vacare. Sub Marciano vero preces obtulit eos accusans qui non recte eum ut heterodoxum excommunicaverant.

A Παρῆν δὲ καὶ Θεοδώρητος ὁ Κύρου· οὗτος γὰρ, ὡς Νεστοριανὸς λογιζόμενος διὰ τὸ γράψαι κατὰ τῶν τοῦ ἁγίου Κυρίλλου ιβ' κεφαλαίων, καθῃρέθη παρὰ Διοσκόρου· προσελθὼν δὲ Λέοντι τῷ πάπᾳ Ῥώμης, καὶ τὴν ἰδίαν ἀπαγγείλας πίστιν, ἐπεγνώσθη ὀρθόδοξος· καὶ γράμματα κομισάμενος ἐκείνου πρὸς τὸν βασιλέα Θεοδόσιον, ἀπέλαβε τὴν ἐπισκοπήν· ἐκελεύσθη δὲ μόνῃ ταύτῃ σχολάζειν· ἐπὶ δὲ Μαρκιανοῦ δεήσεις ἐπιδέδωκε κατηγορῶν τῶν οὐκ εὐλόγως αὐτὸν ἀποκηρυξάντων ὡς ἑτερόδοξον.

5. Omnibus igitur, ut dictum est, congregatis, Romani papæ vicarii, præloquentes, censuerunt synodo non considere debere Dioscorum. Cum autem præfecti dixissent non oportere illum, antequam condemnaretur, a sessione expelli, Eusebius Dorylææ illum accusaturus assurgit ; atque ita præfectis jubentibus, in medio constitutus est Dioscorus. Et flagitante Eusebio ut sua contra Dioscorum petitio regi tradita legeretur, præfecti censuerunt illum in medio statuendum, petitionemque legendam; quæ exponebat quomodo non canonice deposuisset Flavianum Dioscorus et cæteros orthodoxos, innocentem autem declaravisset hæreticum Eutychem. Deinde recitatæ sunt quæ ab imperatore Theodosio ad Dioscorum missæ fuerant, litteræ. Et cum mentionem facerent, de Theodoreto, statuentes ipsi non ad secundam Ephesi habitam synodum eundum esse, nisi omnibus convenientibus episcopis placeret, dixerunt præfecti : Ingrediatur et Theodoretus consessurus cum synodo, quoniam restituit illi episcopatum sanctissimus Leo.

ε'. Πάντων οὖν, ὡς εἴρηται, συναθροισθέντων, οἱ τοποτηρηταὶ Ῥώμης, προλογίσαντες, ἠξίουν μὴ συνεδριάσαι τῇ συνόδῳ Διόσκορον. Τῶν δὲ ἀρχόντων εἰπόντων ὡς οὐ δεῖ αὐτὸν πρὸ καταδίκης ἐξωθεῖσθαι τοῦ συνεδρίου, Εὐσέβιος ὁ Δορυλαίου κατηγορήσων αὐτοῦ ἀνέστη· καὶ οὕτω κελευσάντων τῶν ἀρχόντων, ἐκαθέσθη Διόσκορος ἐν τῷ μέσῳ· καὶ τοῦ Εὐσεβίου αἰτήσαντος ἀναγνωσθῆναι τὴν παρ' αὐτοῦ B δοθεῖσαν τῷ βασιλεῖ κατὰ Διοσκόρου δέησιν, οἱ ἄρχοντες προσέταξαν αὐτὸν μὲν ἐν τῷ μέσῳ καθεσθῆναι, τὴν δέησιν δὲ ἀναγνωσθῆναι· ἧς διαλαμβανούσης ὡς οὐ κανονικῶς καθεῖλε Διόσκορος Φλαβιανὸν καὶ τοὺς λοιποὺς ὀρθοδόξους, ἠθώωσε δὲ τὸν αἱρετικὸν Εὐτυχέα, καθεξῆς ἀνεγνώσθη καὶ τὸ παρὰ τοῦ βασιλέως Θεοδοσίου πεμφθὲν πρὸς Διόσκορον γράμμα· καὶ ἐπεὶ πρὸς τοῖς ἄλλοις ἐμέμνητο καὶ Θεοδωρήτου, διαλαμβάνον μὴ ἐλθεῖν αὐτὸν εἰς τὴν ἐν Ἐφέσῳ δευτέραν σύνοδον, ἐὰν μὴ πᾶσι δόξῃ τοῖς συνελθοῦσιν, οἱ ἄρχοντες εἶπον, Εἰσίτω καὶ Θεοδώρητος κοινωνήσων τῇ συνόδῳ, ἐπεὶ καὶ ἀποκατέστησεν αὐτῷ τὴν ἐπισκοπὴν ὁ ἁγιώτατος Λέων· καὶ ὁ θειότατος βασιλεὺς παρεῖναι τοῦτον ἐκέλευσεν.

6. Repugnantibus autem Dioscoro et ejus fautoribus, præsides inter se collocuti sunt permiseruntque ut ingrederetur tantum ut accusator et statueretur in medio. Accusatus igitur est Dioscorus a Romani papæ vicariis, et Eusebio Dorylææ episcopo, quod sanctissimi papæ Leonis epistolam non legisset, cum septies eam se lecturum jurasset. Et inde damnatur. ut perjurus ; et quod sanctum Flavianum statim ut damnatum retulisset, neque ut se defenderet permisisset, sed non dicta causa eum deposuisset. Dioscorus vero de his apologiam præstans, dixit : Non mihi soli judicium reliquit imperator, sed et Juvenali et Thalassio et cæteris, nostræque sententiæ universa synodus consensit. Orientales vero episcopi exclamavere : Nemo consensit, vis adhibita est, depositionem nobis minati sunt, nobis instabant cum baculis et gladiis milites, et ictibus pressi in charta non scripta subscripsimus.

C ς'. Ἐνισταμένου δὲ Διοσκόρου καὶ τῶν σὺν αὐτῷ, οἱ ἄρχοντες διελάλησαν εἰσελθεῖν τέως αὐτὸν ἐν τάξει κατηγόρου, καὶ καθεσθῆναι εἰς τὸ μέσον. Κατηγορεῖτο τοίνυν ὁ Διόσκορος παρά τε τῶν τοῦ Ῥώμης τοποτηρητῶν, καὶ Εὐσεβίου τοῦ ἐπισκόπου Δορυλαίου, ὅτι, τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου πάπα Λέοντος ἑπτάκις ἐπὶ πάντων ὁμόσας ἀναγινώσκειν, οὐκ ἀνέγνω· καὶ ἐντεῦθεν κρίνεται ὡς ἐπίορκος· καὶ ὅτι τὸν ἐν ἁγίοις Φλαβιανὸν, ὡς κατάκριτον εὐθὺς εἰσήγαγε, καὶ οὐδ' ἀπολογίας ἠξίωσεν, ἀλλ' ἀκρίτως οὕτω καθεῖλεν αὐτόν. Ὁ δὲ Διόσκορος ἀπολογούμενος ἐπὶ τούτοις ἔλεγεν· Οὐκ ἐμοὶ μόνῳ τὴν κρίσιν ὁ βασιλεὺς ἐπέτρεψεν, ἀλλὰ καὶ Ἰουβεναλίῳ καὶ Θαλασσίῳ καὶ τοῖς λοιποῖς, καὶ ἐπὶ τοῖς D κεκριμένοις πᾶσα συνῆνεσεν ἡ σύνοδος· οἱ δὲ ἀνατολικοὶ ἐπίσκοποι ἐξεβόησαν· Οὐ τὶς συνῆνεσε, βία ἐγένετο, καθαίρεσις ἡμῖν ἠπειλήθη, στρατιῶται μετὰ βάκλων καὶ ξιφῶν ἐφίσταντο, καὶ μετὰ πληγῶν εἰς ἄγραφον χάρτην ὑπεγράψαμεν.

7. Cum Basilius Seleuciæ vehementius Dioscorum reprehenderet, et recte contra Eutychem opinaretur, illum interrogaverunt præsides : quare nunc recte opinans, depositioni Flaviani subscripsisti ? Ille autem vim a Dioscoro adhibitam prætendit. Cum autem hic dixisset : Non oportebat te homines reformidare ita ut reprehensionem incurreres et caderes ; respondit : Si ante præsides stetissem, protestatus essem ; a te autem judicatus, ut a patre justo, non ausus sum. *Filius enim*, inquit, *a pa-*

ζ'. Βασιλείου δὲ τοῦ Σελευκείας σφοδρότερον ἐλέγχοντος Διόσκορον, καὶ ὀρθῶς κατὰ Εὐτυχοῦς δογματίζοντος, ἠρώτησαν αὐτὸν οἱ ἄρχοντες· Διὰ τί, νῦν ὀρθῶς δοξάζων, ὑπέγραψας τότε τῇ καθαιρέσει Φλαβιανοῦ; Ὁ δὲ τὴν ἐκ Διοσκόρου προσβάλετο βίαν. Ἐκείνου δὲ εἰπόντος, Οὐκ ἔδει σε ἀνθρώπους ἐντραπῆναι εἰς κατάγνωσιν καὶ εἰς πτῶσίν σου, ἀπεκρίνετο· Εἰ πρὸς ἄρχοντας εἶχον, ἐμαρτύρησα ἄν· παρὰ σοῦ δὲ κρινόμενος, ὡς παρὰ πατρὸς δικαίου, οὐκ ἐχρώμην· *Παῖς* γὰρ, φησὶ, *πατρὶ δίκαια*

λέγων τεθνάτω. Εὐσεβίου δὲ τοῦ Δορυλαίου λέγοντος ὅτι, Φλαβιανοῦ τοῦ καθελόντος Εὐτυχῆ κρινομένου, ἐγὼ ὁ κατηγορῶν Εὐτυχοῦς εἰσελθεῖν οὐ συνεχωρήθην· καὶ τῶν ἀρχόντων αἰτιωμένων Διόσκορον ὡς τῶν κανόνων παραβάτην, αὐτὸς ἔφη· Καὶ ὑμεῖς παραβαίνετε, Θεοδώρητον ἀφέντες εἰσελθεῖν εἰς τὴν σύνοδον. Οἱ δὲ εἶπον· Κατηγορήσων ὑμῶν εἰσελήλυθεν· ὁ δὲ, Καὶ διὰ τί, ἔφη, καθέζεται ὡς ἐπίσκοπος; Οἱ δὲ ἄρχοντες, Καλῶς, ἔφησαν, ὡς Εὐσέβιος καὶ Θεοδώρητος ἐν τάξει κατηγόρων καθέζονται, διότι καὶ ὑμεῖς ἐν τάξει κατηγορουμένων ὄντες καθέζεσθε.

A *tre justa reposcens, moriatur.* Eusebius vero Doryleæ dixit sibi, dum judicaretur Flavianus qui Eutychem deposuerat, non licuisse ut Eutychis accusatori in synodum intrare. Et præsidibus Dioscorum ut canonum transgressorem arguentibus : Et vos, inquit, canones transgredimini, Theodoretum sinentes in synodum intrare. Qui dixere, Vos accusaturus introivit : Et quare, inquit, sedet ut episcopus? Et præsides : Bene, inquiunt, Eusebius et Theodoretus in accusantium ordine sedent eo quod et vos in reorum ordine sedetis.

η'. Πάντων δὲ ἐπὶ τούτοις ἀναγνωσθέντων τῶν τε ἐν Κωνσταντινουπόλει παρὰ Φλαβιανοῦ πεπραγμένων εἰς τὴν Εὐτυχοῦς καθαίρεσιν, καὶ τῶν ἐν Ἐφέσῳ τὸ δεύτερον παρὰ Διοσκόρου πραχθέντων ἐπὶ τῇ Φλαβιανοῦ καθαιρέσει, ζητουμένης τε τῆς ὀρθῆς καὶ ἀληθοῦς δόξης, καὶ Φλαβιανοῦ μὲν εὑρεθέντος ὅτι ἐκ δύο φύσεων καὶ δύο φύσεις ἔλεγε τὸν Χριστὸν, Διοσκόρου δὲ φάσκοντος ὅτι Τὸ ἐκ δύο δέχομαι, τὸ δύο οὐ δέχομαι· μετὰ τὴν ἕνωσιν δύο φύσεις οὐκ εἰσίν· οἱ ἄρχοντες καὶ ἡ σύγκλητος εἶπον· Περὶ μὲν τῆς ὀρθῆς πίστεως ἀκριβεστέραν ἐξέτασιν τῇ ὑστεραίᾳ δεῖν γενέσθαι συνορῶμεν· ἐπεὶ δὲ Φλαβιανὸς καὶ Εὐσέβιος ἔκ τε τῆς τῶν πεπραγμένων ἀναγνώσεως καὶ τῆς φωνῆς τινῶν ἐξάρχων τῆς καθαιρέσεως αὐτῶν δείκνυνται μηδὲν περὶ τὴν πίστιν σφαλέντες, ἀλλὰ μάτην καθαιρεθέντες, φαίνεται ἡμῖν κατὰ τὸ Θεῷ ἀρέσκον δίκαιον εἶναι, εἰ παρασταίημεν τῷ θειοτάτῳ ἡμῶν βασιλεῖ Διόσκορον τὸν Ἀλεξανδρείας, καὶ Ἰουβεναλίων τὸν Ἱεροσολύμων, καὶ Θαλάσσιον τὸν Καισαρείας, καὶ Εὐσέβιον τὸν Ἀγκύρας, καὶ Εὐστάθιον τὸν Βηρυτοῦ, καὶ Βασίλειον τὸν Σελευκείας, τοὺς ἐξάρχοντας τῆς τότε συνόδου τῷ αὐτῷ ἐπιτιμίῳ ὑποπεσεῖν, καὶ τοῦ ἐπισκοπικοῦ ἀξιώματος ἀλλοτριωθῆναι· Λέγιμους, λέγιμους, τουτέστιν ἀνέγνωμεν. Ἴστέον γὰρ ὅτι διαλαλιᾶς οἵας δήποτε γινομένης ὑπὸ τῶν ἀρχόντων, καὶ παρὰ τῶν ὑπηρετουμένων νοταρίων ἀπογραφομένης, ὑπέγραφέ τις αὐτῶν τὸ *ἀνέγνωμεν* πρὸς τὸ εἶναι βεβαίαν τὴν διαλαλιὰν, καὶ μηδεμίαν ἐμπίπτειν ὑπόνοιαν, ὡς ἐκακουργήθη τι παρὰ τῶν ὑπογραφέων. Καὶ τὰ μὲν τῆς πρώτης πράξεως; τοιοῦτον ἔσχε τὸ τέλος.

8. Postquam deinde lecta sunt quæ Constantinopoli a Flaviano in Eutychis depositionem facta fuerant, et quæ Ephesi rursus a Dioscoro ad Flaviani depositionem acta fuerant, cumque recta et B vera opinio quæreretur, et Flavianus dixisse reperiretur Christum ex duabus naturis et duas naturas esse, Dioscorus vero diceret se ex duabus naturis recipere, non autem duas naturas; duas naturas post unionem non esse, præsides et concilium dixere : De recta fide accuratius examen postera die fieri oportere intelligimus; cum autem Flavianus et Eusebius ex eorum quæ ab iis acta sunt lectione, et quorumdam eorum depositionis auctorum voce, non in fide erravisse exhibeantur, sed absque causa depositi sint, nobis videtur juxta Dei beneplacitum justum esse, si divinissimum imperatorem certiorem fecerimus Dioscorum Alexandriæ, Juvenalem Hierosolymæ, C et Thalassium Cæsareæ, et Eusebium Ancyræ, et Eustathium Berytl, et Basilium Seleuciæ, illius synodi auctores eidem pœnæ subjectos fuisse et a dignitate episcopali decidisse : Legimus, legimus. Sriendum enim est præsidum quemdam, ubi tandem sententia ab ipsis pronuntiata esset et a ministrantibus notariis transcripta, subscribere solitos esse illud : *legimus*, ut firma esset sententia, neque quævis suspicio assurgeret quidquam ab amanuensibus adulteratum fuisse. Et talem quidem finem habuit prima actio.

Sequuntur in codice reliquarum actionum synodi summaria, quæ nos prætermittimus.

θ'. Χρεὼν δὲ εἰδέναι ὡς, τῆς ἁγίας ταύτης συνόδου καθαιρέσει Διόσκορον ὑποβαλούσης τὸν γενόμενον Ἀλεξανδρείας ἐπίσκοπον, οἱ τούτου ἀντιλαμβανόμενοι τῆς καθολικῆς Ἐκκλησίας ἀπέστησαν, καὶ *διακρινομένους* ὠνόμασαν ἑαυτοὺς ἐκ τοῦ μὴ συντίθεσθαι τοῖς δογματισθεῖσι παρὰ τῶν ἐν Χαλκηδόνι συνελθόντων Πατέρων, καὶ εἰς δώδεκα διῃρέθησαν τμήματα (1), ὧν οἱ μὲν Εὐτυχιανισταὶ λεγόμενοι Εὐτυχέα καὶ Διόσκορον δέχονται, οἱ καὶ λέγουσι τὸν Δεσπότην Χριστὸν ὁμοούσιον μὲν τῷ Πατρὶ, οὐκέτι δὲ καὶ ἡμῖν, διὰ τὸ μὴ κατατίθεσθαι

D 9. Scire oportet, Dioscori fautores, postquam hæc sancta synodus eum Alexandriæ factum episcopum deposuit, a catholica Ecclesia excessisse et seipsos *disceptantes* nominavisse ex eo quod iis quæ a Patribus Chalcedone congregatis decretaverant, non adhæsere, et in duodecim sectas divisos esse; quorum quidem ii qui Euthychiani dicuntur, Eutychem et Dioscorum accipiunt, qui et Dominum Christum Patri consubstantialem dicunt, non autem nobis, quia non credunt servari in Christo humanæ naturæ veritatem; qui autem vo-

(1) Animadverte duodecim sectas hæreticorum dissidentium a concilio Chalcedonensi. Fuit enim illud Orientalium schismatum fatale tempus. Vi desis etiam Ebediesum de ver. ch. rel. a nobis editum Coll. Vat. t. X, lib. III, 4.

cantur acephali non receperunt enoticum Zenonis imperatoris, quia in illo non anathematizatur Chalcedonensis synodus. Acephali autem vocati sunt, eo quod non haberent episcopos. Unde apud ipsos deficientibus episcopis, non faciunt baptisma juxta ecclesiasticum canonem, sed sanctæ Epiphaniæ festo aquas hauriunt, easque reservantes in iis baptizant; sed neque collationem faciunt: communionem vero habentes ex pristinis temporibus custoditam, ex ea per festum Paschæ tenuissimas partes convenientibus porrigunt.

A αὐτοὺς σώζεσθαι ἐν Χριστῷ τὴν ἀλήθειαν τῆς ἀνθρωπίνης φύσεως· οἱ δὲ καλούμενοι Ἀκέφαλοι οὐκ ἐδέξαντο τὸ ἑνωτικὸν τοῦ βασιλέως Ζήνωνος, διὰ τὸ μὴ ἀναθεματισθῆναι ἐν αὐτῷ τὴν ἐν Χαλκηδόνι σύνοδον. Ἀκέφαλοι δὲ ἐκλήθησαν ἐκ τοῦ μὴ ἔχειν ἐπισκόπους· ὅθεν, ἐκλειπόντων τῶν παρ' αὐτοῖς ἱερέων, οὐδὲ βάπτισμα ποιοῦσι κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, ἀλλ' ἐν τῇ ἑορτῇ τῶν ἁγίων Θεοφανίων ἀρύονται ὕδατα, καὶ ταῦτα φυλάττοντες, βαπτίζουσιν ἐν αὐτοῖς· ἀλλ' οὐδὲ προσκομιδὴν ποιοῦσιν· ἔχοντες δὲ κοινωνίαν ἐκ παλαιτέρων χρόνων πεφυλαγμένην, ἐξ αὐτῆς κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα σμικροτάτας μερίδας τοῖς συνιοῦσι διδόασιν.

10. Alii Julianistæ, aut Cainitæ dicuntur qui Domini Christi corpus creatum quidem dicunt, incorruptibile autem ex ipsa incorruptibili assumptione. Alii autem dicunt ex illa assumptione non modo incorruptibile esse, sed et increatum; utrique Julianistæ appellati sunt ex Juliano quodam Halicarnasseo hujus doctrinæ auctore; Cainitæ a Caino eorum papa Alexandriæ facto, et Juliani successore ejusque dogmatum fautore; quos sui adversarii Phantasiastas et Manichæos vocant. Hi vero adversarios suos Phtartolatras (corruptionis cultores) et Ctenolatras (interfecti cultores) nominant; Severiani et Agnoetæ, qui dicunt Deum Verbum omnia noscere, unitam vero ipsi personaliter humanitatem multa ignorare; qui quidem ex sua doctrina Agnoetæ ab adversariis nominati sunt; sunt autem et Severiani, Contobabditæ, qui dicunt unum Deum numero esse, non autem per omnia simili æqualitate et eumdem Patrem et Filium et Spiritum sanctum dicentes, qui Contobabditæ nominati sunt a suis adversariis, quia in iis Constantinopolis partibus quæ Contobabdon dicebatur detestandum quoddam conclave habebant eoque ii qui talia sentiebant, solebant convenire. Qui vero dicebantur Contobabditæ et qui vocabantur Agnoetæ, prius quidem vocabantur Theodosiani ut Theodosium Alexandriæ episcopum recipientes. Anathemate autem ab illo percussi, Agnoetæ quidem propter ignorantiæ doctrinam, Contobabditæque eo quod non reciperent de sancta Trinitate doctrinam ab ipso repositam, deinceps non jam Theodosiani vocantur a suis adversariis, ex quo non recipiunt Theodosium, ut dictum est. Sed alii ex doctrina sua Agnoetæ, alii eo loco Contobabditæ. Et concordant quidem in suis de Patre et Filio et Spiritu sancto sermone ut unam doctrinam tenentes, discrepant vero, per ignorantiæ doctrinam. Severumque recipiunt utrique, Antiochiæ factum episcopum, quapropter et Severitæ nominati sunt.

B ι'. Ἄλλοι Ἰουλιανισταὶ, ἤγουν Γαϊανῖται, λέγονται, οἵτινες τὸ σῶμα τοῦ Δεσπότου Χριστοῦ λέγουσι κτιστὸν μὲν, ἄφθαρτον δὲ ἐξ αὐτῆς τῆς ἀφθόρου συλλήψεως· ἕτεροι οἱ λέγοντες τὸ σῶμα τοῦ Χριστοῦ οὐ μόνον ἄφθαρτον ἐξ αὐτῆς συλλήψεως, ἀλλὰ καὶ ἄκτιστον· ἑκάτεροι δὲ Ἰουλιανισταὶ ἐκλήθησαν ἀπὸ Ἰουλιανοῦ τινος Ἁλικαρνασέως κατάρξαντος τοῦ δόγματος αὐτῶν· Γαϊανῖται δὲ ἀπὸ Γαϊανοῦ τοῦ γενομένου αὐτῶν πάπα ἐν Ἀλεξανδρείᾳ, καὶ διαδεξαμένου Ἰουλιανὸν, καὶ τὰ δόγματα αὐτοῦ· οὓς οἱ ἐναντίοι αὐτῶν Φαντασιαστὰς καὶ Μανιχαίους καλοῦσι· καὶ οὗτοι δὲ τοὺς ἐναντίους αὐτῶν φθαρτολάτρας καὶ κτηνολάτρας ὀνομάζουσι· Σεβηρῖται δὲ οἱ καὶ Ἀγνοῆται, οἱ λέγοντες μὲν τὸν Θεὸν Λόγον πάντα γινώσκειν, τὴν δὲ ἡνωμένην αὐτῷ καθ' ὑπόστασιν ἀνθρωπότητα πολλὰ ἀγνοεῖν· οἵτινες ἀπὸ τοῦ δόγματος Ἀγνοῆται ὠνομάσθησαν ὑπὸ τῶν ἐναντίων αὐτοῖς· ἕτεροι δὲ Σεβηρῖται, οἱ καὶ Κοντοβαβδῖται, οἱ λέγοντες ἕνα Θεὸν εἶναι τῷ ἀριθμῷ, καὶ οὐχὶ τῇ ἀπαραλλάκτῳ ἰσότητι, καὶ τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα φάσκοντες, οἵτινες Κοντοβαβδῖται ὠνομάσθησαν ὑπὸ τῶν ἐναντίων αὐτῶν, διὰ τὸ ἐν τοῖς λεγομένοις Κοντοβάβδου ἐν Κωνσταντινουπόλει ἔχειν τι μυσαρὸν συναχτήριον, κἀκεῖ συνάγεσθαι τοὺς τὰ τοιαῦτα φρονοῦντας. Οὗτοι δὲ οἱ λεγόμενοι Κοντοβαβδῖται, οἱ καὶ καλούμενοι Ἀγνοῆται, πρῶτον μὲν ἐκαλοῦντο Θεοδοσιανοὶ, ὡς Θεοδόσιον δεχόμενοι τὸν γενόμενον πάπαν Ἀλεξανδρείας· ἀναθεματισθέντες δὲ παρ' αὐτοῦ οἱ μὲν Ἀγνοῆται διὰ τὸ δόγμα τῆς ἀγνοίας, οἱ δὲ Κοντοβαβδῖται διὰ τὸ μὴ δέξασθαι τὸν περὶ τῆς ἁγίας Τριάδος Λόγον τὸν ὑπ' αὐτοῦ ἐκτεθέντα, λοιπὸν οὐκέτι Θεοδοσιανοὶ καλοῦνται ὑπὸ τῶν ἐναντίων αὐτῶν, ἐπειδὴ οὐ δέχονται ἔτι Θεόδοσιον, ὡς εἴρηται, ἀλλ' οἱ μὲν ἐκ τοῦ δόγματος Ἀγνοῆται, οἱ δὲ ἐκ τοῦ τόπου, Κοντοβαβδῖται· καὶ συμφωνοῦσι μὲν ἀλλήλοις· ἑκάτεροι εἰς τὸν περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος λόγον, ὡς ἓν δόγμα ἔχοντες, διαφωνοῦσι δὲ εἰς τὸ περὶ τῆς ἀγνοίας δόγμα· Σεβῆρον δὲ δέχονται δὲ ἑκάτεροι τὸν γενόμενον Ἀντιοχείας ἐπίσκοπον· διὸ καὶ Σεβηρῖται ὠνομάσθησαν

11. Alii Severitæ, Theodosiani et Paulianistæ, qui prædictos Severum et Theodosianum accipiunt et cum illis Paulum Melanum cognomine qui in sua de Patre et Filio et Spiritu sancto doctrina cum Contobabditis consentirent, discrepant autem

ια'. Ἄλλοι Σεβηρῖται, οἱ καὶ Θεοδοσιανοὶ καὶ Παυλιανισταὶ, οἱ δεχόμενοι Σεβῆρον καὶ Θεόδοσον τοὺς εἰρημένους, καὶ σὺν αὐτοῖς Παῦλον τὸν ἐπίκλην Μελανὸν, οἵτινες ἐν μὲν τῷ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος δόγματι συμφωνοῦσι τοῖς

Κοντοβαβδίτας, διαφωνοῦσι δὲ πρὸς ἐκείνους ἐν τῷ τοὺς μὲν δέχεσθαι Θεοδόσιον καὶ Παῦλον εἰς ἐπισκόπους, τοὺς δὲ Κοντοβαβδίτας ἀμφοτέρους ἀποβάλλεσθαι· ἄλλοι Σεβηρῖται, οἱ καὶ Θεοδοσιανοὶ καὶ Ἀγγελῖται, καὶ Δαμιανισταὶ, οἱ δεχόμενοι Σεβῆρον καὶ Θεοδόσιον τοὺς μνημονευθέντας, καὶ Δαμιανὸν σὺν αὐτοῖς, οἵτινες λέγουσιν ἄλλον μὲν εἶναι τὸν Πατέρα, καὶ ἄλλον τὸν Υἱὸν, καὶ ἄλλον τὸ Παράκλητον Πνεῦμα καὶ ἅγιον, μὴ εἶναι δὲ τούτων ἕκαστον καθ' ἑαυτοὺς φύσιν, ἀλλ' ἔχειν κοινὸν Θεὸν, ἤγουν θεότητα ἐνύπαρχτον, καὶ ταύτης μετέχοντας ἀμερίστως, εἶναι Θεὸν ἕκαστον· καλοῦσι δὲ τὸν μὲν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα μίαν ὑπόστασιν, τὸν δὲ κοινὸν αὐτῶν Θεὸν οὐσίαν καὶ φύσιν· Ἀγγελῖται δὲ ἐκλήθησαν ὑπὸ τῶν ἐναντίων αὐτῶν ἔκ τινος τόπου οὕτω καλουμένου ἐν Ἀλεξανδρείᾳ, ἐν ᾧ συναχτήριον ἔχοντες οἱ τὰ πρῶτα ἐν αὐτοῖς φέροντες συνάγονται· καλοῦσι δὲ αὐτοὺς οἱ ἐναντίοι αὐτῶν Σαβελλιανιστὰς καὶ Τετραδίτας· οἱ αὐτοὶ δὲ καὶ Δαμιανισταὶ ὠνομάσθησαν ἀπὸ Δαμιανοῦ ἐπισκόπου αὐτῶν. Οὗτοι πρότερον μὲν ἐδέχοντο τὸν μνημονευθέντα Παῦλον εἰς ἐπίσκοπον, ὕστερον δὲ τοῦτον ἀπεβάλοντο, διὰ τὸ κοινωνῆσαι αὐτὸν τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ δέξασθαι τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον.

ιβ'. Ἄλλοι Σεβηρῖται, ἤγουν Θεοδοσιανοὶ, οἱ καὶ Πετρῖται, οἱ δεχόμενοι τὸν ἔσχατον Πέτρον εἰς ἐπίσκοπον, οἵτινες, δεχόμενοι Θεοδόσιον καὶ Σεβῆρον καὶ Πέτρον, Δαμιανὸν οὐ προσδέχονται, οὐδὲ Παῦλον, αἰτιώμενοι τὰ δόγματα ἑκατέρων· ὁμολογοῦσι γὰρ Θεὸν κατὰ ἀλήθειαν, καὶ οὐσίαν, καὶ φύσιν, ἕκαστον καθ' ἑαυτὸν, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα λέγοντες, οὐκ ἀριθμῷ, ἀλλὰ τῇ ἀπαραλλάκτῳ οὐσιότητι· οὓς οἱ Ἀγγελιανῖται (*ita cod.*) καὶ οἱ Παυλιανισταὶ Τριθεῖτας ὀνομάζουσι· καὶ οὗτοι πάλιν ἐκείνους ποτὲ μὲν Σαβελλιανιστὰς, ποτὲ δὲ Τετραδίτας· ἄλλοι Σεβηρῖται, ἤγουν Θεοδοσιανοὶ, οἱ καὶ Κονωνῖται, οἱ δεχόμενοι Θεοδόσιον καὶ Σεβῆρον, καὶ σὺν αὐτοῖς Κόνωνα ἐπίσκοπον· οἵτινες καὶ αὐτοὶ ὁμολογοῦσι Θεὸν εἶναι κατὰ ἀλήθειαν, καὶ φύσιν, καὶ οὐσίαν ἕκαστον, τὸν Πατέρα λέγοντες καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἔτι γε μὴν φασι καὶ τρεῖς ὑποστάσεις τὴν ἁγίαν Τριάδα, καὶ τρία πρόσωπα· τρεῖς δέ τινας τῷ ἀριθμῷ οὐσίας καὶ φύσεις ἴσας ἀπαραλλάκτους κατὰ τὴν θεότητα λέγοντες· μίαν τε οὐσίαν, ἤγουν φύσιν, καὶ μίαν θεότητα, ἤγουν Θεὸν, τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα ὁμολογοῦντες, οὐκ ἀριθμῷ, ἀλλὰ τῇ ἀπαραλλάκτῳ θεότητι, πρὸς θεοὺς ἢ θεότητας λέγειν παραιτοῦνται.

ιγ'. Καὶ οὗτοι δὲ Σεβῆρον καὶ Θεοδόσιον δεχόμενοι, οὔτε Δαμιανὸν, οὔτε Παῦλον, οὔτε τὸν ἔσχατον Πέτρον δέχονται. Καλοῦσι δὲ καὶ τούτους οἱ ἐκ Δαμιανοῦ καὶ Παύλου Τριθεῖτας, καὶ οὗτοι δὲ ἐκείνους ὁμάζουσι ποτὲ μὲν Σαβελλιανοὺς καὶ Ἀρτεμωνιστὰς, ποτὲ δὲ Τετραδίτας· διίστανται δὲ καὶ ἀπὸ Πέτρου τοῦ ἐσχάτου καὶ τῶν σὺν αὐτῷ· διότι ἐκείνοι μὲν παραιτούμενοι τρεῖς λέγειν Θεοὺς, ἤγουν θεότητας τρεῖς, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, παραιτοῦνται καὶ τὸ λέγειν τρεῖς τῷ ἀριθμῷ οὐσίας ἴσας καὶ ἀπαραλλάκτους· οὗτοι δὲ τὸ μὲν λέγειν τρεῖς Θεοὺς, ἤγουν θεότητας, παραιτοῦνται· τρεῖς δὲ τῷ ἀριθμῷ οὐσίας, ἤγουν φύσεις τινὰς ἴσας, ὁμολογοῦσιν· οἱ δ' ἀπὸ Κόνωνος πρότερον δε-

A ab iis, ipsi quidem recipientes Theodosium et Paulum ut episcopos, Contobabditis vero utrumque rejicientibus : alii Severitæ, Theodosiani et Angelitæ et Damianistæ, qui memoratos Severum et Theodosianum accipiunt, cum iis Damianum, qui dicunt alium quidem esse Patrem, et alium Filium et alium Paracletum sanctum Spiritum, neque esse unumquemque eorum per se naturam, sed habere communem Deum, nempe deitatem in ipsis contentam, ejusque non separatim participem sic esse quemque Deum ; vocant autem Patrem et Filium et Spiritum sanctum unicam personam ; communem autem eorum Deum essentiam et naturam. Angelitæ autem vocati sunt a suis adversariis ex quodam loco Alexandriæ sic dicto, in quo

B conclave habentes qui prima inter ipsos tenebant, convenire solebant.

12. Alii Severitæ, nempe Theodosiani qui et Petritæ, accipientes ultimum Petrum ut episcopum, qui Theodosium et Severum et Petrum accipientes, Damianum non accipiunt neque Paulum, utriusque dogmata criminantes. Confitentur enim Deum in veritate et essentia et natura, unumquemque per seipsum, Patrem et Filium et Spiritum sanctum dicentes, non numero, sed per omnia simili natura ; quos Angelianitæ et Paulianistæ Tritheitas

C nominant, atque illi rursum eos nunc Sabellianistas, nunc Tetraditas. Alii Severitæ, nempe Theodosiani qui et Cononitæ, recipientes Theodosium et Severum et cum iis Cononem episcopum, qui et ipsi confitentur Deum esse in veritate et natura et essentia unumquemque, Patrem dicentes et Filium et Spiritum sanctum, adhuc dicunt et tres hypostases sanctam Trinitatem et tres personas, tres vero numero essentias et naturas æquales et secundum divinitatem per omnia similes dicentes. Unam autem essentiam nempe naturam, et unam divinitatem, nempe Deum, sanctam et consubstantialem Trinitatem confitentes, non numero, sed simillima Divinitate, tres deos aut divinitates dicere arguuntur.

D 13. Atque ii Severum et Theodosium recipientes, neque Damianum neque Paulum, neque ultimum Petrum recipiunt. Nuncupant autem eos Damiani et Pauli fautores Tritheitas ; atque illi eos nominant nunc quidem Sabellianos et Artemonistas, nunc autem Tetraditas. In eo autem a Petro ultimo et ejus fautoribus dissentiunt, quod illi quidem renuentes dicere tres deos, nempe tres divinitates, Patrem et Filium et Spiritum sanctum, nolunt et dicere tres numero essentias æquales ac per omnia similes ; ii autem tres deos dicere ; nempe divinitates abnuunt ; tres vero numero essentias, nempe naturas quasdam æquales confitentur. Qui a Conone dicti sunt, prius Joannis

Alexandrini grammatici opera recipientes, cognomine Philoponi, in gentiles scripta cum aliis ejusdem scriptis ipsumque demum rejecerunt, et ejus opera. Prædictus enim grammaticus Joannes in suis ad Græcos libris et in aliis suis scriptis docuerat hæc omnia corpora sensibilia secundum materiam et formam ex nihilo ad exsistentiam a Deo educta esse, corruptibiliaque hæc esse facta et materia et forma corrumpi, ac pro his alia corpora his visibilibus meliora et incorruptibilia et æterna a Deo creanda esse; consummationemque dicebat visibilis mundi transitum esse et novi mundi generationem; resurrectionem autem mortuorum definiebat esse rationalium animarum cum corruptibili corpore unionem indissolubilem.

14. Conon igitur et ejus fautores, ut diximus, prius accipientes scripta in quibus hæc docebat et ipsum Philoponum viventemque et post mortem beatificantes, tandem ipsum illum et ejus scripta rejecerunt; sermonesque scriptos ediderunt in quibus dicunt corpora hæc sensibilia ac visibilia quoad materiam non corrumpi, sed manere eadem et visibilia perpetuo neque corrupta, quoad formam autem solum corrumpi et rursus reformari, eadem materia meliorem formam recipiente incorruptibilem; generationem enim visibilis mundi quoad materiam et formam exstitisse dicunt, illius autem corruptionem, transitum nempe, quoad solam formam. Materiam enim, ut diximus, semper permanere confitentur eamdem; resurrectionem autem mortuorum definiunt esse corporis hujus cum rationali anima secundam unionem indissolubilem.

15. Alii Severitæ, nempe Theodosiani, qui et Philoponiaci, qui accipientes Severum et Theodosium ut episcopos, accipiunt etiam ut magistrum Philoponum Joannem et ejus scripta, eumque sequuntur non modo in ipsius de Trinitate sententiis, sed etiam in ejus doctrina de visibilis mundi consummatione et visibilis ac futuri generatione et mortuorum resurrectione. Ii vero neque Damianum, neque Paulum neque ultimum Petrum accipiunt. Cumque prius Cononem accepissent, deinde eum rejecerunt, eo quod ipse Joannem Philoponum et ejus scripta rejecisset; et in suis de Trinitate sententiis cum Cononitis consentiunt, et Tritheitæ nominantur ab Angelianistis et Paulianistis: quos et ipsi nominant nunc quidem Sabellianistas, nunc vero Tetraditas. De visibilis mundi consummatione et mortuorum resurrectione manifeste iis opponuntur. Ipsi quidem Cononitæ Philoponiacos vocant Sadducæos et Simonianos et Græcos et Valentinianos et Marcionitas, et Manichæos et Hermogenistas. Et Philoponiaci hæc nomina Cononitis aptant, eo quod dicant sensibilis hujus mundi materiam incorruptibilem permanere. Cononitæ vero iisdem nominibus Philoponiacos

A χόμενοι τὰ συγγράμματα Ἰωάννου Ἀλεξανδρέως γραμματικοῦ, τοῦ ἐπίκλην Φιλοπόνου, τὰ καθ' Ἑλλήνων αὐτῷ γεγραμμένα μετὰ καὶ ἄλλων αὐτοῦ συγγραμμάτων, αὐτόν τε ἔσχατον ἀπεβάλοντο, καὶ τὰ τούτου συγγράμματα· ὁ γὰρ εἰρημένος γραμματικὸς Ἰωάννης ἐν τοῖς πρὸς τοὺς Ἕλληνας βιβλίοις καὶ ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν ἐπήγαγε τὰ σώματα τὰ αἰσθητὰ ταῦτα πάντα καὶ τὰ ὁρώμενα κατά τε ὕλην καὶ εἶδος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθῆναι ὑπὸ τοῦ Θεοῦ, φθαρτά τε ταῦτα γενέσθαι καὶ φθείρεσθαι κατά τε ὕλην καὶ εἶδος, καὶ ἀντὶ τούτων ἕτερα σώματα κρείττω τούτων τῶν ὁρωμένων ἄφθαρτα καὶ αἰώνια ὑπὸ τοῦ Θεοῦ δημιουργεῖσθαι· συντέλειάν τε ἔφη τοῦ ὁρωμένου κόσμου, ἤγουν παρέλευσιν καὶ καινοῦ κόσμου γένεσιν· ἀνάστασιν δὲ νεκρῶν ὡρίσατο εἶναι τὴν τῶν λογικῶν ψυχῶν πρὸς σῶμα φθαρτὸν ἕνωσιν ἀδιάλυτον.

ιδ'. Κόνων δὲ καὶ οἱ σὺν αὐτῷ, ὡς εἴπομεν, πρότερον δεχόμενοι τὰ συγγράμματα ἐν οἷς ταῦτα ἐδογμάτισε, καὶ αὐτὸν τὸν Φιλόπονον ζῶντά τε καὶ μετὰ τελευτὴν μακαρίζοντες, τελευταῖον αὐτόν τε ἐκεῖνον καὶ τὰ συγγράμματα αὐτοῦ ἀπεβάλοντο· λόγους ἐγγράφους ἐκδεδωκότες, ἐν οἷς λέγουσιν ὅτι τὰ σώματα τὰ αἰσθητὰ ταῦτα καὶ ὁρώμενα κατὰ μὲν τὴν ὕλην οὐ φθείρεται, ἀλλὰ μένουσι τὰ αὐτὰ καὶ ὁρώμενα εἰσαεὶ καὶ μὴ φθειρόμενα, κατὰ δὲ τὸ εἶδος μόνον φθείρεται, καὶ πάλιν ἀναμορφοῦται, τῆς αὐτῆς ὕλης κρεῖττον εἶδος δεχομένης ἄφθαρτον· γένεσιν μὲν γὰρ τοῦ ὁρωμένου κόσμου λέγουσι κατά τε ὕλην καὶ εἶδος, φθορὰν δὲ αὐτοῦ, ἤγουν παρέλευσιν, κατὰ μόνον τὸ εἶδος· τὴν γὰρ ὕλην, ὡς εἴπομεν, ἀεὶ διαμένειν ὁμολογοῦσι τὴν αὐτήν· ἀνάστασιν δὲ νεκρῶν ὁρίζονται εἶναι τὴν τοῦ σώματος τούτου πρὸς τὴν λογικὴν ψυχὴν δευτέραν ἕνωσιν ἀδιάλυτον

ιε'. Ἄλλοι Σεβηρῖται, ἤγουν Θεοδοσιανοί, οἱ καὶ Φιλοπονιακοί, οἱ καὶ δεχόμενοι τὸν Σεβῆρον καὶ Θεοδόσιον ἐπισκόπους, δεχόμενοι δὲ εἰς διδάσκαλον καὶ τὸν Φιλόπονον Ἰωάννην καὶ τὰ τούτου συγγράμματα, καὶ ἀκολουθοῦντες αὐτῷ οὐ μόνον ἐν τοῖς περὶ Τριάδος λόγοις, ἀλλὰ καὶ ἐν τοῖς περὶ συντελείας τοῦ ὁρωμένου κόσμου καὶ γενέσεως τοῦ τε ὁρωμένου καὶ τοῦ μέλλοντος, καὶ νεκρῶν ἀναστάσεως. Οὗτοι δὲ οὔτε Δαμιανὸν, οὔτε Παῦλον, οὔτε τὸν ἔσχατον Πέτρον δέχονται· πρότερον δὲ δεχόμενοι Κόνωνα, ὕστερον αὐτὸν ἀπεβάλοντο, διὰ τὸ ἀποβάλλεσθαι ἐκεῖνον Ἰωάννην τὸν Φιλόπονον καὶ τὰ τούτου συγγράμματα· καὶ ἐν μὲν τοῖς περὶ Τριάδος λόγοις συνᾴδουσι τοῖς Κονωνίταις· καὶ Τριθεῖται ὀνομάζονται ὑπὸ τῶν Ἀγγελιανιστῶν (*ita cod.*) καὶ Παυλιανιστῶν· ὀνομάζουσι δὲ καὶ αὐτοὶ ἐκείνους ποτὲ μὲν Σαβελλιανιστάς, ποτὲ δὲ Τετραδίτας· ἐν δὲ τῷ περὶ συντελείας τοῦ ὁρωμένου κόσμου καὶ νεκρῶν ἀναστάσεως ἐναντιοῦνται φανερῶς αὐτοῖς. Καὶ οὗτοι μὲν οἱ Κονωνῖται τοὺς Φιλοπονιακοὺς ἅπαντας καλοῦσι Σαδδουκαίους, καὶ Σιμωνιανούς, καὶ Ἕλληνας, καὶ Οὐαλεντινιανούς, καὶ Μαρκιωνιστάς, καὶ Μανιχαίους, καὶ Ἑρμογενιαστάς ἀποκαλοῦντες· καὶ οἱ μὲν Φιλοπονιακοὶ τὰ ὀνόματα ταῦτα τοῖς Κονωνίταις προσάπτου-

σι, διὰ τὸ λέγειν αὐτοὺς τὴν ὕλην τοῦ αἰσθητοῦ τούτου κόσμου διαμένειν ἀτελεύτητον· οἱ δὲ Κονωνῖται τὰ αὐτὰ ὀνόματα τῶν Φιλοπονιακῶν κατηγοροῦσι, διὰ τὸ μὴ λέγειν αὐτοὺς τῶν σωμάτων τούτων ἀνάστασιν. Πρὸς τούτοις δὲ ἑκάτεροι, οἵ τε Φιλοπονιακοὶ καὶ οἱ Κονωνῖται, Ὠριγενιαστὰς ἀλλήλους ὀνομάζουσιν· εὑρηκότες γὰρ οἱ Φιλοπονιακοὶ τὸν Ὠριγένην λέγοντα ὅτι αὕτη ἡ ὕλη ἐν τῷ μέλλοντι αἰῶνι ἀναμορφοῦται, καὶ διὰ τοῦτο τῶν αὐτῶν σωμάτων γίνεται ἡ ἀνάστασις, ἐκάλεσαν τοὺς Κονωνίτας Ὠριγενιαστάς· πάλιν δὲ οἱ Κονωνῖται, εὑρόντες τὸν Ὠριγένην λέγοντα ἄλλων σωμάτων ἀνάστασιν, παλίμβολος γὰρ ὁ ἀνήρ, ὠνόμασαν τοὺς Φιλοπονιακοὺς πόν τινα Ὠριγένην ὀνόματι καὶ τοὺς λόγους τοὺς ὑπ' αὐτοῦ ἐκδοθέντας.

A appellant eo quod horum corporum resurrectionem non confiteantur. Præterea utrique et Philoponiaci et Cononitæ Origenistas se invicem appellant. Cum enim reperissent Philoponiaci Origenem dixisse ipsam materiam in futuro sæculo reformari, ac propterea eorumdem corporum fieri resurrectionem, Cononitas vocavere Origenistas. Rursum cum Cononitæ reperissent Origenem aliorum corporum resurrectionem dixisse (inconstans enim erat vir ille), nominaverunt Philoponiacos Origenistas. Accipiunt autem ut episcopum quemdam nomine Origenem ac libros ab illo editos.

ις'. Ἄλλοι Σεβηρῖται, ἦγουν Θεοδοσιανοί, οἱ καὶ Νιοβῖται, οἵτινες Σεβῆρον καὶ Θεοδόσιον δεχόμενοι καὶ Στέφανον τὸν σοφιστὴν τὸν ἐπίκλην Νίοβον· οὗτοι δὲ ἐν μὲν τοῖς περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος λόγοις συμφωνοῦσι τοῖς Κοντοβαβδίταις καὶ τοῖς Ἀγνοήταις, ἐν δὲ τοῖς λόγοις τοῖς περὶ τῆς οἰκονομίας διαφωνοῦσιν οὐ μόνον πρὸς τούτους, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας· πάντες γὰρ δύο φύσεις ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου μετὰ τὴν ἕνωσιν οὐδενὶ λόγῳ ἀνέχονται εἰπεῖν· τὴν μέντοι διαφορὰν τῶν φύσεων ὁμολογοῦσι καὶ μετὰ τὴν ἕνωσιν· οὗτοι δὲ, δύο φύσεις μετὰ τὴν ἕνωσιν παραιτούμενοι ὁμολογεῖν, οὐδὲ τὴν διαφορὰν τῶν φύσεων μετὰ τὴν ἕνωσιν σώζεσθαι βούλονται λέγειν.

B 16. Alii Severitæ, nempe Theodosiani, qui et Niobitæ, qui Severum et Theodosium recipientes, recipiunt etiam Stephanum Sophistam, Niobum cognomine : ii vero in suis de Patre et Filio et Spiritu sancto sententiis concordant cum Contobabditis et Agnoetis, in sua autem de Providentia doctrina dissentiunt non modo ab illis, sed et ab aliis omnibus ; omnes enim duas naturas in Christi mysterio post unionem nulla ratione dicere volunt ; distinctionem tamen naturarum confitentur et post unionem; ii autem duas naturas post unionem confiteri nolentes, neque differentiam naturarum post unionem servari dicere volunt.

ιζ'. Τίνα μὲν οὖν τούτων τὰ σχίσματα, καὶ πόσα τυγχάνει, καὶ τίνες τούτων ὀνομασίαι, καὶ τί τὸ ἑκάστου σχίσματος δόγμα τῶν ἑαυτοὺς καλούντων διακρινομένους, διὰ τῶν εἰρημένων συντόμως ἐδηλώσαμεν· οὗτοι δὲ πάντες τὰ ἐπιτηδεύματα Ἀρείου τε καὶ τῶν ἐκείνου μαθητῶν ζηλώσαντες, ὁμοίως ἐκείνοις ἔξω τῶν ἐκκλησιαστικῶν ἑαυτοὺς περιβόλων ἐποίησαν· κἀκεῖνοι γὰρ μυρίας μηχανὰς ἐπεδείξαντο, ἐξωθῆσαι τῆς Ἐκκλησίας σπουδάσαντες τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ σύνοδον· καὶ οὗτοι δὲ ὁμοίως πολυτρόπους μαγγανείας καὶ λογομαχίας ἐπετήδευσαν ἐξελάσαι τῆς Ἐκκλησίας προθυμούμενοι τὴν οἰκουμενικὴν καὶ ἁγίαν ἐν Χαλκηδόνι σύνοδον. Ἀλλ' ὅπερ κατὰ τῶν ἁγίων Πατέρων ἐβουλεύσαντο, εἰς αὐτοὺς ἡ θεία περιέστησε ψῆφος, ἔξω που τῶν ἐκκλησιαστικῶν αὐτοὺς καταστήσασα περιβόλων· ἠκόνησαν γὰρ τὴν γλῶτταν αὐτῶν, κατὰ τὸ γεγραμμένον, ὡσεὶ ὄφεως· ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρὸν τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον, ἐκαταίωσαν αὐτοῖς λόγον πονηρὸν, διηγήσαντο τοῦ κρύψαι παγίδα· εἶπαν, Τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίας, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις· ἀλλὰ κατὰ τὸν θεῖον λόγον, Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν· καὶ διεσχίσθησαν, καὶ οὐ κατενύγησαν· ηὐφράνθη δὲ ἡ τοῦ Θεοῦ Ἐκκλησία, τὴν τῶν ἁγίων Πατέρων ἐκδίκησιν θεωρήσασα· καὶ ὑψώθη ὁ Θεὸς τῆς ἀληθείας, τῶν ἐκκλη

C 17. Quænam sint igitur eorum sectæ et quot reperiantur, et quæ eorum cognomina et quodnam uniuscujusque dogma eorum qui seipsos discrepantes nominant, iis breviter dictis indicavimus. Illi autem omnes Arii ejusque discipulorum instituta æmulantes, quemadmodum et ii, seipsos extra ecclesiasticum sinum fecere. Atque illi sexcenta machinati sunt ut ex ecclesia repellere conarentur sanctam et œcumenicam Nicænam synodum ; et ii similiter multiplices præstigias et logomachias adhibuere ut ab ecclesia ardenter repellerent œcumenicam et sanctam Chalcedonensem synodum. Sed quod in sanctos Patres machinati sunt, in illos divina convertit sententia, eos extra ecclesiasticum gyrum constituens. Acuerunt enim linguam suam, ut dictum est, sicut serpentis ; intenderunt arcum suum, rem amaram, ut sagittarent in absconditis irreprehensibilem corroboraverunt sibi verbum malum, narraverunt ut absconderent tenticulam, dixerunt : Quis aspiciet nos ; perscrutati sunt iniquitates, defecerunt perscrutantes perscrutationes ; sed juxta divinum sermonem : « Telum infantium factæ sunt plagæ eorum et infirmatæ sunt contra eos linguæ eorum [1] ; » divisi sunt et non sunt compuncti [2]. Lætata est autem Dei Ecclesia, dum sanctorum Patrum ultionem contemplaretur. Et glorificatus est Deus veritatis ; dum ecclesiastica dogmata incommuta-

D

[1] Psal. LXIII, 8, 9. [2] Psal. XXXIV, 16.

bilem acciperent firmitatem ac soliditatem. Sancta igitur et œcumenica Chalcedone habita synodus breviter eorum meminit quæ dicta sunt ab iis qui unam in Christo naturam compositam docent. Eam porro, ut ex multis pauca dicam, mentem exhibent quæ in proprii dogmatis defensionem impie proponunt.

A σιαστικῶν δογμάτων ἀβράγῃ λαβόντων βεβαίωσίν τε καὶ παγιότητα. Ἡ ἁγία δ' οὖν καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Χαλκηδόνι συστᾶσα διὰ βραχέων ἐμνήσθη τῶν λεγομένων ὑπὸ τῶν μίαν ἐπὶ Χριστοῦ δοξαζόντων φύσιν σύνθετον· εἰσὶ δὲ, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν, τοιαύτης ἐννοίας ἐχόμενα, ἅπερ εἰς συνηγορίαν τοῦ οἰκείου δόγματος ἀσεβῶς προτιθέασι.

Expositio nonnullorum capitum a Monophysitis propositorum.

18. Utrum ex duarum in Christo naturarum unione factum est aliquid unum, annon? Si igitur non sit factum aliquid unum, quomodo et unitas fuisse eas dicemus? Quid enim est aliud uniri quam unum fieri? Non enim per illuminationem, ut de prophetis, unionem confitemur. Si autem B ex duarum naturarum unione unum aliquid factum est, quid igitur est aliud unum? Utrum nomen vanum, an res? Si igitur nomen solummodo vanum esset sine re, non essent unitæ naturæ; quemadmodum et sidereus canis et terrestris, per solum nomen unitatem habentes, non uniti sunt per naturas, neque realis homo et qui inscriptus est: si igitur naturæ in quantum sunt uniuntur, et ideo ex earum unione, nempe compositione, unum aliquid factæ sunt, non id est vanum nomen, sed res. Si autem res, utrum id natura est, nempe essentia, esse aliquid ex substantiæ accidentibus? Igitur si per ipsum esse naturæ unitæ sunt, et ideo unum aliquid ex earum unione perficitur, neque vanum nomen est, neque substantiæ quoddam accidens et consequens, C concludendum est illud esse essentiam aut naturam: supponimus nunc per utramque vocem idem significari, per essentiam nempe et naturam. Si igitur unum illud ex duarum naturarum perfectum unione natura est, scilicet essentia, recte ergo unam esse naturam Domini Christi post unionem confitemur, quanquam non simplicem, sed compositam eam esse dicimus. Nomen enim Christus non potest utriusque naturæ indicativum esse. Si enim non esset aliquid unum, quod ex duarum naturarum unione perficitur, impossibile esset sive de anima et corpore unum hominis nomen appellari, sive de Christi divinitate et humanitate, nisi ex iis unum quid factum sit. Christi nomen D utrique dari.

ιη'. Πότερον ἐκ τῆς τῶν ἐπὶ Χριστοῦ λεγομένων δύο φύσεων ἑνώσεως γέγονέ τι ἕν, ἢ οὔ; Εἰ μὲν οὖν μὴ γέγονέ τι ἐξ αὐτῶν ἕν, πῶς καὶ ἡνῶσθαι ὅλως; αὐτὰς ἐροῦμεν; Τί γὰρ ἄλλο ἐστὶ τὸ ἡνῶσθαι ἢ τὸ ἓν γεγονέναι; οὐδὲ γὰρ κατ' ἔλλαμψιν, ὡς ἐπὶ προφητῶν, ὁμολογοῦμεν τὴν ἕνωσιν· εἰ δ' ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων ἕν τι γέγονε, τί ποτε ἄρα τοῦτό ἐστι τὸ ἕν; Πότερον ὄνομα μόνον ψιλὸν, ἢ πρᾶγμα; Εἰ μὲν οὖν ὄνομα μόνον ψιλὸν εἴη πράγματος χωρὶς, οὐκ ἂν εἶεν αἱ φύσεις ἡνωμέναι· ὡς οὐδὲ ὁ ἀστρῷος κύων καὶ ὁ χερσαῖος, κατὰ ψιλὸν μόνον τοὔνομα τὸ ἕν ἔχοντες, ἡνωμένοι κατὰ τὰς φύσεις τυγχάνουσιν, οὐδ' ὁ ἀληθινὸς ἄνθρωπος καὶ ὁ γεγραμμένος· οὐκοῦν εἰ αἱ φύσεις καθὸ τὸ εἶναι ἔχουσιν ἡνώθησαν, καὶ διὰ τοῦτο ἐκ τῆς ἑνώσεως αὐτῶν, ἤγουν συνθέσεως, ἕν τι γέγονεν, οὐκ ἄρα ψιλὸν ὄνομα τοῦτό ἐστιν, ἀλλὰ πρᾶγμα· εἰ δὲ πρᾶγμα, πότερον φύσις ἐστὶ τοῦτο, ἤγουν οὐσία, ἢ τῶν περὶ τὴν οὐσίαν τι συμβεβηκότων; Οὐκοῦν εἰ κατ' αὐτὸ τὸ εἶναι φύσεις ἡνώθησαν, καὶ διὰ τοῦτο τὸ ἓν τὸ ἐκ τῆς ἑνώσεως; αὐτῶν ἀποτελεσθὲν οὔτε ψιλόν ἐστιν ὄνομα, οὔτε συμβεβηκός τι καὶ παρακολούθημα φύσεως, λείπεται ἐξ ἀνάγκης, οὐσίαν εἶναι τοῦτο, ἢ φύσιν· κείσθω γὰρ νῦν δι' ἑκατέρου ταυτὸν σημαίνεσθαι, διὰ τῆς οὐσίας, φημὶ, καὶ τῆς φύσεως· εἰ δὲ τὸ ἓν τὸ ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων ἀποτετελεσμένον φύσις ἐστὶν, ἤγουν οὐσία, καλῶς ἄρα μίαν εἶναι τὴν φύσιν τοῦ Δεσπότου Χριστοῦ μετὰ τὴν ἕνωσιν ὁμολογοῦμεν, εἰ καὶ μὴ ἁπλῆν, ἀλλὰ σύνθετον εἶναι ταύτην φαμέν· τὸ γὰρ Χριστὸς ὄνομα τῶν φύσεων ἀμφοτέρων εἶναι δηλωτικὸν οὐ δύναται· εἰ γὰρ μὴ εἴη τι ἓν τὸ ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων ἀποτετελεσμένον, ἀδύνατον ἦν ἐπὶ ψυχῆς καὶ σώματος ἓν τὸ τοῦ ἀνθρώπου κατηγορεῖσθαι ὄνομα, ἢ ἐπὶ τῆς τοῦ Χριστοῦ θεότητός τε καὶ ἀνθρωπότητος, μηδενὸς ἐξ αὐτῶν ἑνὸς γενομένου, τὴν Χριστοῦ λέγεσθαι προσηγορίαν ἐπ' ἀμφοῖν.

Alia Monophysitarum propositio.

19. Si Christi naturæ unitæ duæ sunt vel, quod idem sonat, essentiæ (essentiæ enim sunt divina et humana proc.) dubio, ex quibus naturarum duplicitatis nomen inferunt), utrum alter quam ejus naturæ Christus est, an idem ac ejus naturæ? Si igitur alter est ac ejus naturæ Christus, quis est, ut alter esse possit? Sed nihil alterum est ac ejus natura aut essentia. Si enim hominis natura, essentiam dico, in eo consisit quod est animal rationale mortale (definitiones enim rerum earum essentias indicant), si homo quid diversum sit a sua essentia, non pro-

Ἕτερον πρόβλημα τῶν Μονοφυσιτῶν.

ιθ'. Εἴπερ αἱ τοῦ Χριστοῦ φύσεις ἑνωθεῖσαι δύο τυγχάνουσι, ταυτὸν δὲ εἰπεῖν οὐσίαι, οὐσίαι γὰρ δήπουθεν ἥ τε θεία καὶ ἡ ἀνθρώπειος, ἐφ' ὧν τὸ τῆς δυάδος τῶν φύσεων φέρουσιν ὄνομα, πότερον ἕτερος τυγχάνει τῶν ἑαυτοῦ φύσεων ὁ Χριστὸς, ἢ ταυτόν ἐστι ταῖς αὐτοῦ φύσεσιν; Εἰ μὲν οὖν ἕτερός ἐστι τῶν αὐτοῦ φύσεων ὁ Χριστὸς, τίς ὢν, ἕτερος αὐτῶν τυγχάνει; Ἀλλ' οὐδὲν τῶν ὄντων τῆς αὐτοῦ φύσεως ἢ οὐσίας ἕτερόν ἐστιν· εἰ γὰρ ἡ τοῦ ἀνθρώπου φύσις, ἤτοι οὐσία, τὸ ζῶον λογικὸν θνητόν ἐστιν, οἱ γὰρ ὁρισμοὶ τῶν πραγμάτων τῆς οὐσίας

αὐτῶν εἰσι δηλωτικοί, ἕτερον δὲ εἴη ὁ ἄνθρωπος τῆς A
οὐσίας αὐτοῦ, ἕτερος ἂν εἴη τοῦ ζώου λογικοῦ θνητοῦ. Ὁ ἄνθρωπος οὐδὲν ἄλλο ἐστὶν ἢ ζῶον λογικὸν θνητόν· οὐκοῦν εἰ καὶ ὁ Χριστὸς τῶν αὐτοῦ φύσεων, ἤγουν οὐσιῶν, ὑπάρχει ἕτερος, τὸ δὲ εἶναι ἑκάστῳ κατὰ τὴν φύσιν ἤτοι οὐσίαν αὐτοῦ ἐστιν, ὡς ἐδείξαμεν, αὐτὸς ἄρα ἑαυτοῦ ὁ Χριστὸς ἕτερος ἔσται, ὅπερ πρὸς τῷ ἀτόπῳ καὶ τὸ γελοῖον ἔχει· οὐκ ἄρα ἕτερός ἐστιν ὁ Χριστὸς τῶν ἑαυτοῦ φύσεων· εἰ δὲ μὴ ἕτερος, ταυτὸν ἄρα Χριστόν τε εἰπεῖν καὶ τὰς αὐτοῦ φύσεις· ἐπεὶ καὶ οἱ τἀναντία ὑμεῖς λέγοντες τῶν δύο φύσεων δηλωτικὸν εἶναί φατε τὸ Χριστὸς ὄνομα εἰ δὲ ταυτὸν ὁ Χριστὸς ταῖς αὐτοῦ φύσεσιν, ὡς ἄνθρωπος τῇ ἀνθρώπου φύσει ταυτόν, τουτέστι τῷ ζώῳ λογικῷ θνητῷ, δύο δὲ τυγχάνουσιν αἱ τοῦ Χριστοῦ φύσεις καὶ οὐ μία, δύο ἄρα καὶ οἱ Χριστοὶ B
ἔσονται, καθὼς Νεστορίῳ δοκεῖ, καὶ οὐχ εἷς κατὰ τὰς Γραφάς. Εἰ οὖν εἷς κατὰ ἀλήθειαν ὁ Χριστὸς ὀνόματί τε καὶ πράγματι, καὶ κατ' οὐδένα τρόπον ἐπὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως δύο λέγειν Χριστοὺς ἐνδέχεται, ταυτὸν δὲ ὁ Χριστὸς τῇ αὐτοῦ φύσει, ἤγουν οὐσίᾳ, ἐπεὶ καὶ τῶν ὄντων ἕκαστον, μία δηλονότι καὶ ἡ τοῦ Χριστοῦ φύσις ἐξ ἀνάγκης ἔσται.

inde esset animal rationale mortale. Homo nihil aliud est quam animal rationale mortale; si igitur Christus alter est ac ejus naturæ, essentias dico, et esse rei cuilibet per suas naturas, nempe essentias inest, ut ostendimus, ipse a se diversus erit Christus, quod stolidum et ridiculum est. Non differt igitur Christus a suis naturis, si porro non differt, idem igitur est dicere Christum et ejus naturas; cum et vos qui nobis contraria dicitis duarum esse naturarum indicativum Christi nomen fateamini. Si autem Christus idem sit cum ejus naturis, ut homo idem est cum hominis natura, id est animali rationali mortali, duæque sint Christi naturæ nec una tantum, duo igitur Christi erunt, ut Nestorio videtur, neque unus secundum Scripturas. Si igitur secundum veritatem Christus nomine et re unus est, neque ullo modo de Domini Incarnatione duos Christos dicere fas est, idem autem est Christus cum ejus natura, nempe essentia, quemadmodum et aliorum omnium, una erit necessario et evidenter Christi natura.

Ἕτερον πρόβλημα τῶν αὐτῶν.

κ'. Ὥσπερ εἰ καὶ πλείονες ἐν τῷ ἡλίῳ φυσικῶν δυνάμεων θεωροῦνται διαφοραὶ, οἷον φέρε εἰπεῖν τὸ φωτιστικὸν αὐτοῦ καὶ τὸ θερμαντικὸν, ἔτι δὲ τὸ τριχῇ διαστατὸν, καὶ τὸ σφαιρικὸν, καὶ κυκλοφορικὸν, καὶ εἴ τι τυγχάνει τοιοῦτον ἄλλο, οὐκ ἤδη καὶ πλείονας τὰς τοῦ ἡλίου φύσεις λέγειν ἀνάγκη· οὐδὲν γὰρ καθ' ἑαυτὸ τῶν τοιούτων ἡλίου φύσιν ἐργάζεται, ἀλλὰ τὸ ἐκ πάντων ἅμα τῶν εἰρημένων σύγκριμα, ἓν καὶ πλείονα τυγχάνον, ἕνα τὸν ἥλιον καὶ μίαν αὐτοῦ τὴν φύσιν ἐργάζεται· οὕτω καὶ ἐπὶ τοῦ θεανθρώπου Χριστοῦ, κἂν αἱ τῆς θεότητος ἐν αὐτῷ καὶ ἀνθρωπότητος θεωρῶνται διαφοραὶ, οὐκ ἀνέξονται δύο λέγειν αὐτοῦ τὰς φύσεις οἱ κρίνειν ἀμηγέπη (*ita codices duo*) τὴν τῶν πραγμάτων ὀρθῶς φύσιν δυνάμενοι· οὐδὲν γὰρ ἐκείνων καθ' ἑαυτὸ Χριστὸς ἂν εἴη, οὔτε τὸ θεῖον αὐτοῦ φημι, οὔτε τὸ ἀνθρώπινον· ἀλλὰ τὸ ἐξ ἀμφοῖν σύγκριμα, ἓν ὁπουδὲν τυγχάνον, καὶ οὐ δύο, καὶ ἐν οὐδενὶ τῶν ὄντων ἐνθεωρούμενον ἑτέρῳ, ἕνα τὸν Χριστὸν, καὶ μίαν αὐτοῦ τὴν φύσιν ὁμολογεῖν ἡμᾶς ἐκ πάσης ἀνάγκης παρασκευάζει.

Alia eorumdem propositio.

20. Quemadmodum quamvis plures in sole physicæ vires diversæ animadvertantur, ut verbi gratia, lumen et calor, tres dimensiones, sphærica forma, motus circularis et alia hujusmodi; nec tamen ideo necesse sit ut plures esse solis naturas dicatur (nihil enim per se horum solis naturam constituit, sed ex his omnibus coagulum, quod simul unum et plura est, unum solem et unam ejus naturam constituit); ita et de Christo Deo homine, etsi animadvertantur apud eum divinitatis et humanitatis differentiæ, non audebunt duas ejus naturas dicere, qui quodammodo rerum naturam recte æstimare possunt (nihil enim horum per se Christus esset, neque ejus divinitas, neque ejus humanitas); sed ex ambabus coagulum, unum scilicet, nec duo nec in ullo alio animadversum, unum Christum et unam ejus naturam confiteri omnino cogit.

Ἕτερον πρόβλημα.

κα'. Εἰ ἡ δυὰς τῆς ἐκ μονάδος πρώτης διασκέψεως ἐστι δηλωτικὴ, ἡ δὲ διαίρεσις ἀντικειμένως ἔχει πρὸς τὴν ἕνωσιν, διὰ τοῦτο ἅμα τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἡνῶσθαί τε καὶ διῃρῆσθαι ἀμήχανον, οὐδεμία ἄρα δυὰς, καθό ἐστι δυὰς, κατὰ τοῦτο λέγοιτ' ἂν ἡνῶσθαι, διῃρῆσθαι δὲ μᾶλλον· καὶ ἐπὶ τοῦ Χριστοῦ τοίνυν, εἰ δύο εἰσὶν αἱ τούτου φύσεις, καὶ οὐχὶ μία, πᾶσα δὲ δυὰς, καθὸ δυάς ἐστι, διχάς τις οὖσα διῄρηται κατ' ἐκεῖνο, κατ' οὐχ ἥνωται. καὶ αἱ τοῦ Χριστοῦ ἄρα δύο φύσεις κατ' αὐτὸ τὸ εἶναι δύο φύσεις τυγχάνουσαι καὶ οὐχὶ μία, κατ' αὐτὸ τοῦτο διῃρημέναι ἂν εἶεν, καὶ οὐχ ἡνωμέναι, καὶ Νεστορίου τὸ δόγμα εἰσάγεται.

Alia expositio.

21. Si dyas considerationis post monadem primam indicativa sit, divisio autem unitati sit opposita, ob id ipsum simul uniri et dividi idem secundum se impossibile est. Nulla igitur dyas, in quantum est dyas, secundum id potest dici uniri, sed potius dividi. Et de Christo igitur si duæ sunt ejus naturæ, neque una, omnis autem dyas, prout est dyas, duplex exsistens, secundum id dividitur, nec unitur, Christi igitur duæ naturæ, si secundum esse ipsum duæ sint et non una tantum, secundum id ipsum essent divisæ neque unitæ, et Nestorii doctrina inducitur.

Alia propositio.

22. Et de continuis sæpe numerum afferimus, ut, verbi gratia duobus cubitis longum esse quoddam lignum dicimus. Sed potentia tantum duo unum esse dicimus, non re; eo quod divisionem subire potest et duo fieri, lignum illud duobus cubitis esse dicimus.

Alia propositio.

23 Si Christus unus est nomine et re, omnis autem definitio unam naturam indicat, nisi sit ambigua; Christi numerus igitur unius naturæ est indicativus; si autem secundum nos duæ Christi naturæ duas habent definitiones non idem significantes, et Christus igitur, cum unus sit, duas definitiones non idem significantes habebit. Si autem id impossibile est (omnis enim rei unius exsistentis unica est definitio), non igitur duas habebit definitiones Christus. Si ita est, neque duæ erunt ejus naturæ; singulæ enim definitiones unam naturam significant, sive simplices sive compositæ.

Alia.

24. Si nomen Christus non substantiæ indicativum est, sed cujusdam naturæ accidentium ex unione ortorum, naturarum quæ duæ factæ sunt, indicativum est. Hoc autem nihil aliud est quam naturarum relativus habitus. Duæ autem naturæ vel unitæ remanent in Christo; secundum igitur vanum solummodo habitum naturarum alterius cum altera facta est unio; ut dicitur de choro et domo, et urbe et lapidibus et lignis quibus constat ædificium, quemadmodum et Nestorius docuisse reperitur.

Alia.

25. Si quæ uniuntur unum fiunt, quæ non fiunt unum omnino non uniuntur; si igitur duæ nec una sunt Christi naturæ, dyas autem, cum duplicitas sit, divisionis indicativa est, si, quæ divisa sunt, non sunt unita, non igitur unitæ sunt Christi naturæ; si igitur, eo quod non immistæ sint, duas esse Christi naturas censent, necesse est, propter unionem, ut unam ejus naturam dicant.

Alia.

26. Non quot cujuscunque rei sunt proprietates, tot et hujus sunt naturæ. Vel enim nihil eorum quæ propriam habent exsistentiam, unius erit naturæ, cum plures proprietates differentes in unoquoque animadvertantur; sed eorum omnium quæ suppositum constituunt coagulum, natura est. Ignis enim lumen et levitas proprietates sunt, sed non lumen aut levitatem ignis esse naturam dicimus, ut et aeris proprietates sunt caloris carentia et personatio; ut et aliorum elementorum videre est alias proprietates. Sed nemo audebit dicere multis unumquodque naturis esse eo quod multas habeat proprietates; si et de Christo divinitate et

Ἕτερον πρόβλημα.

κβ'. Καὶ ἐπὶ τῶν συνεχῶν πολλάκις φέρομεν τὸν ἀριθμὸν, δύο φέρε εἰπεῖν πήχεων τὸ ξύλον λέγοντες· ἀλλὰ δυνάμει δύο φαμὲν εἶναι τὸ ἕν, οὐκ ἐνεργείᾳ· τῷ δὲ δύνασθαι τομὴν ὑπομένειν, καὶ δύο γενέσθαι, ταύτῃ φαμὲν αὐτὸ δύο τινῶν πήχεων εἶναι.

Ἕτερον πρόβλημα.

κγ'. Εἰ ὁ Χριστὸς εἷς ἐστιν ὀνόματί τε καὶ πράγματι, πᾶς δὲ ὁρισμὸς εἷς ὢν, εἰ μὴ ὁμώνυμος εἴη, μιᾶς φύσεως δηλωτικός ἐστι· καὶ ὁ τοῦ Χριστοῦ ἄρα ἀριθμὸς, μιᾶς τῆς αὐτοῦ φύσεως δηλωτικός ἐστιν. Εἰ δὲ καθ' ὑμᾶς αἱ τοῦ Χριστοῦ δύο φύσεις δύο ἔχουσιν ὁρισμοὺς, οὐ ταυτὸ δηλοῦντας, καὶ ὁ Χριστὸς ἄρα, εἷς ὢν, δύο ὁρισμοὺς ἕξει οὐ ταυτὸ δηλοῦντας· εἰ δὲ τοῦτο ἀδύνατον (παντὸς γὰρ πράγματος ἑνὸς ὄντος εἷς ἐστι καὶ ὁρισμὸς), οὐκ ἄρα δύο ἕξει καὶ ὁρισμοὺς ὁ Χριστός· εἰ δὲ τοῦτο, οὐδὲ δύο ἔσονται αὐτοῦ αἱ φύσεις· ἕκαστος γὰρ ὁρισμὸς μιᾶς φύσεως ἐστι δηλωτικὸς, εἴτε ἁπλοῦς, εἴτε σύνθετος.

Ἕτερον.

κδ'. Εἰ τὸ Χριστὸς ὄνομα οὐκ οὐσίας δηλωτικὸν, ἀλλὰ τῶν περὶ τὴν οὐσίαν τινὸς τῶν ἐκ τῆς ἑνώσεως, τῶν δύο φύσεων γενομένων δηλωτικόν ἐστι· τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ τῶν φύσεων πρὸς ἀλλήλας σχέσις· δύο δὲ φύσεις καὶ ἑνωθεῖσαι μεμενήκασιν ἐν Χριστῷ· κατὰ μόνην ἄρα σχέσιν φιλὴν ἡ τῶν φύσεων πρὸς ἀλλήλας γέγονεν ἕνωσις· ὡς ἐπὶ χορεῦ, καὶ οἰκίας, καὶ πόλεως, καὶ λίθων, καὶ ξύλων ἐν οἷς τὸ οἰκοδομούμενον, καθὼς καὶ Νεστόριος δογματίζων εὑρίσκεται.

Ἕτερον.

κε'. Εἰ τὰ ἡνωμένα ἓν γίνεται, τὰ μὴ γενόμενα ἕν οὐχ ἥνωται ἐξ ἀνάγκης· εἰ οὖν δύο καὶ οὐ μία τυγχάνουσιν αἱ τοῦ Χριστοῦ φύσεις, ἡ δὲ δυὰς, διχάς τε οὖσα, διαιρέσεώς ἐστι δηλωτική, τὰ δὲ διῃρημένα οὐχ ἥνωται, οὐκ ἄρα ἡνωμέναι εἰσὶν αἱ τοῦ Χριστοῦ φύσεις· εἰ τοίνυν διὰ τὸ ἀσύγχυτον δύο εἶναι τὰς τοῦ Χριστοῦ φύσεις ἀξιοῦσιν, ἀλλὰ διὰ τὴν ἕνωσιν μίαν αὐτοῦ τὴν φύσιν λέγειν ἀναγκασθήσονται.

Ἕτερον.

κς'. Οὐχ ὅσαι πράγματος ἑκάστου ἰδιότητες, τοσαῦται καὶ φύσεις τούτου εἰσίν· ἢ γὰρ ἂν οὐδὲν τῶν ἐχόντων ἰδίαν ὕπαρξιν μιᾶς ἔσται φύσεως, πλειόνων ἰδιοτήτων ἤτοι διαφορῶν ἐν ἑκάστῳ θεωρουμένων, ἀλλὰ τὸ ἐκ πάντων σύγκριμα τῶν συμπληρούντων, τὸ ὑποκείμενον φύσις ἐστί· πυρὸς μὲν γὰρ τὸ φωτιστικὸν, καὶ τὸ κοῦφον ἴδιον· ἀλλ' οὐ φύσιν πυρὸς τὸ φωτιστικὸν, ἢ τὸ κοῦφον εἶναί φαμεν· ὥσπερ καὶ ἀέρος ἰδιότητες τὸ ἀχρωμάτιστον, τὸ διηχές· ὡς καὶ ἐπὶ τῶν ἄλλων στοιχείων ἐστὶν ἰδεῖν ἑτέρας ἰδιότητας· ἀλλ' οὐδεὶς τολμήσει διὰ τὸ πολλὰς ἕκαστον τούτων ἰδιότητας ἔχειν, οὕτω καὶ πολλῶν εἰπεῖν εἶναι φύσεων· οὕτω τοίνυν καὶ ἐπὶ τοῦ Χριστοῦ

συνεστῶτος ἐκ θεότητος καὶ ἀνθρωπότητος, εἰ μὲν λέγοιεν δύο τὰς αὐτοῦ φύσεις, ἢ ἐν δύο φύσεσιν αὐτὸν θεωρεῖσθαι, ὥσπερ καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι θεωρεῖσθαι λέγομεν, ἢ καὶ τοσάδε εἶναι τὰ τοῦ λόγου μέρη, τὸ ἓν τὸ ἐκ τῆς πάντων ἑνώσεως ἀποτετελεσμένον γινώσκοντες. ὡς εἰ καὶ τὸ τρίγωνον ἐν τρισὶν εὐθείαις ὑφεστάναι λέγοι τις, αὐτοῦ τοῦ τριγώνου σχήματος ἑνὸς ὄντος τοῦ ἐκ τῆς συναφῆς τῶν τριῶν εὐθειῶν ἀποτετελεσμένου, καὶ ἔτι τὴν οἰκίαν ἐν λίθοις εἶναι καὶ ξύλοις, ἑνὸς πάλιν τοῦ τῆς οἰκίας εἴδους ὑπάρχοντος, ὅπερ ἐκ τῆς ἐκείνων συνθέσεως γέγονεν, ἴσως ἄν τις συγχωρήσειε τῷ λόγῳ· εἰ γὰρ τὰ ἐξ ὧν ὁ Χριστὸς δύο, ἴσον ἂν εἴη τό τε ἐκ δύο φύσεων τὸν Χριστὸν εἶναι λέγειν, καὶ τὸ ἐν δύο φύσεσι, καὶ τὸ τρίγωνον ἐν τρισὶν εὐθείαις, καὶ ἐκ τριῶν, καὶ τὸ λοιπὸν τῶν εἰρημένων ἕκαστον, ὡς περὶ μόνην τὴν λέξιν, καὶ μὴ περὶ τὸ ἐκ τῆς λέξεως νοούμενον, τὴν διαφορὰν εἶναι· ὡς ἐξεῖναι μίαν τὴν τοῦ συνθέτου φύσιν λέγειν, ἐν δύο ταῖς ἁπλαῖς τὸ εἶναι ἔχουσαν, ὥσπερ ἐν τοῖς μέρεσι πολλοῖς οὖσι μίαν τὴν ὁλότητα εἶναί φαμεν. Εἰ δὲ μηδαμοῦ μίαν τοῦ ὅλου τὴν φύσιν σύνθετον δηλονότι φασὶ, καὶ ἡμεῖς τὴν ἐν δύο φωνὴν ὑποπτεύσομεν δικαιότατα· καὶ οὔτε διὰ τὸ ἕνα εἶναι τὸν Χριστὸν ἀρνούμεθα τὰ ἐξ ὧν τὸ ἓν τοῦτο συνέστηκεν, οὔτ' αὖ πάλιν διὰ τὸ δύο γνωρίζειν τὰς εἰς ἕνωσιν συνελθούσας φύσεις, τὸ ἓν τὸ ἐκ τούτων ἀποτελεσθὲν οὐχ ὁμολογήσομεν· ὅπερ εἴτε φύσιν μίαν καλεῖν τινι φίλον, εἴτε ὑπόστασιν, εἴτε Χριστὸν ἕνα, οὐ διαφερόμεθα· δι' ἑκάστου γὰρ ἐξ ἀνάγκης καὶ τὰ λοιπὰ συνεισάγεται.

A humanitate constante, si dicerent duas esse ejus naturas, vel eum in duabus naturis videri, quemadmodum et totum in partibus videri dicimus, vel tot esse Verbi partes, unitatem ex omnium unione perfectam agnoscentes, ut et si triangulum tribus rectis lineis constare aliquis diceret, ipsius trianguli cum una sit forma ex trium linearum rectarum conjunctione constituta; et domum lapidibus et ligno constitui, cum una quoque sit domus species quæ ex eorum compositione effecta est, forsitan huic rationi consentiretur. Si enim ea ex quibus Christus est duo sunt, in idem recideret dicere Christum ex duabus naturis esse, et in duabus naturis, et triangulum in tribus rectis, et ex tribus, et cætera quæ diximus, ita ut sit differentia in sola dictione, non autem in his quæ ex dictione cogitamus; ita ut liceat dicere unam compositi naturam, in duabus simplicibus exsistentem, quemadmodum in multis partibus unum totum esse dicimus. Si vero unam totius naturam compositam dicere omnino nolint, nos meritoque vocem in duabus suspicabimur. Et neque eo quod unus est Christus, negamus ea quibus illud unum constat, neque eo quod duas agnoscimus, naturas in unum convenientes, ex iis unum aliquid perfectum esse non confitebimur; quod sive quis unam naturam vocare velit, sive hypostasim, sive unum Christum, non contendemus: per singula enim et reliqua adducuntur.

B

C

Ἀντίῤῥησις μία, οὐδ' ἀποράδην καὶ αὕτη ἐκτεθεῖσα, πρὸς τὰς κατασκρωθείσας ἀνωθεν δόξας τῶν Μονοφυσιτῶν.

Responsio unica, neque longius eadem exposita ad constratas supra Monophysitarum opiniones.

κζ'. Τοιαῦτα μὲν οὖν, ὡς ἐκ βραχέων ἐστὶ γνῶναι, οἱ μίαν ἐπὶ Χριστοῦ φύσιν δοξάζοντες ἐπισφαλῶς ἄγαν καὶ τὸ ὅλον ἀνενδέκτως φασὶν, ἐκ τῶν ἀνθρωπίνων καὶ καθ' ἡμᾶς ἐπιχειρημάτων συνιστᾶν πειρώμενοι τὰ θεοπρεπῆ· ὃ δὲ καὶ πρότερον εἴρηκα, τοῦτο καὶ νῦν φημι, ὡς διῄρηται ἡ τοῦ Εὐτυχοῦς καὶ Διοσκόρου δόξα καὶ τῶν συμφρόνων αὐτοῖς, οὐδὲ μία τίς ἐστι καὶ σύντροχος· αὐτὸς μὲν γὰρ Εὐτυχὴς τοῦ σώματος ἠρνήθη τὴν πρόσληψιν, μηδὲν λέγων ἀνθρώπειον τὸν Θεὸν Λόγον ἐκ τῆς Παρθένου λαβεῖν, ἀλλὰ αὐτὸν ἀτρέπτως τραπέντα καὶ σάρκα γενόμενον τὴν πάροδον μόνην διὰ τῆς Παρθένου ποιήσασθαι· καὶ τῷ σταυρῷ προσηλωθῆναι καὶ προσπαγῆναι τὴν ἀπερίγραφον καὶ ἀπεριόριστον καὶ ἀχώρητον θεότητα τοῦ Μονογενοῦς, καὶ ταύτην, τῷ τάφῳ παραδοθεῖσαν, τετυχηκέναι τῆς ἀναστάσεως· ἰλιγγιάσας γὰρ πρὸς τὴν τῶν ἐναντίων σύνοδον, καὶ μὴ ἀποθαῤῥήσας πρὸς τὴν συνάφειαν, προεληλυθέναι τὸν Λόγον ἀπὸ γεννήσεως ἐδογμάτισε καὶ μὴ ἐν ἀληθείᾳ σῶμα ἐνδεδύσθαι, ἀλλὰ φαντάσαι τὴν οἰκονομίαν· ὡς ἐντεῦθεν πλασματώδη πάντα τὰ σωματικὰ ἐλέγχεσθαι τοῦ Θεοῦ, τήν τε ἐκ τῆς μητρικῆς γαστρὸς προέλευσιν, τὴν σπαργάνωσιν, καὶ ἁπλῶς τὴν ὅλην τῆς οἰκονομίας περιοδον, καὶ οἷον σκιὰν καὶ εἴδωλον τῆς ἡμετέρας φύσεως ἑαυτῷ προσενῶσαι τὸν Λόγον.

D

27. Talia igitur sunt, ut ex paucis videre est, quæ unam in Christo naturam esse docentes, periculose nimis et intolerabiliter omnino dicunt, ex humanis et terrestribus experimentis constituere tentantes divina: quod prius dixi, nunc et dico, nempe divisam esse Eutychis et Dioscori opinionem et eorum qui iis consentiunt, neque una est et concurrens. Ipse quidem Eutyches corporis assumptionem negabat, dicens nihil humani divinum Verbum ex Virgine accepisse, sed illud immutabiliter mutatum et carnem factum solum transitum per Virginem fecisse; et cruci affixam esse, et alligatam esse incircumscriptam et infinitam et incomprehensam divinitatem Unigeniti, eamque se pulcro traditam resurrectionem adeptam esse. Vertigine ad contrariorum viam pulsus, neque in eorum conjunctione confidens, prodiisse Verbum absque generatione docuit neque in veritate corpus induisse, sed sic rerum ordinem disposuisse ut inde omnia quæ ad corpus attinent fictitia esse creduntur Dei esse, ex matris ventre egressum, mamillarum tumorem, et omnem providentiæ ordinem, et quasi umbram imaginemque nostræ naturæ sibi univisse Verbum.

κη'. Οἱ δὲ Μονοφυσῖται λεγόμενοι, ὥσπερ Εὐτυχὴς

28. Qui vero Monophysitæ dicuntur, quemad-

modum Eutyches supposititio vultu et fictitio Verbum incarnationem simulasse docuit, sic et illi alia via procedentes, unam naturam de Christo dicere ausi sunt. Unam quidem et post unionem permansisse personam dicunt, non autem conjunctas naturas puras et inconfusas in suis proprietatibus servantem, sed post unionem ambas unum aliquid factas esse, confusas in sua immistione. Et aliud commune ex mistione apparuisse, quemadmodum et corpora ex quatuor elementis commistionem sortita, aliud quiddam post mistionem sunt. Neque ferrum neque nostrum corpus aut ignis aut aer aut aliquid ex elementis pura sunt ; sed ex eorum mistione formata sunt, et post mistionem aliquid aliud effecta sunt. Illic autem non res ita se habet. Sed postquam divina forma, nempe natura in una ex suis personis humanæ naturæ integræ conjuncta est, non aliud quiddam facta est ex ineffabili hac mistione et unione, sed post unionem naturæ inconfusæ permanent.

29. Ut autem ad exemplum quoddam vertamus oculos, hominem individuum supponamus ; in cujusdam personam pervenere ejus corpus et anima ; sed non aliud quiddam ultra est particularis homo. Hucusque modo stet exemplum. Si enim ulterius progrediamur, multam inveniemus differentiam. De particulari enim homine, proprie corpus et anima dicuntur, neque anima corpus appellaretur, neque corpus anima nominaretur. De Dei autem inter nos persona, et Deum secure diceremus hominem, et hominem Deum, mutatis vicissim et vicissim datis nominibus, secundum ineffabilem cohærentiam. Et particularium hominum communis est species ; unde secundum hanc individualitatem per omnia similes dicuntur. Singulatim enim homines, caracteribus differentes, similitudinem omnimodam secundum speciem habent. Divinæ autem illius naturarum hypostasis, non est aliquid commune nomen Christus appellatum, quemadmodum de nobis vocabulum homo, quia non sunt multi Christi, sed unus Patris terminus et Verbum quod divinitate unxit humanitatem.

30. Si quis autem cum Eutyche consentiens occurrerit et objecerit hominem duabus naturis constare, hunc autem a Deo assumptum esse, qui altera ultra hominem natura est, ita ut ex tribus naturis efformatum esse Christum credere oporteat, duabus quidem hominis, anima nempe ac corpore, una autem propria, hoc illi responderetur unita esse aliqua ex continuis dici, sed non ex distantibus. Cur enim ipse non dicis hominem ex quinque componi, vel quod verius esset, ex septem, una quidem anima, quatuor autem corporis elementis, et adhuc materia et forma, quæ longius sunt ? Et nos igitur Christum duabus naturis constare dicentes, tanquam unam naturam hominem accipimus, ad continuum attendentes neque ad naturas quibus ille constat.

A ὑποβολιμαίῳ προστώπῳ καὶ φασματώδει τὸν Λόγον ὑποκρίνασθαι τὴν σάρκωσιν ἐδογμάτιζεν, οὕτω δὴ καὶ οὗτοι, τὴν ἐναντίαν αὐτῷ τραπόμενοι, μίαν φύσιν ἐπὶ Χριστοῦ τετολμήκασι λέγειν · ἓν μὲν γὰρ καὶ μετὰ τὴν ἕνωσιν μεμενηκέναι φασὶ πρόσωπον, οὐ σῶζον δὲ τὰς συνελθυθυίας φύσεις καθαρὰς καὶ ἀσυγχύτους ἐν τοῖς ἰδίοις ἰδιώμασιν, ἀλλὰ μετὰ τὴν ἕνωσιν ἀμφοτέρας ἕν τι γεγονέναι, συγχυθείσας ἐν τῇ παρ' ἀλλήλας ἀνακράσει · καίτοι κοινὸν ἕτερον ἐκ τοῦ μίγματος φανῆναι, ὥσπερ καὶ τὰ σώματα ἐκ τῶν τεσσάρων στοιχείων εἰληχότα τὴν κρᾶσιν ἄλλο τι παρ' ἐκεῖνα τυγχάνει · οὔτε μὴν ὁ σίδηρος, οὔτε τὸ ἡμέτερον σῶμα, ἢ πῦρ ἐστι καθαρὸν, ἢ ἀὴρ, ἢ τι τῶν ἄλλων στοιχείων, ἀλλ' ἐξ ἐκείνων μὲν συνεκράθη, ἄλλο δέ τι μετὰ τὴν σύγκρασιν γέγονε. B Τὸ δὲ οὐχ οὕτως ἔχον ἐστίν · ἀλλὰ τῆς θείας μορφῆς ἤτοι φύσεως ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων τῇ ἀνθρωπίνῃ οὐσίᾳ ἀτομωθείσῃ συνελθυθυίας, οὐκ ἄλλο τι γέγονεν ἀπὸ τῆς ἀῤῥήτου ταύτης μίξεως τε καὶ κράσεως, ἀλλὰ μετὰ τὴν ἕνωσιν αἱ φύσεις τὸ ἀσύγχυτον ἔχουσιν.

κθ'. Ἵνα δὲ καὶ πρὸς τὸ παράδειγμα βλέψωμεν, ὁ καθέκαστον ὑποκείσθω ἄνθρωπος, εἰς οὔτινος ὑπόστασιν σῶμα διελήλυθε καὶ ψυχή · ἀλλ' οὐκ ἄλλο τι παρὰ ταῦτα ὁ μερικὸς ἄνθρωπος. Πλὴν μέχρι τούτου στήτω ἡμῖν τὸ παράδειγμα · προσωτέρω γὰρ χωροῦντες, πολλὴν τὴν διαφορὰν εὑρήσομεν · ἐπὶ μὲν γὰρ τοῦ μερικοῦ ἀνθρώπου, ἰδιαζόντως τὸ σῶμα καὶ ἡ ψυχὴ λέγονται, καὶ οὔθ' ἡ ψυχὴ σῶμα ἂν κληθείη ποτὲ, οὔτε τὸ σῶμα ψυχὴ προσαγορευθείη · ἐπὶ δὲ C τῆς τοῦ Θεοῦ καθ' ἡμᾶς ὑποστάσεως, καὶ τὸν Θεὸν θαῤῥούντως ἂν εἴποιμεν ἄνθρωπον, καὶ τὸν ἄνθρωπον Θεὸν, μεταχωρούντων ἀλλήλοις τῶν ὀνομάτων καὶ ἀντιδιδομένων, κατὰ τὴν ἀῤῥητον συμφυΐαν. Καὶ τῶν μὲν μερικῶν ἀνθρώπων ἐστὶ τὸ κοινὸν εἶδος · διὸ ἀπαράλλακτοι κατὰ τοῦτο τὸ μερικὸν λέγονται · οἱ γὰρ κατὰ μέρος ἄνθρωποι, τοῖς χαρακτῆρσι διεστηκότες, τὴν ἀπαραλλαξίαν κατὰ τὸ εἶδος ἔχουσι · τῆς δὲ θείας ἐκείνης τῶν φύσεων ὑποστάσεως οὐκ ἔστι τι κοινὸν ὄνομα Χριστὸς ὀνομαζόμενον, ὥσπερ ἐφ' ἡμῶν ἄνθρωπος, ὅτι μηδὲ πολλοὶ οὕτως Χριστοὶ, ἀλλ' εἷς ὁ τοῦ Πατρὸς ὅρος καὶ Λόγος τῇ θεότητι χρίσας τὴν ἀνθρωπότητα.

λ'. Εἰ δέ τις τὰ Εὐτυχοῦς φρονῶν ἀπαντήσει καὶ D προβαλεῖται ὡς ὁ ἄνθρωπος ἐκ δύο συνίσταται φύσεων, τοῦτον δὲ ὁ Θεὸς προσελάβετο, ἑτέρα φύσις παρὰ τοῦτον τυγχάνων, ὥστε ἐκ τριῶν φύσεων δοξάζειν χρεὼν τὸν Χριστὸν, δύο μὲν τῶν τοῦ ἀνθρώπου, ψυχῆς λέγω καὶ σώματος, μιᾶς δὲ τῆς οἰκείας ἐκεῖνο πρὸς αὐτὸν λέγοιτο, ὅτι τὰ ἑνούμενα ἐκ τῶν προσεχῶν ἑνοῦσθαι λέγεται, ἀλλ' οὐχὶ τῶν πόῤῥω · διὰ τί γὰρ αὐτὸς μὴ τὸν ἄνθρωπον ἐκ πέντε λέγει συγκεῖσθαι, ἢ τό γε ἀληθέστερον ἑξ ἑπτὰ, μιᾶς μὲν τῆς ψυχῆς, τεσσάρων δὲ τῶν στοιχείων τοῦ σώματος, καὶ ἔτι ὕλης καὶ εἴδους, τῶν πόῤῥωτέρω ; Καὶ ἡμεῖς γοῦν τὸν Χριστὸν ἐκ δύο φύσεων δογματίζοντες, ὡς μίαν φύσιν τὸν ἄνθρωπον προσλαμβάνομεν, πρὸς τὸ προσεχὲς ἀφορῶντες, καὶ οὐ πρὸς τὰς φύσεις, ἐξ ὧν ἐκεῖνος συνέστηκεν.

λα'. Εἰ δὲ καὶ πρὸς ταύτην λυττᾷ τὴν ἐπίλυσιν, καὶ ἑτέραν προσθήσομεν· ὡς ὁ ἄνθρωπος ἢ μερικός ἐστιν ἢ καθόλου· ἡμεῖς δέ φαμεν τὸν καθόλου ἄνθρωπον, τουτέστιν ἀνθρωπείαν φύσιν, εἰληφέναι τὸν Κύριον, ἥτις δὴ καὶ ἀσύνθετός ἐστι, καὶ διὰ τοῦτο μία φύσις λέγεται. Ἐπεὶ γοῦν τοῦτον κοινὸν τῆς ἀνθρωπίνης φύσεως λόγον ἀνέλαβεν, ἀτομώσας ἐν τῷ προσλήμματι, διὰ τοῦτο ἐκ δύο συνεστάναι τὸν Κύριον δογματίζομεν φύσεων· ἓν δὲ πρόσωπον καὶ μετὰ τὴν ἕνωσιν λέγομεν, ὃ δὴ καὶ Θεός ἐστι καὶ ἄνθρωπος τέλειος διὰ τὴν καινοπρεπεστάτην ἀντίδοσιν· μὴ γὰρ τὰς φύσεις παραχαράξας τὰ ἐξ ὧν ἐν οἷς ἅπερ πέφυκε σώζων ἐστίν· ἔκ τε γὰρ δύο ὑφέστηκε φύσεων, καὶ ἐν ταύταις ταῖς φύσεσι πέφυκε, μᾶλλον δὲ οὐδὲν ἕτερον παρὰ ταύτας ἐστίν, ἀλλὰ τοῦτο αὐτό ἐστι, δύο φύσεις, Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος· οὐ γὰρ εἴ τι ἐξ ὧν ἐστι, τοῦτο δὴ αὐτὰ τυγχάνει τὰ ἐξ ὧν ἐστιν· ἐκ πυρὸς γὰρ καὶ γῆς οὐρανὸς κατὰ Πλάτωνα συνέστηκεν· ἀλλ' οὐχ ἅπερ ἐκεῖνα, ὁ οὐρανὸς πέφυκεν· ὁ δὲ Χριστὸς ἐξ ὧν συνέστηκεν, ἐκεῖνα τυγχάνει, οὐκ ἄλλο τι ποιησάσης τῆς μίξεως. Ἐκ δύο γοῦν φύσεων ὁ Χριστὸς καὶ ἐν ταύταις ταῖς φύσεσιν. Ἀλλὰ καὶ ἐπὶ παραδείγματος, εἷς μέν ἐστιν ὁ ἥλιος, φύσεις δὲ ἐν αὐτῷ δύο, ἡ μὲν τοῦ φωτὸς, ἡ δὲ τοῦ ἡλιακοῦ σώματος· καὶ ὁ Χριστὸς εἷς ἐστι, φύσεις δὲ δύο, ἡ μὲν ὑπὲρ ἡμᾶς, ἡ δὲ ἡμετέρα· ἐν γὰρ τῷ αὐτῷ καὶ ἐπὶ ὀνόματι ἑκατέρων τῶν πραγμάτων σημασία δείκνυται, θεότητος λέγω καὶ ἀνθρωπότητος· διὸ καὶ ἄνθρωπος λέγεται ὁ Χριστὸς, καὶ Θεὸς λέγεται ὁ Χριστός· Ἀμέλει καὶ τοῦ σώματος τυπτομένου παρὰ τοῦ ὑπηρέτου, ὡς αὐτὸς πάσχων ἔλεγε, *Τί με δαίρεις;* καὶ ἄφαυστος ὢν τὴν φύσιν, ὅμως ἔλεγε, *Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας*· ἃ γὰρ τὸ ἀνθρώπινον ἔπασχε τοῦ Λόγου, ταῦτα συνὼν αὐτῷ ὁ Λόγος εἰς ἑαυτὸν ἀνέφερε· διὰ τοῦτο καὶ ὁ ἥλιος, ὁρῶν τὸν δημιουργὸν αὐτοῦ ἐν τῷ ὑβριζομένῳ σώματι ἀνεχόμενον, τὰς ἀκτῖνας συνέστειλε, καὶ ἐσκότισε τὴν γῆν.

λβ'. Καὶ ὁ Θεολόγος Γρηγόριος οὕτω φησι· Τοῦτο ἡ κενωθεῖσα θεότης, τοῦτο ἡ προσληφθεῖσα σὰρξ, οὐ τῇ πρὸς τὸν Θεὸν Λόγον ἑνώσει κατὰ τὴν ἀνάκρασιν συγχυθεῖσα, καὶ εἰς μίαν οὐσίαν ἀποτελευτήσασα, οὐ γὰρ φυρμὸν ἢ ἀνάχυσιν ὁ Λόγος πρὸς τὴν ἀνθρωπότητα ἔπαθεν, ἢ μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν, ἀλλὰ, σκηνώσας ἐν ἡμῖν, οὐ μεθῆκε τὸ ἴδιον· μεμένηκε δὲ ὅπερ ἦν, καὶ καθ' ἕνωσιν φυσικὴν νοεῖται ὡς ἕτερον ἐν ἑτέρῳ· τουτέστιν ἡ θεία φύσις ἐν ἀνθρωπότητι, μὴ παθοῦσα κρᾶσιν ὁποίαν ἡ τῶν ὑγρῶν ἕνωσις· εἰ γὰρ κέκρανται αἱ φύσεις, εἰς μίαν μίξιν ἑτερούσιαι τυγχάνουσαι, οὐδ' ὁποτέρα σώζεται, ἀλλ' ἀμφότερα συγχυθεῖσαι ἠφανίσθησαν· καὶ οὔτε χωρισμὸν ἀπ' ἀλλήλων, οὔτε διαίρεσιν ἐπιδέχονται κεκραμέναι. Ἡνώθησαν δὲ ἀῤῥήτῳ καὶ ἀφράστῳ λόγῳ, καὶ τῶν ἁπλῶν ἑκάτερον ἐν τῷ συνθέτῳ τὸν τῆς ἰδίας φύσεως σώζει λόγον· ἐπεὶ καὶ ὧν ὁ λόγος οὐχ εἷς τούτων οὐδὲ ἡ

31. Et si ad hanc solutionem rabie excandescat, et aliam adducemus, nempe hominem esse vel in individuo, vel in universo. Nos autem dicimus hominem in universo, id est humanam naturam Dominum assumpsisse, quæ certe et incomposita est et ideo una natura dicitur. Quoniam igitur hanc communem humanæ naturæ rationem assumpsit, eam non dividens in illa assumptione, ideo duabus naturis constare Christum docemus. Unam autem personam et post unionem dicimus, quæ quidem est Deus et homo perfectus ob hanc insolitam communionem. Cum autem non adulteraverit naturas, ea ex quibus et in quibus et quæ est servat. Duabus enim naturis constituitur, et est in his naturis, imo vero nihil aliud est extra eas, sed hoc ipsum est, duæ naturæ, Deus perfectus et homo perfectus. Si quid enim ex quibus est, non est ea ex quibus est; igne enim et terra cœlum constat, juxta Platonem; sed non quod ea sunt, cœlum est. Christus vero est illa quibus constat, nihil aliud commistione efficiente; ex duabus igitur naturis Christus et in his duabus naturis. Sed et exempli gratia, unus quidem est sol, naturæ autem quæ in illo sunt, duæ, luminis quidem et solaris corporis. Et Christus unus est, naturæ autem duæ, una quidem supra nos, et nostra. In eodem enim et uno nomine, utriusque rei significatio ostenditur, divinitatis dico et humanitatis. Ideo et homo dicitur Christus, et Deus dicitur Christus. Nimirum et quando corpus ejus a servo verberatur, tanquam ipse passus dicebat: « Quid me cædis[a]? » Et cum natura tangi non posset, dicebat tamen: « Dorsum meum dedi percutientibus[b]. » Quæ enim humanitas Verbi patiebatur, hæc cum ea conjunctum Verbum in se referebat. Idcirco sol, cernens suum Creatorem in corpore male habito sustinentem, radios coercuit et terram tenebris contegit.

32. Et Gregorius Theologus sic loquitur: Hoc privata Divinitas, illud assumpta caro, non per suam cum Deo Verbo unionem permistione confusa, et in unam substantiam terminata; (non enim mistionem aut confusionem Verbum cum humanitate passus est, aut in id quod non erat conversionem, sed habitans in nobis, non reliquit quod sibi proprium erat. Permansit autem quod erat, et secundum naturalem unionem concipitur ut alterum in altero; id est divina natura in humanitate, non permistionem sustinens qualem liquidorum unio. Si enim permistæ essent naturæ, in una mistura dissimilibus substantiis versatis, neutra servatur, sed ambæ confusæ evanuerunt. Et neque separationis neque divisionis capaces sunt permistæ. Unitæ sunt ineffabili et indicibili ratione, et simplicium utrumque in compositio proprie naturæ rationem servat; quorum enim non

[a] Joan. xviii, 23. [b] Isa. l, 6.

est una ratio, eorum non est una natura, nihil imminuta, per aliorum cum aliis concursum et unionem, eorum naturali perfectione; ut videre est de unione aeris et luminis. Manifesta enim utrinque permansit naturalis proprietas, nihil per unionem læsa. Neque enim lumen aliquid suæ naturæ amisit cum aere permistum, neque rursum aer in propria substantiæ suæ ratione quidquam passus est, eo quod lumen acceperit. Unde et dicimus passum esse Emmanuelem in ea natura quæ pati poterat, et permansisse impassibilem in impassibili Divinitatis substantia; quia aliud et aliud sunt ea ex quibus Christus; et patitur quidem humane propter carnem, in quantum est homo; divine autem est impassibilis, ut Deus. Non alius autem est et alius, ut volebat Nestorius, hucusque delirans: qui ad patiendum natus erat, passus est; qui impassibilis erat, non passus est, ut Deus.

A φύσις μία, πρὸς οὐδὲν ὑπὸ τῆς πρὸς ἄλληλα συνδρομῆς καὶ ἑνώσεως μειουμένης αὐτῶν τῆς φυσικῆς τελειότητος· ὡς ἔστιν ἰδεῖν καὶ ἐπὶ τῆς ἑνώσεως τοῦ ἀέρος καὶ τοῦ φωτός· εἰλικρινὴς γὰρ ἡ ἑκατέρου φυσικὴ μεμένηκεν ἰδιότης, μηδὲν ὑπὸ τῆς ἑνώσεως παρατρωθεῖσα· οὔτε γὰρ τὸ φῶς ἀπήμβλυνέ τι τῆς ἑαυτοῦ φύσεως τῷ ἀέρι μιχθὲν, οὔτε πάλιν ὁ ἀὴρ εἰς τὸν ἴδιον τῆ; οὐσίας πέπονθε λόγον, καθὸ ἀὴρ ἐστι τὸ φῶς δεξάμενος· ὅθεν καὶ φαμὲν παθεῖν τὸν Ἐμμανουὴλ τῷ πεφυκότι πεπονθέναι, καὶ μεμενηκέναι ἀπαθῆ τῷ κατ' οὐσίαν ἀπαθεῖ τῆς θεότητος· ὅτι ἄλλο καὶ ἄλλο τὰ ἐξ ὧν ὁ Χριστός· καὶ πάσχει μὲν ἀνθρωπίνως σαρκὶ, καθὸ ἄνθρωπος· ἀπαθὴς δέ ἐστι θεϊκῶς, ὡς Θεός. Οὐκ ἄλλος δέ ἐστι καὶ ἄλλος, ὡς ἠβούλετο Νεστόριος, οὕτω ληρῶν· ὁ B μὲν παθεῖν πεφυκὼς ἔπαθεν, ὁ δὲ ἀπαθὴς οὐκ ἔπαθεν ὡς Θεός.

NICETÆ CHONIATÆ

EX LIBRO X

THESAURI ORTHODOXÆ FIDEI.

De quinta synodo, quæ quartam synodum confirmarit et stabilivit, convocata sub imperio Justiniani.

C *Περὶ τῆς πέμπτης συνόδου, ἥτις τὴν τετάρτην σύνοδον ἐπεκύρωσε καὶ ἐκράτυνε, συγκροτηθεῖσα ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ.*

1. De his quæ evenerunt statim post Dioscori et Eutychis depositionem et post lectam in synodo et traditam sanctissimi papæ Romani Leonis epistolam. Chalcedonensis sacra et divina quarta synodus sancivit se ita credere et confiteri Dominum nostrum Jesum Christum in Divinitate perfectum et in humanitate perfectum, in duabus naturis cognitum inconfuse et indivise, et unum eumdem Filium confiteri ut ante incarnationem, sic post incarnationem. Naturarum differentia minime post unionem sublata, servata autem potius et concurrente in unam personam et unam hypostasim; unde Patrum unusquisque multa precati imperatori Marciano in proprias provincias rediere.

α'. Περὶ τῶν συμβάντων μετὰ τὴν καθαίρεσιν αὐτίκα τοῦ Διοσκόρου καὶ Εὐτυχοῦς καὶ τὴν ἐπὶ συνόδου ἀνάγνωσιν καὶ παράδοσιν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πάπα Ῥώμης Λέοντος. Ἡ μὲν οὖν ἐν Χαλκηδόνι ἱερὰ καὶ θεία τετάρτη σύνοδος κεκύρωκεν οὕτω δοξάζειν καὶ ὁμολογεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τέλειον, ἐν δύο φύσεσι γνωριζόμενον ἀσυγχύτως καὶ ἀδιαιρέτως, καὶ ἕνα τὸν αὐτὸν υἱὸν ὁμολογεῖν ὡς πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν ἐνανθρώπησιν· τῆς τῶν φύσεων διαφορᾶς οὐδαμῶς D ἀνῃρημένης μετὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον καὶ συντρεχούσης εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν· ὅθεν καὶ τῶν Πατέρων ἕκαστος πολλὰ τοῦ βασιλέως ὑπερευξάμενοι Μαρκιανοῦ, εἰς τὰς οἰκείας ἐπαρχίας ἀπῆτρεχον.

2. Classis autem quæ Alexandria Constantinopolim descendebat cum Dioscoro hujus urbis episcopo et chorepiscopis qui sub ejus potestate erant seditione excita multas operatur cædes eorum qui sui episcopi Dioscori depositioni et exsilio consenserant, suis actibus confirmans violentiorem igne esse navalem inobedientiam. Sed et Palæstinæis episcopis Constantinopoli commorantibus, monachi quidam Theodosium quemdam auctorem secuti, Ecclesiæ corpus scindere cœperunt, et indivisibilem ejus tunicam diffringere, et epis-

β'. Τὸ δὲ ἐκ τῆς Ἀλεξανδρείας ναυτικὸν ὃ κατῆρεν εἰς Κωνσταντινούπολιν ἅμα Διοσκόρῳ τῷ τῆς πόλεως ταύτης ἐπισκόπῳ καὶ τοῖς ὑπὸ τὴν ἐπικράτειαν αὐτοῦ χωρεπισκόποις στασιάσαν πολλοὺς ἐργάζεται φόνους τῶν τῇ καθαιρέσει καὶ ἐξορίᾳ συναινεσάντων τοῦ ἱερέως σφῶν τοῦ Διοσκόρου, ἐκ τῶν ἔργων αὐτοῦ πιστούμενοι δραστικωτέραν εἶναι πυρὸς ἀπαιδευσίαν τὴν ναυτικήν. Ἀλλὰ καὶ τῶν ἐκ Παλαιστίνης ἱερέων ἐνδιατριβόντων ἔτι τῇ Κωνσταντινουπόλει, τινὲς τῶν μοναχῶν, ἔχοντές τινα Θεοδόσιον ἔξαρχον αὐτῶν, ἤρξαντο τὸ τῆς Ἐκκλη-

σίας σῶμα διασπᾷν, καὶ ἄλυτον αὐτῆς χιτῶνα διαῤῥηγνύειν, καὶ τοὺς ἐν τῇ συνόδῳ ἐπισκόπους ἀναθεματίζειν, καὶ ἑτέρους χειροτονεῖν ἀντ' αὐτῶν· φημίζοντες ὡς ἡ σύνοδος ἐκύρωσε καὶ ἀνεκαίνισε τὸ Νεστορίου δόγμα, προφάσει τῆς δυϊκῆς φωνῆς τῶν φύσεων τοῦτο τερατευόμενοι· ὅθεν κατέλαβον πᾶσαν τὴν Παλαιστίνην καὶ Αἴγυπτον, καὶ τὰ ἐν τῇ ἐρήμῳ μοναστήρια· καὶ τὰ πλεῖστα τούτων παρέπεισαν μὴ δέχεσθαι τὰ κυρωθέντα παρὰ τῆς τετάρτης συνόδου.

A scopos qui synodo adfuerant anathematizare et alios pro illis ordinare; divulgantes synodum confirmasse et renovasse Nestorii doctrinam, duplicis naturarum vocis prætextu hoc fingente; unde astrinxere totam Palæstinam et Egyptum et quæ in deserto erant monasteria; et plerisque persuaserunt ne reciperent ea quæ a quarta synodo sancita erant.

γ'. Διέλαμπε δὲ τοῖς ἐκεῖσε τότε μέρεσιν ὁ ἐπώνυμος ἐπ' ἀρετῇ Πατὴρ ἡμῶν Εὐθύμιος, ὃς καὶ τῆς κακοδοξίας τῶν πλείστων ἀπέστη μετὰ καὶ τῶν σὺν αὐτῷ μοναχῶν· δεξάμενος γὰρ τὸν ἐν τῇ συνόδῳ ἐκφωνηθέντα ὅρον, συνεῖχεν αὐτοὺς καὶ παντοίως ἐπιχείρει πείθειν ὡς ἔννομον ἡ σύνοδος καὶ ὀρθὴν ἐποιήσατο τὴν τῶν δύο φύσεων ἐκφώνησιν, καὶ πολλοὺς ἀπήλειφε καὶ παρεσκεύαζεν οὕτω φρονεῖν. Ὡς δὲ τὸ κακὸν πλέον ἐπενέμετο, χειρὶ τῆς βασιλίστης Εὐδοκίας μάλιστα κρατυνόμενον ἐκεῖσε περὶ τοὺς ἁγίους τόπους διατριβούσης, συνταξάμενος καὶ παραγγείλας τοῖς ἑαυτοῦ μοναχοῖς μὴ κοινωνῆσαι τῇ κακοδοξίᾳ Θεοδοσίου, ἀπεδήμησεν ἐν τῇ ἐρήμῳ. Μετ' οὐ πολὺ δὲ γνωρίσαντος αὐτοῦ τῇ Εὐδοκίᾳ τὴν φανερωθεῖσαν αὐτῷ ἐκ Θεοῦ μετάστασιν αὐτῆς ἐκ τοῦ σώματος, ἐκείνης τε ἀνιωμένης διὰ τὰ συμβάντα ἐν Ῥώμῃ δεινὰ τῶν αὐτῆς συγγενῶν ἐκεῖσε αἱχμαλωτισθέντων, καὶ ταῦτα λέγοντος αὐτοῦ διὰ τὴν αἱρέσεως κοινωνίαν ἐπενεχθῆναι αὐτῇ κατὰ θείαν συγχώρησιν, κἀκείνη τε τῆς τοιαύτης ἀπέστη αἱρέσεως, καὶ τοῖς κυρωθεῖσιν ὑπὸ τῆς συνόδου ἐστοίχησε, καὶ τὰ τοῦ Θεοδοσίου ἀνεθεμάτισε δόγματα, μίαν φύσιν τοῦ Λόγου καὶ τῆς σαρκὸς δογματίζοντος, καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον ἐξοστρακίζοντος· καὶ πολλοὶ τῶν ἀποσχιστῶν αὐτῇ ἐκοινώνησαν, καὶ τὰ τῆς ὀρθοδοξίας ἠσπάσαντο δόγματα.

3. Illuxit autem suis partibus vir qui ex sua virtute cognominatus est Euthymius, Pater noster, qui et ex hac mala doctrina cum suis monachis declinavit. Postquam enim accepit declaratam a synodo definitionem, eos congregavit et omni modo illis persuadere tentavit synodum legitimam et rectam hanc definitionem pronuntiasse, et multos præmunivit induxitque ut sic crederent. Cum autem illud malum invalesceret, ab imperatrice Eudoxia præsertim roboratum tunc temporis illic prope loca sancta degente, præcepit suis monachis eosque hortatus est ne malæ Theodosii doctrinæ communicarent, recessitque in desertum. Paulo post autem cum Eudoxiæ ex divina revelatione ipsius migrationem eo corpore, brevi futuram declarasset, illaque tristitia afficeretur propter propinquorum mala qui Romæ bello capti erant, diceretque ea propter ejus cum hæreticis communionem, Deo permittente, accidisse, illaque ex hac hæresi abstilit, et ad dogmata a synodo confirmata rediit, et Theodosii dogmata anathematizavit, qui unicam Verbi et carnis naturam docebat et Chalcedonensem synodum proscribebat; et multi ex schismaticis ipsi adhæserunt, et orthodoxorum dogmata amplexi sunt.

δ'. Ταράχου δὲ πάλιν οὐ τοῦ τυχόντος τὴν Ἐκκλησίαν κατέχοντος, Λέων ᾧ τὸ ἐπώνυμον Μακέλλης, μετὰ Μαρκιανὸν βασιλεὺς ἀναρρηχθείς, ἐβούλετο μὲν καὶ αὐτὸς σύνοδον συγκροτῆσαι περὶ τούτων· γνοὺς δὲ ὡς οὐ πρὸ πολλοῦ ἡ ἐν Χαλκηδόνι συνήθροιστο, καὶ μὴ θέλων αὖθις τοὺς ἐπισκόπους ταῖς συχναῖς ἀποδημίαις καὶ μεταβιβάσεσι καταῤῥύχεσθαι, τοῖς καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόποις κελεύσεις ἀπέστειλε, δηλώσας δι' αὐτῶν, ποῖον ἔχουσι φρόνημα περὶ τῆς ἐν Χαλκηδόνι συστάσης συνόδου, παραστῆσαι οἱ διὰ τάχους· οὗ γεγονότος, πλείους ἢ χίλιοι ἐπίσκοποι ὑπέγραψαν καὶ τὴν σύνοδον ἐπεκύρωσαν. Τοῦ δὲ Λέοντος τὸν βίον μεταλλαχότος, Ζήνωνός τε καὶ Ἀναστασίου μετ' ὀλίγον βασιλευσάντων, παῤῥησίαν τοῦ λέγειν αὖθις κατὰ τῆς συνόδου οἱ δι' ἐναντίας ἐλάμβανον, καὶ τὸ τῶν Ἰακωβιτῶν καὶ Θεοδοσιανῶν ἐκώμασε πλῆθος, μίαν φύσιν τοῦ Λόγου καὶ τῆς σαρκὸς πρεσβευόντων, καὶ τὴν σύνοδον ἀναθεματιζόντων. Οἱ δ' αὐτοὶ ἐπειρῶντο καὶ τὸν τόμον ἀνατρέψαι τοῦ ἐν ἁγίοις Λέοντος πάπα Ῥώμης· ἀλλ' Εὐλόγιος ὁ ἐν ἁγίοις

4. Turbata autem valde Ecclesia rursum Leo cui cognomen Macelles, post Marcianum imperator electus, volebat quidem ipse synodum de his convocare. Cum autem didicisset Chalcedonensem non multo ante habitam esse, nolletque rursum episcopos continuis itineribus et translationibus vexare, singularum provinciarum episcopis misit mandata, quibus postulabat ut suam de Chalcedonensi synodo sententiam sibi quam citissime notatum facerent. Quibus acceptis mandatis, plures quam mille episcopi rescripserunt, synodumque confirmarunt. Postquam autem mortuus est Leo, Zenoque et Anastasius paulo post regnum adepti sunt, rursus contra synodum adversarii loqui ausi sunt et Jacobitarum Theodosianorumque commissata est multitudo, unamque Verbi et carnis naturam prædicabant synodumque anathematizabant. Iidem porro conabantur sancti papæ Romani Leonis tomum evertere. Sed Eulogius tomum hunc explicavit, ostendit eum recta incedere nihilque obliquum et ab orthodoxa fide

alienum illo inferri omnibus dilucide monstravit. Attamen et sic diutius in oblivionem incidit synodus, et unusquisque quod sibi jucundum esset principium arripuit, et quoniam singuli ad sibi acceptam fidem confugiebant, magna hæreticorum et schismaticorum multitudo recrevit. Anastasius igitur, magnæ Antiochiæ antistes pro synodo instituit, et dogmaticos canones scripto deposuit; ipsamque synodum bene omnia definivisse contendit, et plena esse pietate ejus esse dogmata demonstrat.

τὸν τε τόμον ἐξηγήσατο (1), καὶ καλῶς ἔχειν τοῦτων ἀπέδειξε, καὶ μηδὲν σκολιὸν καὶ τῆς ὀρθοδόξου πίστεως ἀπέχον, τούτῳ ἐμφέρεσθαι διετράνωσεν ἅπασι. Πλὴν καὶ οὕτως ἡ τε σύνοδος ἐπὶ πολὺ ἀμνημόνευτος ἔμεινε, καὶ πᾶς τις τὴν ἐκείνῳ θυμήρη ἐπεσπᾶτο ἀρχήν, καὶ διὰ τὸ ὡς εἰπεῖν ἕκαστον πρὸς τὴν δοκοῦσαν ἑαυτῷ πίστιν ἀποτρέχειν, πλῆθος ὅτι πολὺ αἱρετικῶν ἀνεφύη καὶ ἀποσχιστῶν. Ἀναστάσιος μὲν οὖν ὁ τῆς μεγάλης Ἀντιοχείας πρόεδρος ὑπὲρ τῆς συνόδου ἐνίστατο, καὶ δογματικοὺς κανόνας ἐγγράφως ἐκτίθεται· αὐτήν τε τὴν σύνοδον καλῶς ἐπὶ πᾶσιν ὁρίσαι παρίστησι, καὶ πλήρη θεοσεβείας εἶναι τὰ ταύτης συνίστησι δόγματα.

5. Fautores autem Caii, et Dioscori, et Jacobi ac postea Severi, et Joannis Philoponi qui et scripta multa de hac hæresi edidit intolerabilia ægreque reffellenda, unicam quidem naturam, duas vero hypostases impiissime docuerunt. In quibusdam tamen suorum librorum locis et ipsi duas naturas confitentur, sed addendum est, ne tali sermonis oppositione decipiamur et erremus, eos partim eadem ac nos opinari, quod plerique non accurate animadverterunt, et inde in eorum impietatem inducti sunt. Quidnam igitur docent? Quando in Christo convenientes naturas, alteram ab altera separant, duas esse eas necessario confitentur; quando autem utramque in Christi incarnatione uniunt, tunc non duas inconfusas convenientes ponunt, sed unam naturam compositam. Nobis unam hypostasim compositam nominantibus, illi unam compositam naturam opponunt, et sic verbum ludibrio habent. Quia quemadmodum homo animam et corpus habet, et altera quidem animæ, altera autem corporis natura, siquis unamquamque per se intueatur, postquam autem unitæ sunt, hominem efficiunt unicam naturam compositam habentem; sic etiam Christum putant duabus naturis constare; post unionem vero unam esse naturam compositam.

ε'. Οἱ δὲ περὶ Γάϊον, καὶ Διόσκορον, καὶ Ἰάκωβον, καὶ ὕστερον τὸν Σεβῆρον, καὶ τὸν Φιλόπονον Ἰωάννην, τὸν καὶ συγγράμματα ἐξενηνοχότα πλεῖστα περὶ τῆς τοιαύτης αἱρέσεως δυσφορώτατα καὶ δυσέλεγκτα (1), μίαν μὲν φύσιν, δύο δὲ ὑποστάσεις ἀσεβέστατα ἐδογμάτισαν· πλὴν ἐνιαχοῦ τῶν οἰκείων βιβλίων, δύο καὶ αὐτοὶ φύσεις ἀνομολογοῦσιν. Ἀλλὰ προσεκτέον ὥστε μὴ κλαπῆναι ἀπὸ τῆς τοιαύτης ἐναντιολογίας, μηδὲ ἀπατηθῆναι, ὅτι ἐν μέρει καὶ αὐτοὶ τὰ ἡμῖν δοκοῦντα δοξάζουσιν, ὅπερ οἱ πολλοὶ μὴ ἀκριβοῦντες ᾠήθησάν τε καὶ τρόπον τινὰ εἰς τὴν ἀσέβειαν αὐτῶν ἀπηνέχθησαν. Τί ποτ' οὖν ἐστι τὸ παρ' αὐτῶν δοξαζόμενον; Ὅταν μὲν τὰς συνελθούσας τῷ Θεῷ φύσεις καθ' ἑαυτὰς ἑκάστην διαστήσωσι, δύο ταύτας ἀνομολογοῦσιν ἀναγκαζόμενοι· ὅταν δὲ ἀμφοτέρας ἑνώσωσιν εἰς τὴν τοῦ Λόγου σάρκωσιν, τότε οὐ δύο ἀσυγχύτους τὰς συνελθούσας τιθέασιν, ἀλλὰ μίαν φύσιν σύνθετον· ἡμῶν γὰρ μίαν ὑπόστασιν σύνθετον ὀνομαζόντων, ἐκεῖνοι μίαν σύνθετον φύσιν ἀντιτιθέασι, καὶ παραδειγματίζουσιν οὕτω τὸν λόγον· ὅτι, ὥσπερ ὁ ἄνθρωπος ψυχὴν ἔχει καὶ σῶμα, καὶ ἄλλη μὲν φύσις ψυχῆς, ἄλλη δὲ σώματος, εἴ τις καθ' ἑαυτὴν ἑκάστην θεωροίη· ἐπειδὰν δὲ συνέλθωσιν, ἄνθρωπον ποιοῦσι φύσιν ἔχοντα μίαν σύνθετον· οὐδὲ γὰρ δεῖ λέγειν τὸν ἄνθρωπον, φασὶ, δύο φύσεις, ἀλλὰ μίαν σύνθετον· οὕτω δὴ καὶ τὸν Χριστὸν οἴονται ἐκ δύο μὲν συνεστηκέναι φύσεων, μετὰ δὲ ἕνωσιν μίαν εἶναι φύσιν σύνθετον.

6. Idcirco et magnus in theologia Gregorius *ex quibus*, et *in quibus* dicit et *quæ*, de divinis naturis sermonem habens. Illud enim, *ex quibus* posuit, ut ex divinitate unitatem doceret; illud autem *in quibus*, ut naturas servaret, etiam post unionem; et ne eas per eam utriusque unionem confunderet; illud autem, *quæ*, ne quis putet alium factum esse Christum post naturarum unionem. Et examinanda est doctrinæ accurata expositio. Ex quatuor elementis esse nostrum corpus in confesso est, igne, aere, aqua, terra, et in his elementis constitutio-

ς'. Διὰ ταῦτα καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος *ἐξ ὧν*, καὶ *ἐν οἷς*, φησὶ, καὶ *ἅπερ*, περὶ τῶν θείων δογματίζων φύσεων· τὸ μὲν γὰρ *ἐξ ὧν* τέθεικε, ἵνα τὴν ἐκ θεότητος ἑνωτικὴν δογματίσῃ ἕνωσιν· τὸ δὲ *ἐν οἷς*, ἵνα τηρήσῃ τὰς φύσεις καὶ μετὰ τὴν ἕνωσιν· καὶ μὴ συγχέῃ ταύτας διὰ τὸ ἑνῶθαι ἀλλήλαις· τὸ δὲ *ἅπερ*, ἵνα μὴ οἰηθῇ τις ὅτι ἄλλος γέγονεν ὁ Χριστὸς μετὰ τὴν τῶν φύσεων ἕνωσιν. Καὶ σκοπητέον τὴν ἀκρίβειαν τοῦ δόγματος· ἐκ τεσσάρων στοιχείων τὸ ἡμέτερον σῶμα ἀνωμολόγηται, πυρὸς, ἀέρος, ὕδατος, γῆς, καὶ ἐν τούτοις τοῖς στοιχείοις τὴν σύστα-

(1) Eulogii fragmenta multa legesis apud nos Coll. Vat. t. VII, itemque aliqua Classic. AA. t. X. Eulogii ejusdem homiliam in Ramos Palmarum habuit Holstenius, teste ipso in epistolis, p. 209.

(2) De his Joan. Philoponi operibus, quæ mss. in manibus habemus, alibi nos locuturi sumus. Porro quæ in sequentibus (itemque partim in præcedentibus) Nicetas noster de tot sectis Monophysitarum scribit, ea sæpe ad verbum exscribit Nicephorus Callistus lib. XVIII, 45 et seqq. qui plus centum post Nicetam annis historiam suam alienis exuviis auxit atque exornavit. Itaque nos pleraque omisimus.

σιν ἔχει σώζεται γοῦν ἐν τῷ σώματι καὶ τὸ, ἐξ ὧν, καὶ τὸ, ἐν οἷς, οὐ μὴν τὸ, ἅπερ· μετὰ τὴν ἕνωσιν τῶν στοιχείων τὸ ἡμέτερον σῶμα οὔτε καθαρῶς ἐστι πῦρ, οὔτε εἰλικρινῶς ἀὴρ, οὔτε ἀνόθευτος γῆ, ἀλλ' ἕτερόν τι παρὰ τὰ τέσσαρα. Καὶ δῆλον ἀπὸ τῆς αἰσθήσεως· ἕκαστον γὰρ τῶν μερῶν τοῦ ἡμετέρου σώματος ἄλλο τι παρὰ τὰ στοιχεῖά ἐστιν· ἐπὶ δὲ τῆς θείας ἑνώσεως οὐκ ἄλλο τι μετὰ τὴν συνδρομὴν τῶν δύο φύσεων γέγονεν· ἀλλ' αὐτὸ τοῦτό ἐστι ὁ Χριστὸς, καὶ Θεὸς καὶ ἄνθρωπος. A

ζ'. Ἡ δὲ τοιαύτη αἵρεσις γέγονε παρὰ τὰς ἄλλας ὥσπερ ἀκριβεστέρα, διὰ τὸ σχεῖν προστάτας ἄνδρας σοφούς· ὁ γάρ τοι Ἰωάννης ὁ Φιλόπονος ὀνομαζόμενος κατὰ μὲν τὴν ἰδέαν τοῦ λόγου οὐ τῶν πάνυ ἐπαινουμένων ἐστὶ, φιλόσοφος δὲ ἀκριβέστερος καὶ περὶ τὰς ἀποδείξεις θαυμασιώτατος· ὃς δὴ ὑπὸ Σεργίου τοῦ τηνικαῦτα πατριάρχου Κωνσταντινουπόλεως παρακληθεὶς τὴν τοιαύτην ἐν γράμμασι συστήσασθαι αἵρεσιν, συνεγράψατο λόγον δεινότατον, ἐπιγράψας αὐτῷ *Διαιτητὴν* ἢ *Περὶ ἑνώσεως*, καὶ ἐν δέκα κεφαλαίοις τὴν πᾶσαν τομὴν τῆς αἱρέσεως ἐξυφήνατο, πᾶσαν κινήσας πρὸς τοῦτο φιλοσοφίαν, καὶ πᾶσαν ἀπόδειξιν ἐξακριβωσάμενος. Οὐ μέντοι καὶ τοὺς ἐλέγχους διέδρα παρὰ τῶν μετὰ ταῦτα λογίων καὶ πνευματικῶν τῷ ὄντι ἀνδρῶν· πολλοὶ μὲν γὰρ ἄλλοι τοῖς δογματισθεῖσιν ἐκείνῳ ἀντέθεντο, μάλιστα δὲ Λεόντιός τις μοναχὸς ἐν τριάκοντα κεφαλαίοις ἀνατρέψας τὴν αἵρεσιν, καὶ τὴν καθ' ἡμᾶς εὐσέβειαν κρατυνάμενος· καὶ ὁ θαυμασιώτατος δὲ Γεώργιος ὁ Πισίδης, ἡλικιώτης ὢν τῷ Φιλοπόνῳ, καὶ ὥσπερ εἰώθει ἐν μέτροις ἰαμβικοῖς πρὸς τὴν αἵρεσιν ἀντιβὰς, εἶτα δὴ καὶ παιδιὰν σπουδῇ κεραννὺς, οὕτω πώς φησι B C

Ψήφιζε θᾶττον τὴν μίαν τε καὶ μίαν.
Εἰ γὰρ μίαν τε καὶ μίαν λέγεις μίαν,
Γέλως τὸ λεχθὲν γίνεται καὶ παιδίοις.

η'. Αὕτη δὲ ἡ σύγχυσις καὶ ἡ στάσις τῆς Ἐκκλησίας οὐδ' ὅλως ὑπέληγε, καὶ οἱ λαοὶ πρὸς τὴν κιγκλίδα τοῦ θυσιαστηρίου ἱστάμενοι παλαι ἠπείλουν τοὺς ἱερεῖς καὶ ἀτίμως ἐξωθήσειν τοῦ βήματος, εἰ μνείαν ποιήσαιντο τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ καταγραφὴν ἐν τοῖς διπτύχοις καὶ ἐκφώνησιν τῶν ἐκθεμένων αὐτὴν Πατέρων· καὶ ταῦτα ἐπεκράτουν μέχρι τῆς Ἰουστινιανοῦ ἀναῤῥήσεως. Αὐτοῦ δὲ τὰ τῆς βασιλείας ἀνειληφότος σκῆπτρα, οἱ τῆς αἱρέσεως ταύτης προστάται ὅσα καὶ κνώδαλα, εἰς χηραμοὺς καὶ καταδῦσει τὰς ἑαυτῶν ἔθεντο διατριβάς· σύνοδος γὰρ ἐν Κωνσταντινουπόλει συγκροτεῖται ρξε' ἁγίων Πατέρων, ἐν οἷς ἦν Εὐτύχιος Κωνσταντινουπόλεως, Βιγύλιος Ῥώμης, Ἀπολλινάριος Ἀλεξανδρείας, καὶ ἕτεροι, καὶ κυροῦται ἡ ἐν Χαλκηδόνι σύνοδος, τῶν αὐτῶν δογμάτων καὶ ἐν αὐτῇ ἐκφωνηθέντων, καὶ τοῦ συμβόλου τῆς πίστεως ὁμοίως ὑπαγορευθέντος. Ἔτι γε μὴν καθ' ἑκατέραν φύσιν θελητικόν τε καὶ ἐνεργητικὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῆς ἡμῶν ἕνεκα σωτηρίας ὑπάρχειν ὁρίσαντες, ἀναθεματίζουσι τὰ ιβ' Θεοδωρήτου κεφά- D

nem habet. Servatur ergo in corpore et illud *ex quibus*, et illud *in quibus*, non tamen illud *quæ*. Post elementorum unionem nostrum corpus non pure est ignis, neque vere aer, neque vera et legitima terra, sed aliquid aliud ultra elementa, quod manifestum est ex sensibus. Unaquæque enim nostri corporis pars aliud est quam elementa; in divina unione nihil aliud effectum est post duarum naturarum concursum; sed hoc ipsum est Christus et Deus et homo.

7. Talis autem hæresis facta est aliis quasi accuratior eo quod homines sapientes duces habuit. Joannes enim Philoponus cognomine non quidem ob sui sermonis speciem inter insignissimos numeratus, sed doctissimus philosophus et in demonstrationibus admirabilis certe est; qui quidem a Sergio tunc temporis Constantinopolis patriarcha invitatus ut scripto hæresim componeret, librum solertissime conscripsit, quem *Diætetem* seu *de unione* inscripsit, et in decem capitibus omnes hæresis sectiones contexuit, omnem ad hoc agitans philosophiam, omnemque adhibens demonstrationem. Non tamen objectiones vitavit hominum doctorum et vere spiritualium. Multi enim alii ejus dogmatibus adversabantur, præsertim vero Leontius monachus in triginta capitibus hæresim confutavit, nostramque piam doctrinam defendit; et tanta admiratione dignus Georgius Pisides, qui eadem ac Philoponus ætate erat, ut solebat, metris iambicis hæresim aggressus est, ac deinde jocum rationi immiscens, sic loquitur :

Soltem unamque et unam doce.
Si enim unamque et unam dicis unam,
Hæ voces risum vel pueris movebunt, etc.

ut apud Nicephorum lib. XVIII, 48.

8. Hæc autem confusio et conturbatio Ecclesiæ non omnino cessavit, populique ad valvas sanctuarii stantes ictus sacerdotibus comminabantur et e cathedris deturbationem, si Chalcedonensem synodum commemorarent, et si inscriberent in diptychis et nominarent Patres qui hujus synodi fidem exposuerant. Et hæc invaluerunt, usque ad Justiniani decretum. Ubi enim ille regni sceptrum suscepit, hujus hæresis duces, tanquam feræ, in cavernis et latibulis suam sedem statuerant. Synodus enim Constantinopolim convocatur centum quinque et sexaginta Patrum, in quibus erat Eutychius Constantinopolis, Virgilius Romæ, Apollinaris Alexandriæ et alii, et confirmatur Chalcedonensis synodus, iisdem dogmatibus rursum proclamatis, et fidei symbolo similiter exposito. Adhuc tamen pro utraque natura voluntatem et operationem habere Dominum nostrum Jesum Christum, salutis nostræ causa definierunt, anathematizaveruntque duodecim Theodoreti capita, et Ibæ epistolam ad Marim Persam conscriptam, et Origenis opera,

adhuc vero Theodorum Mopsuestiæ, et sic ad propria redierunt.

9. Paulo post autem Acephalus Severus Ecclesiam turbare tentavit, unam esse naturam Verbi et carnis docens. Neque satis illi fuit, sed et libros protulit, et scriptas interpretationes composuit, et perperam Scripturas exposuit. Fuit autem a Menna sanctissimo Constantinopoli episcopo condemnatus, ejusque opera oblivioni tradita, auxiliantibus Agapeto Romæ, Petro Hierosolymæ et Ephraim Antiochiæ, et simul Soterico Cappadociæ. Ac rursus jucunda et splendida et pacifica victoria ecclesiasticas res recreavit.

A λαις, καὶ τὴν τοῦ Ἴβα ἐπιστολὴν, τὴν πρὸς Μάρι συγγραφεῖσαν τὸν Πέρσην, καὶ τὰ Ὠριγένους συγγράμματα, ἔτι δὲ Θεόδωρον Μοψουεστίας· καὶ οὕτως ἐπὶ τὰ οἰκεῖα μετέβαινον.

θ'. Μετ' οὐ πολὺ δὲ πάλιν ὁ ἀκέφαλος Σεβῆρος τὴν Ἐκκλησίαν κυκᾶν ἐπεβάλετο, μίαν φύσιν τοῦ Λόγου καὶ τῆς σαρκὸς δογματίζων· καὶ μηδ' ἐν τούτῳ ἱστάμενος, ἀλλὰ καὶ βίβλους προφέρων, καὶ ἑρμηνείας γραφικὰς συντιθεὶς, καὶ παρεξηγούμενος τὰς Γραφάς. Πλὴν καὶ οὗτος ὑπὸ Μηνᾶ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κατακρίνεται, καὶ τὰ τούτου δόγματα ἀφανισμῷ παραδίδονται, συνεπαμυνόντων Ἀγαπητοῦ Ῥώμης, Πέτρου Ἱεροσολύμων, καὶ Ἐφραὶμ Ἀντιοχείας, καὶ πρὸς τούτοις Σωτηρίχου Καππαδοκίας· καὶ οὕτω πάλιν B λευκή τις νίκη καὶ φαιδρὰ καὶ εἰρηναία κατάστασις τοῖς ἐκκλησιαστικοῖς ἐπεμειδίασε πράγμασιν.

NICETÆ CHONIATÆ

EX LIBRO XII THESAURI ORTHODOXÆ FIDEI

De Aphtartodocetarum hæresi. Et hæc actio quintæ synodo conjungitur.

1. Theodatus, Gothorum dux, cum a proprio imperio decedere victus a Belisario periclitaretur, ad imperatorem Justinianum legatum mittit Agapetum Romanum episcopum. Qui, postquam Byzantium pervenit Justinianumque adiit, primum de Deo et de recta in eum fide disserit, et Anthimi in novæ Romæ sedem electionem in causam adducit, eo quod non canonice Trapezunte, quæ urbium in Polemoniaco Ponto sitarum metropolis est, Constantinopolim translatus esset, et perversæ Severi doctrinæ particeps fuisset. Imperator autem qui imperatricis Theodoræ studio Anthimum Constantinopolitana sede dignum censuerat, proprio actui inhæsit. Cum autem instaret adhuc divinus Agapetus, sæpius ei minatus respondit se posse quod vellet, dicere et facere. Irridente vero minantem imperatorem sequeque vel mortem libenter subiturum dictitante, beatumque fore si tali fine dignus haberetur, hac hujus viri divina libertate obstupuit imperator, mentemque mutans de doctrina examen haberi jussit, Anthimumque ex sede destituit, cum unum modo annum ea fruitus esset, ejusque in locum substituit Menam, Alexandria quidem in Ægypto oriundum, patrem ex hujus urbis illustrissimis habentem, necnon eloquentiæ peritum, divinæque præsertim.

2. Postquam igitur sic episcopatum obtinuit divinus Menas, aut potius postquam illum episcopatus sortitus est, particularem synodum convocat una cum papa Agapeto, et anathemati subjicit

Περὶ τῆς αἱρέσεως τῶν Ἀφθαρτοδοκητῶν. Καὶ ἡ πρᾶξις αὕτη τῇ πέμπτῃ συνῆπται συνόδῳ.

α'. Θευδάτος ὁ τῶν Γότθων ἀρχηγὸς, ὑπὸ Βελισαρίου τῆς οἰκείας ἀρχῆς τέλειον ἐκπεσεῖν κινδυνεύων, στέλλει τῷ βασιλεῖ Ἰουστινιανῷ πρεσβευτὴν C Ἀγαπητὸν τὸν τῆς Ῥώμης ἀρχιερέα. Ὁ δὲ, καταλαβὼν τὸ Βυζάντιον, καὶ τῷ Ἰουστινιανῷ ἐντυχὼν πρῶτον περὶ Θεοῦ καὶ τῆς εἰς αὐτὸν ὀρθῆς διαλέγεται πίστεως, καὶ τὴν εἰς τὸν θρόνον τῆς νέας Ῥώμης ἀναγωγὴν τοῦ Ἀνθίμου ὑπ' αἰτίαν ἐπεποίητο, ὅτι τε μὴ κανονικῶς ἐκ Τραπεζοῦντος, ἣ τῶν εἰς τὸν πολεμωνιακὸν πόντον κειμένων πόλεων τυγχάνει μητρόπολις, εἰς τὴν Κωνσταντίνου μετενήνεκτο, καὶ ὅτι καὶ τῆς Σεβήρου κακοδοξίας μετέσχηκεν. Ὁ δὲ βασιλεὺς, σπουδῇ τῆς βασιλίδος Θεοδώρας τὸν Ἄνθιμον τῆς ἐν Κωνσταντινουπόλει καθέδρας ἠξιωκὼς, τῆς οἰκείας ἀντείχετο πράξεως. Ἐνισταμένου δ' ἔτι τοῦ θείου Ἀγαπητοῦ, πολλάκις αὐτῷ ἠπείλησε κύριος εἶναι λέγειν καὶ πράττειν ὃ D βούλοιτο· ὡς δ' ἐπεγέλα τῷ βασιλεῖ ἀπειλοῦντι καὶ ῥᾳδίως ἂν δέξασθαι καὶ σφαγὴν ἀντεπῆγε, καὶ μακάριος εἶναι ἔλεγεν, εἰ τοιούτου τέλους ἀξιωθείη, ἐδέσθη ὁ αὐτοκράτωρ τὴν τοῦ ἀνδρὸς κατὰ Θεὸν παῤῥησίαν, καὶ μεταβαλὼν, ὑπὸ ζήτησιν τὸ δόγμα καθίστησι, καὶ τὸν Ἄνθιμον τοῦ θρόνου μεθίστησιν ἓν ἔτος αὐτοῦ ἀπολαύσαντα, ἀντεισήγαγε δὲ Μηνᾶν, αὐχοῦντα μὲν πατρίδα τὴν κατ' Αἴγυπτον Ἀλεξάνδρειαν, ἐκφύντα δ' ἐνὸς τῶν ἐν ταύτῃ ἐπιφανῶν, καὶ λόγων οὐκ ἀνομιλήτως ἔχοντα, μάλιστά γε τῶν θειοτέρων.

β'. Τῆς ἀρχιερωσύνης τοίνυν Μηνᾶς ὁ θεῖος τυχὼν, ἢ μᾶλλον αὐτῆς εὐτυχησάσης τοῦτον, μερικὴν συγκροτεῖ σύνοδον σὺν τῷ πάπᾳ τῷ Ἀγαπητῷ, καὶ ἀναθέματι καθυποβάλλει Σεβῆρον καὶ Εὐτυχῆ, καὶ

Πέτρον, τὸν Ἁλικαρνασέα Ἰουλιανὸν, καὶ Ζώπυρον [Ζωόραν], καὶ Ἄνθιμον, ὡς ἐκείνοις ὁμόφρονας· ἔτι δὲ ἐν τῷ Βυζαντίῳ διάγων ὁ ἱερώτατος Ἀγαπητὸς, τὸν βίον μετήλλαξεν. Ὁ μέντοι Μηνᾶς, ἐπὶ δέκα καὶ ἓξ χρόνους τὴν Ἐκκλησίαν ἰθύνας, τὴν ζωὴν κατέλυσε, καὶ ἀνήχθη εἰς τὴν ἀρχιερατικὴν καθέδραν τῆς νέας Ῥώμης Εὐτύχιος, τοῦ μακαρίου Μηνᾶ ἐκ θείας προειπόντος ἀποκαλύψεως ὡς αὐτὸς εἴη ὁ τούτου διάδοχος· ἐφ' οὗ καὶ ἡ πέμπτη συνήθροιστο σύνοδος τῶν ρξ' ἁγίων Πατέρων, ὡς εἰπεῖν ἔφθημεν, κατά τε τοῦ Ὠριγένους καὶ τῶν ἀλλοκότων ἐκείνου δοξῶν καὶ τῶν πρεσβευόντων τὰ ἐκείνου, Διδύμου καὶ Εὐαγρίου, οἵτινες τῶν ψυχῶν προϋπαρξιν ἐδογμάτιζον, καὶ τέλος τῆς κολάσεως ἔλεγον, καὶ τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, καὶ ἕτερα πλείονα· ἀλλὰ καὶ τὸν Μοψουεστίας Θεόδωρον τὰ Νεστορίου φρονοῦντα· παρόντος ἐν τῇ συνόδῳ τοῦ βασιλέως Ἰουστινιανοῦ καὶ συνευδοκοῦντος οἷς οἱ θεῖοι Πατέρες θεοφιλῶς ἐδογμάτιζον.

γ'. Ἀλλ' οὔπω συχνὸς παριππεύκει χαιρὸς, καὶ ὁ τῶν ζιζανίων σπορεὺς δαίμων, τὴν εὐστάθειαν καὶ κατάστασιν τῆς Ἐκκλησίας μηδαμῶς ὁρᾷν ἀνεχόμενος, τοῖς σαθροῖς δόγμασιν· ὥσπερ τισὶ μηχαναῖς διασαλεῦσαι ταύτην καὶ καταβαλεῖν πειρώμενος, βλασφημεῖν τινας ἀνέπεισεν ὡς ἐν προσχήματι εὐσεβείας, ὅτι ἡ ἐκ τῆς ἁγίας Παρθένου τῷ Χριστῷ προσληφθεῖσα σὰρξ πρὸ τοῦ πάθους ἄφθαρτος ἦν· καὶ τοῦ βασιλέως τῇ ἀσεβείᾳ τοῦ δόγματος ὑπαχθέντος, καθαιρεῖται τοῦ θρόνου καὶ ἀπελαύνεται ὁ μέγας Εὐτύχιος, τὸ δυσσεβὲς τοῦ προβλήματος ἐξελέγχων. Καὶ ὁ μὲν ὑπερόριος γίνεται εἰς Ἀμάσειαν, ἔνθα καὶ τῆς ἀσκητοῦ ἀγωγῆς εἵχετο· ἀντεισάγεται δὲ πατριάρχης ὁ ἀπὸ σχολαστικῶν Ἰωάννης, Ἀντιοχείας ὢν ἀποκρισιάριος.

δ'. Λέγεται δὲ Ἰουστινιανὸς παρὰ τῶν τὰ κατ' αὐτὸν συγγεγραφότων τοσοῦτον θεοφιλῆ ἔρον εἰς τὸν Χριστὸν τρέφειν, ὁπόσος οὐδενὶ τῶν πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸν βασιλεῖ μετά γε τὸν ἐν βασιλεῦσι τρισμέγιστον Κωνσταντῖνον ἐπιμαρτύρεται· ὥστε καὶ πολλὰ τῶν βιαίων δι' αὐτὸν εἰργάζετο· τούς τε γὰρ Σαμαρείτας τῆς οἰκείας αἱρέσεως μὴ ἀφισταμένους παντοίως ἐκάκωσε, καὶ τοὺς Ἑβραίους οὐ ξυνεχώρει τὸ ἴδιον Πάσχα πρὸ τῶν Χριστιανῶν ἐκτελεῖν, καὶ τῇ τῶν Ἀφθαρτοδοκητῶν δόξῃ προσέσχε, μὴ ἐμβαθύνων τῷ δόγματι, τῇ δὲ σημασίᾳ τῆς λέξεως ὁριμυσσόμενος, καὶ μηδαμῶς ἀνεχόμενος τοιοῦτόν τι περὶ Χριστοῦ ἐνωτίζεσθαι. Δωδέκατον δὲ χρόνον ἐν τῇ ὑπερορίᾳ τελέσαντος Εὐτυχίου, γίνεται μὲν ἐξ ἀνθρώπων ὁ βασιλεὺς Ἰουστινιανός· καταλύει δὲ τὸν βίον καὶ Ἰωάννης ὁ πατριάρχης. Ἰουστίνου δὲ καὶ Τιβερίου ἐπὶ τὰ σκῆπτρα τῆς βασιλείας ἀναχθέντων, λαμπρῶς τῆς ἐπανόδου καὶ δεξιώσεως παρά τε τῶν βασιλέων αὐτῶν καὶ τῶν ἐν τέλει πάντων τυχὼν Εὐτύχιος ἀναθέματι καθυποβάλλει τοὺς ἄφθαρτον τὸ τοῦ Κυρίου σῶμα πρὸ τῆς ἀναστάσεως λέγοντας· καὶ θανὼν κατετέθη ἐν τῷ θυσιαστηρίῳ τῶν Ἁγίων Ἀποστόλων τῶν μεγάλων κατὰ τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης, ἔνθα κεῖται λείψανα.

A Severum et Eutychem, et Petrum, Julianum Halycarnasseum et Zopyrum et Anthimum, ut cum illis concordes. Byzantii adhuc conversans sanctissimus Agapetus supremum diem obiit, Menas tamen sexdecim annos rexit Ecclesiam, et mortuus est. Tunc in episcopalem novæ Romæ sedem suffectus est Eutychius, ut divina revelatione beatus Menas prædixerat. Quo episcopatum gerente, convocata est quinta synodus, ut prius diximus, centum sex et sexaginta Patrum, contra Origenem et absurdas ejus opiniones et eos qui ejus doctrinam docent, Didymum et Evagrium, qui animarum præexsistentiam prædicabant, et pœnarum finem, et dæmonum in pristinum statum restitutionem, et multa alia; sed et contra Theodorum Mopsuestæ B Nestorii doctrinam sectantem, præsente in synodo imperatore Justiniano et doctrinis favente, quas divini Patres secundum Deum docebant.

3. Sed nondum multum efluxerat tempus, et zizaniarum seminator dæmon, felicem Ecclesiæ statum et tranquillitatem ægre ferens, corruptis dogmatibus tanquam machinis eam perturbare et evertere conatus, nonnullis persuasit ut sub specie pietatis blasphemarent dicentes eam carnem quam ex sanctissima Virgine Christus assumpserat, ante passionem incorruptibilem fuisse. Et imperatore doctrina hac impia seducto, a sua sede deponitur et expellitur magnus Eutychius, qui hujus propo- C sitionis impietatem reprehendebat. Amasiam in exsilium mittitur, ubi ascelicam vitam transegit. Ejus in loco sufficitur patriarcha quidam vir eruditissimus, Joannes, Antiochiæ apocrisiarius.

4. Dicitur autem Justinianus ab iis qui de eo scripserunt amorem in Christum aluisse, qualis nulli ante eum et post eum imperatori, excepto tamen maximo inter imperatores Constantino, tribuitur; ita ut multa inde violenter operatus sit. Multis modis Samaritanos a propria hæresi non recedentes male habuit, Hebræisque vetuit ne suum Pascha ante Christianos celebrarent; atque Aphartodocetarum hæresi adhæsit, non dogma proculcans, sed vocis significatione offensus, neque D sustinens hujusmodi aliquid de Christo audire. Duodecimum jam annum exsulabat Eutychius, cum ex hominibus migravit imperator Justinianus. Excessit e vita et Joannes patriarcha. Postquam autem Justinus et Tiberius ad regiam dignitatem evecti sunt, splendide post reditum exceptus est ab imperatoribus Eutychius, anathematique subjecit eos qui incorruptibile Domini corpus ante resurrectionem esse dicebant, mortuusque depositus est in altari sanctorum magnorumque Apostolorum, prope sanctissimæ mensæ fundamentum, ubi Andreæ et Timothei et Lucæ sanctæ reliquiæ jacent.

Ἀνδρέου καὶ Τιμοθέου καὶ Λουκᾶ τὰ ἅγια κατά-

5. Erant autem Aphtartodocetæ qui a Juliano Halicarnasseo et Gaiano Alexandrino Julianitæ et Gaianitæ dicebantur; qui quidem in aliis dogmatibus cum Severo conveniunt dicentes impossibile esse naturam per se subsistere quin in indivisibili quodam subjecto consideretur. Quomodo enim esset lapidis et ligni una hypostasis, id est unicum indivisibile subjectum? Et, si nomen Christus non essentiam indicat, sed aliquid eorum quæ ex duarum naturarum unione facta sunt; hoc autem nihil aliud est quam duarum naturarum inter se habitus, si autem et duæ naturæ post unionem remanserunt, secundum igitur solum habitum facta est duarum naturarum inter se unio, ut dum agitur de choro et domo et urbe et lapidibus et lignis quibus constat ædificium, prout et Nestorius docebat.

6. Et rursum: Si quæ unita sunt, fiunt unum, quæ non facta sunt unum, non unita sunt, quod manifestum est. Si igitur duæ et una sunt Christi naturæ, dyas autem, cum duplex sit, divisionis sit indicativa, quæ divisa sunt, non sunt unita: non igitur unitæ sunt Christi naturæ. Si autem, eo quod non sunt confusæ, dignum est duas esse Christi naturas, sed propter unionem unam esse naturam dicere cogentur. Et rursum: Si dyas ex monadæ primæ divisionis indicativa est, divisio autem unitati opponitur, nulla igitur dyas, in quantum est dyas, unita esse dicitur. Atque igitur Christi naturæ, secundum suum esse si duæ essent nec una tantum, secundum id divisæ essent nec unitæ; quæ Nestorii doctrina est.

7. Et Severus talia, ut ex multis pauca excerpam, syllogistice proponebat, unam scilicet hypostasim et unam in Christo naturam post unionem factam esse. Julianitæ vero et Gaianitæ distinctionem naturarum in Christo post unionem docentes, incorruptibile Christi corpus ex ipsa plasmatione esse dicebant; et passiones quidem Christum subire, famem dico, et sitim et fatigationem et cætera, sed ea pati non eodem modo quam nos. Nos enim ex necessitate naturaliter hæc patimur; Christus autem voluntarie omnia subibat; non enim naturæ legibus subditus erat.

8. Quibus respondemus neque nos dicere involuntarias esse Christi passiones, sed ipsum voluntarie legibus naturæ tanquam nos subjectum esse. Beatus enim Athanasius interpretans illud *Nunc anima mea turbata est*, dicit hanc vocem *nunc* significare: *quando volebat*. Non enim quod non est, ut præsens, nominabat, quasi opinione tantum dicta fierent; natura enim ac veritate omnia facta sunt. Theologus autem Gregorius rursum dicit Christum naturæ dedisse occasionem, quando volebat, propria operandi. Admirandus vero Cyrillus dixit ipsum carni permisisse ut leges naturæ se-

ε'. Ἦσαν δὲ Ἀφθαρτοδοκῆται οἱ ἀπὸ Ἰουλιανοῦ τοῦ Ἁλικαρνασέως καὶ Γαϊανοῦ τοῦ Ἀλεξανδρέως, λεγόμενοι Ἰουλιανῖται καὶ Γαϊανῖται, οἵτινες ἐν μὲν τοῖς ἄλλοις δόγμασι τῷ Σεβήρῳ συμφέρονται λέγοντες ἀδύνατον εἶναι φύσιν ὑποστῆναι καθ' αὑτὴν μὴ ἐν ἀτόμῳ τινὶ θεωρουμένην· πῶς γὰρ ἂν εἴη λίθου καὶ ξύλου μία ὑπόστασις, τουτέστιν ἄτομον ἕν; Καὶ εἰ τὸ Χριστὸς ὄνομα οὐκ οὐσίας δηλωτικόν, ἀλλὰ τῶν περὶ οὐσίαν τινὸς τῶν ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων γενομένων δηλωτικόν ἐστι· τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ τῶν φύσεων πρὸς ἀλλήλας σχέσις· εἰ δὲ δύο ἐν Χριστῷ φύσεις καὶ μετὰ τὴν ἕνωσιν μεμενήκασι, κατὰ μόνην ἄρα σχέσιν φιλὴν ἡ τῶν φύσεων πρὸς ἀλλήλας γέγονεν ἕνωσις, ὡς ἐπὶ χοροῦ καὶ οἰκίας καὶ πόλεως καὶ λίθων καὶ ξύλων ἐν οἷς τὸ οἰκοδομούμενον, καθὼς καὶ Νεστόριος ἐδογμάτιζεν.

ς'. Καὶ πάλιν· Εἰ τὰ ἡνωμένα ἓν γίνεται, τὰ μὴ γενόμενα οὐχ ἡνῶνται ἐξ ἀνάγκης· εἰ οὖν δύο καὶ μία τυγχάνουσιν αἱ τοῦ Χριστοῦ φύσεις, ἡ δὲ δυὰς, διχάς τις οὖσα, διαιρέσεώς ἐστι δηλωτική, τὰ διῃρημένα οὐχ ἡνῶνται, οὐκ ἄρα ἡνωμέναι εἰσὶν αἱ τοῦ Χριστοῦ φύσεις· εἰ δὲ διὰ τὸ ἀσύγχυτον, δύο εἶναι τὰς τοῦ Χριστοῦ φύσεις ἄξιόν ἐστιν, ἀλλά γε διὰ τὴν ἕνωσιν μίαν αὐτοῦ τὴν φύσιν λέγειν ἀναγκασθήσονται. Καὶ αὖθις· Εἴπερ ἡ δυὰς τῆς ἐκ μονάδος πρώτης διαιρέσεώς ἐστι δηλωτική, ἡ διαίρεσις ἀντικειμένως ἔχει πρὸς τὴν ἕνωσιν, οὐδεμία ἄρα δυὰς, καθό ἐστι δυὰς, κατὰ τοῦτο λέγοιτ' ἂν ἡνῶσθαι· καὶ αἱ Χριστοῦ τοίνυν φύσεις, κατ' αὐτὸ τὸ εἶναι δύο τυγχάνουσαι καὶ οὐχὶ μία, κατ' αὐτὸ τοῦτο διῃρημέναι ἂν εἶεν καὶ οὐχ ἡνωμέναι· καὶ Νεστορίου τὸ δόγμα εἰσάγει.

ζ'. Καὶ Σεβῆρος μὲν τοιαῦτα ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν συλλογιστικῶς προὔφερε, μίαν ὑπόστασιν, ἔτι δὲ καὶ μίαν φύσιν ἐπὶ Χριστοῦ γεγονέναι φάσκων μετὰ τὴν ἕνωσιν. Οἱ δὲ Ἰουλιανῖται καὶ Γαϊανῖται, διαφορὰν φύσεων ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν δογματίζοντες, ἄφθαρτον τὸ τοῦ Κυρίου σῶμα ἐξ αὐτῆς διαπλάσεως ἔλεγον γεγονέναι· καὶ τὰ μὲν πάθη τὸν Χριστὸν ὑπομεῖναι, πεῖνάν φημι καὶ δίψαν καὶ κόπον καὶ τὰ ἑξῆς, οὐ τὸν αὐτὸν δὲ τρόπον ἡμῖν ταῦτα πεπονθέναι· ἡμεῖς γὰρ ἐξ ἀνάγκης φυσικῶς ταῦτα πάσχομεν, ὁ δὲ Χριστὸς ἑκουσίως πάντα ὑπέμεινεν· οὐ γὰρ ἐδούλευε τοῖς νόμοις τῆς φύσεως.

η'. Πρὸς οὓς φαμεν ὅτι οὐδὲ αὐτοὶ λέγομεν ἀκούσια τοῦ Χριστοῦ τὰ πάθη, ἀλλ' ὅτι ἑκουσίως ἐδούλευε τοῖς νόμοις τῆς φύσεως ἐπίσης ἡμῖν· ὁ μὲν γὰρ μακάριος Ἀθανάσιος, ἑρμηνεύων τὸ, *Νῦν ἡ ψυχή μου τετάραχται*, φησὶν ὅτι τὸ *νῦν*, τοῦτό ἐστιν ὅτε *ἤθελεν*· οὐ γὰρ τὸ μὴ ὂν ὡς παρὸν ὠνόμαζεν ὡς δοκήσει γινομένων λεγομένων· φύσει γὰρ καὶ ἀληθείᾳ τὰ πάντα ἐγένετο. Ὁ δὲ Θεολόγος Γρηγόριος πάλιν, ὅτι ἐδίδου τῇ φύσει καιρὸν, ὅτε ἐβούλετο ἐνεργεῖν τὰ ἴδια. Κύριλλος δὲ ὁ θαυμάσιος εἴρηκεν ἐφεῖναι αὐτὸν τῇ σαρκὶ διὰ τῶν τῆς φύσεως ἰέναι νόμων· καὶ αὖθις ἑτέρωθι ἔλεγεν ὡς ἐπιτρέπει τῷ

σώματι καὶ τῇ ἀνθρωπότητι τὰ τῇ φύσει προσόντα πάθη εἰς ἀπόδειξιν τοῦ κατ' ἀλήθειαν φορέσαι σάρκα καὶ ἄνθρωπον γενητὸν κατὰ τὰς Γραφάς. Εἰ τοίνυν κατὰ τὸν σκοπὸν τῶν θεοφόρων Πατέρων τὸν αὐτὸν ἡμῖν τρόπον ἔπασχεν, εἰ καὶ ἑκουσίως καὶ ὅτε ἤθελε, πῶς δυνάμεθα τὸ πάσχον σῶμα ἄφθαρτον εἰπεῖν καὶ μὴ φθαρτὸν τῇ φύσει ὥσπερ καὶ τὸ ἡμέτερον;

A

0'. Ἀνταποκρίνονται δὲ πάλιν ὅτι Ὃν τρόπον μετὰ τὴν ἀνάστασιν ἄφθαρτον λέγοντες τὸ σῶμα Χριστοῦ ὁμοούσιον αὐτὸ λέγετε εἶναι ἡμῖν, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς, πρὸ τῆς ἀναστάσεως ἄφθαρτον λέγοντες, ὁμοούσιον αὐτὸ ὁμολογοῦμεν εἶναι. Ἡμεῖς δὲ λέγομεν ὅτι, εἰ καὶ ἄφθαρτον αὐτὸ ὁμολογοῦμεν μετὰ τὴν ἀνάστασιν, οὐ τῇ φύσει λέγομεν τὸ ἄφθαρτον, τῇ χάριτι δέ. Εἰ δὲ εἴποιεν ὅτι καὶ πρὸ τῆς ἀναστάσεως χάριτι ἄφθαρτον, λέγομεν ὅτι οὐ συγχωρεῖ τοῦτο τὰ περὶ Χριστοῦ λεγόμενα· πρὸ μὲν γὰρ τῆς ἀναστάσεως καὶ πεινῆσαι λέγεται καὶ διψῆσαι καὶ τἆλλα παθεῖν, καὶ πῶς ἂν εἴη τὸ ταῦτα πεπονθὸς ἄφθαρτον; Μετὰ δὲ τὴν ἀνάστασιν οὐδὲν τούτων ἔπαθε.

B

ι'. Καὶ δῆλον ὅτι πρὸ μὲν τῆς ἀναστάσεως φθαρτὸν ἦν τὸ σῶμα, μετὰ δὲ τὴν ἀνάστασιν ἄφθαρτον· εἰ γὰρ καὶ λέγεται φαγεῖν μετὰ τὴν ἀνάστασιν, τοῦτο δι' οἰκονομίαν ἐποίησεν· οὐχ ὡς τῷ ὄντι πεινῶν, ἀλλ' ἵνα δείξῃ τοῖς μαθηταῖς αὐτοῦ ὅτι αὐτός ἐστιν ὁ ἀναστὰς ἐκ νεκρῶν· ὃν τρόπον καὶ τοὺς τύπους λέγεται ἐπιδεῖξαι αὐτοῖς· καίτοι ἡμεῖς οὐδὲν τῶν πρὸ τῆς ἀναστάσεως παθῶν ἀνιστάμεθα ἔχοντες· ἀπαρχὴ δὲ τῆς ἐκ νεκρῶν ἡμῶν ἀναστάσεως ὁ Χριστός· καὶ ὅμως αὐτὸς εὑρέθη ἔχων. Ὡς δῆλον ὅτι δι' οἰκονομίαν τοῦτο γέγονεν· ἀμέλει οὐδὲ λέγει ἡ Γραφὴ ὅτι ἐπείνησεν, ἀλλ' ὅτι ἔφαγε. Δέον δὲ ἐπιστῆσαι ὅτι παραφέρουσι χρήσεις τινὰς ἀπὸ τῶν Πατέρων, ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ λεγούσας· ὥσπερ καὶ ἀπὸ τοῦ μακαρίου Κυρίλλου εἰπόντος, ὅτι οὐχ ὑπεδέξατο φθορὰν ἡ τοῦ Λόγου σάρξ. Ὅταν δὲ τὰς τοιαύτας παράγωσι χρήσεις, χρὴ σκοπῆσαι τὸ τῆς λέξεως σημαινόμενον· τὸ γὰρ τῆς φθορᾶς ὄνομα δύο σημαίνειν οἶδε, κατὰ δέ τινας καὶ τρία.

C

queretur; et rursum ex altera parte concessisse corpori et humanitati adjacentes naturæ dolores, ut ostenderet se veram carnem induisse et genuinum hominem secundum Scripturas. Si igitur e divinorum Patrum mente eodem modo ac nos passus est, et si libenter et quando volebat, quomodo possumus patiens corpus incorruptibile dicere, neque natura corruptibile sicut et nostrum est?

9. Respondent autem iterum: Quemadmodum incorruptibile post resurrectionem Christi corpus dicentes consubstantiale illud nobis esse dicitis, sic et nos illud ante resurrectionem incorruptibile dicentes consubstantiale tamen confitemur. Nos autem dicimus illud, etsi incorruptibile post resurrectionem confitemur, non esse incorruptibile natura, sed gratia. Si vero dicerent illud et ante resurrectionem gratia incorruptibile esse, dicimus hoc non cum eis quæ de Christo dicuntur convenire. Ante resurrectionem enim et esurire dicitur et sitire et alia pati. Et quomodo quod illa patitur, incorruptibile esset? Post resurrectionem autem, nihil horum passus est.

10. Et patet ante resurrectionem quidem corruptibile fuisse corpus, post resurrectionem vero incorruptibile. Si enim et dicitur post resurrectionem comedisse, id per providentiam egit, non tanquam reipsa comedens, sed ut discipulis ostenderet ipsum esse qui ex mortuis surrexerat, quemadmodum dicitur iis monstrasse corporis formas. Et nos resurgemus nihil eorum patientes quæ ante resurrectionem. Primitiæ autem nostræ ex mortuis resurrectionis Christus; et similiter ipse inventus est. Ita ut manifestum sit id per providentiam factum esse. Nempe non dicit Scriptura ipsum esurivisse, sed comedisse. Oportet autem animadvertere eos quædam Patrum oracula circumferre quæ corpus Christi incorruptibile dicunt; ut beati Cyrilli dicentis non corruptionem subiisse carnem Christi. Quando vero tales voces exhibent, examinandum est quid per has significatum sit: solet enim corruptionis vox duo significare, et juxta nonnullos etiam tria.

D

NICETÆ CHONIATÆ

EX LIBRO XV THESAURI ORTHODOXÆ FIDEI

Περὶ τῆς ἕκτης συνόδου.

α'. Αὕτη συνέστη ἐπὶ Κωνσταντίνου βασιλέως τοῦ Πωγωνάτου διὰ τὴν αἵρεσιν τῶν Μονοθελητῶν, ἀρχθεῖσαν ἀπὸ Ἡρακλείου βασιλέως, καὶ διαρκέσασαν μέχρι καὶ αὐτοῦ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Πωγωνάτου δισεγγόνου ὄντος τῷ βασιλεῖ Ἡρακλείῳ· τούτῳ γὰρ τῷ βασιλεῖ τὰ Ῥωμαίων σκῆπτρα διέποντι καὶ τὰς κατὰ Περσῶν λαμπροτάτας

De sexta synodo.

1. Hæc synodus Constantino Pogonato imperante habita est, propter Monothelitarum hæresim, quæ sub imperatore Heraclio cœpta erat, duravitque ad usque imperatorem Constantinum Pogonatum, imperatoris Heraclii pronepotem. Cum enim ille Romanum imperium regeret, illustrissimasque de Persis victorias peragerent, quæ septem

annos continuatæ sunt, Jacobitarum catholicus in eorum regionem pergenti ei occurrit. Quem videns imperator reprehendit quod Chalcedonensi synodo non adhæreret; hortatusque eum est ut a Monophysitarum opinione recederet, proclamaretque de Christo, quemadmodum orthodoxi sentiunt, duas naturas inconfuse inter se unitas, id est, divinitatem et humanitatem, si vellet ab ipso Antiochiæ patriarcha designari. Catholicus autem sedis magnitudine captus se ex hæresi recessurum pollicitus est duasque in Christo naturas crediturum affirmavit, de voluntatibus autem dicebat se nescire num eas quoque duas opinari oporteret, et ea de re a Sergio Constantinopolis patriarcha consilium petiit. Sciebat enim eum docere in Christo unicam esse voluntatem et operationem. Scribit imperator ad Sergium de hac quæstione. Hic autem qui palam Monothelitarum doctrinam profitebatur, imperatori respondet dicitque oportere unam operationem et unam voluntatem docere. Postea vero Heraclius, cum in urbem venisset, Cyrumque Phasidis qui eum adierat, de hac doctrina interrogasset reperissetque eum cum Sergio concordem, lutosa hujus opinionis persuasione ab hic mercenariis, minime autem pastoribus imbuitur, et Monotheliturum hæresi adhæret.

2. Quo audito, Sophronius Hierosolymæ, in magnificam Constantini urbem advenit, cumque Sergium adiisset, eum corrigere tentavit, dicens in idem recidere unicam in Christo naturam docere et unicam voluntatem operationemque profiteri, atque ita renovari Monophysitarum hæresim, quam Chalcedonensis synodus rejiciendam decrevit. Hortatusque est Sergium ut Ecclesiam non rursus in certamina injiceret. Cum autem Sophronius Constantinopoli recessisset, Heraclius et Sergius sibi consentientem Joannem habentes qui tunc temporis antiquæ Romæ præsidebat, unicam esse Verbi et carnis voluntatem docuere, litterasque de hac re quocunque terrarum mittentes Ecclesias discidere.

3. Postquam autem Heraclius e vita migravit tricesimo ferme imperii sui anno, et Sergius mortuus fuit, sedem illam successor accepit Pyrrhus, qui

νίκας ἀνύοντι, ἐφ' αἷς καὶ χρόνος ἐπαετὴς ἐκμετρῆται, ὁ τῶν Ἰακωβιτῶν πρόσεισι καθολικὸς περὶ που τὴν ἐκείνων χώραν ἀφικομένῳ· ὃν ἰδὼν ὁ βασιλεὺς ᾐτιάσατο, μὴ τὴν ἐν Χαλκηδόνι προσιέμενον σύνοδον· καὶ παρῄνει τῆς τῶν Μονοφυσιτῶν ἀφιστάναι δόξης, καὶ κηρύττειν ἐπὶ Χριστοῦ ἐπίσης τῷ ὀρθοδόξων συστήματι δύο φύσεις ἀσυγχύτως ἡνωμένας ἀλλήλαις, τουτέστι θεότητα καὶ ἀνθρωπότητα, εἴγε βούλοιτο πατριάρχης Ἀντιοχείας ὑπ' αὐτοῦ προβληθῆναι. Ὁ δὲ καθολικὸς τῷ μεγαλείῳ τοῦ θρόνου ἐνηδυνθεὶς τὴν ψυχὴν ἐξ αὐτῆς τὴν μεταβολὴν τῆς αἱρέσεως ἐπηγγείλατο, καὶ δύο ἐκὶ Χριστοῦ δοξάζειν φύσεις κατέθετο· περὶ δὲ τῶν θελημάτων ἀγνοεῖν ἔλεγεν, εἰ χρεὼν καὶ ταῦτα δοξάζειν διττά, καὶ τὴν ἐκ Σεργίου τοῦ πατριάρχου Κωνσταντινουπόλεως διδαχὴν ἐξῃτεῖτο· ᾔδει γὰρ τοῦτον δοξάζοντα τὸν Χριστὸν μονοθέλητόν τε καὶ μονενέργητον. Γράφει τοίνυν ὁ βασιλεὺς τῷ Σεργίῳ περὶ τοῦδε τοῦ ῥήματος· ὁ δὲ τὰ τῶν Μονοθελητῶν πάλαι πρεσβεύων, ἀντεπιστέλλει τῷ βασιλεῖ, καὶ χρῆναι λέγει μίαν ἐνέργειαν καὶ μίαν θέλησιν ἐπὶ Χριστοῦ δογματίζειν. Ἐς ὕστερον δὲ Ἡράκλειος, τὴν πόλιν καταλαβών, καὶ Κῦρον τὸν Φάσιδος εἰς ὄψιν αὐτῷ ἐλθόντα περὶ τούτου τοῦ δόγματος ἐρωτήσας, καὶ τῷ Σεργίῳ εὑρὼν ὁμογνώμονα, τὴν θολερὰν τῆς δόξης ταύτης ἀνατροπὴν ποιίζεται καὶ αὐτὸς παρὰ τῶν μισθωτῶν ἐκείνων καὶ μὴ ποιμένων, καὶ τῇ τῶν Μονοθελητῶν αἱρέσει συντίθεται.

β'. Τοῦτο δ' εἰς ὦτα δεξάμενος ὁ Ἱεροσολύμων Σωφρόνιος, εἰς τὴν Κωνσταντίνου καλλίπολιν παραγίνεται, καὶ Σεργίῳ συγγενόμενος, πειρᾶται τοῦτον ἐπανορθοῦν, λέγων μηδέν τι διενηνοχέναι τοῦ μίαν φύσιν λέγειν ἐπὶ Χριστοῦ τὸ δογματίζειν ἓν θέλημα καὶ μίαν ἐνέργειαν, καὶ ὡς οὕτω πάλιν ἡ τῶν Μονοφυσιτῶν αἵρεσις ἐπεισάγεται, ἣν ἡ ἐν Χαλκηδόνι σύνοδος ἀπόβλητον ἔκρινε. Καὶ παρεκάλει τὸν Σέργιον, μὴ καὶ αὖθις τὴν Ἐκκλησίαν εἰς ἀγῶνας ἐμβαλεῖν. Σωφρονίου δὲ τῆς Κωνσταντίνου ἀπάραντος, Ἡράκλειος καὶ Σέργιος σύμψηφον ἔχοντες καὶ Ἰωάννην (1) τὸν τῆς παλαιτέρας Ῥώμης τηνικαῦτα πρόεδρον, ἓν θέλημα τοῦ Λόγου καὶ τῆς σαρκὸς ἐδογμάτισαν, καὶ γράμματα περὶ τούτου πανταχοῦ διεκπέμψαντες, τὰς Ἐκκλησίας διέσπασαν.

γ'. Ἡρακλείου δὲ τὸν βίον ἀπολιπόντος κατὰ τὸν τριακοστὸν πρῶτον χρόνον τῆς βασιλείας αὐτοῦ, καὶ Σεργίου τὸ ζῆν καταστρέψαντος, ὁ μὲν Πύρρος

(1) Die *Honorium*, cujus causæ tractandæ non est hic locus; quanquam Sophronii in longissima synodica epistola silentium de Honorio, ubi tot hæreticos etiam viventes appellat, Honorii innocentiam denotare videtur. Certe Joannem papam (quartum) cum orthodoxis potius connumeravit laudavitque noster Sophronius, teste S. Maximi biographo in codice Vat. 355, p. 139 b, his verbis: Ἐπεὶ δὲ τὸ κατ' ἐκεῖνο καιροῦ Σωφρόνιος τὸν ἐν Ἱεροσολύμοις θρόνον ἐνεχειρίσθη, ἀνὴρ εὐσεβείᾳ λάμπων καὶ ἀρετῇ, συναθροίζονται περὶ τοῦτον ὅσον ἀρχιερατικὸν καὶ ὀρθόδοξον, διαβάλλουν μὲν σὺν αὐτῷ καὶ ἀναθέματι περιβάλλον τοὺς μίαν ἐπὶ τοῦ Χριστοῦ φυσικὴν ἐνέργειαν, καὶ ἓν δοξάζοντας θέλημα, εὑρημοῦν δὲ καὶ ἀναχηρύττον τοὺς πρὸς ταῖς δύο φύσεσι καὶ τὰς διττὰς ἐνεργείας μετὰ τῶν ἴσων θελημάτων ὁμολογοῦντας καὶ περιέποντας. Βουλόμενος δ' ὁ ἱερὸς οὗτος ἀνὴρ καὶ μειζόνως διατρανῶσαι τὰ ἐκτεθέντα, δηλοῖ ἀνὰ μέρος περὶ αὐτῶν καὶ Ἰωάννῃ τῷ Ῥώμης, οὗτω γὰρ ἐκαλεῖτο ἐκεῖνος, καὶ Σεργίῳ τῷ Κωνσταντινουπόλεως, ἀλλὰ μὴν καὶ Κύρῳ τῷ Ἀλεξανδρείας, τοὺς μὲν κακίζων καὶ πολλὰ φαυλίζων τοῦ δόγματος, τὸν δ' ὡς εἰκὸς ἐπαινῶν τὸν Ἰωάννην καὶ μυρίοις καταστέφων τοῖς ἐγκωμίοις. Hoc ego perhonorificum non de Joanne papa solum, sed etiam de Sophronio, testimonium libenter hic recitavi. Adde sis Theophanem ed. Paris. p. 274, et lege quæ scribit copiose Binius Concil. Labb. t. V, p. 1756-7.

τὸν τῆς ἐρωσύνης διαδέχεται θρόνον, ὁμόδοξος ὢν τῷ Σεργίῳ, τὴν δὲ βασιλείαν Κωνσταντῖνος ὁ παῖς Ἡρακλείου κληροῦται. Τούτου δὲ φαρμάκῳ τὴν ζωὴν καταλύσαντος μετὰ χρόνον ἕνα τῆς μοναρχίας, εἰς Μαρτῖναν καὶ τὸν Ἡρακλεωνᾶν τὸν ἐξ αὐτῆς Ἡρακλείῳ ἀποτεχθέντα ἡ βασιλεία μεταχωρεῖ· μισηθέντες δὲ ὑπὸ πάντων, διὰ τὸν τοῦ Κωνσταντίνου θάνατον, τῆς αὐταρχίας ἐκπίπτουσιν. Ἐκβάλλεται δὲ καὶ Πύῤῥος τῆς Ἐκκλησίας, καὶ φυγὴν εἰς μέρη τὰ ἑσπέρια κατακρίνεται, ὡς συμμέτοχος Ἡρακλεωνᾶ καὶ Μαρτίνῃ τῆς τοῦ βασιλέως Κωνσταντίνου δολοφονήσεως· καὶ εἰς μὲν τὸν βασίλειον θρόνον ὁ τοῦ Κωνσταντίνου υἱὸς Κώνστας ἀνάγεται, εἰς δὲ τὸν ἀρχιερατικὸν Παῦλος ὁμογνωμονῶν Σεργίῳ καὶ Πύῤῥῳ.

A eadem ac Sergius profitebatur, imperium vero sortitus est Constantinus Heraclii filius. Quo per venenum post unum imperii annum absumpto, ad Martinam et Heracleonem, quem ex ea genuerat Heraclius imperium devenit. Cum autem omnibus ob Constantini mortem odio essent, a summa decidunt potestate. Expellitur et Pyrrhus ab ecclesia, et in occidentales partes in exsilium ire jubetur, tanquam perfidæ Constantini cædis cum Heracleone et Martina particeps, et in regiam sedem Constantini filius Constans invehitur, in episcopali vero instituitur Paulus Sergii et Pyrrhi opiniones fovens.

δ'. Ἐπὶ τούτου βασιλέως ὁ φιλόσοφος Μάξιμος, ἀσηκρῆτις ὢν καὶ παρὰ βασιλεῦσι τετιμημένος τὰ μέγιστα, πάντα παρεὶς, τὸ ἐν τῇ Χρυσοπόλει καταλαμβάνει μοναστήριον, καὶ τὴν κοσμικὴν ἀποτίθεται τρίχα, μὴ φέρων τὴν τῶν Μονοθελητῶν αἵρεσιν παῤῥησιαζομένην ὁρᾶν, μηδ' ἀνεχόμενος συνδιάγειν, καὶ κοινωνεῖν ὁμιλίας βασιλεῖ καὶ πατριάρχῃ ἔκθεσμον τοιαύτην ἐπικρατύνουσιν αἵρεσιν· ἔπειτα καὶ εἰς Ῥώμην τὴν μεγαλώνυμον ἄπεισιν, ἔνθα καὶ τῷ Πύῤῥῳ εἰς διάλεξιν ἦλθεν ἐκεῖσε παραγενομένῳ μετὰ τὴν καθαίρεσιν, καὶ πείθει τὸν ἁγιώτατον τότε πάπαν Μαρτῖνον τοπικὴν ἀθροῖσαι σύνοδον, καὶ δοῦναι τῷ ἀναθέματι τοὺς ἐπὶ Χριστοῦ μίαν δογματίζοντας θέλησιν· ὅ καὶ γέγονε, συνελθόντων ἐπισκόπων ἑκασὸν σὺν πέντε καὶ εἴκοσιν. Ἐκ δὲ τῆς Ῥώμης ἐπανελθὼν Μάξιμος μετὰ τῶν δύο Ἀναστασίων τῶν αὐτοῦ μαθητῶν, ὑπὸ τῆς συγκλήτου εὐθύνεται, καὶ κατὰ τὴν Θρᾴκην φρουρᾷ παραδίδοται, εἶτα καὶ τὴν χεῖρα καὶ τὴν γλῶτταν ἐκτέμνεται μετὰ καὶ τῶν αὐτοῦ μαθητῶν· ἀλλὰ καὶ Μαρτῖνος ὁ ἁγιώτατος ἐκσφενδονᾶται τοῦ θρόνου καὶ ὑπερορίᾳ καταδικάζεται, ἐν ᾗ καὶ τὸν βίον ἀπέλιπε.

B 4. Quo imperante, Maximus philosophus qui erat a secretis et maximo honore ab imperatoribus colebatur, cunctis rebus abdicatis, Chrysopolim in monasterium quoddam se contulit, capitisque ornamentum comam deposuit, non sustinens Monothelitarum hæresim tanta audacia fretam videre, neque valens conversari et colloqui cum imperatore ac patriarcha hanc perversam hæresim defendentibus. Deinde in insignem urbem Romam proficiscitur, et cum Pyrrho qui illuc post suam depositionem descenderat, in colloquium venit, persuasitque sanctissimo Papæ Martino ut localem synodum convocaret anathematique subjiceret eos qui unicam in Christo voluntatem esse docebant. Quæ convocata est, convenerunt que episcopi centum quinque et viginti. Postquam vero Roma rediit Maximus cum duobus Athanasiis ejus discipulis, a senatu reprehenditur, et in Thraciam relegatus custodiendus traditur, deinde et manus et lingua ipsius et ejus discipulorum amputantur. Sed et sanctissimus Martinus a sua sede deponitur, et ad exsilium damnatur, in quo et e vita migravit.

ε'. Τοῦ δὲ Κώνσταντος τελευτήσαντος ὁ τούτου παῖς Κωνσταντῖνος, ὃς ἐπεκέκλητο Πωγωνάτος, τὴν βασιλείαν παρείληφε· καὶ οὗτος ὀρθόδοξος ὢν ἐν Κωνσταντινουπόλει σύνοδον συνεκρότησεν, ἑνῶσαι τὰς Ἐκκλησίας γλιχόμενος, ἧς ἡγοῦντο τοποτηρηταὶ τοῦ πάπα Ῥώμης Ἀγάθωνος, Γεώργιος Κωνσταντινουπόλεως, Θεοφάνης Ἀντιοχείας· Ἀλεξανδρείας δὲ οὐκ ἦν πατριάρχης, οὔτε μὴν Ἱεροσολύμων· ὑπὸ γὰρ τῶν Σαῤῥακηνῶν αἱ πόλεις αὗται κατείχοντο· καὶ κυροῦται τὸ δύο θελήσεις καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ καὶ λέγεσθαι καὶ πιστεύεσθαι. Καθυπεβλήθησαν δὲ ἀναθέματι οἱ προστάται τῆς τῶν Μονοθελητῶν αἱρέσεως, εἰ καὶ τὸ ζῆν προκατέλυσαν, Ὀνώριος Ῥώμης, Κῦρος Ἀλεξανδρείας, Σέργιος καὶ Πύῤῥος, Παῦλός τε καὶ Πέτρος Κωνσταντινουπόλεως, Μακάριος Ἀντιοχείας, καὶ ὁ τούτου φοιτητὴς Στέφανος, καὶ ὁ νηπιόφρων Πολυχρόνιος· ἠγωνίσαντο δὲ κατὰ ταύτην τὴν σύνοδον μάλιστα ὑπὲρ τοῦ εὐσεβοῦς δόγματος, Στέφανος Ἡρακλείας Πόντου ἐπίσκοπος, ἀνὴρ λόγιος καὶ μικροῦ πᾶσαν τὴν θείαν Γραφὴν ἐπὶ στόματος φέρων, καὶ Ἰωάννης Ἀθηνῶν.

5. Constante mortuo, ejus filius Constantinus qui Pogonatus cognominabatur, regiam dignitatem accepit. Qui cum orthodoxus esset, Constantinopolim synodum coegit, ecclesias adunare cupiens, cui præerant Romani papæ Agathonis vicarii, Georgius Constantinopolis, Theophanes Antiochiæ. D Alexandria vero non habebat patriarcham neque Hierosolyma; a Sarracenis enim hæ urbes occupatæ erant; decerniturque duas voluntates et duas operationes in Christo esse dicendum et credendum. Subjecti autem sunt anathemati Monothelitarum hæresis principes, etsi jam vivere desierant, Honorius Romæ, Cyrus Alexandriæ, Sergius et Pyrrhus, Paulusque et Petrus Constantinopolis, Macarius Antiochiæ, et Stephanus, ejus discipulus, et insanus Polychronius. Pugnavere in hac synodo pro pio dogmate imprimis Stephanus Heracleæ in Ponto episcopus, vir disertus et fere omnem divinam Scripturam in labiis ferens, et Joannes Athenarum.

Justiniani piissimi imperatoris ex epistola dogmatica ad Zoilum Alexandriæ sanctissimum patriarcham.

Unus est ergo Christus, non sublata naturarum differentia per ineffabilem unionem, Verbum creditus homoque visus. Nec autem unio commistionem exclusit, nec differentia substantiarum in eo scissionem aut divisionem admittit. Miracula enim Christi videntes, illius divinitatem prædicamus, infirmitates vero inspicientes, humanitatem ejus non diffitemur ; nec miracula sine carne, nec absque divinitate infirmitates. Verum autem non est dicere ipsum esse passum et non passum ; passus est quidem, quia proprium ejus corpus patiebatur, atque in corpore ejus inerat qui non pateretur, scilicet qui natura Deus erat, nam Verbum erat impassibile. Erat incorporeus in corpore passibili, corpusque ejus in semetipso habebat impassibile Verbum, infirmitates ipsius corporis auferens ; unumquodque enim altero comitante operatur, juxta quod proprium habuerit ; Verbo quod est Verbi, corpore vero quod est corporis perficiente. Sic enim docet sanctus Cyrillus, in tricesimo secundo sermone Thesauri, in Epistolam ad Romanos: Neutiquam unam esse operationem naturalem Dei et creaturæ dicemus, ita ut nec quod factum est ad substantiam divinam referamus, nec quod divinæ naturæ peculiare est in locum proprium genitis deprimamus. Idem sanctus Pater, in his quæ ad Theodosium, nos eadem docet : Totum toti unitum fuisse nostræ humanitati Verbum de Deo dicimus : non enim forsitan, quod melius est in nobis, id est animam, nullo verbo judicasset dignum, soli carni quam inhabitabat verba tradens. Istis ambabus bene mysterium œconomiæ implebat ; carne ut instrumento utebatur ad opera carnis, infirmitates scilicet ac quæcunque abessent a culpa; anima vero ad humana innoxiasque passiones ; dicitur enim esuriisse, ex longis itineribus fatigationes sustinuisse, timorem, terrorem, tristitiam, agoniam atque in cruce mortem. Namque, nemine cogente, animam suam pro nobis a seipso posuit, *ut vivorum atque mortuorum dominetur* [a], carnemque suam omnium carni reddens æquale donum, animam pro anima pretium omnium faciens. Si autem iterum vita revocata fuerit, eo quod esset Deus, resurrexit ; non enim certe justum esset dicere carnem, olim Verbo unitam, corruptione posse detineri, animamque divinam ipsius inferni portarum fieri captivam : *Non derelictus est in inferno* [a'], juxta quod dicit sanctus Petrus. Non autem dicendum est naturam ejus inconprehensam indissolutamque omnino fuisse morte, sed divinitatem Unigeniti in sinum terræ translatam etiam fuisse dicemus ; non enim est mirabile, si in inferno

[a] Rom. xiv, 9. [a'] Act. II, 27.

A Ἰουστινιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως ἐκ τῆς πρὸς Ζωΐλον τὸν ἁγιώτατον πατριάρχην Ἀλεξανδρείας δογματικῆς ἐπιστολῆς (1).

ζ'. Εἷς οὖν ἐστιν} ὁ Χριστὸς, οὐκ ἀνῃρημένης τῆς τῶν φύσεων διαφορᾶς διὰ τὴν ἄφραστον ἕνωσιν, Λόγος νοούμενος καὶ ἄνθρωπος θεωρούμενος · οὔτε γὰρ ἡ ἕνωσις σύγχυτιν ἀπειργάσατο, οὔτε ἡ διαφορὰ τῶν ἐν αὐτῷ οὐσιῶν τομὴν εἴτουν διαίρεσιν ἐπιδέχεται. Βλέποντες γὰρ τοῦ Χριστοῦ τὰ θαύματα, κηρύττομεν αὐτοῦ τὴν θεότητα · ὁρῶντες αὐτοῦ τὰ πάθη, οὐκ ἀρνούμεθα αὐτοῦ τὴν ἀνθρωπότητα · οὐδὲ τὰ θαύματα δίχα σαρκὸς, οὐδὲ τὰ πάθη χωρὶς τῆς θεότητος. Καὶ ἔστι παράδοξον ὅτι αὐτὸς ἦν ὁ πάσχων, καὶ μὴ πάσχων· πάσχων μὲν, ὅτι τὸ ἴδιον αὐτοῦ ἔπασχε σῶμα· καὶ ἐν αὐτῷ τῷ σώματι B ἦν μὴ πάσχων ὁ τῇ φύσει Θεὸς ὤν, ὁ Λόγος ἀπαθὴς ἦν. Καὶ αὐτὸς μὲν ὁ ἀσώματος ἦν ἐν τῷ παθητῷ σώματι · τὸ δὲ σῶμα εἶχεν ἐν ἑαυτῷ τὸν ἀπαθῆ Λόγον, ἀφανίζοντα τὰς ἀσθενείας αὐτοῦ τοῦ σώματος · ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε, τοῦ μὲν Λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ Λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος. Τοῦτο γὰρ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ λβ' λόγῳ τοῦ θησαυροῦ διδάσκει τὴν πρὸς Ῥωμαίους ἑρμηνεύων Ἐπιστολήν· Οὐ δήπου μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν Θεοῦ καὶ ποιήματος, ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γεννητοῖς πρέποντα καταγάγωμεν τόπον. Ὁ αὐτὸς δὲ C ἅγιος Πατὴρ καὶ ἐν τοῖς πρὸς Θεοδόσιον τὰ αὐτὰ ἡμᾶς ἐκδιδάσκει λέγων · « Ὅλον ὅλῃ συνηνῶσθαί φαμεν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ Λόγον · οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι ψυχὴν, οὐδενὸς ἂν ἠξίωσε λόγου μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς λόγους. Ἐπράττετο δὲ δι' ἀμφοῖν καλῶς τῆς οἰκονομίας τὸ μυστήριον · προσεχρήσατο καθάπερ ὀργάνῳ τῇ ἰδίᾳ σαρκὶ πρὸς τὰ σαρκὸς ἔργα τε καὶ ἀῤῥωστήματα φυσικὰ καὶ ὅσα μώμου μακράν · ψυχῇ δ' αὐτῇ ἰδίᾳ πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη · πεινῆσαι γὰρ λέγεται, πόνους τε ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιπορίων, πτοήσεις τε καὶ φόβους καὶ λύπην καὶ ἀγωνίαν καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. Ἐπαναγκάζοντος γὰρ οὐδενὸς ἔθηκεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, *ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ·* σάρκα μὲν τὴν ἰδίαν τῆς ἁπάντων σαρκὸς ἀποτινὺς ἀληθῶς δῶρον ἀντάξιον · ψυχὴν δ' ἀντὶ ψυχῆς ἀντίλυτρον τῶν ἁπάντων ποιούμενος · εἰ καὶ ἀνεβίω πάλιν ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεός · οὐ γάρ τοι θέμις εἰπεῖν φθορᾷ μὲν δύνασθαι κρατεῖσθαί ποτε ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα, κάτοχον δὲ αὐταῖς ᾍδου πύλαις τὴν θείαν γενέσθαι ψυχήν · *Οὐκ ἐγκατελείφθη* γὰρ *εἰς ᾅδου*, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Πέτρος. Οὐ γὰρ ἔστιν εἰπεῖν ὡς τὴν ἀλη-

(1) Citat hoc scriptum suum Justinianus in alio suo opusculo a nobis edito Coll. Vat. t. VII, p. 309. Citat rursus Agatho papa in epistola ad imperatores Concil. Labb. t VI, p. 663 b.

πτον παντελῶς καὶ ἀνάλωτον τῷ θανάτῳ φύσιν, τουτέστι τὴν θεότητα τοῦ Μονογενοῦς ὑπὲρ χθόνα μυχῶν ἀνακεκομίσθαι φήσομεν· οὐ γὰρ ἂν ἠξιώθη τὸ χρῆμα θαύματος, εἰ μεμένηκεν εἰς τὸν ᾅδην ὁ ἐκ Θεοῦ Λόγος, τῇ τῆς θεότητος ἐνεργείᾳ τε καὶ φύσει παραδόξως τε καὶ ὑπὲρ λόγον πληρῶν τὰ πάντα καὶ τοῖς πᾶσιν ἐπιδημῶν. » Εἶτα προϊὼν τῷ λόγῳ ταῦτα πάλιν φησίν· « Ἀνθρώπινον μὲν τὸ τεθνάναι πάθος, ἐνέργημα δὲ θεῖκὸν τὸ ἀναβιῶναι· » δεικνὺς ἃ δι' ἀμφοῖν γνωρίζεται καθ' ἡμᾶς τε ἅμα καὶ ὑπὲρ ἡμᾶς ὡς Θεός. Ὁρᾷς ὅπως ὁ σεβάσμιος οὗτος Πατὴρ τὰς τῶν δύο φύσεων ἐνεργείας ἐπὶ τῆς μιᾶς ὑποστάσεως ἤτοι τοῦ ἑνὸς προσώπου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν παραδίδωσι; *Καὶ μετ' ὀλίγα*· Εἶτα δι' ἡμᾶς ἄνθρωπος γενόμενος, ὁρατὸς καὶ ψηλαφητὸς γέγονε· καὶ διὰ τῶν θείων τε καὶ ἀνθρωπίνων ἐνεργειῶν φανερωθεὶς ὑπάρχειν ἐν θεότητι καὶ ἀνθρωπότητι, δέδωκεν ἡμῖν γινώσκειν ὅτι ἐν οἷς ἐγνώσθη, ἐξ αὐτῶν συνίσταται· οὕτω γὰρ καὶ οἱ ἅγιοι Πατέρες ἀμφοτέρας τὰς φωνὰς ὁμολογοῦντες, τουτέστι καὶ τὴν ἐκ θεότητος καὶ ἀνθρωπότητος δι' ἑκατέρας αὐτῶν τὸ ἀσύγχυτόν τε καὶ ἀδιαίρετον τῆς οἰκονομίας τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παραδιδόασιν.

habitaverit de Deo Verbum, cum deitatis virtute ac natura, mirabiliter ac supra id quod dici potest, omnia impleat, atque in nobis omnibus inhabitet. Deinde pergens, hæc iterum dicit : « Humana infirmitas est mors, virtus vero divina resurrectio; » ostendens quod his ambabus agnoscitur, scilicet inter nos esse simul et supra nos ut Deum. Videsne quomodo hic venerabilis Pater duarum naturarum virtutes in una hypostasi seu una persona Christi Dei nostri demonstrat? *Et paulo post:* Deinde, propter nos homo factus, visibilis tractabilisque factus est. Cumque divinis atque humanis virtutibus in divinitate ac humanitate esse apparuisset, nobis cognoscendum dedit se ex ipsis subsistere quibus patefactus est. Sic ergo sancti Patres has ambas voces confitentes, unam scilicet de deitate atque alteram de humanitate, ex utraque inconcretam atque individuam œconomiam magni Dei nostri Salvatoris Jesu Christi tradunt.

NICETÆ CHONIATÆ

EX LIBRO XVII THESAURI ORTHODOXÆ FIDEI (*a*).

Περὶ αἱρέσεων τῶν Ἀρμενίων (1).

α'. Τὴν μίαν ἐπὶ Χριστοῦ φύσιν καὶ μίαν ἐνέργειαν οὕτω πειρῶνται Ἀρμένιοι κρατύνειν· εἰ δύο φασὶν ἐνεργείας ἐπὶ Χριστοῦ δοίημεν, συνέφονται πάντως ταύταις καὶ δύο θελήματα· εἰ δὲ τοῦτο, ἐξ ἀνάγκης καὶ δύο συνεισαχθήσονται πρόσωπα.

Πρὸς δὲ ταῦτα οὕτως αὐτοῖς ἀντέκεσον οἱ θεοφόροι Πατέρες ἡμῶν.

Τὸ φυσικὸν θέλημα οὐδὲν ἄλλο ἐστὶν ἢ δύναμις τοῦ κατὰ φύσιν ὄντος ὀρεκτικὴ, καὶ τῶν ἰδιωμάτων συνεκτικὴ τῶν τῇ φύσει προσόντων οὐσιωδῶς, καθ' ἣν ὁτὲ τῷ φύσει θελητικῷ τὸ πεφυκέναι θέλειν ἐμπέφυκεν· οὐ ταυτὸν δὲ τὸ πεφυκέναι θέλειν καὶ θέλειν ἐστίν· ὥσπερ οὐδὲ τὸ πεφυκέναι λαλεῖν καὶ λαλεῖν· πέφυκε μὲν γὰρ ἀεὶ τὸ λαλητικὸν λαλεῖν, λαλεῖ δὲ οὐκ ἀεί· ἐπειδὴ τὸ μὲν οὐσίας ἐστὶ λόγῳ φύσεως συνεχόμενον, τὸ δὲ βουλῆς, τῇ τοῦ λαλοῦντος γνώμῃ τυπούμενον· ὥστε φύσεως μὲν ἀεὶ

De hæresibus Armeniorum.

1. Unam in Christo naturam et unam operandi facultatem Armenii hoc modo confirmare student : Si duas Christo operandi facultates attribuimus, duæ necessario voluntates stabiliendæ sunt ; quod si conceditur, duæ personæ emanent necesse erit.

Ad hoc autem sic illis divini Patres nostri responderunt.

Naturalis voluntas nihil aliud est quam vis hujus quod secundum naturam est appetitum movens proprietatesque complectens quæ naturæ essentialiter insunt, ex qua semper voluntatem habenti posse velle inest. Non autem idem est posse velle et velle, quemadmodum nec idem est posse loqui, et loqui. Quod enim facultatem loquendi habet, potest semper loqui, non autem semper loquitur ; ut enim possit, in ratione naturæ comprehenditur ; ut autem velit, loquentis mente

(1) Contra varias hæreses Armeniorum non pauca alia præcedunt in codice, quæ idcirco nos omisimus quia ea pene ad litteram edita reperimus apud Nicephorum Callistum hist. lib. XVIII, 53. Sed quia inter alios schismaticorum Armeniorum illaudabiles ritus sacra quoque cadaverum per oleum unctio recensetur, qua super re quemdam Macarii Hierosol. incertum et fortasse spurium canonem citant (videsis Collect. Vat. t. X fin., p. 271 et præf. p. XXII), aio me vidisse idoneam hujus rei ms. refutationem Nicephori patriarchæ Constantinopolitani hoc titulo : Περὶ τῶν λεγόντων ὅτι χρὴ καὶ μετὰ τὸν θάνατον εὐχέλαιον ποιεῖν. Incipit : Οὐκ οἶδα ποίαν καὶ ἀτασθαλίας μεστήν· *Nescio quam amentiæ plenam.* Videsis tamen etiam Græca apud Cangium contraria excerpta voc. Ἔλαιον ἅγιον.

(*a*) Hoc libro continebatur etiam secunda Disputatio Theoriani cum Nersete, quam inter opera Theoriani edidimus, tom. CXXXIII. Edit. Patr.

detern inatur; ita ut naturæ quidem sit posse semper loqui, ut et posse velle. Si autem posse velle et quomodocunque velle non sunt idem, sed posterius ex volentis deliberatione procedit, habebat igitur posse velle incarnatum Verbum, ut homo, sua divina voluntate motum et efformatum. Ejus enim voluntas, nihil Deo opposita, omnino deificata erat. Si autem deificabatur, patet eam deificantis cohærentia deificatam esse. Deificum vero et deificatum duo certe sunt; sed non unum et idem natura; si quidem eorum, quæ sunt ad aliquid, deificans et deificatum sunt, ea vero quæ sunt ad aliquid possunt inter se uniri, alterumque per alterum concipi. Habebat igitur naturalem voluntatem, ut homo, Salvator sua divina voluntate efformatam et unificatam et non contrariam. Quod enim appetitivo in potentia motu caret, caret simul omni vitali potestate; quod autem ex natura non habet vitalem potestatem, omnino neque animam habet.

A τὸ πεφυκέναι λαλεῖν, ὥσπερ καὶ τὸ πεφυκέναι θέλειν· εἰ δὲ τὸ πεφυκέναι θέλειν καὶ τὸ πῶς θέλειν οὐκ ἔστι ταυτὸν, τὸ δὲ τῆς τοῦ θέλοντος ὑπάρχει βουλῆς, εἶχεν ἄρα τὸ πεφυκέναι θέλειν ὁ σαρκωθεὶς Λόγος, ὡς ἄνθρωπος, τῷ αὐτοῦ θεϊκῷ βουλήματι κινούμενον καὶ τυπούμενον· τὸ γὰρ ἐκείνου θέλειν οὐδὲν ὑπεναντίον Θεῷ, θεωθὲν ὅλον· εἰ δὲ τεθέωτο, τῇ τοῦ θεοῦντος δηλονότι συμφυΐᾳ τεθέωτο. Τὸ δὲ θεοῦν καὶ θεούμενον δύο πάντως, ἀλλ' οὐχ ἓν καὶ φύσει ταυτὸν, εἴπερ τῶν πρός τι τὸ θεοῦν καὶ τὸ θεούμενον, τὰ δὲ πρός τι πάντως ἀλλήλοις συνεισάγεσθαι πέφυκε, καὶ θατέρῳ συνεπινοεῖσθαι θάτερον. Εἶχεν οὖν θέλημα φυσικὸν ὡς ἄνθρωπος ὁ Σωτὴρ τῷ αὐτοῦ θεϊκῷ θελήματι συντυπούμενον καὶ ἑνούμενον καὶ οὐκ ἐναντιούμενον· τὸ γὰρ κατ' ἕφεσιν ὀρεκτικῆς ἐστερημένον κινήσεως καὶ πάσης ζωτικῆς δυνάμεως ἄμοιρον· τὸ δὲ ζωτικὴν οὐκ ἔχον ἐκ φύσεως δύναμιν πάντως οὐδὲ ψυχήν.

Ad eos qui dicunt se nescire alteram et alteram in Christo voluntatem, sed unam et hanc divinam, eo quod deificata fuerit caro.

Πρὸς τοὺς λέγοντας μὴ ἄλλο καὶ ἄλλο ἐπὶ Χριστοῦ εἰδέναι θέλημα, ἀλλ' ἓν καὶ τοῦτο θεϊκὸν, διὰ τὸ τὴν σάρκα θεωθῆναι.

2. Nisi altera et altera sit secundum naturam divina et humana voluntas, manifestum est eam esse unam et eamdem natura. Si ita est, natura ipsa necessario una et eadem erit. Ubi enim non est diversitas naturalis voluntatum, neque substantiæ et naturæ illic aderit varietas. Si autem natura altera et altera voluntates sint, omnino inter se differunt. Porro si differunt, quomodo earum numerum consiteri non necesse est et quot sint inquirere? Quomodo enim possibile est esse voluntates easque non numerari? Quod enim deificata est sua cum Deo unione caro, non ideo in sua essentiali entitate, quatenus natura rationalem et mente præditam animam habet, corrumpitur. Quemadmodum neque ferrum corrumpit in propria natura summa et perfecta cum igne commistio et unio; sed proprietates ignis contrahit, si quidem ignis per unionem factum est; simul autem grave est natura et secat, quia non propriæ naturæ jacturam passum est, neque naturalem vim omnino amisit, etsi cum igne exsistat secundum unam et eamdem hypostasim, atque simul operetur ea quæ secundum propriam naturam sunt, sectionem dico, rursusque ea quæ ex unione procedunt, nempe adustionem; ipsius autem est, quemadmodum et ignis, secandi actio propter summam mutuamque circumincessionem et communionem.

B

C

D

β'. Εἰ ἄλλο καὶ ἄλλο κατὰ φύσιν οὐκ ἔστι τὸ θεῖον καὶ τὸ ἀνθρώπινον θέλημα, δῆλον ὡς ἓν φύσει καὶ ταυτόν· καὶ εἰ τοῦτο, καὶ ἡ φύσις ἐξ ἀνάγκης μία καὶ ἀπαράλλακτος ἔσται· οὗ γὰρ ἑτερότης φυσικὴ θελημάτων οὐκ ἔστιν, οὐδὲ οὐσίας καὶ φύσεως· τὸ παράπαν ἐκεῖσε παραλλαγή. Εἰ δὲ ἄλλο φύσει καὶ ἄλλο, διάφορα πάντως· καὶ εἰ διάφορα, πῶς τὸν ἐν ποσῷ τούτων ἀριθμὸν οὐχ ὁμολογῆσαι χρεών; Πῶς γὰρ δυνατὸν εἶναι τὰ θελήματα, καὶ μὴ ἀριθμεῖσθαι; Τὸ γὰρ θεωθῆναι τῇ πρὸς τὸν Θεὸν ἑνώσει, καθὰ καὶ τὴν φύσιν αὐτὴν τῆς λογικῶς τε καὶ νοερῶς ἐψυχωμένης σαρκὸς, τῆς κατ' οὐσίαν ὀντότητος οὐκ ἐξίστησιν, ὥσπερ οὐδὲ τῆς οἰκείας τὸν σίδηρον φύσεως ἡ ἄκρα καὶ διόλου πρὸς τὸ πῦρ ἀνάκρασίς τε καὶ ἕνωσις· ἀλλὰ πάσχει μὲν τὰ πυρὸς, ἐπειδὴ πῦρ τῇ ἑνώσει γεγένηται· βρίθει δὲ πάλιν κατὰ φύσιν καὶ τέμνει, ὅτι μὴ τῆς οἰκείας φύσεως λώβην πέπονθεν, ἢ τῆς φυσικῆς ἐνεργείας ἐξίστη τὸ σύνολον, καίτοι μετὰ πυρὸς ὑπάρχων κατὰ τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν, καὶ ἀδιαστάτως δρῶν τά τε κατὰ φύσιν ἰδίαν, λέγω δὴ τὴν τομὴν, καὶ τὰ καθ' ἕνωσιν αὖθις ὅπερ ἐστὶν ἡ καῦσις· αὐτοῦ γάρ ἐστι, καθάπερ καὶ τοῦ πυρὸς ἡ τομὴ, διὰ τὴν ἄκρσν εἰς ἄλληλα περιχώρησιν καὶ ἀντίδοσιν.

Et rursus circa idem.

Καὶ αὖθις περὶ τοῦ αὐτοῦ.

3. Si omnia quæ naturæ sunt nobiscum habuit Christus communia, Patris benevolentia et Spiritus sancti cooperatione propter nostram salutem, quomodo etiam naturalem non participabat voluntatem? Peccatum enim solum non participavit Verbum incarnatum, quia neque id naturæ est, sed deflexio et lapsus mentis ultra naturæ ra-

γ'. Εἰ πάντων τῶν τῆς φύσεως ἐπίσης κεκοινώνηκεν ἡμῖν ὁ Χριστὸς εὐδοκίᾳ Πατρὸς καὶ συνεργείᾳ Πνεύματος ἁγίου διὰ τὴν σωτηρίαν ἡμῶν, ὅπως οὐχὶ καὶ τῆς φυσικῆς μετεῖχε θελήσεως; Ἁμαρτίας γὰρ μόνης οὐχὶ μετέσχεν ὁ σαρκωθεὶς Λόγος, ὅτι μηδὲ τῆς φύσεως αὕτη ἐστὶν, ἀλλὰ παρεκτροπὴ καὶ ὀλίσθημα γνώμης κεκινημένης παρὰ

τὸν λόγον τῆς φύσεως· διαστέλλεται γὰρ τὸ φυσικὸν θέλημα καὶ τὸ γνωμικόν· τὸ μὲν γὰρ φυσικὸν δύναμις ὑπάρχει τοῦ κατὰ φύσιν ὄντος ὀρεκτική· τὸ δὲ γνωμικὸν αὐθαίρετος ὁρμὴ καὶ ζήτησις περὶ τοῦ ἀγνοουμένου, καὶ κρίσις καὶ διάθεσις περὶ τὸ κριθέν· καὶ οὐ φύσεως χαρακτηριστικὸν, ἀλλὰ τοῦ προσώπου κυρίως οὗ ἐστι καὶ τῆς ὑποστάσεως, ὥσπερ καὶ τὸ πῶς θέλειν καὶ τὸ πῶς ὁρᾷν οὐ τῆς φύσεως, ἀλλὰ τῆς ἡμετέρας γνώμης· καθ' ὃν λόγον καὶ ὁ ἀνθρωπολάτρης Νεστόριος γνωμῶν ἕνωσιν ἀσεβῶς ἐδογμάτισεν, ἵν' ἑκατέραν δι' ἑκατέρας κυρώσῃ ὑπόστασιν, καὶ ὁ ψιλὸς ἄνθρωπος αὐτῷ τηρηθῇ γνώμῃ τινὶ καὶ αὐθαιρέτῳ κινήσει πρὸς τὸν Θεὸν Λόγον, καὶ αὐτὸς, φησὶ, τὴν ἕνωσιν ποιησάμενος. Ὡς ἂν τοίνυν τὸ ἐντελὲς ἀκριβωθῇ τῆς φύσεως ἐπὶ τοῦ σαρκωθέντος Θεοῦ, καὶ τὸ ἀντικείμενον διαῤῥιφῇ· τὸ μὲν φυσικὸν θέλημα ὡρίσθη ἐπὶ Χριστοῦ, τὸ δὲ γνωμικὸν οὐ κυρίως ἐῤῥέθη, ὡς μήτε τῇ διαιρέσει χώρα δοθῇ τῷ στασιάζειν ἐν τούτῳ, μήτε τῇ φαντασίᾳ παρείσδυσις τῷ μὴ ὑπάρχειν ἐκεῖνο.

A

B

Ἕτερον πρόβλημα τῶν Ἀρμενίων.

δ'. Εἰ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ δύο θελήματα καὶ δύο ἐνεργείας δῶμεν, πάντως ἀλλήλοις ἐναντία ἔσονται τοῦ θείου διαμαχομένου τῷ ἀνθρωπίνῳ, καὶ ὁ αὐτὸς καὶ εἷς Χριστὸς, ἢ διαστασιάζων ἑαυτῷ εὑρεθήσεται, ἢ αἱ φύσεις διαιρεθήσονται καὶ ἰδιοϋπόστατοι, καὶ τὸ τοῦ Νεστορίου δόγμα παῤῥησιάσεται.

Altera Armeniorum propositio.

4. Si in Christo duas esse voluntates et operationes concedamus, omnino inter se contrariæ erunt, divina voluntate adversus humanam repugnante; ac idem et unus Christus vel a seipso dissentiens invenietur, vel naturæ dividentur et singulæ propriam habebunt hypostasim; et Nestorii doctrina manifeste prædicabitur.

Ἀντίθεσις πρὸς τοῦτο τῶν εὐσεβῶν.

ε'. Εἰ μὲν τὰ δύο θελήματα, τό τε θεῖον καὶ τὸ ἀνθρώπινον, κατ' οὐσίαν φατὲ διάφορα, εὐσεβεῖτε· εἰ δὲ ἀντικείμενα, ψευδὴς ὁ λόγος· ἄλλο γὰρ θεότητος καὶ ἄλλο ἀνθρωπότητος θέλημα· ἀντικείμενα δὲ οὐδαμῶς, ὡς τοῦ ἀνθρωπίνου θελήματος τῷ θείῳ ἑπομένου, καὶ συντυπουμένου· οὔτε γὰρ εἴ τι διάφορον, πάντως τοῦτο καὶ ἀντικείμενον· διαφορὰ γὰρ οὐσιώδης· σύστασίς ἐστι τῶν ἐν τῇ φύσει πραγμάτων, οὐ μὴν ἐναντίωσις πρὸς τὴν τούτων διάλυσιν. Ἀπαραίτητον δὲ τὸν σαρκωθέντα Λόγον φυσικῶς ἔχειν καὶ τὸ ἀνθρώπινον θέλημα πρὸς πίστωσιν τῆς νοερᾶς αὐτοῦ καὶ λογικῶς ἐψυχωμένης σαρκός· εἴπερ τέλειος ἄνθρωπος γέγονε μηδενὸς τῶν ἡμετέρων λειπόμενος, πλὴν μόνης τῆς ἁμαρτίας· πάντα γὰρ ἔχων ὅσα καὶ ἡμεῖς ἀπαραλείπτως τὰ κατὰ φύσιν συστατικὰ τῆς ἡμετέρας οὐσίας, ἤθελε καὶ ἐνήργει ἐν ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας· ὧν μὲν γὰρ ἡ αὐτὴ, τούτων καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτή· ὧν δὲ διάφορος ἡ οὐσία, τούτων διάφορος καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια. Καὶ τὸ ἀνάπαλιν, ὧν ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτὴ, τούτων καὶ ἡ οὐσία ἡ αὐτή· ὧν δὲ διάφορος ἡ θέλησις καὶ ἐνέργεια, τούτων καὶ ἡ οὐσία διάφορος· διὸ ἐπὶ μὲν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἐκ τῆς ταυτότητος τῆς ἐνεργείας καὶ τοῦ θελήματος καὶ τὴν ταυτότητα τῆς φύσεως γινώσκομεν· ἐπὶ δὲ τῆς θείας οἰκονομίας, ἐκ τῆς διαφορᾶς τῶν ἐνεργειῶν καὶ τῶν θεληματων καὶ τὴν τῆς φύσεως

C

Ad hæc responsio orthodoxorum.

5. Si quidem duas voluntates, divinam et humanam, secundum essentiam differre dicitis, pie dicitis; si autem oppositas esse, mendaces estis. Altera enim est divinitatis et altera humanitatis voluntas; inter se tamen minime oppositæ, cum humana voluntas divinam voluntatem sequatur et ab illa efformetur. Non enim si quid differt, ideo opponitur; differentia enim est essentiæ: eorum quæ in natura sunt collatio est eorum sejunctionis loco, non sane oppositio. Inevitabile autem incarnatum Verbum naturaliter humanam voluntatem habere, ut ejus intelligenti et rationali carnis animæ fides sit, si quidem perfectus homo factus est, nihil quod nostrum sit non sibi suscipiens, excepto peccato. Omnia enim quæ et nos habens, nihil non suscipiens eorum quæ secundum naturam nostræ essentiæ constituta sunt, in utraque forma volebat operabaturque cum alterius communione. Quorum autem differens est essentia, eorum quoque differens est et voluntas et operatio; quorum vero differens est voluntas et operatio, eorum quoque differens est essentia. Ideo et in Patre et Filio et Spiritu sancto ex voluntatis et operationis identitate, et naturæ identitatem agnoscimus. In divina autem incarnationis œconomia ex operationum et voluntatum differentia, et naturæ differentiam confitemur. Duas porro voluntates naturarum esse dicimus, non personales; neque se-

D

parationem inducimus naturarum, sed eamdem, et in hac unione naturarum ostendimus conservationem.

6. Hoc etiam dicunt quod solo passionis tempore, quando quod nostri est perfecte in se referebat Christus et mori recusabat ut homo, duas voluntates habere visus est. Quod est inconsequens : si enim tunc habebat, et ab initio habebat ex quo factus est homo, neque id ex tempore habuit. Si autem ab initio non habebat, neque tempore passionis habuit, sed horrorem tantum simulavit, et pariter juxta illos cætera per quæ salvati sumus, lacrymas nempe, orationes, mœrorem, agoniam, crucem, mortem et sepulturam. Figurabat enim in seipso perfecte quod nostri est per naturalem secundum nos agoniam, ut et ab illa nos liberaret, et propriæ carnis naturæ fidem faceret, et œconomiam ab omni phantasia alienam efficeret; quemadmodum suæ humanæ valuntatis cum propria sui ipsius Patrisque voluntate cohærentiam et unionem, id statuens et dicens : « Non mea voluntas, sed tua fiat [a]. »

Alia Armeniorum propositio.

7. Si indivisibilis est Christus, indivisibilium vero una est operatio et voluntas, quomodo non et de Christo unam operationem et voluntatem dicemus?

Responsio.

Nihil naturalium, in quantum est indivisibile certe, sed pro hujus indivisibilis natura et essentia differentiam habet. Naturis enim non exsistentibus, evanescit quoque omnino quod naturis constat, compositam hypostasim dico. Si autem compositam Christi hypostasim confitemur ad quam attollitur, et contrariorum et oppositorum capax erit : mortalis enim et immortalis, visibilis et invisibilis, finita et infinita, initio carens et initium habens. Duplex quoque eorum, ut decet, erit operatio; et aliter utra natura absque operatione esset, vel extra naturalem suam operationem? Quomodo autem possibile est ut naturalis secundum carnem virtutis expers Verbum incarnatum hominem perfectum ac simpliciter hominem seipsum nominet? Non enim est absque naturali operatione homo. Ad hoc, neque indivisibilis proprie dicitur in Christo composita persona. Nullam enim relationem habet ad eam divisionem quæ ex remotissimo genere per genera inter se subjecta ad propinquissimam speciem pervenit in eaque proprium progressum circumscribit.

8. Ideo juxta sapientissimum Cyrillum nomen *Christus* non vim definitionis habet. Non enim est species de multis numero diversis prædicata, neque aliquam alicujus essentiam ostendit : non enim aliquid indivisibile est ad speciem aut genus

[a] Luc. XXII, 42.

διαφορὰν συνομολογοῦμεν · τὰ μέντοι δύο θελήματα φυσικά φαμεν, οὐχ ὑποστατικά · οὐδὲ διαίρεσιν εἰσάγομεν τῶν φύσεων, ἀλλὰ τὴν αὐτὴν, κἂν τῇ ἑνώσει δηλοῦμεν φυσικὴν συντήρησιν.

ς'. Ἔτι τοῦτό φασιν, ὡς ἐν τῷ καιρῷ μόνῳ τοῦ πάθους, ἡνίκα τὸ ἡμέτερον ἐτύπου πραγματικῶς ἐν ἑαυτῷ ὁ Χριστὸς καὶ παρητεῖτο τὸν θάνατον ὡς ἄνθρωπος, δύο θελήματα ἔχων ἐδείκνυτο. Τοῦτο δὲ ἄτοπον · εἰ μὲν γὰρ εἶχε τότε, καὶ ἀπ' ἀρχῆς εἶχεν ἐξ οὗ γέγονεν ἄνθρωπος, ἀλλ' οὐχ ὕστερον ἐσχεδίασεν· εἰ δὲ ἀπ' ἀρχῆς οὐκ εἶχεν, οὐδὲ κατὰ τὸν καιρὸν εἶχε τοῦ πάθους, ἀλλὰ μόνον ἐφάντασε τὴν παραίτησιν · κατ' αὐτοὺς δὲ καὶ τὰ λοιπὰ δι' ὧν σεσώσμεθα, οἷον τὸ δάκρυον, τὴν εὐχὴν, τὴν λύπην, τὴν ἀγωνίαν, τὸν σταυρὸν, τὸν θάνατον, καὶ τὴν ταφήν · ἐτύπου γὰρ ἐν ἑαυτῷ πραγματικῶς τὸ ἡμέτερον διὰ τῆς φυσικῆς πρὸς ἡμᾶς ἀγωνίας, ἵνα καὶ ταύτης ἡμᾶς ἐλευθερώσῃ, καὶ τῆς οἰκείας σαρκὸς τὴν φύσιν πιστώσηται, καὶ τὴν οἰκονομίαν καθαρὰν πάσης φαντασίας ἐργάσηται · ὥσπερ τὴν ἄκραν τοῦ κατ' αὐτὸν ἀνθρωπικοῦ πρὸς τὸ οἰκεῖον αὐτοῦ καὶ πατρικὸν θέλημα συμφυΐαν καὶ ἕνωσιν, τῷ ἐπικρίνειν τοῦτο καὶ φάσκειν · *Μὴ τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν γενέσθω θέλημα.*

Ἕτερον πρόβλημα τῶν Ἀρμενίων.

ζ'. Εἰ ἄτομος ὁ Χριστὸς, τῶν δὲ ἀτόμων μία ἐνέργεια καὶ θέλησις, πῶς οὐχὶ καὶ ἐπὶ Χριστοῦ μίαν ἐνέργειαν καὶ θέλησιν εἴπωμεν;

Ἀντίθεσις.

Οὐδὲν τῶν φυσικῶν εἰς τὸ ἄτομον προηγουμένως, ἀλλ' εἰς τὴν τούτου φύσιν καὶ οὐσίαν ἔχει τὴν διαφοράν · φύσεων γὰρ οὐκ οὐσῶν, καὶ τὸ ἐξ αὐτῶν ἀφανίζεται πάντως, ἡ σύνθετος, λέγω, ὑπόστασις · Εἰ δὲ σύνθετος ἡ ὑπόστασις ὁμολόγηται τοῦ Χριστοῦ πρὸς ἣν ἀναφέρεται, καὶ δεκτικὴ τῶν ἐναντίων καὶ ἀντικειμένων · θνητὴ γὰρ καὶ ἀθάνατος, ὁρατὴ καὶ ἀόρατος, περιγραπτὴ καὶ ἀπερίγραπτος, ἄναρχος καὶ ὑπ' ἀρχήν · διπλῆ τούτων κατὰ τὸ εἰκὸς καὶ ἡ ἐνέργεια ἔσται · καὶ ἄλλως δὲ τίς φύσις ἀνενέργητος, ἢ φυσικῆς ἐνεργείας ἐκτός; Πῶς δὲ καὶ δυνατὸν, ἀμοιροῦντα φυσικῆς δυνάμεως κατὰ σάρκα τὸν ἐνανθρωπήσαντα Λόγον ἄνθρωπον τέλειον ἢ ὅλως ἄνθρωπον χρηματίζειν; Οὐδὲ γὰρ δίχα φυσικῆς ἐνεργείας ὁ ἄνθρωπος · πρὸς δὲ τούτοις, οὐδὲ ἄτομον κυρίως λέγεται τὸ κατὰ Χριστὸν σύνθετον πρόσωπον · οὐ γὰρ σχέσιν ἔχει πρὸς τὴν ἐκ τοῦ γενικωτάτου γένους διὰ τῶν ὑπ' ἄλληλα καθιεμένων γενῶν πρὸς τὸ εἰδικώτατον εἶδος; διαίρεσιν καὶ ἐν αὐτῷ τὴν οἰκείαν πρόοδον περιγράφουσαν.

η'. Διὰ τοῦτο, κατὰ τὸν σοφώτατον Κύριλλον, τὸ *Χριστὸς* ὄνομα οὔτε ὅρου δύναμιν ἔχει · οὐ γὰρ εἰδός; ἐστι πολλῶν ἀριθμῷ διαφερόντων κατηγορούμενον, οὔτε μὴν τὴν τινος οὐσίαν δηλοῖ · οὐ γὰρ ἄτομον πρὸς εἶδος; ἢ γένος ἀγόμενον ἢ κατ' οὐσίαν

ὑπὸ τούτων περιγραφόμενον, ἀλλ' ὑπόστασις σύνθετος τὴν φυσικὴν τῶν ἄκρων διαίρεσιν ἐν ἑαυτῇ κατάκρας ταυτίζουσα, καὶ εἰς ἓν ἄγουσα τῇ τῶν οἰκείων ἑνώσει μερῶν· ἐπεὶ οὐδὲ ἑτέρωθεν τὸν αὐτὸν φύσει Θεὸν ὄντα καὶ ἄνθρωπον διαγινώσκομεν, ἢ ἐκ τῶν θείκῶς ἅμα καὶ ἀνθρωπικῶς χαρακτηριζόντων αὐτὸν ἐμφύτων ἰδιωμάτων τῆς τε θείας θελήσεως καὶ ἐνεργείας, καὶ τῆς ἀνθρωπικῆς τοῦ αὐτοῦ θελήσεως· αἷς καὶ δι' ὧν ὅ ἦν καὶ ὃ γέγονεν, ἐπεσφράγιζε· θαυματουργῶν μὲν ὑπὲρ ἡμᾶς ὡς Θεὸς, πάσχων δὲ δι' ἡμᾶς ὁ αὐτὸς ἑκουσίως ὡς ἄνθρωπος· καὶ νῦν μὲν φθεγγόμενος πρὸς τὸν Φίλιππον· *Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί;* καὶ, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα·* καὶ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Νῦν δὲ τί ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν;*

A reductum aut secundum essentiam sub illis circumscriptum, sed hypostasis composita naturalem extremorum divisionem in se commiscens et identificans, et in unum agens propriarum partium adunatione, quoniam nec aliunde eumdem natura Deum et hominem agnoscimus quam ex iis quæ divine et humane simul cum signant, innatis proprietatibus divinæ voluntatis operationisque et humanæ ejus voluntatis. Quibus et per quas quod erat et quod factus est signavit; miracula quidem supra nos operans ut Deus, patiens autem propter nos voluntarie ut homo. Et nunc quidem Philippo dicens: « Non credis quia ego in Patre et Pater in me[7]? » Et: « Qui videt me, videt Patrem[8]; et, « Ego et Pater B unum sumus[9]: » nunc vero: « Quid quæritis me interficere, hominem qui veritatem locutus sum vobis[10]? »

Ἕτερα ἀντίθεσις Ἀρμενίων.

θ'. Πᾶν ἑτεροκίνητον ἀνενέργητον· ἡ τοῦ Κυρίου τοίνυν σὰρξ ὑπὸ τοῦ ἐνωθέντος αὐτῇ Λόγου κινουμένη ἀνενέργητος ἦν.

Alia Armeniorum objectio.

9. Quod ab alio movetur, absque operatione est: Domini igitur caro quæ a Verbo sibi unito movetur, absque operatione est.

Ἀντίθεσις καὶ ἀπολογία πρὸς τοῦτο.

Καὶ λοιπὸν οὐ διέφερε τῶν ἄλλων ἁγίων ἡ τοῦ Κυρίου σάρξ· νεύματι Θεοῦ ἐκινοῦντο καὶ Μωϋσῆς καὶ Δαβὶδ, καὶ ὅσοι ἄλλοι τῆς θείας ἐνεργείας χωρητικοί· τοῦτο δὲ ἄτοπον. Ἀλλ' ἐπεὶ ὁ τῶν ὅλων Θεὸς ἀτρέπτως γέγονεν ἄνθρωπος, καὶ ὡς Θεὸς καταλλήλως τῇ αὐτοῦ θεότητι ἤθελέ τε καὶ ἐνήργει, καὶ ὡς ἄνθρωπος καταλλήλως τῇ αὐτοῦ ἀνθρωπότητι, C τοῦ ἀνθρωπείου θελήματος οἷα καὶ θεωθέντος, τῷ θείκῷ βουλήματι κινουμένου καὶ τυπουμένου· καὶ μαρτυροῦσι τοῦτο τὰ εὐαγγελικὰ ῥήματα ἃ φασιν οὑτωσί· « Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς εἰσελθεῖν εἰς τὴν Γαλιλαίαν· » καὶ πάλιν· « Θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ αὐτοὶ ὦσι· » καὶ αὖ· « Οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι· » καὶ ἑτέρωθι· « Κἀκεῖθεν ἐξελθόντες ἐπορεύοντο διὰ τῆς Γαλιλαίας· καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ· » καὶ ἀλλαχοῦ· « Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες αὐτῷ· Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; » Ταῦτα γὰρ πάντα καθὸ ὁ Κύριος ἄνθρωπος ἐφθέγγετο, καὶ οὐ καθὸ Θεός. Καὶ ἄλλως δὲ τὸ μὴ ἔχον ἐνέργειαν καὶ κίνησιν φυσικὴν νεκρὸν καὶ ἄψυχον· ἡ δὲ τοῦ Κυρίου σὰρξ ἔννους καὶ ἔμψυχος.

Cæterum non ab aliorum sanctorum carne differebat Christi caro. Spiritu Dei movebantur et Moyses et David et quicunque alii divinæ operationis capaces fuere. Quod ad eos spectat, ridicula esset objectio: sed postquam omnium Deus absque mutatione factus est homo, et ut Deus pro sua deitate volebat et operabatur, et ut homo pro sua humanitate, humana voluntate quasi deificata, et per divinam voluntatem mota et efformata. Atque id testantur evangelica verba quæ sic se habent: « Crastina die voluit Jesus intrare in Galilæam[11]; » et rursus: « Volo ut ubi sum ego, et illi sint[12]; et rursus: « Non enim volebat in Judæa ambulare, quia quærebant eum Judæi interficere[13]. » Et alibi: « Et inde egressi perambulabant Galilæam; et nolebat ut quis eum agnosceret[14]; » et alibi: « Et accesserunt ad eum discipuli ejus dicentes. Ubi vis paremus tibi manducare Pascha[15]? » Hæc enim omnia, ut homo, Dominus loquebatur, non autem ut Deus. Et aliunde quod non habet operationem et motum D naturalem, mortuum est et inanime. Domini autem caro mente et anima prædita erat.

Ἕτερον πρόβλημα τῶν Ἀρμενίων.

ι'. Ὥσπερ ἐπὶ Χριστοῦ τὴν τῶν δύο φύσεων συνδρομὴν σύνθετόν φατε ὑπόστασιν, οὕτω χρεὼν καὶ μίαν σύνθετον λέγειν ἐνέργειαν.

Alia Armeniorum propositio.

10. Quemadmodum de Christo duarum naturarum concursum compositam hypostasim dicitis, sic dicendum est unam compositam operationem esse.

Ἀντίθεσις.

Εἰ τὸν Χριστὸν ἐν δύο φύσεσι θεωρούμενον μίαν ζῶμεν σύνθετον ἔχειν ἐνέργειαν, ἡ τοιαύτη πάντως ἐνέργεια ἢ τῶν αὐτοῦ μερῶν ἐστιν, ἢ αὐτοῦ ὡς

Responsio.

Si Christum in duabus naturis consideratum concedamus unicam habere operationem, talis operatio vel ejus partium erit, vel ipsius est compositi. Et si quidem ejus partium sit, dividetur ad utrum-

[7] Joan. xiv, 10. [8] Ibid. 9. [9] Joan. x, 30. [10] Joan. viii, 20. [11] Joan. i, 43. [12] Joan. xvii, 24. [13] Joan. vii, 1. [14] Ibid. [15] Matth. xxvi, 17.

que scissa et solvetur, et simul ea quæ per ipsam uniuntur solvet. Si vero compositi, ipsa erit ut contrariorum capax mortalis et immortalis, creata et increata, finita et infinita. Si quis hoc concesserit, erit Christus propriam habens operationem, exsistentem et non exsistentem, secundum possessionem et secundum privationem. Idem autem et de voluntate dicendum est. Dicunt Armenii, quemadmodum organi et illud moventis eadem est operatio, sic et divinitatis et humanitatis unam esse operationem. Si igitur inducunt organum vel coexsistens, ut sunt corpus et anima, omnino juxta illos dicendum erit creaturam esse divinam naturam vel corpus increatum. Si vero artis cujusdam organum dicunt, illud anima carebit, nec semper movebitur, sed quando operanti videbitur. Cæterum Apollinario et Ario consentiunt, quorum prior absque anima, Apollinarius autem absque mente esse carnem Christi dicebat.

11. Si dicant Armenii Christum et post incarnationem unum esse Filium et sanctæ Trinitatis unum; sanctam autem Trinitatem unicam voluntatem et unicam operationem habere, atque inde Christum unicam habuisse operationem et unicam voluntatem, sic respondendum erit : Pater non ut Pater vult, sed ut Deus; et quoniam Deus est Filius, et Deus est Spiritus sanctus, secundum id divina Trinitas unam voluntatem habet et unam operationem. Filius vero, nobiscum hominibus communicans carnis assumptione, duplicem quoque voluntatem et operationem habuit; unam quidem ut Deo et Patri consubstantialis, alteram autem ut nobis consubstantialis. Attamen non separatas dicimus operationes, neque naturas separatim operari; sed utramque una cum alterius communione operari id quod proprium habuit. Neque enim humana humane operatus est; non enim simplex homo erat; neque divina secundum Deum tantum; non enim solummodo erat Deus. Sed duæ naturæ sunt unus Christus, et unus Christus est duæ naturæ. Et aliter : Si unam voluntatem dixerimus de Christo ut de sancta Trinitate, erit omnino una et eadem voluntas Patris et Verbi et carnis. Ad hæc quæ diximus, id forte adjicient qui ratiocinio uti volent : Non est natura absque hypostasi seu persona; si igitur, inquiunt duas naturas in Christo dixerimus, duas quoque hypostases inducemus; atque ita cum Nestorio sentiemus qui duas hypostases in Christo esse docuit.

Ad id respondendum est.

12. Pia Ecclesia, quemadmodum Sabellii synæresim repudians tres personas et unam naturam sanctissimæ Trinitatis confitetur, et Arii in tres dissimiles hypostases divisionem respuens, unicam naturam divinæ Trinitatis docet, sic et Monophysitas impugnat dictitantes unam esse naturam in Christo et unam esse hypostasim. Quod præten-

A ὅλου · καὶ εἰ μὲν τῶν αὐτοῦ μερῶν, μεριεῖται πρὸς ἀμφότερα τεμνομένη καὶ λυθήσεται, καὶ συνδιαλύσει τὰ κατ' αὐτὴν ἡνωμένα· εἰ δὲ τοῦ ὅλου, ἔσται ἡ αὐτὴ ὡς δεκτικὴ τῶν ἐναντίων θνητὴ καὶ ἀθάνατος, κτιστὴ καὶ ἄκτιστος, περιγραπτὴ καὶ ἀπερίγραπτος · καὶ εἰ τοῦτο δώσει τις, ἔσται ὁ Χριστὸς τὴν οἰκείαν ἔχων ἐνέργειαν, οὖσαν καὶ μὴ οὖσαν, κατὰ ἕξιν καὶ στέρησιν. Τὸ αὐτὸ δὲ καὶ περὶ θελήματος ἔστιν εἰπεῖν. Λέγουσιν οἱ Ἀρμένιοι ὅτι, ὥσπερ ὀργάνου καὶ τοῦ κινοῦντος αὐτὸ μία ἐνέργεια, οὕτω καὶ θεότητος καὶ ἀνθρωπότητος μία ἐνέργεια. Εἰ τοίνυν εἰσάγουσι τὸ ὄργανον καὶ σύγχρονον ὥσπερ σῶμα καὶ ψυχὴ, πάντως ἔσται κατ' αὐτοὺς ἢ κτίσμα τὴν θείαν φύσιν λέγειν ἢ τὸ σῶμα ἄκτιστον · εἰ δὲ τεχνικὸν τὸ ὄργανον λέγουσιν, ἄψυχον τοῦτο καὶ οὐκ
B ἀεὶ κινούμενον, ἀλλ' ὅτε τῷ ἐργαζομένῳ δόξει · καὶ λοιπὸν συμφρονοῦσιν Ἀπολλιναρίῳ τε καὶ Ἀρείῳ, ὧν ὁ μὲν ἄψυχον, Ἀπολλινάριος δὲ ἄνουν τὴν σάρκα τοῦ Χριστοῦ ἔλεγεν.

ια'. Εἴπερ φήσουσιν οἱ Ἀρμένιοι ὡς ὁ Χριστὸς καὶ μετὰ τὴν σάρκωσιν εἷς ἦν Υἱὸς καὶ εἷς τῆς ἁγίας Τριάδος, ἡ δὲ ἁγία Τριὰς μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἔχει, καὶ κατὰ τοῦτο καὶ ὁ Χριστὸς μίαν εἶχεν ἐνέργειαν καὶ μίαν θέλησιν, ῥητέον οὕτως · ὡς ὁ Πατὴρ οὐ καθὸ Πατὴρ θέλει, ἀλλὰ καθὸ Θεός · καὶ ἐπεὶ Θεὸς ὁ Υἱὸς, Θεὸς καὶ τὸ Πνεῦμα τὸ
C ἅγιον, κατὰ τοῦτο ἡ μὲν τρισυπόστατος Θεότης μίαν θέλησιν ἔχει καὶ μίαν ἐνέργειαν · ὁ δὲ Υἱὸς, ἐπικοινωνῶν καὶ τοῖς ἀνθρώποις ἡμῖν τῇ τῆς σαρκὸς προσλήψει, διπλῆν καὶ τὴν θέλησιν εἶχε καὶ τὴν ἐνέργειαν · τὴν μὲν ὡς ὁμοούσιος ὢν τῷ Θεῷ καὶ Πατρὶ, τὴν δὲ ὡς ὁμοούσιος ὢν ἡμῖν. Πλὴν οὐ διῃρημένας φαμὲν τὰς ἐνεργείας, οὐδὲ τὰς φύσεις ἐνεργουμένας κεχωρισμένως, ἀλλ' ἡνωμένως ἑκάστην μετὰ τῆς θατέρου κοινωνίας ἐνεργοῦσαν τοῦθ' ὅπερ ἴδιον ἔσχηκεν · οὔτε γὰρ τὰ ἀνθρώπινα ἀνθρωπίνως ἐνήργηκεν, οὐ γὰρ ψιλὸς ἦν ἄνθρωπος · οὔτε τὰ θεῖα κατὰ Θεὸν μόνον, οὐ γὰρ ἦν μόνον
D Θεός · ἀλλ' αἱ δύο φύσεις εἷς ἐστι Χριστὸς, καὶ ὁ εἷς Χριστὸς δύο φύσεις ἐστί. Καὶ ἄλλως · Εἰ μίαν θέλησιν εἴπωμεν ἐπὶ τοῦ Χριστοῦ ὡς ἐπὶ τῆς ἁγίας Τριάδος, ἔσται πάντως μία καὶ ἡ αὐτὴ θέλησις τοῦ Πατρὸς καὶ τοῦ Λόγου καὶ τῆς σαρκός. Πρὸς οἷς εἰρήκαμεν ἔτι καὶ τοῦτο ἴσως προσθήσουσι διασκευάζοντες συλλογιστικῶς · Οὐκ ἔστι φύσις ἀνυπόστατος ἤτοι ἀπρόσωπος · εἰ οὖν δύο, φασὶ, φύσεις ἐπὶ Χριστοῦ εἴπωμεν, δύο καὶ ὑποστάσεις συνεισενέγκωμεν · καὶ οὕτω συμφρονοῦντες ἐσόμεθα Νεστορίῳ δύο ὑποστάσεις ἐπὶ Χριστοῦ δογματίζοντι.

Ῥητέον δὲ πρὸς τοῦτο.

ιβ'. Ὡς ἡ εὐσεβὴς Ἐκκλησία, ὥσπερ τὴν Σαβελλίου συναίρεσιν ἀποπεμπομένη, τρεῖς ὑποστάσεις καὶ μίαν φύσιν ἐπὶ τῆς ἁγίας Τριάδος ὁμολογεῖ, καὶ τὴν Ἀρείου εἰς ἑτερογενεῖς τρεῖς ὑποστάσεις ἀποσκυβαλίζουσα διαίρεσιν, μίαν φύσιν τρισυποστάτου Θεότητος δοξάζει, οὕτω καὶ τοῖς Μονοφυσίταις ἀπομάχεται, φάσκουσι μίαν φύσιν ἐπὶ Χριστοῦ διὰ τὸ

καὶ τὴν ὑπόστασιν εἶναι μίαν. Καὶ κατασκευάζουσι τοῦτο ἐκ τοῦ λέγειν μὴ εἶναι φύσιν ἀνυπόστατον ἤτοι ἀπρόσωπον· οὐδὲ γὰρ ἡ ἐν Χριστῷ ἀνθρωπίνη φύσις ἀνυπόστατος οἷα τῷ Λόγῳ ἐνυποστᾶσα. Προσεπάγειν δὲ καὶ ταῦτα χρεὼν πρὸς τὰ παρ' Ἀρμενίων συλλογιστικῶς προτεινόμενα· Ὥσπερ αἱ δύο γεννήσεις Χριστοῦ, τουτέστιν ἡ πρὸ αἰώνων ἐκ Πατρὸς κατὰ τὴν θεότητα, καὶ ἡ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκ Παρθένου κατὰ τὴν ἀνθρωπότητα, ἐν τῇ μιᾷ τοῦ Θεοῦ Λόγου ὑποστάσει γενόμεναι, οὐκ ἐποίησαν προσθήκην ὑποστάσεως· οὕτως οὐδ' ἐκ τῶν δύο καθ' ὑπόστασιν ἡνωμένων φύσεων προσθήκη προσώπου ἐγένετο. Πρὸς γοῦν τοὺς λέγοντας μὴ εἶναι φύσιν ἀνυπόστατον, ῥητέον ὡς οὐδὲ τόκος ἐστὶν ἀπρόσωπος. Ἰστέον δὲ ὡς οἱ μίαν ἐπὶ Χριστοῦ φύσιν δοξάζοντες ἢ τὴν θεότητα τραπῆναι εἰς σάρκα δοξάζουσιν, ἢ τὴν σάρκα ὁμοούσιον τῇ θεότητι γενέσθαι, ἅπερ τῶν ἀμηχάνων καὶ ἀδυνάτων ἐστίν· εἰ δὲ μηδέτερον τούτων, ἑτέρα πάντως καὶ ἑτέρα φύσις ἐν Χριστῷ.

ιγ'. Ἔτι εἰ κατὰ ἀριθμὸν τῶν φύσεων διδάσκουσιν εἶναι καὶ τὰ πρόσωπα καὶ τὸ ἔμπαλιν, καὶ τρεῖς ἄρα φύσεις ἐπὶ τῆς ἁγίας Τριάδος εἰσενέγκωσι τρισυποστάτου οὔσης· ἢ τὸ ἀνάπαλιν μίαν ὑπόστασιν εἴπωσι διὰ τὸ ἐναδικὸν τῆς φύσεως. Δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὡς οἱ Ἰακωβῖται καὶ οἱ Ἀρμένιοι πρὸ μὲν τῆς ἑνώσεως δύο φύσεις ἐπὶ Χριστοῦ ὁμολογοῦσι· μετὰ δὲ τὴν ἕνωσιν μίαν σύνθετον συγχέοντες ἀμφοτέρας τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην, καὶ διὰ τοῦτο καὶ μίαν φύσιν ὀνομάζουσιν· ὅθεν καὶ δικαιολογούμενοι πρὸς τοὺς λέγοντας εὐσεβῶς δύο φύσεις ἐπὶ Χριστοῦ, λέγουσι μὴ εἶναι φύσιν ἀνυπόστατον ἤτοι ἀπρόσωπον· καὶ ὡς οἱ φάσκοντες δύο φύσεις ἐπὶ Χριστοῦ καὶ δύο ὑποστάσεις εἰσάγουσι κατὰ τὸν Νεστόριον, καὶ οὐκέτι τρία πρόσωπα ἤτοι τρεῖς ὑποστάσεις εὑρίσκονται λέγοντες ἐπὶ τῆς ἁγίας Τριάδος, ἀλλὰ καὶ τέσσαρας. Καὶ κατὰ τοῦτο τὴν ἐν Χαλκηδόνι σύνοδον ἀναθεματίζουσιν, ὡς δῆθεν δύο ὑποστάσεις ἐπὶ Χριστοῦ κυρώσασαν· οὕτω γὰρ κατὰ τὴν αὐτῶν δόξαν τὰς φύσεις φασί. Τῷ δὲ ἁγίῳ Κυρίλλῳ συνεργῷ τῆς αὐτῶν αἱρέσεως χρῶνται ἐν οἷς φησι μίαν φύσιν τοῦ Λόγου σεσαρκωμένην, τὴν τοιαύτην ῥῆσιν οὐχ ὡς ἐκεῖνος ἔφησεν ἐκλαμβάνοντες, ἀλλ' εἰς ἣν αὐτοί φασι φύσιν ἐπὶ Χριστοῦ συγκεχυμένην μετὰ τὴν ἕνωσιν, ἢ μᾶλλον μεταβληθεῖσαν εἰς θεότητα.

ιδ'. Πάλιν οἱ αὐτοὶ μὴ εὐσεβῶς νοοῦντες τὴν τοῦ εὐαγγελιστοῦ Ἰωάννου φωνήν, ἥτις φησί· *Καὶ ὁ Λόγος σὰρξ ἐγένετο*, παράγοντες δὲ καὶ ῥῆσιν τοῦ ἁγίου Ἀθανασίου οὕτω λέγουσαν· « Ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται Λόγος· » ἀλλὰ καὶ Γρηγόριον τὸν Θεολόγον φάσκοντα, Καὶ θαῤῥῶ λέγειν ὁμόθεον, καὶ γεγονὸς ὅπερ τὸ χρίσαν· ἔτι δὲ καὶ τὸν Νυσσαέων Γρηγόριον οὑτωσὶ διεξιόντα· *Καθάπερ σταγὼν ὄξους βληθεῖσα ἐν τῷ πελάγει τῆς θαλάσσης οὐκ ἔτι ἐστὶν ἐν τοῖς ἰδίοις τοῦ ὄξους ἰδιώμασιν, ἀλλὰ μετεποιήθη καὶ συνεκράθη ἐς τὸ τοῦ πελάγους τῶν ὑδάτων*

A dunt dicendo non esse naturam sine hypostasi seu persona. Non enim quæ in Christo est humana natura, sine hypostasi est, cum Verbo supponatur. Hæc et opponi oportet ad ea quæ syllogistice dicunt Armenii : Quemadmodum duæ Christi generationes, id est, æterna ex Patre generatio secundum divinitatem, et in fine temporum ex Virgine generatio secundum humanitatem in una Dei Verbi hypostasi habitæ non hypostasis additionem effecere; ita neque ex duabus per hypostasim unitis naturis personæ facta est additio. Ad eos igitur qui dicunt non esse naturam absque hypostasi, dicendum est, neque Christi generationem absque persona esse. Sciendum vero eos qui unicam esse in Christo naturam opinantur, aut opinari divinitatem in carnem esse conversam, aut carnem divinitati consubstantialem factam esse, quæ absurda et impossibilia sunt; si porro neutrum ex his, altera omnino et altera in Christo natura.

13. Præterea si ex naturarum numero docent esse et personas ac vice versa, et tres igitur naturas sanctæ Trinitatis inducant, cum sit tribus personis constans; vel rursum unicam hypostasim dicant, cum unica sit hujus natura. Id autem sciendum est Jacobitas quoque et Armenios ante unionem quidem duas naturas in Christo confiteri; post unionem vero unam compositam, ambas confundentes, divinam et humanam, et ideo unam naturam appellare. Unde sui defendendi causa iis qui pie dicunt duas esse in Christo naturas respondent non esse naturam absque hypostasi seu persona. Et eos qui duas esse in Christo naturas opinantur et duas hypostases, ut Nestorium, inducere, et non tres personas seu tres hypostases in sancta Trinitate dicentes reperiri, sed et quatuor. Et inde Chalcedonensem synodum anathematizant, utpote quæ duas in Christo hypostases esse decreverit : ita enim secundum suam doctrinam appellant naturas. Sancto autem Cyrillo ut suæ hæreseos complice utuntur, eo quod dixerit unicam esse naturam Verbi incarnatam, hanc vocem non in eodem sensu quam ille usurpantes, sed hanc naturam esse contendunt eam quam post unionem confusam esse dicunt, imo in divinitatem conversam.

14. Rursus iidem impie hanc evangelistæ Joannis vocem adhibentes : *Et Verbum caro factum est;* invocantesque has beati Athanasii voces : « Verbum caro factum est, ut et caro fiat Verbum; » sed et Gregorium Theologum dicentem : « Audeo dicere Deo similem et factum quod est Verbum inungens; » et ad hæc Gregorium Nyssæum sic eloquentem : « Quemadmodum aceti gutta in maris pelago immersa non jam aceti proprietates retinet, sed conversa et commista est in maris aquarum proprietates; ita sane et sanctissimum illud corpus commistum divinitati

non jam carnis proprietates retinet. » Atque sic ratiocinantur : « Cum caro Verbum factum sit et Deo consubstantialis, et Verbo commista sit et in illud conversa, quomodo possunt dici duæ naturæ, non autem unica, quæ est divinitatis? »

15. Ad quæ est respondendum : Creata et finita natura rursum et post unionem in suis naturalibus proprietatibus permansit, non omnino conversa in increatum et infinitum et in Patri coæternum. Per naturarum autem invicem accessionem carnem deificatam esse, Deum hominem factum esse dicimus. Nisi enim id concedamus, juxta illos Verbi naturæ erit, non autem humanæ in Christo naturæ, incrementum, lactatio, tactus, fames, sitis, fatigatio, agonia, sputum, crucifixio, sepultura, mors. Id ita Patribus videri, quorum oracula proferunt, testantur cætera eorum scripta, naturas in Christo non confundi docentia neque conversam esse carnem in divinitatem; sed et verba Christi discipulis de Lazaro dicentis : Mortuus est, et gaudeo propter vos, quoniam non eram ibi. Utrius reputanda est hæc vox : « Non eram ibi[16]? » Divinitatis? Et quomodo loco circumscriptus est qui ubique adest et super omnia est? Si vero carnis, quomodo non sunt duæ in Christo naturæ? Et lacrymæ Lazari gratia effusæ, carnis omnino erant, neque divinitatis; quemadmodum homini convenit illud : « Ubi posuistis eum? »

16. Quod si id addiderint, nos, si duas naturas distinctas habuerit Christus, humanam nempe et divinam, creaturam adorare, quippe qui ante creatam naturam procidamus; vel si minus, esset idem et unus Christus adoratus et non adoratus. Sic respondendum. Filium Dei cum Patre et sancto Spiritu adoramus, sine corpore ante incarnationem exsistentem; nunc autem eumdem incarnatum et citra deitatem factum hominem. Et sicut lignum tenue tactui non est inaccessibile, tamen, igne addito, inaccessibile fit, non quidem per se, sed quia ignis accessit. Non enim ligni natura inaccessibilis est, sed carbo, i. e. lignum adustum; sic caro quoque pro natura sua non est adoranda, in Verbo tamen incarnato adoratur; nec dicimus nos carnem nudam adorare, sed carnem Dei, i. e. Deum incarnatum. Sed hoc quidem in promptu et per compendium. Vir autem otio fruens multa e Scripturis sacris exempla Armeniorum hæreses aut destruentia aut reprobantia in medium proferre potuerit.

[16] Joan. xi, 15.

A ἰδίωμα · οὕτω δὴ καὶ τὸ παράγαν ἐκεῖνο σῶμα συναναχρωθὲν τῇ θεότητι, οὐκέτι ἐστὶν ἐν τοῖς τῆς σαρκὸς ἰδιώμασι. Καὶ συλλογίζονται οὕτως· ὡς Ἐπεὶ ἡ σὰρξ γέγονε Λόγος καὶ ὁμόθεος, συνανακράθη τῷ Λόγῳ καὶ μετεποιήθη, πῶς δυνατὸν δύο λέγειν φύσεις καὶ οὐχὶ μίαν καὶ ταύτην τῆς θεότητος ;

ιε'. Πρὸς ἅπερ ἀποκρίνασθαι δεῖ ὡς ἡ κτιστὴ καὶ περιγραπτὴ φύσις πάλιν καὶ μετὰ τὴν ἕνωσιν ἐν τῶν ἰδίων μεμένηκε φυσικῶν ἰδιωμάτων, οὐδ' ὅλως μεταβληθεῖσα εἰς τὸ ἄκτιστον, καὶ ἀσχημάτιστον καὶ συναΐδιον τῷ Πατρί · διὰ δὲ τὴν τῶν φύσεων εἰς ἄλληλα περιχώρησιν, τὴν σάρκα θεωθῆναι · τὸν δὲ Θεὸν ἐνανθρωπῆσαί φαμεν · εἰ γὰρ μὴ τοῦτο δοίημεν, ἔσται ἂν τῆς τοῦ Λόγου φύσεως κατ' αὐτοὺς, B καὶ οὐχὶ τῆς ἐν Χριστῷ ἀνθρωπίνης φύσεως, ἡ αὔξησις, ἡ σπαργάνωσις, ἡ ψηλάφησις, ἡ πεῖνα, ἡ δίψα, ὁ κόπος, ἡ ἀγωνία, τὸ πτύσμα, ἡ ἐπὶ σταυροῦ πῆξις, ἡ ταφὴ, καὶ ὁ θάνατος. Ὅτι δὲ καὶ τοῖς Πατράσιν οὕτω δοκεῖ, ὧν τὰς χρήσεις παράγουσι, μαρτυροῦσι τὰ λοιπὰ τουτωνὶ συγγράμματα, μὴ συγκεχύσθαι τὰς ἐν Χριστῷ φύσεις διδάσκοντα, μήτε μὴν μεταποιηθῆναι τὴν σάρκα εἰς θεότητα. Ἀλλὰ καὶ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς περὶ τοῦ Λαζάρου λέγοντος ὅτι « Ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς ὅτι οὐκ ἤμην ἐκεῖ · » Τίνος νοητέον τὸ ῥῆμα τὸ « οὐκ ἤμην ἐκεῖ ; Τῆς θεότητος ; Καὶ πῶς τόπῳ περιγραπτὸς ὁ πανταχοῦ παρὼν καὶ ὑπὲρ τὰ πάν ὤν ; Εἰ δὲ τῆς σαρκὸς, πῶς οὐχὶ δύο φύσεις ἐν Χριστοῦ ; Καὶ τὸ ἐπὶ Λαζάρου δὲ δάκρυον τῆς σαρκὸς πάντως ἦν, καὶ οὐχὶ τῆς θεότητος · ὥσπερ ἀνθρωποπρεπὲς καὶ τὸ ἐρωτᾶν « Ποῦ τεθείκατε αὐτόν ;

ις'. Ἐὰν δὲ καὶ τοῦτο προσθήσουσιν ὡς, εἰ δύο C φύσεις εἶχεν ὁ Χριστὸς ἀσυγχύτους, ἀνθρωπίνην καὶ θείκὴν, ἄρα τῇ κτίσει λατρεύομεν, ὡς κτιστῇ προσκυνοῦντες φύσει · ἢ εἰ μὴ τοῦτο, εἴη ἂν ὁ αὐτὸς καὶ εἷς Χριστὸς προσκυνητός τε καὶ ἀπροσκύνητος· οὑτωσὶ λεκτέον · Τὸν Υἱὸν τοῦ Θεοῦ σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι προσκυνοῦμεν, ἀσώματον μὲν πρὸ τῆς ἐνανθρωπήσεως, νῦν δὲ τὸν αὐτὸν σεσαρκωμένον καὶ γενόμενον ἄνθρωπον μετὰ τοῦ εἶναι Θεόν· καὶ ὥσπερ ξύλον ψιλὸν οὐκ ἔστιν ἀπρόσιτον τῇ ἁφῇ πυρὶ δὲ προσομιλήσαν, ἀπρόσιτον γίνεται οὐ δι' ἑαυτὸ, ἀλλὰ διὰ τὸ συνημμένον αὐτῷ πῦρ · καὶ οὐχ ἡ τοῦ ξύλου φύσις ὑπάρχει ἀπρόσιτος, ἀλλ' ὁ ἄνθραξ, ἤτοι τὸ πεπυρωμένον ξύλον· οὕτως καὶ ἡ σὰρξ κατὰ μὲν τὴν ἑαυτῆς φύσιν οὐκ ἔστι προσκυνητή· D προσκυνεῖται δὲ ἐν τῷ σεσαρκωμένῳ Λόγῳ · καὶ οὐ φαμὲν ὅτι σάρκα προσκυνοῦμεν ψιλὴν, ἀλλὰ σάρκα Θεοῦ, ἤτοι σεσαρκωμένον Θεόν. Ταῦτα ὡς ἐκ προχείρου καὶ ἐν ἐπιτόμῳ · εὐκαιρία δέ τις χρώμενος καὶ ἕτερα ἂν πλείω ἐκ τῶν ἱερῶν Βιβλίων ἐπισυναγάγῃ, τὰς τῶν Ἀρμενίων αἱρέσεις καταστρέφοντα καὶ τὰς ἀντιθέσεις αὐτῶν διελέγχοντα.

NICETÆ CHONIATÆ

EX LIBRO XX

THESAURI ORTHODOXÆ FIDEI.

(Mai, Biblioth. nov., t. IV.)

ΠΕΡΙ ΤΗΣ ΘΡΗΣΚΕΙΑΣ ΤΩΝ ΑΓΑΡΗΝΩΝ.

α'. Ἔστι δὲ καὶ ἡ μέχρι τοῦ νῦν κρατοῦσα λαοπλάνος θρησκεία τῶν Ἰσμαηλιτῶν πρόδρομός τις τοῦ ἀντιχρίστου. Κατάγονται δὲ ἀπὸ τοῦ Ἰσμαὴλ τοῦ ἐκ τῆς Ἄγαρ τεχθέντος τῷ Ἀβραάμ· διόπερ Ἀγαρηνοὶ καὶ Ἰσμαηλῖται προσαγορεύονται. Σαρρακηνοὺς δὲ αὐτοὺς καλοῦσιν ὡς *ἐκ τῆς Σάρρας κενούς* (1), διὰ τὸ εἰρῆσθαι ὑπὸ τῆς Ἄγαρ τῷ ἀγγέλῳ, ὅτι *Ἡ Σάρρα κενήν με ἀπέλυσεν*. Οὗτοι μὲν οὖν, εἰδωλολατρήσαντες καὶ προσκυνήσαντες τῷ ἐωσφόρῳ ἄστρῳ τῇ Ἀφροδίτῃ, ἣν δὴ καὶ Χαμὰρ (2) τῇ ἑαυτῶν ἐπωνόμασαν γλώσσῃ, ὅπερ σημαίνει μεγάλην, ἕως μὲν τῶν Ἡρακλείου χρόνων προφανῶς εἰδωλολάτρουν· ἀπὸ δὲ Ἡρακλείου καὶ δεῦρο ψευδοπροφήτης αὐτοῖς ἀνεφύη Μωάμεδ ὀνομαζόμενος, ὃς περιτυχὼν Ἑβραίοις καὶ Χριστιανοῖς δῆθεν Ἀρειανοῖς καὶ Νεστοριανοῖς, ἀπανταχόθεν ἁρυσάμενος ἐξ Ἰουδαίων μὲν μοναρχίαν, ἐξ Ἀρειανῶν δὲ Λόγον καὶ Πνεῦμα κτιστὰ, ἀπὸ δὲ Νεστοριανῶν ἀνθρωπολατρείαν, τήν τε Παλαιὰν καὶ Καινὴν Διαθήκην ἐπελθών, καί τινι Ἀρειανῷ προσομιλήσας μονάζοντι, ἰδίαν συνέστησεν αἵρεσιν· καὶ προφάσει δῆθεν θεοσεβείας τὸ ἔθνος ὑποποιήσας, ἐξ οὐρανῶν γραφὴν ὑπὸ τοῦ Θεοῦ κατενεχθῆναι παρ' αὐτὸν διεθρύλλησε· τινὰ δὲ συγγράμματα ἐν τῷ τοιούτῳ βιβλίῳ διαχαράξας γέλωτος ἄξια, τὸ σέβας αὐτοῖς παρέδωκε.

SOT. Non Verbi deitas, o sodes, namque ad ipsum orationem meam converto, sed theandricum ipsummet Verbum, ceu in assumpta natura pontifex, et tunc proprium sanguinem obtulit, et nunc salvatos Patri offert, ut gratia sua deificet: hic quippe est oblationis finis. Intelliges autem quod dicimus vel ex illo quod in figura fiebat sacrificio. Nam quatuor in figurali illo spectabantur, oblatio, consecratio, elevatio, expiatio. Offerebatur enim

A τῇ σαρκὶ μετέδωκεν, αὐτὸς ἑνωθείς, τὸν δὲ δεύτερον ὃν εἰργάσατο διὰ θυσίαν, εἰς τὸν Πατέρα ταύτην ἀνενεγκών.

ΦΙΛ. Ἀλλ' εἴπερ ἐξ αὐτῆς ἡγίακε ταύτην ἑνώσεως, φαίη τις ἄν, τί δεῖ ποτε καὶ ἑτέρου δευτέρου ἁγιασμοῦ; ποίας δὲ τελειώσεως;

ΣΩΤ. Μακρότερά με καὶ τοῦ λόγου, ἄριστε Φίλων, ἀναγκάζεις λέγειν· πλὴν καὶ τοῦτο σὴν εἵρηται χάριν. Ἔθος τοῖς καταλλαττομένοις ἐστὶ λαμβάνειν τι παρ' ἀλλήλων τῆς ἐμπεδωθησομένης φιλίας ἐχέγγυον· ἐπείπερ οὖν καὶ ἡμᾶς δι' ἔχθρας γεγονότας Θεῷ ἐχρῆν καταλλάττεσθαι, τῆς θείας οὐκ ἀνασχόμενος ἀφεστάναι διαπαντὸς ἀγαθότητος, πρότερον αὐτὸς ὁ καὶ τὴν ἀρχὴν ὑποστήσας Λόγος τὴν ἡμεδαπὴν εἰληφὼς οὐσίαν ἀντέδωκεν ἡμῖν ἁμαρτημάτων ἄφεσιν, τὴν ἐκ τῆς πλάνης ἀπαλλαγὴν, τὰς πολλὰς ἐκείνας· ἐνηργηκὼς εὐεργεσίας καὶ θαυμαστάς· ἐπεὶ δὲ καὶ τὸν Πατέρα ἐχρῆν λαβόντα τι παρ' ἡμῶν τὴν υἱοθεσίαν ἀντιχαρίσασθαι, προσῆν δὲ ἡμῖν οὐδὲν καθαρὸν, οὐδὲ τῆς αὐτοῦ μεγαλειότητος ἄξιον, τῆς ἁμαρτίας πάντα ἐπιθολούσης, αὐτὸς ὁ θεάνθρωπος Λόγος, τὸ τῆς ἡμεδαπῆς ἀπορίας ἀναπληρῶν ἅτε μεσίτης, ἐν προσώπῳ τῆς ἀνθρωπότητος τὸ αὐτοῦ προσενήνοχεν αἷμα, ἄχραντον θῦμα, σωτήριον καλλιέρημα, τῆς πρὸς τὸν Πατέρα καταλλαγῆς ἡμῖν αἰτιώτατον· ὃ πολλαχοῦ καὶ θεσπέσιος ἀποφαίνεται Παῦλος· *Δικαιωθέντες γὰρ*, φησὶν, *ἐν τῷ αἵματι τοῦ Υἱοῦ, σωθησόμεθα δι' αὐτοῦ*· καὶ αὖθις· *Ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ αἵματος τοῦ Υἱοῦ αὐτοῦ*. Πῶς οὖν οὐκ ἐπιεικῶς ἐστιν ἄτοπον ταύτην προσενεχθῆναι τὴν θυσίαν λέγειν τῷ Θεῷ Λόγῳ; Τίνος γὰρ ἡμῖν πρὸς τοῦτο ἔδει καταλλαγῆς, ὃς ἐξ αὐτῆς ἡμῖν κατήλλαττεν τῆς ἑνώσεως; Πῶς δὲ οὐκ ἀνόητον λέγειν διὰ τῆς θυσίας ταύτης αὐτὸν ἑαυτῷ καταλλάττεσθαι; ἢ τὴν μὲν ἐξ ἡμῶν προσληφθεῖσαν φύσιν ἔχειν πρὸς ἡμᾶς οἰκείως, τὴν δ' ἑνωθεῖσαν αὐτῇ θεότητα δεῖσθαι τῆς πρὸς ἡμᾶς διὰ θυσίας καταλλαγῆς; Ἢ κατὰ Παῦλον εἰπεῖν· *Μεμέρισται ὁ Χριστός*; ὡς εἶναι τὸ μὲν φίλιον αὐτῷ, τὸ δὲ ἀντίθετον.

ΦΙΛ. Ἀλλ' εἴπερ, φησὶ, τὸ τῷ Πατρὶ προσαγόμενον διὰ τοῦ Θεοῦ Λόγου προσάγεται· *Οὐδεὶς γὰρ*, φησὶ, *πρὸς τὸν Πατέρα ἔρχεται εἰ μὴ δι' ἐμοῦ*, πῶς ἐνῆν προσενηνέχθαι τὴν θυσίαν ταύτην, μὴ πρότερον τῇ τοῦ Μονογενοῦς προσενεχθεῖσαν θεότητι;

ΣΩΤ. Οὐχ ἡ τοῦ Λόγου θεότης, ὦ οὗτος, πρὸς γὰρ ἐκεῖνον στρέφω τὸν λόγον, ἐν ταῖς πρὸς τὸν Πατέρα προσαγωγαῖς ἐμεσίτευσεν, ἀλλ' αὐτὸς ὁ θεάνθρωπος Λόγος χρηματίσας κατὰ τὴν πληροφορηθεῖσαν φύσιν ἀρχιερεὺς, καὶ τότε τὸ οἰκεῖον αἷμα προσαγαγὼν, καὶ νῦν τοὺς σωζομένους δι' αὐτοῦ προσάγων τῷ Πατρὶ, ἵνα θεώσῃ τῇ χάριτι· τοῦτο γὰρ τῆς προσαγωγῆς τὸ τέλος. Μάθοις δ' ἂν καὶ ἐκ τῆς κατὰ τύπον θυσίας ὃ λέγομεν· τέσσαρά τινα

[1] Rom. v, 9. [2] Ibid. 10. [3] Joan. XIV, 6.

περὶ τὴν ἐν τύπῳ θυσίαν ἐθεωρεῖτο, προσαγωγὴ, καθιέρωσις, ἀναγωγὴ, ἀφοσίωσις· προσήγετο μὲν γὰρ ὁ ἀμνὸς καθιερωθησόμενος· καθιερωμένον δὲ οἱ τὸ αἷμα εἰς τὰ τῶν ἁγίων ἀνήγετο Ἅγια· ἀνηγμένον δὲ καὶ προσενεχθὲν, ἀφωσίωτο. Ὥσπερ οὖν οὐκ ἔστι λέγειν προσάγεσθαι τὸν ἀφωσιωμένον ἤδη καὶ ἡνωμένον, οὕτως οὐδὲ τὸ τοῦ Σωτῆρος αἷμα, τῆς αὐτοῦ θεότητος ἀχώριστον ὄν, ἔνεστι λέγειν τῇ κατ' ἄκρας ἡνωμένῃ φύσει προσάγεσθαι. A

ΦΙΛ. Ἀλλ' εἰ τῇ θεότητι, φησὶ, τοῦ Πατρὸς, ἡ θυσία προσήγετο, ἡ αὐτὴ δὲ θεότης κἂν τῷ Μονογενεῖ, τί κωλύει καὶ τῇ τοῦ Μονογενοῦς θεότητι λέγειν ταύτην τότε προσάγεσθαι;

ΣΩΤ. Ἡ αὐτὴ μέν, ὦ τᾶν, θεότης ἀμερίστως ἐνθεωρεῖσθαι ταῖς τριτταῖς ὑποστάσεσιν ὡμολόγηται· πλὴν ὁ πολλάκις εἴρηται, καὶ νῦν οὐκ ὀκνοῦμεν λέγειν, ὡς οὐχὶ τῇ φύσει τοῦ Πατρὸς, τῇ δὲ τοῦ Πατρὸς ὑποστάσει προσήγετο· ὡς καὶ τὸν προσάγοντα προσάγειν ὑποστατικῶς, καὶ τὸν δεχόμενον ὑποστατικῶς ὑποδέχεσθαι. Διό μοι διττῶς ἐξαμαρτάνειν δοκεῖς, ἀπομερίζων μὲν τὸ εἰς σέ γε ἧκον τὴν ἀμέριστον φύσιν, παρέχων δὲ καὶ ταῖς φύσεσι τὰ τῶν ὑποστάσεων ἰδιώματα. Πρὸς δὲ τούτοις, εἰ τῷ εἶναι κοινὴν Υἱῷ καὶ τῷ Πατρὶ τὴν φύσιν, διὰ ταῦτα συμβαίνει κοινὴν εἶναι καὶ τὴν τῆς θυσίας ὑποδοχὴν, ἀνάγκη εἶναι λέγειν κοινὴν καὶ τὴν σάρκωσιν ἁμφοῖν· εἰ γὰρ ἡ τοῦ Λόγου θεότης σεσάρκωται, ἡ αὐτὴ δέ ἐστι θεότης καὶ ἐν Πατρὶ καὶ ἐν Πνεύματι, ἀνάγκη καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα σεσαρκῶσθαι λέγειν. Ὁρᾷς οἷά σοι τοῦ λόγου παρ' ἡμῶν ὑποτιθέντος συνάγεται; B C

ΦΙΛ. Ἀλλὰ Βασίλειος ὁ θεῖος τοῖς παρ' ἡμῶν, φησὶ, λεγομένοις προσμαρτυρεῖ· κατὰ γὰρ τὴν θείαν μυσταγωγίαν ὑποφωνεῖ τῷ Σωτῆρι Χριστῷ μυστικώτερον, Σὺ εἶ, λέγων, ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος.

ΣΩΤ. Εἰ μὲν τὸν Σωτῆρα λέγεις, ὦ οὗτος, προσφέρειν μὲν τῷ Πατρὶ τοὺς δι' αὐτοῦ σωζομένους, προσφέρεσθαι δὲ τὸν αὐτὸν διὰ τῆς ἀναιμάκτου θυσίας τῆς εἰς ἀνάμνησιν αὐτοῦ γινομένης, προσδέχεσθαι δὲ αὐτὸν τὰ παρ' ἡμῶν ὡς Θεὸν, συνευδοκοῦμεν τῷ λόγῳ καὶ συντιθέμεθα· εἰ δὲ τὰς ἀντικειμένας ταύτας λέξεις συναπομερίζεις ταῖς φύσεσι, παρασιωπῶν τὴν ὑπόστασιν, καὶ λέγεις προσφέρειν μὲν τὴν προσληφθεῖσαν φύσιν τὰ τῆς σαρκὸς, προσφέρεσθαι δὲ τὴν τῆς σαρκὸς θυσίαν, προσδέχεσθαι δὲ τὴν θεότητα, σὺ μὲν τὸ ἐξ ἄμμου σχοινίον πλέκων σεαυτὸν λανθάνεις. D

ΦΙΛ. Ἡμεῖς δὲ μετὰ τῆς αὐτῆς ἀντιστησόμεθα γνώμης, καὶ ὁμόσε χωρήσομεν, οὐκ ἐφιέντες τῷ λόγῳ ὡς παρακεχαραγμένῳ, καὶ τῆς τοῦ Νεστορίου φρενοβλαβείας ἐξηρτημένῳ.

ΣΩΤ. Χωρὶς δὲ τούτων τίς τῶν εὐσεβούντων προσοῖτο ἂν τὸ προσφέρειν ἐπὶ τῆς κατὰ τὸ πάθος γενομένης θυσίας προσδέχεσθαι; τοῦ ἀποστόλου κεκραγότος Παύλου· Ἅπαξ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε· καὶ πάλιν· Τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ

agnus consecrandus, consecratus autem ejus sanguis ad Sancta sanctorum elevabatur, elevatum denique expiabatur. Sicut ergo dici nequit, quod offeratur id quod jam expiatum fuerit et Deo unitum, ita ne Servatoris quidem sanguis, utpote ab ejus deitate indivisus, dici potest quod naturæ ipsimet arctissime unitæ offeratur.

PHIL. At si Patris deitati sacrificium offertur, eadem autem Unigeniti quoque est deitas, quid quæso obstat, quominus idem Unigeniti quoque deitati offerri dicatur?

SOT. Sane eamdem, o bone, deitatem indivisam in tribus personis fatemur. Attamen, quod sæpe diximus, et nunc quoque repetere nos haud piget, non naturæ, sed personæ Patris facta est oblatio; ita ut et offerens personaliter obtulerit; pariterque recipiens nonnisi personaliter acceperit. Quamobrem mihi dupliciter peccare videris, dum et indivisam naturam, quantum in te est, dividis; et dum naturis ea quæ sunt personarum propria attribuis. Præterea, si quia communis est Filio Patrique natura, idcirco communem quoque contingit esse receptionem, necessario sequitur, ut incarnatio quoque ambobus fuerit communis. Nam si Verbi deitas est incarnata, eadem autem deitas in Patre Spirituque est, prorsus oportet ut Patrem quoque et Spiritum incarnatos esse dicamus. Viden ad quam te absurditatem sermo a nobis expositus perducat?

PHIL. Interim tamen divus Basilius sententiæ meæ suffragatur. Etenim in sacrosancta liturgia Christo Servatori pientissime succlamat: Tu es qui offers, et qui offereris, et qui recipis.

SOT. Siquidem Servatorem dicis offerre Patri homines qui per eum salvi fiunt, ipsummet vero offerri per incruentum sacrificium, quod in ejus commemorationem fit, denique ipsum utpote Deum recipere quæ offeruntur a nobis, assentimur sermoni tuo, et pedibus in sententiam imus. Sin vero has locutiones de naturis prædicas, omissa persona, aisque assumptam quidem naturam offerre quæ carnis sunt, offerri autem carnis sacrificium, ab ipsa vero divinitate hanc recipi, incaute ignoras te funiculum ex arena contexere.

PHIL. Nos tamen in eadem sententia manebimus, et tibi adversabimur, neque sermoni tuo ceu adulterino cedemus, quia de Nestorii insana sententia manat.

SOT. Atqui vel his omissis, quis sano dogmate imbutus oblationem intelligat de sacrificio illo in passione peracto? cum Paulus apostolus clamet: *Semel Christus mortuus est pro nobis* [1]. Et rursus: *Hoc enim fecit semel se ipsum offerendo* [2]. Denique

[1] Hebr. VII, 28. [2] Hebr. X, 10.

alibi : *Unica enim oblatione consummavit eos, qui certant, in perpetuum* [a]. Cum ergo Apostolus dicat, semel et unicam fuisse ejus oblationem, tu eum semet offerre quotidie affirmas ?

A ἑαυτὸν ἀνενέγκας · καὶ ἀλλαχοῦ· Μιᾷ γὰρ προσφορᾷ τετελείωκε τοὺς ἁγιαζομένους εἰς τὸ διηνεκές. Οὕτω τοῦ Ἀποστόλου λέγοντος, ἅπαξ καὶ μίαν εἶναι τὴν ἑαυτοῦ προσφοράν, σὺ προσφέρειν ἑαυτὸν καθ' ἑκάστην λέγεις ;

PHIL. Se ipsum quidem semel obtulit, offert tamen et nunc, ut diximus, eos qui per ipsum salvi fiunt. Offertur denique per hostiam mire conversam in ejus vivificum et salutare corpus ac sanguinem. Nonne enim sacerdotes audis in singulis missis dicentes : « Immolatur Agnus ? »

ΦΙΛ. Ἀλλὰ προσήνεγκε μὲν ἑαυτὸν ἐφάπαξ, προσφέρει δὲ καὶ νῦν τοὺς δι' αὐτοῦ σωζομένους, ὡς ἔφημεν. Προσφέρεται δὲ διὰ τῆς εἰς τὸ αὐτοῦ ζωοποιὸν καὶ σωτήριον σῶμα καὶ αἷμα μεταβαλλομένης ὑπερφυῶς θυσίας. Ἀλλὰ τῶν ἱερουργούντων, φησίν, οὐκ ἐπαΐεις καθ' ἑκάστην ἱερουργίαν λεγόντων · « Θύεται ὁ ἀμνός ; »

SOT. Præclare quidem hoc ab ipsis dicitur, dum veterem illam passionem tanquam præsentem exprimunt. Quasi enim præsentia ac nova peragit imaginando, vel potius repræsentando ea quæ olim B patrata fuere, ritus ille commemorandi, quem nos observare Servator jussit. More scilicet panegyricarum orationum, quibus præterita tanquam præsentia habentur, quocunque demum die solemnitas fiat. Hinc illas locutiones, Christus nascitur, vel baptizatur, oratorie usurpamus. Sic de passione quoque Dominica loqui solemus. Hæc, o reverende mihi ac dulcissime, viro illi refer. Et si tibi salus ejus cordi est, ut a suo dogmate recedat, suade.

ΣΩΤ. Λέγεται μὲν παρ' αὐτοῖς γε τοῦτο καὶ λίαν καλῶς, τὸ τότε γενόμενον σωτήριον πάθος τελοῦσιν ὡς ἐνεστώς. Ὡς ἐνεστῶτα γὰρ τὰ πάλαι γεγενημένα καινίζει φανταστικῶς, ἢ μᾶλλον εἰπεῖν εἰκονικῶς, ἡ ἀνάμνησις, ἣν ποιεῖν ἡμᾶς ἐπέταξεν ὁ Σωτήρ · καὶ καθάπερ ὁ πανηγυρικὸς ἔχει νόμος τὰ παρῳχημένα λέγειν ὡς ἐνεστῶτα, καθ' ἣν ἂν ποτε τελῆται ἡμέραν. Διὸ καὶ, ὁ Χριστὸς γεννᾶται, καὶ βαπτίζεται, πανηγυρικῶς λέγομεν. Τοῦτο δὴ καὶ ἐπὶ τοῦ σωτηρίου πάθους τελεῖν εἰωθός ἐστι. Ταῦτα, ὦ χρῆμα ἱερὸν καὶ φίλον ἐμοί, τῷ ἀνδρὶ ἐκείνῳ διάγγελλε, καὶ εἴ τί σοι μέλει τούτου, ὑφεῖναι πεῖθε τοῦ δόγματος.

PHIL. Omitte hanc, o bone, curam ; etenim ne illum quidem diutius adversaturum opinor, sed palinodia potius cantata sententiam mutaturum, Quapropter illi ignoscendum a nobis existimo, et C in gratiam redeundum.

ΦΙΛ. Ἀμέλησον, ὦ γενναῖε · κἀκείνῳ γὰρ οὐκ οἶμαι μένειν εἰς ἔτι τὰ τῆς ἐνστάσεως, ἀλλὰ παλινῳδίαν ᾄσειν καὶ μεθαρμόσασθαι. Διὸ καὶ συγγνῶναί οἱ δεῖν ἡγοῦμαι καὶ σπείσασθαι.

SOT. Ego quoque tibi, charissime, indulgeo, et resipiscenti dexteram porrigo : præsertim quia hæc nequaquam ex præmeditato dici solent, sed quasi ex abrupto loquentibus excidunt.

ΣΩΤ. Συγγνώμων, ὦ φιλότης, καὶ αὐτὸς ἐγώ σοι, καὶ μεταμελομένῳ δίδωμι δεξιάν · καὶ μᾶλλον ἂν ἀμελετήτου γνώμης εἴρηται ταῦτα · πολλὰ δὲ τοιαῦτα συμβαίνειν τοῖς σχεδιάζουσιν εἰώθεν.

SYNODUS.

Commentarius super quæstione quæ proposita fuit in aula patriarchali, congregatis ibi multis episcopis, et ex senatu non paucis, qui omnes in hac orthodoxa sententia uno ore consenserunt, quod non Patri solum, verum etiam Filio ac Spiritui sancto, uni scilicet Deitati, pretiosus Unigeniti sanguis fuerit oblatus.

ΣΥΝΟΔΟΣ.

Σημείωμα ἐπὶ τῇ ῥηθείσῃ ὑπεθέσει γεγονὸς ἐν τῷ πατριαρχείῳ πολλῶν συνεληλυθότων ἀρχιερέων, καὶ ἐκ τῆς συγκλήτου οὐκ ὀλίγων, καὶ πάντων ὀρθοδόξως ὁμοφωνησάντων, ὅτι οὐ μόνον τῷ Πατρὶ, ἀλλὰ δὴ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῇ μιᾷ Θεότητι, τὸ Μονογενοῦς προσηνέχθη τίμιον αἷμα.

Mensis Januarii die vicesima sexta, indictione D quarta, præsidente sanctissimo domino nostro et œcumenico patriarcha Constantinopoleos in æde divo Thomæ sacra, suffragium una ferente Nicolao sacratissimo Hierosolymorum patriarcha, præsentibus pansebasto sebasto et magno drungario domino Stephano, gloriosissimo et magno logothe a domino Joanne, illustrissimo a secretis domino Nicolao Zonara, illustrissimo nomophylace et domesticis præposito domino Theodoro Pantechne ; considentibus etiam sacratissimis episcopis Ephesi, Heracleæ, Ancyræ, Cyzici, Sardium, Claudiopoleos, Antiochiæ in Pisidia, Athenarum, Mocesi, Trapezuntis, Larissæ, Rhodi, Dyrrachii, Euchai-

Μηνὶ Ἰανουαρίῳ, κς' ἡμέρᾳ, ἰνδικτιῶνι δ', προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως ἐν τῷ Θωμαΐτῃ, συνδιαγνωμονοῦντος αὐτῷ Νικολάου τοῦ ἱερωτάτου πατριάρχου Ἱεροσολύμων, ἐπὶ παρουσίᾳ τοῦ πανσεβάστου σεβαστοῦ καὶ μεγάλου δρουγγαρίου κυροῦ Στεφάνου, τοῦ μεγαδοξοτάτου καὶ μεγάλου λογαριαστοῦ κυροῦ Ἰωάννου, τοῦ μεγαεπιφανεστάτου ἀσηκρῆτις κυροῦ Νικολάου τοῦ Ζωναρᾶ, τοῦ μεγαεπιφανεστάτου νομοφύλακος καὶ ἐπὶ τῶν οἰκειακῶν κυροῦ Θεοδώρου τοῦ Παντεχνοῦς, συνεδριαζόντων καὶ ἱερωτάτων ἀρχιερέων τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Σάρδεων, τοῦ Κλαυδιοπόλεως, τοῦ Ἀντιοχείας Πισι-

[a] Hebr. x.14

δίας, τοῦ Ἀθηνῶν, τοῦ Μωκησοῦ, τοῦ Τραπεζοῦντος, τοῦ Λαρίσσης, τοῦ Ῥόδου, τοῦ Δυρραχίου, τοῦ Εὐχαΐτων, τοῦ Ῥωσίας, τοῦ Αἴνου, τοῦ Ἀπαμείας, τοῦ Μεθύμνης, τοῦ Παροναξίας, τοῦ Μεσημβρίας, τοῦ Βρυσέως, τοῦ Γοτθίας καὶ τοῦ Ἡρακλέος, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτῶν, ἀρχόντων, καὶ ἑτέρων οὐκ ὀλίγων.

A tarum, Russiæ, Æni, Apameæ, Methymnæ, Paronaxiæ, Mesembriæ, Bryseos, Gothiæ et Heraclidis, astantibus etiam Deo charissimis despotis, principibus, aliisque non paucis.

Τοῦ μακαρίου ἀποστόλου Παύλου μεμνημένοι λέγοντος· *Ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας*· ὀφείλομεν πάντως καὶ ἡμεῖς οἱ τοῦ μεγάλου καὶ πρώτου ἀρχιερέως ἱερουργοὶ κατ' ἴχνος τῆς ἀποστολικῆς ταύτης παραγγελίας συνέπεσθαι, καὶ ἐπὶ πᾶσι μὲν τοῖς ἄλλοις ἱεροῖς τε καὶ θείοις δόγμασιν, οὐχ ἥκιστα καὶ ἐπ' αὐτῇ τῇ τῆς ἱερουργίας φρικώδει καὶ σεπτῇ τελετῇ, ἡ καὶ πρώτιστον ἔργον τῶν τὰ θεῖα μυσταγωγούντων ἐγνώρισται. Ἐπεὶ οὖν οὕτω μὲν ταῦτα προσήκει, λόγος δέ τις παρεμπέπτωκεν, ὃν δὴ καὶ εἰς τὰς ἁπάντων σχεδὸν ἀκοὰς διατεθρυλλῆσθαι ἤδη συμβέβηκεν, ὡς ἄρα ἡ ἐπὶ τοῦ σωτηρίου πάθους ἐκτελεσθεῖσα παρὰ τοῦ ἐνανθρωπήσαντος Λόγου θυσία, τοῦ Δεσποτικοῦ φαμεν σώματός καὶ αἵματος, προσεπὶ τούτοις δὲ καὶ ἡ καθ' ἡμέραν παρὰ τῶν ἱερουργούντων ἐνεργουμένη μυστηριώδης ἁγιστεία πρὸς τὴν ἐκείνου ἀνάμνησιν, οὐ καὶ τῷ Υἱῷ προσηνέχθη τε καὶ προσάγεται, ἀλλά γε μόνῳ τῷ Πατρί.

Memores beati apostoli Pauli dicentis : *Habentes pontificem magnum, qui in cœlum conscendit, Jesum Dei Filium, teneamus fidei confessionem* [1] ; nos quoque omnino debemus, cum sub magno primoque pontifice sacerdotes simus, apostolicum hoc præceptum presse sequi, cum in aliis omnibus sacris divinisque dogmatibus, tum haud segnius B in ipso tremendo venerandoque missæ sacrificio, quod sacerdotum munus constat esse præcipuum. Quandoquidem igitur hæc ita se habere necesse est, et sermo quidem commotus fuit, quem ad cunctorum prope aures pervenisse jam contigit, quod nempe peractum in salutari passione ab incarnato Verbo sacrificium, Dominici, inquam, corporis sanguinisque ; et quod insuper quotidiana sacerdotum mystica res divina, quæ in illius commemorationem fit, haudquaquam Filio oblata fuerit vel nunc offeratur, sed Patri tantummodo.

Μέλλων δὲ ἐπὶ τούτοις καὶ ὁ ἱερώτατος μητροπολίτης Ῥωσίας μακροτέραν ἀποδημίαν τὴν πρὸς τὴν λαχοῦσαν αὐτὸν στείλασθαι, τὴν μὲν οἰκείαν γνώμην ἀριδηλοτέραν ἡμῖν καὶ ἄλλοτε παρέστησεν, ὡς μικρῷ κατωτέρω περὶ ταύτην ῥηθήσεται, οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν τῆς ἀδελφότητος περὶ τούτου δόξαν ὅπως ἔχει μαθεῖν διαφόρως ἐζήτησε, καὶ ἦν ἀναγκαῖον διὰ ταῦτα μὴ ἐν παρέργῳ θέσθαι τοῦτο τὸ σπούδασμα, δεῖν ἔγνωσται τῇ ἡμῶν μετριότητι μὴ μόνον τοὺς ἐνδημοῦντας τὸ τέως ἐνταῦθα συλλειτουργοὺς αὐτῆς συγκαλέσασθαι ἅπαξ πάντας, ἀλλ' ἐν πρώτοις μὲν καὶ αὐτὸν τὸν ἁγιώτατον ἀδελφὸν αὐτῆς καὶ συλλειτουργὸν πατριάρχην Ἱεροσολύμων Νικόλαον, πρὸς δὲ καὶ τοὺς ἐν τῇ βασιλίδι ταύτῃ πόλει παρατυχόντας τό γε νῦν ἔχον μέγα ὑπερόχους ἄνδρας τῷ ὄντι καὶ ἐλλογιμωτέρους τῶν τῆς συγκλητικῆς βουλῆς.

Cum præterea deberet sacratissimus Russiæ metropolita longum iter ad provinciam propriam suscipere, qui suam utique sententiam alias jam aperte nobis exposuerat, nunc autem fratrum quoque suorum hac super re mentem cognoscere magnopere postulabat, sane oportuit non perfunctorio opere studio huic occurrere, visumque est mediocritati nostræ non hujus tantummodo regionis consacerdotes omnes nunc esse convocandos, sed in primis consacerdotem nostrum ac fratrem sanctissimum Hierosolymorum patriarcham Nicolaum : atque insuper quotquot sunt in hac regia urbe sublimiores ex ordine senatorio atque doctiores.

Καὶ δὴ γενομένου καὶ πλήρους καταστάντος τοῦ συνεδρίου τὴν σήμερον ἔκ τε τῆς τοῦ ἁγιωτάτου πατριάρχου, ὡς εἴρηται, συνελεύσεως, τῶν τε τῆς συγκλήτου λογάδων καὶ τῆς ἱεραρχικῆς ὁμηγύρεως, ὡς διείληπται, ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Ῥωσίας ταῦτα καὶ πάλιν εἰς κοινὴν ἀκρόασιν ἀπετείνατο, ὡς αὐτὸς μὲν οὕτω πρεσβεύει, εἰ καὶ ἀραρότως ἔχει, περὶ τῆς ζωοποιοῦ θυσίας, μήτ' ἀρχῆθεν, ὅτε παρὰ τοῦ Σωτῆρος Χριστοῦ δηλονότι τετέλεστο, μήτ' αὖθις τὸ ἀπ' ἐκείνου μέχρι καὶ σήμερον, μόνῳ τῷ ἀνάρχῳ τοῦ Μονογενοῦς Πατρὶ ταῦτα προσῆχθαι καὶ προσάγεσθαι, ἀλλὰ καὶ αὐτῷ τῷ ἐνανθρωπήσαντι Λόγῳ· ναὶ μὴν μηδὲ τὸ ἅγιον Πνεῦμα τῆς τοιαύτης θεοπρεποῦς τιμῆς ἀπολείπεσθαι· καὶ ἁπαξαπλῶς πρὸς τὴν ἐν

D Quod cum factum fuerit, plenusque sit hodiernus consessus tum propter sanctissimi patriarchæ, ut dictum est, adventum, tum etiam aliorum ex senatu, ut diximus præcipuorum, nec non ex hierarchico cœtu, memoratus antea Russiæ metropolita, hoc rursus cunctis audientibus pronuntiavit, se quidem ita censere, quod reapse evidenter ita se habet, nempe vivificum sacrificium neque initio cum a Servatore Christo peractum fuit, neque denuo posthinc usque ad hodiernum diem, uni æterno Unigeniti Patri oblatum fuisse vel offerri, verum etiam ipsi quoque Verbo incarnato : imo ne sanctum quidem Spiritum hujus divinæ oblationis non esse participem : ita ut omnino Deitati, quam in Trinitate personarum conjunctam et unicam

[1] Hebr. x, 23.

atque unius ejusdemque naturæ simulque immortalem esse cognoscimus, hæc mysteriorum oblatio et olim facta fuerit et nunc fiat, atque a Trinitatis potestate omni tempore perficiatur. Hoc ille aiebat se indubitanter sentire, hoc firmiter a divinis comprobari Scripturis, pro hoc demum dogmate paratum se mori.

A Τριάδι προσώπων ἐνιζομένην καὶ μίαν γνωριζομένην θεότητα συμφυῆ τε καὶ συναΐδιον τὴν τῶν μυστηρίων προσαγωγὴν γεγενῆσθαί τε καὶ γίνεσθαι, τελειουμένην διὰ τῆς τελειοποιοῦ Τριάδος ἑκάστοτε. Τοῦτο ἀνενδοιάστως φρονεῖν, τοῦτο βεβαίως καὶ ἀπὸ τῶν θείων πεπληροφορῆσθαι Γραφῶν, τούτῳ καὶ συναποθνήσκειν ἑτοίμως ἔχειν τῷ δόγματι.

Ita quidem confidenti animo Russus loquebatur. Cum autem res posceret, ut episcoporum quoque consessus suum singillatim ferret suffragium, sacratissimus metropolitanæ ecclesiæ Ephesi archiepiscopus, haud diutius divini sui zeli impetum continere sustinens, se cum Russo primus sentire exclamavit, atque in hac confessione moriturum confidenter admodum affirmabat. Parem sententiam reliquus etiam episcoporum cœtus protulit, qui pariter consentientes concordesque nacti sunt quotquot erant in eo consessu ex senatu vel aliunde convocati: ante omnes vero sanctissimum patriarcham Hierosolymorum Nicolaum; quibus accedebant quotquot prædicto dogmati definite astipulabantur et adhærebant.

Ὁ μὲν Ῥωσίας ταῦτα πεπαῤῥησιασμένῳ φρονήματι ἐξελάλει. Ὡς δὲ ἀπῄτει τὸ πρᾶγμα, καὶ τὸ τῆς κοινῆς τῶν ἀρχιερέων ἀποκαλύπτεσθαι σύνθεμα, ὁ ἱερώτατος ἀρχιεπίσκοπος τῆς μητροπόλεως Ἐφέσου πρῶτος αὐτίκα τὴν ὠδῖνα μὴ στέγειν ἔτι οἷός τε ὢν τοῦ ἐνόντος τούτῳ ἐνθέου ζήλου, ὁμοφρόνως τῷ Ῥωσίας φρονεῖν ἀνεκήρυξε, συναποθανεῖν καὶ αὐτὸς τῇ τοιαύτῃ ὁμολογίᾳ μάλα θαῤῥούντως ἰσχυριζόμενος· τὰ αὐτὰ δὲ τούτοις πρεσβεύειν καὶ λοιπὴ τῶν ἀρχιερέων ὁμήγυρις συγκατέθετο, σύμφρονας ἐπὶ τούτοις εὑροῦσα καὶ ὁμογνώμονας ὅσον τε τοῦ συλλόγου μέρος ἐκ τῆς συγκλήτου συνήδρευε, καὶ ὃς ἄλλοθεν παρεστηκὼς ἐγνωρίζετο· πρὸ δὲ τούτων ἁπάντων αὐτὸν τὸν ἁγιώτατον πατριάρχην Ἱεροσολύμων Νικόλαον· μεθ' ὧν ἦσαν οἱ τῷ ῥηθέντι δόγματι κατὰ πάντα στοιχοῦντές τε καὶ ἐμμένοντες.

Oportet autem et ipsorum nomina sigillatim perscribere. Ex senatu quidem hi: pansebastus sebastus magnus drungarius dominus Stephanus Comnenus. Gloriosissimus protonotarius et magnus logotheta dominus Joannes. Illustrissimus a secretis dominus Nicolaus Zonaras. Illustrissimus nomophylax et domesticorum præpositus Theodorus Pantechnes. Ex veneranda autem Deo charorum dignitatum caterva, reliquoque sacro senatu, magnus archidiaconus, magnus œconomus, chartophylax, sacellarius, protonotarius, canistrarius, referendarius, ab actis, primus ostiarius, magister Evangeliorum, suggestor, primus Ecclesiarum præpositus, a supplicibus libellis, secundus ostiarius, secundus Ecclesiarum præpositus, doctissimi patriarchales notarii, secundus diaconus, aliique; item non modica pars qui astant patriarchali throno doctissimorum atque piissimorum diaconorum, qui firmo judicio propositæ circa vivifici sacrificii oblationem sententiæ adeo favebant ut ne quæstionem quidem ullam cum iis habituri essent, qui huic dogmati prorsus adhærerent.

Δεῖ γὰρ κἀνταῦθα τούτων ἐπιμνησθῆναι κατ' ὄνομα. Ἐκ μὲν τῆς συγκλήτου βουλῆς οἵδε· ὁ πανσέβαστος σεβαστὸς καὶ μέγας δρουγγάριος κῦρος Στέφανος ὁ Κομνηνός· ὁ μεγαδοξότατος πρωτονοτάριος καὶ μέγας λογαριαστὴς κῦρος Ἰωάννης· ὁ μεγαεπιφανέστατος ἀσηκρῆτις κῦρος Νικόλαος ὁ Ζωναρᾶς· καὶ ὁ μεγαεπιφανέστατος νομοφύλαξ καὶ ἐπὶ τῶν οἰκειακῶν κῦρος Θεόδωρος ὁ Παντεχνής· ἐκ δὲ τῆς ἐντιμοτέρας τῶν τε θεοφιλεστάτων ἀρχόντων πληθύος καὶ τῆς ἄλλης ἱερᾶς γερουσίας οὗτοι· ὁ μέγας ἀρχιδιάκονος, καὶ ὁ μέγας οἰκονόμος, ὁ χαρτοφύλαξ, ὁ σακελλάριος, ὁ πρωτονοτάριος, ὁ κανστρίσιος, ὁ ῥαιφερενδάριος, ὁ ὑπομνηματογράφος, ὁ πρῶτος ὀστιάριος, ὁ διδάσκαλος τῶν Εὐαγγελίων, ὁ ὑπομιμνήσκων, ὁ πρῶτος ἀρχῶν τῶν Ἐκκλησιῶν, ὁ ἐπὶ τῶν δεήσεων, ὁ δεύτερος ὀστιάριος, ὁ δεύτερος ἀρχῶν τῶν Ἐκκλησιῶν, οἱ λογιώτατοι πατριαρχικοὶ νοτάριοι, ὁ δευτερεύων τῶν διακόνων, καὶ ἕτεροι· οὐκ ὀλίγη τε τῶν περὶ τὸ βῆμα ἐλλογιμωτέρων εὐλαβεστάτων διακόνων ἀπόμοιρα, οἵ γε καὶ ἀδιστάκτῳ γνώμῃ τοῖς περὶ τῆς προσαγωγῆς τῆς ζωοποιοῦ θυσίας διειλημμένοις δεδογμένοις προσκεῖσθαι ξύμπαντες διετείναντο, ὡς μηδὲ συζήτησιν οἱανδήτινα ἔχουσι παρὰ τοὺς προσέχειν ὅλως ἐθέλουσιν.

Post hos Deo charissimus primus defensor Michael Thessalonicensis suam pariter sententiam proferre rogatus, ait se quamvis antea de hac re dubitasset, posthinc tamen sententiæ synodicæ, quæ jam dicebatur, omnino non adversaturum, imo eam secuturum spondebat.

Ἐφ' οἷς ὁ θεοφιλέστατος πρωτέκδικος Μιχαὴλ ὁ τοῦ Θεσσαλονίκης, ὅπως ἔχει καὶ οὗτος φρονήματος περὶ τούτου διερωτώμενος, εἰ καὶ ἀπορητῶς, ἔφησι, περὶ τούτου διέκειτο πρότερον, ἀλλὰ τὸ ἀπὸ τοῦδε μὴ ἀντιτείνειν μηδ' ὅλως τοῖς δόξασιν ἤδη συνοδικῶς, ἕπεσθαι δὲ τούτοις καὶ αὐτὸς κατετίθετο.

Dyrrachiensis autem, cum et ab ipso postularetur ut sensum suum aperiret, primo quidem hanc ad verbum sententiam protulit: Domine mi sancte, vosque domini mei atque consacerdotes, magnis

Ὁ μέντοι Δυῤῥαχίου, τὸν οἰκεῖον σκοπὸν καὶ οὗτος εἰπεῖν ἀπαιτούμενος, πρῶτα μὲν γνώμην δίδωκε κατὰ ῥῆμα ταῦτα διαλαμβάνουσαν· Δέσποτά μου ἅγιε, καὶ ὑμεῖς δεσπόται μου καὶ συλλειτουρ-

γοι, περὶ μεγάλων πραγμάτων ῥᾳδίως οὐ δύναμαι ἀποφαίνεσθαι. Διὰ τοιοῦτο, ὅπερ καὶ ἄλλοτε πολλάκις πρὸς τὴν ὑμετέραν εἶπον ἁγιωσύνην, καὶ νῦν διὰ τῆς παρούσης λέγω γραφῆς μου. Ἀξιῶ τὴν ὑμῶν ἁγιωσύνην δοῦναί μοι ἐγγράφως τὰ κινούμενα ζητήματα, καὶ τίνα ἡ ὑμῶν ἁγιωσύνη περὶ τούτων φρονεῖ, ὡς ἂν ἀκριβῶς ταῦτα διασκεψάμενος, καὶ τοῖς τῶν ἁγίων συγκρούσας λόγοις, εἰ μὲν σύμφωνα νοήσω, ἀπαλλάξω ἐμαυτὸν ἀπορίας· καὶ σύμφρων (γενόμενος, εἰ ἔτι) διστάζω, ἐρωτῶ πάλιν καὶ μανθάνω. Οὐ γὰρ αἰσχύνομαι τοῦτο· ἐπεὶ καὶ ὁ τῆς θεολογίας ἐπώνυμος ὁ μέγας Γρηγόριος λέγει, Βούλομαι διὰ βίου παῖς εἶναι καὶ μαθητής. Καί τις τῶν ἔξω σοφῶν, Ἀγαθὸν ὅτῳ κἂν ἐν γήρᾳ σοφία καὶ φρόνησις πρόσεστιν. Ἐγχωρεῖται γὰρ ἡμῖν παρὰ τῶν ἁγίων καὶ ἀπὸ τούτων ὠφελεῖσθαι. Ἡ ἁγία ὑμῶν εὐχὴ χαρισθῇ μοι! Ὁ εὐτελὴς μητροπολίτης Δυῤῥαχίου.

Ὡς δὲ ταῦτα περιεῖχε τὸ παρ' αὐτοῦ δεδομένον δελτάριον, καὶ ἤκουσε μετὰ τὸ ἀναγνωσθῆναι αὐτὸ διαφόρων χρημάτων γραφικῶν ἐν τῷ μέσῳ προκομιζομένων εἰς συγκροτισμὸν καὶ παράστασιν ἐναργῆ τοῦ ἀμφιβαλλομένου αὐτῷ, τοῦ συνεδρίου αὐτίκα ἐξαναστάς, ἐπιστὰς ἐπὶ τοῦ μέσου, Εἰ καιρὸν ἔφθην ἐξαιτήσασθαι διασκέψεως, ἔφησεν, ἐξ ὧν γνωμοδοτήσας γέγραφα οἷα δειλαινόμενος, ἵνα μὴ λέγω καὶ εὐλαβούμενος, ἑτοιμότατα περὶ τῶν τοιούτων ἀπόκρισιν τίθεσθαι· ἀλλὰ γὰρ πεπεισμένος λοιπὸν ἀφ' ὧν ἐπὶ τοῦ παρόντος ἀκήκοα μαρτυριῶν πολλῶν γραφικῶν, σκέψεως μὲν ἁπάσης τὸ ἐντεῦθεν ἀφίσταμαι· κατατίθεμαι δὲ συμφρονεῖν ἐπὶ τῇ παρούσῃ ὑποθέσει κατὰ πάντα τῇ ἐμῇ ἀδελφότητι· ὅθεν καὶ διατόρῳ στόματι ἀνακηρύττω τε καὶ ὁμολογῶ πιστεύειν ἀληθῶς μὴ τῷ Πατρὶ μόνῳ, ἀλλὰ δὴ καὶ τῷ Υἱῷ καὶ τῇ παναγίᾳ Τριάδι, τὸ ζωοποιὸν αἷμα καὶ σῶμα τοῦ Σωτῆρος Χριστοῦ καὶ πρώτως ἐπὶ τοῦ Δεσποτικοῦ πάθους προσενεχθῆναι, καὶ ἔκτοτε τὰς ὁσημέραι τελουμένας ἐν ταῖς ἱεραῖς τελεταῖς μυστικὰς ἁγιστείας τῇ τρισυποστάτῳ πάντως Θεότητι παρὰ τῶν ταύτας ἱερουργούντων προσάγεσθαι.

Ταῦτα μὲν καὶ ὁ Δυῤῥαχίου· ὡς δὲ ζήλῳ θείῳ κεκίνηντο ξύμπαντες ἱερώτατοι ἀρχιερεῖς ἅμα τῇ ἡμῶν συμπνευσάσῃ μετριότητι, καὶ τῷ προδιαληφθέντι ἁγιωτάτῳ πατριάρχῃ Ἱεροσολύμων, τοὺς τῆς κακοδόξου ταύτης θρησκείας γεννήτορας, εἴ τινες ἂν καὶ εἶεν, εἰ μὲν ἐμμένοιεν τῇ σφετέρᾳ καὶ ἔτι αἱρέσει, ἀναθέματι καθυπέγραφον· μετανοοῦντας δὲ οὐκ ἄλλως ἐδέχοντο, ἢ καθὼς οἵ τε θεῖοι καὶ ἱεροὶ κανόνες τὰ περὶ τούτων διακελεύονται, καὶ τῶν Πατέρων αἱ παραδόσεις· ταῦτα παρεκβληθέντα τῶν ἡμετέρων σχεδαρίων τῶν συνοδικῶν παρασημειώσεων, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι βεβαιωθέντα Ἰωάννου θεοφιλεστάτου χαρτοφύλακος τοῦ Παντεχνοῦς, ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις, ἔτει ,ϛΧΞΔ'· ἡ ὑπογραφή· ὁ χαρτοφύλαξ Ἰωάννης Παντεχνής

Ego de rebus haud facile judicium meum pronuntio. Idcirco, veluti et alias sæpe coram vestra sanctitate dixi, nunc etiam præsenti meo scripto alo. Rogo videlicet sanctitatem vestram, ut mihi perscriptæ tradantur quæ nunc moventur quæstiones, et vestræ sanctitatis de his judicium; ut his sedulo consideratis, et cum sanctorum doctrina scripta collatis, siquidem hæc consona agnovero, memetipsum dubio expediam, vobisque sine ulla hæsitatione assentiar: et post consensum, siquid insuper dubitavero, vos iterum interrogem et erudiar. Neque enim id erubesco; quandoquidem magnus etiam ille Gregorius, qui Theologi nomen sortitus est, ait velle per universam vitam tanquam puerum se gerere et discipulum. Itemque ex ethnicis quidam: Recte est, si cuipiam vel in senectute sapientia ac prudentia obtingat. Sancti enim homines ab ethnicis quoque nos discere sinunt. Sanctæ vestræ preces mihi faveant! Humilis metropolita Dyrrachii.

Post oblatum hujusmodi ab eo libellum, cum eo lecto audivisset recitari publice de scriptis variis auctoritates, quæ favebant lucideque id confirmabant quod ab eo dubitabatur, statim in consessu surgens et in medium progressus, Si antea postulavi, inquit, tempus ad considerandum, ut scripto meo dixi, timidi id fuit ne dicam scrupulosi animi, hac super re nolentis ex abrupto respondere. Verumtamen iis jam convictus, quæ recitari audivi hujus dogmatis testimoniis, omnem posthinc dubitationem abjicio; aioque me prorsus subscribere vestræ fraternitatis sententiæ: ideoque rotundo ore prædico atque confiteor sincere me credere, quod non Patri soli, sed etiam Filio, totique sanctissimæ Trinitati, vivificus sanguis et corpus Servatoris Christi, et tunc primum in Dominica passione oblatum fuerit: et deinceps quotidianas, quæ fiunt in sacris mysteriis mysticas oblationes, Deitati in tribus personis subsistenti, ab iis qui sacris operantur offerri.

Hactenus Dyrrachiensis. Tunc vero universi sacratissimi antistites, suffraganie mea quoque mediocritate, prædictoque sanctissimo Hierosolymorum patriarcha, divino zelo commoti sunt, ut insanæ hujus doctrinæ auctores, si qui essent, atque in sua adhuc hæresi perseverarent, anathemati subjicerent: quod si forte resipiscerent, non aliter eos esse recipiendos quam divini sacrique canones Patrumque traditiones jubent. Hæc ex Commentariis Actorum synodicorum excerpta, subscriptione et sigillo Joannis Deo charissimi chartophylacis Pantechnis firmata, edita sunt mense et indictione prædictis, anno VIMDLXIV. (Christi 1156.) Subscriptio: Joannes Pantechnes chartophylax.

PATRUM AUCTORITATES.

Quod singulis diebus immolatur Agnus Dei, Patris Filius, qui tollit peccata mundi; sicuti et illi, qui mysticum quotidie sacrificium peragunt, apud se submissa voce se ita agere affirmant.

Andreæ Cretensis ex sermone de ramis Palmarum.

Si igitur ita currimus, nos quoque poterimus pro nobis omnino sine cruore immolatum (etenim in symbolicis speciebus sacrificatur) totum ipsum intra nos recipere, et substantialiter introducere, manducatum quidem ceu panem, mente tamen uti revera agnum intellectum.

Domini Leonis Bulgariæ qui primus promotus fuit a beato Calaphate imperatore, ex ejus epistola De azymis.

Sicuti Israel, transmisso Erythræo, Pascha celebravit, immolans agnum et comedens; *et paulo post*: sic et nos ad terram immortalitatis per divinum baptisma pergentes, immolavimus et adhuc immolamus, cum Patris beneplacito, rationalem agnum Dominum nostrum Jesum Christum.

Theodoreti ex vicesimo quarto capitulo interpretationum in obscuriores Exodi locos, cujus est initium: Cur fugientibus mandavit Paschæ festum celebrare?

Mandavit, accepto hyssopi fasciculo, et sanguine immolatæ ovis tincto, postes ac limen inungi; ut cum exterminator ad percutiendos Ægyptiorum primogenitos veniret, viso sanguine, Hebræorum domos prætervehereturr: non quod hujusmodi signis incorporea natura indigeret; sed quia per hoc symbolum oportebat et illos Dei providentiam, et nos quoque qui immaculatum Agnum immolamus, typum jamdiu descriptum agnoscere. *Et paulo post*: His autem omnibus mysteria nostra portendebantur. Nam et nos quoque ungimus Agni nostri immolati sanguine non tantum limen, verum etiam utrumque postem, linguam videlicet ac labra purgantes et sanctificantes. Porro intelligitur in limine quidem rationalis facultas, in duobus autem postibus iracundia et concupiscentia.

Magni Basilii, ex commentariis in Isaiam prophetam.

Quæcunque de victimis et holocaustis dicuntur, ea referri videntur ad misericordiæ et charitatis rationem, quia lex quoque universa hoc præcepto comprehenditur: *Diliges proximum tuum sicut te*

(3) Edit. Combefis. p. 81.

(4) Audeo corrigere Καλαφάτου βασιλέως. Nam Calaphates regnavit Constantinopoli anno 1041; Leo autem dicitur electus anno 1040, apud Coletum *Illyr. sacr.* t. VIII, p. 198, col. 2. Vix igitur tempora variant. Catalogus vero episcoporum Achridensium apud Lequinium *Or. Chr.* t. II, p. 292, dicit hunc primum ex Byzantino clero fuisse electum. Porro hujus epistola de azymo exstat ms. in variis codicibus. Cæterum apud Bandinium quoque *Rer. Græcar.* t. II, p. 14, legitur Βασιλείου.

(5) Edit. Sirmond. t. I. p. 90.

(6) Edit. Garner. t. I, p. 401, ubi perperam in τῶν τόπος pro λόγος.

ΠΑΤΕΡΩΝ ΧΡΗΣΕΙΣ.

Περὶ τοῦ ὅτι ἑκάστης ἡμέρας θύεται ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ Υἱὸς τοῦ Πατρὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, καθὼς καὶ οἱ τὴν μυστικὴν ἐπιτελοῦντες καθ' ἑκάστην θυσίαν καθ' ἑαυτοὺς ὑποφωνοῦσιν αὐτῷ ταῦτα ἐπιτελεῖν.

Ἀνδρέου Κρήτης ἀπὸ τοῦ λόγου τοῦ εἰς τὰ Βαϊοφόρα.

Εἰ τοίνυν οὕτω τρέχομεν, δυνησόμεθα καὶ αὐτὸν τὸν διὰ παντὸς ὑπὲρ ἡμῶν ἀθύτως θυόμενον (θύεται γὰρ ἐν ἀντιτύποις ὑπὲρ ἡμῶν συμβόλοις ἱεροθετούμενος) ὅλον αὐτὸν ἐν ἡμῖν ὑποδέξασθαι καὶ οὕτω δῶς εἰσοικίσασθαι, ὡς ἄρτον μὲν ἐσθιόμενον, ἀμνὸν δὲ νοούμενον (3).

Τοῦ κυροῦ Λέοντος τοῦ Βουλγαρίας τοῦ πρωτοπροβλήτου παρὰ τοῦ μακαρίτου κυροῦ Βασιλείου (4) ἐκ τῆς Περὶ τῶν ἀζύμων ἐπιστολῆς αὐτοῦ.

Ὥσπερ ὁ Ἰσραὴλ διαβὰς τὴν Ἐρυθρὰν ἐθύσατο τὸ Πάσχα θύσας καὶ φαγὼν τὸν ἀμνόν· καὶ μετὰ ὀλίγα· οὕτω καὶ ἡμεῖς ἐπὶ τὴν γῆν τῆς ἀπαθείας τῷ θείῳ διαβάντες βαπτίσματι, ἐθύσαμεν καὶ ἔτι θύομεν εὐδοκίᾳ τοῦ Πατρὸς τὸν νοητὸν ἀμνὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Θεοδωρήτου ἐκ τοῦ κδ' κεφ. τῶν εἰς τὸ ἀπόρρητον τῆς Ἐξόδου ἑρμηνειῶν, οὗ ἡ ἀρχή· Διὰ τί διαφεύγουσιν ἐπιτελέσαι προσέταξε τοῦ Πάσχα τὴν ἑορτήν (5);

Παρεκελεύσατο γὰρ δέσμην ὑσσώπου λαβεῖν, καὶ τῷ αἵματι τοῦ θυομένου προβάτου ἐμβάψαντας τοὺς σταθμοὺς ἐπιχρίσαι καὶ τὴν φλιάν· ἵνα, ὅτε εἰσέλθῃ ὁ ὀλοθρεύων πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, ἰδὼν τὸ αἷμα, ὑπερβῇ τῶν Ἑβραίων τὰς οἰκίας· οὐκ ἐπειδὴ τοιούτων ἐδεῖτο σημείων ἀσώματος φύσις, ἀλλ' ὅτι διὰ τοῦ συμβόλου τούτου ἐκείνους ἔδει μαθεῖν τὴν τοῦ Θεοῦ κηδεμονίαν καὶ ἡμᾶς τοὺς τὸν ἄμωμον Ἀμνὸν θύοντας γνῶναι προδιαγραφέντα τὸν τύπον. *Καὶ μετ' ὀλίγα*· Ταῦτα δὲ πάντα τῶν ἡμετέρων ἐστὶ μυστηρίων αἰνίγματα· χριόμεν γὰρ καὶ ἡμεῖς τῷ αἵματι τοῦ ἡμετέρου Ἀμνοῦ θυομένου οὐ μόνον τὴν φλιάν, ἀλλὰ καὶ τοὺς δύο σταθμούς, τὴν γλῶσσαν καὶ τὰ χείλη καθαίροντές τε καὶ ἁγιάζοντες· κατὰ δὲ τὸ νοούμενον ἀντὶ μὲν φλιᾶς τὸ λογικὸν, ἀντὶ δὲ δύο σταθμῶν ὁ θυμοειδὲς καὶ τὸ ἐπιθυμητικόν.

Τοῦ μεγάλου Βασιλείου ἐκ τῆς εἰς τὸν προφήτην Ἡσαΐαν ἐξηγήσεως (6).

Καὶ ἔοικεν ὁ πᾶς περὶ θυσιῶν καὶ ὁλοκαυτωμάτων λόγος τῷ περὶ ἐλέους καὶ ἀγάπης ἐμπεριέχεσθαι λόγῳ· ἐπεὶ καὶ ὅλος ὁ νόμος ἀνακεφαλαιοῦται ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν

καὶ ὁ περὶ τῶν ἑορτῶν δὲ λόγος τῷ αὐτῷ εἴδει τῆς ἐξηγήσεως ὑπαχθήσεται· ὥστε καὶ τὸ Πάσχα μὴ ἑορτάζειν ἡμᾶς ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, θυομένου πρὸς ἑσπέραν, τουτέστιν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, τοῦ ἀληθινοῦ προβάτου Χριστοῦ, οὗ ἡ σὰρξ ἀληθής ἐστι βρῶσις.

A *ipsum* [a]. Festorum quoque institutum eidem interpretationi obnoxium erit : ita ut Pascha celebremus non in fermento malitiæ et improbitatis, sed in azymis sinceritatis et veritatis ; immolata vespere, id est in sæculi fine, vera ove Christo, cujus caro verus est cibus.

Τοῦ Δαμασκηνοῦ ἐκ τοῦ Περὶ τῶν ἁγίων καὶ ἀχράντων τοῦ Κυρίου μυστηρίων, κεφ. πς' (7).

Damasceni ex capitulo LXXXVI De sanctis atque purissimis Domini mysteriis.

Οὐκ ἔστι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ· μὴ γένοιτο! ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ Κυρίου τεθεωμένον· αὐτοῦ τοῦ Κυρίου εἰπόντος· *Τοῦτό μού ἐστιν*, οὐχ ὁ τύπος τοῦ σώματος, ἀλλὰ *τὸ σῶμα*· καὶ οὐχ ὁ τύπος τοῦ αἵματος, ἀλλὰ *τὸ αἷμα*· καὶ πρὸ τούτου τοῖς Ἰουδαίοις, ὅτι *Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, οὐκ ἔξετε ζωὴν αἰώνιον· ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις· καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις·* καὶ πάλιν· *Ὁ τρώγων με ζήσεται.— Καὶ μετ' ὀλίγα·* Αὕτη ἐστὶν ἡ καθαρὰ θυσία δηλαδὴ καὶ ἀναίμακτος, ἣν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αὐτῷ προσφέρεσθαι διὰ τοῦ προφήτου ὁ Κύριος ἔφησε· *καὶ μετ' ὀλίγα·* Ἐὰν δὲ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν, ὡς ὁ θεοφόρος ἔφη Βασίλειος, οὐ μετὰ τὸ ἁγιασθῆναι εἶπον, ἀλλὰ πρὶν ἁγιασθῆναι αὐτὴν τὴν προσφορὰν οὕτω καλέσαντες.

B Panis vinumque haud sunt typi corporis et sanguinis Christi ; absit ; sed ipsum Christi corpus est quod oculis objicitur, ipso Domino dicente : *Hoc est*, non corporis typus, sed *corpus* ; neque sanguinis typus, sed *sanguis* [9]. Imo et antea Judæis dixerat : *Nisi manducaveritis carnem Filii hominis, non habebitis vitam æternam* [10]. *Caro enim mea verus est cibus, et sanguis meus verus est potus* [11]. Et rursus : *Qui me manducat, vivet* [12]. *Et paucis interjectis :* Hæc est pura victima atque incruenta, quam ab ortu solis usque ad occasum ipsimet oblatum iri ait per prophetam Dominus [1]. *Et paulo post :* Quod si qui antitypa corporis et sanguinis Domini panem et vinum appellaverunt, sicuti divus Basilius, haud post, sed ante sanctificationem, ita de oblatione locuti sunt.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ τρίτου λόγου τοῦ Περὶ ἱερωσύνης (8).

Chrysostomi ex tertio libro De sacerdotio.

Ὅταν γὰρ ἴδῃς τὸν Κύριον τεθυμένον καὶ κείμενον, καὶ τὸν ἀρχιερέα ἑφεστῶτα τῷ θύματι καὶ ἐπευχόμενον, καὶ πάντας ἐκείνῳ τῷ θείῳ φοινισσομένους αἵματι, ἆρα ἔτι μετὰ τῶν ἀνθρώπων εἶναι νομίζεις καὶ ἐπὶ γῆς ἑστάναι, ἀλλ' οὐκ εὐθέως ἐπὶ τοὺς οὐρανοὺς μετανίστασαι, καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς ἐκβαλὼν, γυμνῇ τῇ ψυχῇ καὶ καθαρῷ τῷ νῷ περιβλέπεις τὰ ἐν οὐρανοῖς; Ὦ τοῦ θαύματος! Ὦ τῆς τοῦ Θεοῦ φιλανθρωπίας! Ὁ μετὰ τοῦ Πατρὸς ἄνω καθήμενος, κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσὶ, καὶ δίδωσιν αὐτὸν τοῖς βουλομένοις περιπτύξασθαι καὶ περιλαβεῖν καὶ κατατρυφῆσαι [a]· ἕστηκεν ὁ ἱερεὺς, οὐ πῦρ καταφέρων κατὰ τὸν Ἠλιοὺ, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὴν ἱκετηρίαν ἐπὶ πολὺ ποιεῖται, οὐχ ἵνα τις λαμπὰς ἄνωθεν ἀφθεῖσα [b] καταναλώσῃ τὰ προκείμενα, ἀλλ' ἵνα ἡ χάρις ἐπιπεσοῦσα τῇ θυσίᾳ, δι' ἐκείνης τὰς ἁπάντων ἀνάψῃ ψυχὰς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου. Ταύτης οὖν τῆς φρικωδεστάτης τελετῆς τίς μὴ μαινόμενος μηδὲ ἐξεστηκὼς ὑπερφρονῆσαι δυνήσεται; Ἢ ἀγνοεῖς ὅτι οὐκ ἂν ποτε ἀνθρωπεία ψυχὴ τὸ πῦρ ἐκεῖνο τῆς θυσίας ἐβάστασεν, ἀλλὰ ἅρδην ἅπαντες; ἠφανίσθη-

C Cum videris immolatum Dominum et in mensa positum, sacerdotemque hostiæ assistentem atque orantem, cunctosque divino illo sanguine delibutos ; num adhuc te existimas inter homines atque in hac terrestri regione versari, et non potius te protinus in cœlos transferri, omnique carnali cogitatione ex animo abjecta, nudo spiritu puraque mente cœlestia regna spectare ! O miraculum ! O Dei erga homines charitatem ! Qui cum Patre superne sedet, hora illa omnium manibus tenetur, seque tradit amplecti, teneri, et frui volentibus. Stat sacerdos, haud ignem sicut Elias ferens, sed sanctum Spiritum ; precesque diu protrahit, non ut flamma desuper accensa propositam oblationem absumat, sed ut gratia in victimam decidens, per ipsam omnium animos inflammet, ignitoque argento lucidiores efficiat. Quis hoc ergo tremendum mysterium, nisi plane insanit ac furit, despicere poterit ? An nescis, nullam humanam animam ignem hujus sacrificii fore toleraturam, imo omnes destructum iri, nisi validum divinæ gratiæ adesset præsidium ? Si quis enim cogitet quanti negotii sit, hominem carne adhuc et sanguine implicitum, ad beatam

[a] Levit. xix ; Matth. xxii, 39. [9] Matth. xxvi, 26, 27. [10] Joan. vi, 54. [11] ibid. 56. [12] Malach. i, 11.

[a] Deest κατατρυφῆσαι in edit. [b] Edit. ἀφεθεῖσα.

(7) Edit. Lequinii, t. I., p. 271-273.

(8) Edit. Montfauc. t. I, p. 382.

illam et incorruptam naturam proxime accedere, tunc præclare intelliget, quantum sacerdotibus honorem sancti Spiritus gratia largita sit. Per hanc enim et hæc et alia etiam his haud inferiora efficiuntur. νηθῆναι γενέσθαι, τότε εἴσεται καλῶς ὅσης τοὺς ἱερεῖς τιμῆς ἡ τοῦ ἁγίου Πνεύματος ἠξίωσε χάρις· δι' ἐκείνης γὰρ καὶ ταῦτα τελειοῦται, καὶ ἕτερα τούτων οὐδὲν ἀποδέοντα.

σαν, εἰ μὴ πολλὴ τῆς τοῦ Θεοῦ χάριτος ἦν ἡ βοήθεια; Εἰ γάρ τις ἐννοήσειεν ὅσον ἐστὶν ἄνθρωπον ὄντα καὶ ἔτι σαρκὶ καὶ αἵματι πεπλεγμένον τῆς μακαρίας καὶ ἀκηράτου φύσεως ἐκείνης ἐγγὺς δυ-

Ejusdem ex sexto de sacerdotio libro.

Cum autem et sanctum Spiritum invocat, et tremendum mysterium perficit, et communem continuo Dominum contigerit, quidnam, oro, de sacerdote existimabimus? quantam in eo puritatem, quantam pietatem exigemus? Cogita enim quales esse debeant, quæ talia tractant manus; qualis lingua, quæ illa verba effundit; quidni purissima et sanctissima anima, quæ tantum Spiritum recipit. Tunc et angeli sacerdoti astant, et cœlestibus virtutibus totum sanctuarium atque omnis circa altare locus impletur, ob eum honorandum qui illic jacet. Quod quidem facile nobis persuadere potest ipsa mysteriorum, quæ ibi fiunt, dignitas. Ego vero etiam quemdam narrantem audire memini, se a sene viro admirabili, et revelationes videre solito intellexisse, quod is nimirum visionis hujusmodi beneficio fruitus esset, ut per illud tempus multitudinem angelorum aspiceret, quantum homini liceret, vestibus indutam splendidis, circa altare diffusam, demissis humi oculis, ceu milites videre est qui regi præsenti astant. Cui prorsus ego narrationi assentior.

Τοῦ αὐτοῦ ἐκ τοῦ ἕκτου περὶ ἱερωσύνης λόγου (9).

Ὅταν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον καλῇ, καὶ τὴν φρικωδεστάτην ἐπιτελῇ θυσίαν, καὶ τοῦ κοινοῦ πάντων συνεχῶς ἁφάπτηται Δεσπότου, ποῦ τάξομεν, εἰπέ μοι; Πόσην δὲ αὐτὸν ἀπαιτήσομεν καθαρότητα, καὶ πόσην εὐλάβειαν; Ἐννόησον γὰρ ὁποίας τὰς ταῦτα διοικονουμένας χεῖρας εἶναι χρή· ὁποίαν τὴν γλῶσσαν τὴν ἐκεῖνα προχέουσαν τὰ ῥήματα· τίνος δὲ οὐ καθαρωτέραν καὶ ἁγιωτέραν τὴν τοσοῦτον πνεῦμα ὑποδεξομένην ψυχήν. Τότε καὶ ἄγγελοι παρεστήκασι τῷ ἱερεῖ, καὶ οὐρανίων δυνάμεων ἅπαν τὸ βῆμα, καὶ ὁ περὶ τὸ θυσιαστήριον πληροῦται τόπος εἰς τιμὴν τοῦ κειμένου. Καὶ τοῦτο ἱκανὸν μὲν πεισθῆναι καὶ ἐξ αὐτῶν τῶν ἐπιτελουμένων τότε· ἐγὼ δὲ καί τινος ἤκουσα διηγουμένου ποτὲ ὅτι αὐτῷ τις πρεσβύτης θαυμαστὸς ἀνὴρ καὶ ἀποκαλύψεις ὁρᾶν εἰωθὼς ἔλεγεν ὄψεως ἠξιῶσθαι τοιαύτης ποτὲ, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἄφνω πλῆθος ἀγγέλων ἰδεῖν, ὡς αὐτῷ δυνατὸν ἦν, στολὰς ἀναβεβλημένων λαμπρὰς, καὶ τὸ θυσιαστήριον κυκλούντων, καὶ κάτω νευόντων, ὡς ἂν εἴ τις στρατιώτας βασιλέως παρόντος ἑστηκότας ἴδοι· ὃ ἐγὼ πείθομαι.

Ejusdem ex libro adversus Judæos.

Portendens Deus legalis sacerdotii dissolutionem, ait per Davidem: *Tu es sacerdos in æternum secundum ordinem Melchisedec* [11], qui nequaquam legales victimas offerebat, sed preces panemque et vinum, ut sacra historia tradit. Constat autem legalem quoque politiam simul cum Aaronis sacerdotio cessasse, Melchisedeci vero sacerdotium cum conveniente sibi politia successisse.

Τοῦ αὐτοῦ ἐκ τῆς κατὰ Ἰουδαίων βίβλου (10).

Προμηνύων ὁ Θεὸς τὴν κατάλυσιν τῆς νομικῆς ἱερωσύνης, εἴρηκε διὰ τοῦ Δαβίδ· *Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ*, ὃς οὐ θυσίας νομικὰς ἱέρευεν, ἀλλ' εὐχὰς καὶ ἄρτον καὶ οἶνον, ὡς ἡ ἱστορία διδάσκει. Πρόδηλον δὲ ὡς τῇ μὲν ἱερωσύνῃ τοῦ Ἀαρὼν συνανῃρέθη καὶ ἡ νομικὴ πολιτεία· τῇ δὲ τοῦ Μελχισεδὲκ συναντεισήχθη πολιτεία προσήκουσα.

Ejusdem ex interpretatione Evangelii secundum Matthæum.

Et sicuti prisca lex oves vitulosque habuit, ita hæc nova Dominicum sanguinem: *Hoc facite*, inquit, *in meam commemorationem* [12]. Viden ut abducit a Judaicis ritibus et abstrahit? Sicut illud faciebatis, inquit, ob commemorationem Ægyptiacorum miraculorum, ita et hoc, inquit, ob memoriam mei. Illud ob primogenitorum salutem effusum fuit, hoc in remissionem peccatorum universi orbis. Quid ergo? Num etiam antiquum illud, ait, sacrificium est? Nego enimvero. Propterea enim dixit, *Hoc facite*, ut ab illo abstraheret. Nam si hoc remissionem peccatorum, ut reapse fit, operatur, superest ut illud jam sit inutile.

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τὸ κατὰ Ματθαῖον ἑρμηνείας.

Καὶ ὥσπερ ἡ Παλαιὰ πρόβατα καὶ μόσχους εἶχεν, οὕτως αὕτη ἡ Καινὴ τὸ αἷμα τὸ Δεσποτικόν· *Τοῦτο ποιεῖτε*, φησὶν, *εἰς τὴν ἐμὴν ἀνάμνησιν*. Εἶδες πῶς ἐξάγει τῶν Ἰουδαϊκῶν ἐθῶν καὶ ἀφίστησι; Καθάπερ ἐκεῖνο ἐποιεῖτε, φησὶν, εἰς ἀνάμνησιν τῶν ἐν Αἰγύπτῳ θαυμάτων, οὕτω καὶ τοῦτο εἰς τὴν ἐμήν. Ἐκεῖνο ἐξεχύθη εἰς σωτηρίαν τῶν πρωτοτόκων, τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν τῆς οἰκουμένης ἁπάσης. Τί οὖν; Χρὴ ποιεῖν κἀκεῖνο τὸ παλαιόν; φησίν. Οὐδαμῶς· διὰ γὰρ τοῦτο εἶπε, *Τοῦτο ποιεῖτε*, ἵνα ἐκείνου ἀπαγάγῃ· εἰ γὰρ τοῦτο ἄφεσιν ἁμαρτιῶν ἐργάζεται, ὥσπερ οὖν καὶ ἐργάζεται, περιττὸν κεῖνο λοιπόν.

[11] Psal. cix, 4. [12] Luc. xxii, 19.

(9) Edit. p. 424.

(10) Confer orat. VII adversus Judæos.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς.

Ὅρα γάρ· ἄνω ἔχομεν τὸν ἱερέα, ἄνω τὴν θυσίαν· τοιαύτας ἀναφέρομεν θυσίας τὰς ἐν ἐκείνῳ δυναμένας προσφέρεσθαι θυσιαστηρίῳ.

Τοῦ αὐτοῦ εἰς τὸν ἀπόστολον Θωμᾶν.

Οἶδα τὸν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Πατρὸς ὡς Θεόν· οἶδα τὸν Χριστὸν τῆς δούλης αὐτοῦ καὶ μητρὸς ὡς υἱὸν φερόμενον· οἶδα τὸν Χριστὸν ὁμοούσιον τῷ Θεῷ καὶ Πατρί· οἶδα τὸν Χριστὸν ὁμοούσιον τοῖς ἀνθρώποις, ὡς ἄνθρωπον ἐξ ἀνθρώπου· οἶδα τὸν Χριστὸν ἐπουράνιον καὶ ἐπίγειον, ἀόρατον καὶ ὁρώμενον· οἶδα τὸν Χριστὸν ἀψηλάφητον, καὶ παρὰ τοῦ Θωμᾶ ψηλαφώμενον· οἶδα τὸν Χριστὸν χιλιάδας ῥήματι θρέψαντα, καὶ νεκροὺς ἀναστήσαντα, καὶ μυρία ποιήσαντα θαύματα τῇ δυνάμει τῆς οἰκείας θεότητος· οἶδα τὸν Χριστὸν πεινάσαντα καὶ διψήσαντα καὶ ἀγωνιάσαντα καὶ κοπιάσαντα καὶ ἱδρώσαντα τῇ φύσει τῆς ἀνθρωπότητος· οἶδα τὸν Χριστὸν ἀποθανόντα σαρκί· γνωρίζων τῶν δύο φύσεων αὐτοῦ τὸ διάφορον, οὐ μερίζω τὸν ἕνα Υἱὸν εἰς δύο υἱούς (11).

Τοῦ αὐτοῦ εἰς τὰ φῶτα (12).

Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα· Υἱὸς ὁμοούσιος, οὐχ ἑτεροούσιος· ὁμοούσιος ἐμοὶ κατὰ τὸ ἀόρατον, καὶ ὁμοούσιος ὑμῖν κατὰ τὸ ὁρώμενον, χωρὶς ἁμαρτίας· οὐκ ἄλλος ἐστὶν ὁ Υἱός μου, καὶ ἄλλος ὁ Μαρίας υἱός. Μὴ διίλετε τὴν ἀνθρωπότητα αὐτοῦ ἀπὸ τῆς θεότητος αὐτοῦ· ἀχώριστα γάρ.

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον ἑρμηνείας.

Ἡνίκα προσέρχῃ τῷ θυσιαστηρίῳ, καὶ μεταλαμβάνεις τὸ αἷμα Χριστοῦ ἐκ τοῦ ποτηρίου, οὕτω νόμιζε ὅτι τὸ στόμα σου τῇ πλευρᾷ Χριστοῦ προσέθηκας, καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ πίνεις.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἑρμηνείας.

Ὥσπερ γὰρ Ἰουδαῖοι περιτέμνονται, ἡμεῖς δὲ βαπτιζόμεθα· καὶ ὥσπερ ἐκεῖνοι τὸν Πατέρα μόνον Θεὸν ὁμολογοῦσιν, ἡμεῖς δὲ σὺν τῷ Πατρὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα· ὥσπερ τε ἔθυον ἐκεῖνοι πρόβατον, ἦν δὲ τύπος τοῦ Χριστοῦ, ἡμεῖς οὐκέτι τὸν τύπον θύομεν πρόβατον, ἀλλὰ τὸν Χριστὸν αὐτὴν τὴν ἀλήθειαν.

Τοῦ Θεολόγου ἐκ τοῦ λόγου τοῦ « περὶ θεολογίας καὶ καταστάσεως ἐπισκόπων. »

Κείμενον. « Τοῦ μεγάλου Θεοῦ καὶ θύματος καὶ ἀρχιερέως. » Ἑρμηνεία τοῦ ἐλαχίστου (13) Βασιλείου. Μεγάλου μὲν Θεοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ

Ejusdem ex interpretatione Epistolæ ad Hebræos. A

Specta enim : superne sacerdotem habemus, superne victimam. Tales nos adducimus victimas, quæ in illo queunt altari offerri.

Ejusdem ex sermone de Thoma apostolo.

Scio Christum Dei Patris Filium tanquam Deum. Scio Christum Matris ancillæ suæ tanquam Filium manibus gestatum. Scio Christum Deo Patri consubstantialem. Scio Christum hominibus consubstantialem, uti hominem ex hominibus. Scio Christum cœlestem et terrenum, invisibilem et visibilem. Scio Christum impalpabilem, et a Thoma palpatum. Scio Christum phalangem verbo prosternentem, eumdemque mortuos suscitantem, et plurima efficientem miracula suæ divinitatis virtute. Scio Christum esurientem, sitientem, agonizantem, laborantem, sudantem in humana natura. Scio Christum in carne mortuum. Et quanquam naturarum ejus differentiam agnosco, unicum Filium in duos filios non divido. B

Ejusdem in sancta lumina.

Hic est Filius meus dilectus in quo mihi complacui [15]. Filius consubstantialis non alius substantiæ ; consubstantialis mihi quatenus invisibilis, consubstantialis vobis quatenus visibilis, sed sine peccato. Non est alius Filius meus, et alius Mariæ filius. Ne separetis humanitatem ejus ab ejusdem divinitate ; C sunt enim indivisibiles.

Ejusdem ex interpretatione Evangelii secundum Joannem.

Cum ad altare accedis, et Christi sanguinem ex calice hauris, existima te ad Christi latus os apponere, atque inde potare.

Ejusdem ex eadem interpretatione.

Sicuti enim Judæi circumciduntur, ita et nos baptizamur. Sicuti illi unum Deum Patrem confitentur, sic nos cum Patre Filium quoque et Spiritum sanctum. Sicut illi ovem mactabant quæ Christi typus erat, sic nos haud amplius ovem typum immolamus, sed ipsam veritatem Christum. D

Theologi ex oratione de theologia et episcoporum constitutione.

Textus. « Magni Dei et hostiæ et pontificis. » Basilii minimi interpretatio. Magnum quidem Deum, Dominum nostrum Jesum Christum dicit,

[15] Matth. III, 17.

(11) Conferantur hæc cum edit. t. VIII, ubi de S. Thoma, sed aliter.

(12) De hoc argumento non semel concionatus est Chrysostomus, ut constat ex editis ejus sermonibus.

(13) Cod. μεγάλου, certo errore amanuensis de magno Basilio cogitare soliti. Atqui non *magni*, sed *minimi* Basilii habentur manuscripti commentarii ad Nazianzeni orationes, a me quoque observati in codd. De his loquitur Bandinius cod. gr. Laurent. t. I., p. 556.

non tamen nunc Patrem. Hoc adnotamus adversus illos qui vocabulum *magnum* Patri tantum ascribunt, Filio autem partes secundas dant. Hostiam porro et pontificem appellant, illud quidem ob passionem et pro nostra salute oblationem; alterum autem, quia non ab alio, sed propria voluntate immolatus fuit, et ad voluntariam mortem accessit.

A Χριστοῦ λέγει, ἀλλ' οὐχὶ τοῦ Πατρὸς νυν. Τοῦτο σημειούμεθα πρὸς τοὺς τὸ *μεγάλου* τῷ Πατρὶ μόνῳ περιγράφοντας, τῷ δ' Υἱῷ τὰ δευτερεῖα ἀποδόντας· θύματος δὲ καὶ ἀρχιερέως τὸ μὲν ὡς σφαγιασθέντος, καὶ ὑπὲρ τῆς ἡμετέρας προσενεχθέντος σωτηρίας· τὸ δὲ ὡς οὐχ ὑπ' ἄλλου, ὑφ' ἑαυτοῦ δὲ ἑαυτὸν τεθυκότος, καὶ εἰς σφαγὴν ἑκούσιον προτεθεικότος.

Sancti Maximi.

Dei Verbum semel in carne natum, his quidem qui volunt, sponte ob suam erga homines charitatem semper renascitur. Fitque infans, se ipsum virtutibus corporaliter in illis effingens, tantumque se demonstrans quantum continere valet ille qui capit; haud sane invidia aliqua suæ magnitudinis speciem minuens, sed quia trutina veluti examinat illorum qui se videre cupiunt virtutem. Sic igitur semper apparens, pro recipientium merito Dei Verbum, semper manet per mysterii excellentiam invisibile. Unde sapienter divus apostolus mysterii virtutem discernens, ait: *Jesus Christus heri et hodie, idemque in æternum* [16]. Sciens semper novum esse mysterium, et nulla mentis comprehensione veterascens.

Τοῦ ἁγίου Μαξίμου (14).

Ὁ τοῦ Θεοῦ Λόγος, ἐφάπαξ κατὰ σάρκα γεννηθείς, ἀεὶ γεννᾶται, θέλων κατὰ πνεῦμα διὰ φιλανθρωπίαν τοῖς θέλουσι· καὶ γίνεται βρέφος ἑαυτὸν ἐν ἐκείνοις σωματικῶς διαπλάττων ταῖς ἀρεταῖς, καὶ τοσοῦτον φαινόμενος ὅσον χωρεῖν ἐπίσταται τὸν δεχόμενον, οὐ φθόνῳ σμικρύνων τοῦ οἰκείου μεγέθους τὴν ἔμφασιν, ἀλλὰ μέτρῳ σταθμίζων τῶν ὁρᾶν [cod. ἐρᾶν] ποθούντων τὴν δύναμιν· οὕτως ἀεὶ φαινόμενος τοῖς τρόποις τῶν μετόχων ὁ τοῦ Θεοῦ Λόγος, ἀεὶ διαμένει κατὰ τὴν ὑπερβολὴν τοῦ μυστηρίου τοῖς πᾶσιν ἀθέατος· ὅθεν σοφῶς τοῦ μυστηρίου ὁ θεῖος ἀπόστολος τὴν δύναμιν διασκοπήσας φησίν· *Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας*· εἰδὼς ἀεὶ καινὸν μυστήριον, καὶ μηδέποτε περιλήψει νοὸς παλαιούμενον.

B

C

Photii patriarchæ ex sermone de sancti Spiritus mystagogia.

Idcirco paulo post addit: *Ille me glorificabit* [17]; ubique scilicet consubstantialitatem, et unitatem naturæ, parisque honoris dignitatem incolumem servans. Tanquam si quis diceret, supersubstantiali et gloriosissimæ Trinitati commune esse, ut se invicem ineffabili oratione dilaudent. *Et paucis interjectis:* Est illis communis dominatio, virtus, potentia: sic rursus et gloria, non ea solum quæ a nobis attribuitur, verum etiam illa mutua quam inter se invicem accipiunt.

Φωτίου πατριάρχου ἐκ τοῦ Λόγου τοῦ περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας.

β'. Οἱ μὲν οὖν ἐνστατικώτατα ταύτην ῥηθῆναι τὴν φωνὴν ἐγνωμάτευον, κατὰ μόνην αἰτίαν τῆς ἀχρόνου καὶ ἀϊδίου καὶ ἀξίας τῆς αὐτοῦ θεότητος πρώτης γεννήσεως, καὶ τόνδε τινὰ τῶν θεοφόρων ἁγίων εἰς μέσον παρῆγον οὕτω ταύτην τὴν φωνὴν ἐκλαβόμενον · καὶ οὐκ ἀνεκτὸν ὅλως ἠγῆντο, κατὰ τὸ ἐν Χριστῷ ἀνθρώπινον μείζονα παρ' αὐτὸν Πατέρα ῥηθῆναι, ὡς ἀνθρώπου τελείου ὄντα

[1] Joan. XIV, 28. [2] Ibid.

(1) Manuelem, inter Joannis II Comneni imp. filios natu minimum, propter majores regias dotes, prælatum fuisse testamento patris ut imperium adipisceretur, dicit præter alios historicos Ephræmius v. 4048. collect vat. T. III. part. 1. p. 100.

(2) Hanc quæstionem propositam fuisse ab ipso Manuele imp., ait Ephræmius v. 4763, quem auctorem legesis narrantem de concilio hoc ipso ob eam rem coacto. Adi præterea Nicetam Choniatam *Hist.* VII, 5.

μετὰ τῆς τελείας θεότητος, καθὼς τισι τῶν ἁγίων τῆς Ἐκκλησίας διδασκάλων ἐξείληπται. Τοῖς δὲ, καὶ κατὰ τοῦτο δὴ τὸ ἀνθρώπινον λεχθῆναι τὸ, *Ὁ Πατήρ μου μείζων μού ἐστιν*, ἐδόκει ἐφερμηνεύεσθαι· ἀλλ' ὅτε μὲν κατὰ τὸ αἴτιον μόνον εἰρῆσθαι ταύτην ἐμάνθανον, οἱ διδόντες τὸ, καὶ κατὰ τὸ ἐν αὐτῷ ἀνθρώπινον λέγεσθαι, πολλὰ κατὰ τῶν οὕτω φρονούντων συνῆγον ἐντεῦθεν τὰ ἄτοπα· καὶ ἐξελέγχειν τούτους ἐπεχείρουν, ὡς οὐχὶ καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν Χριστὸν δογματίζοντας· ὥσπερ δὲ καὶ πρὸς μίαν ἀναχραθέντα φύσιν, καὶ διὰ τοῦτο τοῖς μονοφυσίταις οἷον συμπνέοντας. Ὅτε δὲ καὶ κατὰ τὸ ἐν τούτῳ ἀνθρώπινον λέγεσθαι τοῖς τῷ τοιῷδε λόγῳ προστιθεμένοις, ἐκεῖνοι πάλιν κατήκουον, διαιρεῖν αὐτοὺς τὸν ἕνα Χριστὸν ἐπεβοῶντο, καὶ τὰ Νεστορίου φρονεῖν, καὶ εἰς δύο τέμνειν υἱοὺς τὸν ἕνα καὶ ἀδιαίρετον. Καὶ τοιούτοις λόγοις καὶ ἀντιθέσεσι τὸ τῆς ἁγνῆς Ἐκκλησίας ἓν σῶμα καὶ ἀδιάσπαστον διχῇ διαιρεθὲν ἐσχίζετο, μικροῦ δὲ διίστατο. Τῷ δὲ συναπέρρωγε καὶ τὰ περὶ τὴν σύγκλητον καὶ τὸν πολὺν πάντα δῆμον, τῶν μὲν τούτοις, τῶν δ' ἐκείνοις συμφρονούντων, καὶ συνῳδὰ φθεγγομένων καὶ ἀντικρινομένων τοῖς ἕτερα λέγουσιν· ἀγυιαὶ ταῦτα εἶχον καὶ λεωφόροι καὶ στενωποὶ καὶ οἶκοι, περιλαλούμενα. Ἔστι δὲ οἷς καὶ ἄλλως τὸ ῥητὸν ἐφηρμήνευτο, ὡς τοῦ Σωτῆρος οἷον ὑποδυομένου τὸ τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως πρόσωπον (3)· ἀλλὰ δὴ καὶ κατὰ μόνον τὸν τῆς κενώσεως τρόπον εἶτουν συγκαταβάσεως· οὐ μὴν δὲ ἀλλὰ καὶ ὅτε ἡ τοῦ Κυρίου σὰρξ καθ' ἑαυτὴν νοεῖται οὕτως, ὥσπερ εἰ μηδὲ τῇ θεότητι ἥνωτο· καὶ ἄλλ' ἄττα προβαλλομένοις, ἅπερ δὴ ταῦτα μετὰ τὴν ἀληθῆ τοῦ ζητουμένου γνῶσιν καὶ θέματι.

γ. Οὕτω δὴ τῆς Ἐκκλησίας κυμαινομένης ταῖς τοῦ πονηροῦ πνεύματος αὔραις, φιλονεικοῦντος ἐκρῆξαι τὰ τῆς πίστεως πείσματα, τῆς ἀκρογώνου πέτρας Χριστοῦ τοῦ τὰ διεστῶτα συνάψαντος, οὐκ ἠμέλησεν ὁ τῆς κοσμικῆς μεγάλης ὁλκάδος κυβερνήτης προβεβλημένος ἡμέτερος βασιλεύς· οὐδ' ἐπενύσταξεν οὗτος ὁ φυλάσσων τὸν νεόλεκτον Ἰσραὴλ τὸν καὶ Θεὸν ὁρῶντα τῷ τῆς σαρκὸς προβλήματι σκιαζόμενον, καὶ τῷ αὐτῷ Θεῷ καθορώμενον καὶ σωζόμενον· ἀλλ' ὡς βασιλεὺς τῆς εἰρήνης καὶ τῶν ἐκκλησιαστικῶν ἐπιστημονάρχης ἐθῶν τε καὶ πράξεων (4), φιλοπονώτερον περὶ ταῦτα καὶ φροντιστικώτερον διατίθεται. Οὐδὲν μὲν ἧττον καὶ τῶν ὁσημέραι παρεμπιπτουσῶν κατὰ τὰς ὁμβριμαίας σταγόνας κοσμικῶν φροντίδων ἀντιποιούμενος, ὅλον δὲ ὅμως ἑαυτὸν συντείνας, ἐφ' ᾧ τὸ μὲν νοσοῦν ὑγιῶσαι, καὶ τὸ διαῤῥαγὲν ἁρτιῶσαι· καὶ πρὸς μίαν αὖθις τὰ πάντα συναγαγεῖν ὁλομέλειαν. Ἐντεῦθεν καὶ ὅσα παρὰ διαφόρων θεοφορουμένων

A nitatem, majorem appellavisse Patrem, quandoquidem Christus perfectus simul homo Deusque est. Alii contra secundum humanam quoque naturam intelligenda putabant verba : *Pater meus major me est*, verumtamen iidem hi, qui etiam secundum humanam naturam dictum illud fuisse putabant, multa absurda de iis diffamabant, qui tantummodo propter vim paternam Filii causativam, sic locutum Christum docebant : eosque accusabant, ceu si Christum perfectum hominem non agnoscerent, vel ex una concretum natura crederent, ideoque cum Monophysitis conspirarent. Vicissim autem ii, qui verba illa etiam de homine intelligebant, redargui se cernebant, tanquam si unicum Christum dividerent, atque, ut Nestorio placuit, duos
B filios introducerent, cum unus reapse sit atque individuus. Atque his sermonibus et contradictionibus unum atque individuum castæ Ecclesiæ corpus bifariam scindebant : resque jam parum a manifesto schismate aberat. Namque inter se dissidebat senatus, plebisque multitudo, dum alii aliis adhærerent ; et cum his conspirarunt, illis contradicerent : atque ita fora, viæ, vici, ædes, variis sermonibus personabant. Nonnulli etiam aliter dictum illud interpretabantur, ceu si Servator quodammodo gereret naturæ nostræ humanæ personam ; solumque intelligebant extenuationis humilitatisque modum : carnem denique solam per se spectabant, ceu si ne divinitati quidem esset con-
C juncta, aliaque hujusmodi effutiebant, quæ post veram rei controversæ cognitionem Ecclesiæ que concordiam revocatam, anathemate perculsa sunt.

τὴν τῆς Ἐκκλησίας ἕνωσιν καθυπεβλήθησαν ἀνα-

5. Cum hac tempestate jactaretur Ecclesia mali spiritus flabris perflantibus, nitentibusque fidei firmamentum dissolvere, id est angularem lapidem Christum qui distantia conjungit ; haud socordem se præstitit rex noster mundani magni navigii delectus gubernator ; neque dormitavit hic custos novi Israelis qui Deum humana carne contectum vidit, atque ab ipso Deo visitatus servatusque fuit : verum tanquam rex pacis, et ecclesiasticæ disciplinæ
D actionumque sapiens moderator, magno labore studioque ad id negotium incubuit. Et quanquam orbis universi curas, imbrium instar, in se quotidie ruentes sustineret, nihilo tamen minus toto animo dedit operam ut ægra sanaret, disjecta sarciret, atque ad unitatem juncta rursus membra reduceret. Quamobrem sententias etiam complurium inspiratorum theologorumque hominum super hoc proposito scriptas colligi ordinatimque in libro disponi curavit : atque has divorum auctoritates sin-

(3) Hinc Victorinus Comm. in epist. ad Galat. cap. VI, v. 14. (Collect. Vat. t. III, part. II. p. 48) ait : *Catholicum Christus corpus ad omnem hominem habuit ; omne quod passus est catholicum fecit, id est ut omnis caro in illo crucifixa sit.*

(4) Mallem id reservatum pontificibus et episcopis, quorum istud sacrum officium et potestas est. Et quidem Græcus Ephræmius haud unum dilaudat Byzantinum imperatorem, propterea quod nihil in ecclesiastica disciplina novaverant.

gulis sanctissimis patriarchis jussit, itemque aliis delectis per id tempus congregatisque in divina sacraque synodo viris, perque hos ipsos universo deinceps Ecclesiæ populo : Patrum igitur sententiæ erant hæ.

καὶ θεολόγων ἀνδρῶν περὶ τοῦ προκειμένου συνεγράφησαν, συλλεγῆναι καὶ συνεγγραφῆναι σ χηδὸν διετάξατο· καὶ δὴ καὶ τὰς τοιαύτας τῶν ἁγ τούτων χρήσεις ἑκάστῳ τῶν τε ἁγιωτάτων πατρ χῶν ἐκδοθῆναι διεκελεύσατο, νὰ μὴν καὶ τοῖς τ καῦτα συνειλεγμένοις λογάσι τῆς θείας καὶ ἱερᾶς συνόδου, καὶ δι' αὐτῶν παντὶ τῷ τῆς Ἐκκλησ πληρώματι· ἃ καὶ κατὰ ῥητὸν οὕτως ἔχουσι.

Sancti Joannis Damasceni.

4. Eorum, quæ humano more de Servatore Christo prædicantur, sive dicta, sive gesta fuerint, sex modi sunt. Quædam enim ex illis naturaliter ratione carnis assumptæ facta dictaque sunt, velut partus ex Virgine, atque ætatis incrementum et profectus, fames, sitis, defatigatio, lacrymæ, somnus, clavorum fixura, mors aliaque similia, quæ naturales et inculpatæ passiones sunt. In his enim omnibus manet quidem divinæ naturæ cum humana conjunctio, corporis tamen ea vere esse creduntur : quippe cum divinitas nihil horum pertulerit, sed per ea salutem nobis procurarit. Quædam dissimulandi modo, ut cum de Lazaro quærit : *Ubi posuistis eum* [1] ? Cum orat, et cum se subducit. His enim neque ut Deus neque ut homo opus habebat : verum humano more illud prætexebat, quod necessitas atque utilitas exposcebat. Nimirum idcirco, puta, precabatur, ut se minime Deo adversari ostenderet ; utque Patrem, velut sui causam, honore afficeret. Interrogabat, non quod ignarus esset ; sed ut se, quanquam Deus manebat, hominem quoque vere esse demonstraret. Hæc denique ipsi causa secedendi erat, ut nos doceret pericula temere non adire, nec nos ipsos ultro prodere. Quædam rursus dicuntur per assumptionem ut, illud : *Deus meus, Deus meus, ut quid me dereliquisti* [2] ? item : *Ipse Filius Patri subjicietur* [3]. Nec enim quatenus Deus nec quatenus homo, a Patre unquam derelictus fuit : nec peccatum, nec maledictum factus est, nec Patri subjici opus habet. Etenim quatenus, Deus est, æqualis est Patri, non autem adversarius, nec subjectus : quatenus autem homo, nunquam adversus Patrem contumax fuit. Ex quo sequitur, eum, nostri assumpta persona, partes nostras suspiciendo, his verbis usum esse. Quædam autem per excogitatam mente præcisionem dicuntur. Nam si ea quæ revera disjungi nequeunt, hoc est carnem a Verbo, cogitando sejunxeris, caro serva erat et ignara : verum eadem ob hypostaticam cum Deo Verbo conjunctionem id habuit, ut nec serva esset nec ignara. Eadem de causa Patrem Deum suum vocavit. Quædam vero aiebat, ut se nobis manifestaret, nostramque firmaret fidem, veluti cum dixit : *Pater, clarifica me claritate quam habui, prius quam mundus esset, apud te* [4]. Etenim ipse quidem et tunc clarificatus erat, et nunc clarificatur : ne-

Τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ (5).

δ'. Τῶν ἀνθρωποπρεπῶς ἐπὶ τοῦ Χριστοῦ λε μένων εἴτε ἐν ῥήμασιν εἴτε ἐν πράγμασι τρό εἰσιν ἓξ. Τὰ μὲν γὰρ αὐτῶν κατὰ φύσιν οἰκονο κῶς πέπραχταί τε καὶ λέγεται· οἷον ὁ ἐκ Παρθέ τόκος, ἡ καθ' ἡλικίαν αὔξησίς τε καὶ προκοπ πεῖνα, ἡ δίψα, ὁ κόπος, ὁ ὕπνος, τὸ δάκρυον, τῶν ἥλων ἧρῆσις, ὁ θάνατος, καὶ τὰ τοιαῦτα, ἃ φυσικὰ καὶ ἀδιάβλητα πάθη τυγχάνουσιν. Ἐν τ τοις γὰρ ἅπασι μίξις μέν ἐστι τοῦ θείου πρὸς τ ἀνθρώπινον· πλὴν τοῦ σώματος ἀληθῶς εἶναι π στεύεται, οὐδὲν τούτων τοῦ θείου πάσχοντος, αὐτῶν δὲ τὴν ἡμῶν οἰκονομοῦντος σωτηρίαν. Τὰ κατὰ προσποίησιν, τὸ ἐρωτᾷν *Ποῦ τεθείκατε τ ζαρον*, ἡ προσευχὴ, τὸ ὑπαναχωρεῖν. Τούτων γ οὔτε ὡς Θεὸς, οὔτε ὡς ἄνθρωπος ἐχρῃζε· τ ἀνθρωποπρεπῶς ἐσχηματίζετο πρὸς ὅπερ ἡ χρ καὶ τὸ λυσιτελὲς ἀπῄτει. Οἷον τὴν προσευχὴν, τὸ δεῖξαι ὡς οὐκ ἔστιν ἀνεύθετος· καὶ ὡς αἰτ αὐτοῦ τιμῶν τὸν Πατέρα. Τὸ ἐρωτᾷν, οὐκ ἀγνο ἀλλ' ἵνα δείξῃ ὡς κατὰ ἀλήθειάν ἐστιν ἄνθρω μετὰ τοῦ εἶναι Θεός· τὸ ὑπαναχωρεῖν, ἵνα διδ μὴ προπετεύεσθαι μηδὲ ἑαυτοὺς προδιδόναι. Τὰ κατ' οἰκείωσιν· ὡς τὸ, *Θεέ μου, Θεέ μου, ἵν μ' ἐγκατέλιπες*· καὶ τὸ, *Αὐτὸς ὁ Υἱὸς ὑποτα σεται τῷ Πατρί*. Οὔτε γὰρ ὡς Θεὸς οὔτε ὡς ἄ θρωπος ἐγκατελείφθη ποτὲ ὑπὸ τοῦ Πατρός· οὔ ἁμαρτία, οὔτε κατάρα γέγονεν, οὔτε ὑποταγῆ χρῄζει τῷ Πατρί. Καθὸ μὲν γὰρ Θεὸς ἴσος ἐστὶ Πατρὶ, καὶ οὐδὲ ἐναντίος οὐδὲ ὑποτεταγμένος· κα δὲ ἄνθρωπος οὐδέποτε ἀνήκοος γέγονε τοῦ Γεν τορος. Τὸ ἡμέτερον τοίνυν οἰκειούμενος πρόσωπ καὶ μεθ' ἡμῶν τάσσων ἑαυτὸν, ταῦτα ἔλεγε. δὲ διὰ τὴν κατ' ἐπίνοιαν διαίρεσιν. Ἐὰν γὰρ ἐπινοίᾳ διέλῃς τὰ τῇ ἀληθείᾳ ἀχώριστα, ἤγουν σάρκα ἐκ τοῦ Λόγου, ἡ σὰρξ δούλη ἦν καὶ ἀγ οὖσα· ἀλλὰ διὰ τὴν πρὸς τὸν Θεὸν Λόγον καθ' ὑ στασιν ἕνωσιν οὔτε δούλη ἦν, οὔτε ἠγνόει. Οὕτω Θεὸν ἑαυτοῦ τὸν Πατέρα ἐκάλεσε· τὰ δὲ διὰ τ πρὸς ἡμᾶς φανέρωσίν τε καὶ πίστιν. Ὦ τὸ, Πά τερ, *δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸ κόσμον εἶναι παρὰ σοί*. Αὐτὸς γὰρ δεδοξασμέν ἦν τε καὶ ἐστίν· ἀλλ' ἡμῖν οὐκ ἦν φανερωθεὶς καὶ πιστωθεῖσα ἡ δόξα αὐτοῦ· τὰ δὲ, κατὰ τὴν τ Ἰουδαϊκοῦ προσώπου οἰκείωσιν. Καὶ μετὰ τ Ἰουδαίων ἀριθμῶν ἑαυτόν· ὡς πρὸς τὴν Σαμαρεί φησιν· *Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε*· ἡμ

[1] Joan. xi, 34. [2] Matth. xxvii, 46. [3] I Cor. xv, 28. [4] Joan. 17, 5.

(5) *De fide orthodoxa*, lib. iv, cap. 18, edit. Lequienii, t. I, p. 286. Carptim tamen hæc desum excerptorum auctor.

προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν.

A quinquam tamen nobis claritas ejus patefacta comprobataque erat. Postremo interdum ita loquebatur, tanquam Judæorum personam adscivisset, se in eorum numerum ascribendo; ut cum Samaritanæ ait: *Vos adoratis quod nescitis; nos adoramus quod scimus: quia salus ex Judæis est*[7].

Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ δευτέρου λόγου τοῦ περὶ Υἱοῦ (6).

Sancti Gregorii Theologi ex oratione secunda de Filio.

ε'. Τὸ γὰρ δὴ λέγειν ὅτι τοῦ κατὰ τὸν ἄνθρωπον νοουμένου μείζων, ἀληθὲς μὲν, οὐ μέγα δέ. Τί γὰρ τὸ θαυμαστὸν, εἰ μείζων ἀνθρώπου Θεός;

5. Dicere autem, quod Pater major Christo sit, quatenus hic homo intelligitur; verum id quidem est, haud tamen magnum. Quid enim mirum, si Deus homine major est?

Τοῦ ἁγίου Ἀθανασίου, ἐκ τοῦ διαλεκτικοῦ λόγου, ὃν ἐποιήσατο ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ πρώτῃ μεγάλῃ συνόδῳ πρὸς τὸν Ἄρειον (7).

S. Athanasii ex disputatione quam habuit in sancta prima Nicæna magna synodo adversus Arium.

ς'. Ἀθανάσιος εἶπε· Τίνες οὖν κοπιῶσιν, ἄνθρωποι ἢ ἄγγελοι; Ἄρειος εἶπεν· Ἄγγελοι ἀσώματοι τυγχάνουσι, πρὸς τὸ διακονοῦντας αὐτοὺς καμάτου πεῖραν μὴ λαβεῖν· ἀνθρώπου δὲ τὸ κάμνειν ἴδιον διὰ τὴν τοῦ σώματος βαρεῖαν ὀλκήν. Ἀθανάσιος εἶπεν· Ὁ οὖν Κύριος πῶς ἐκοπίασε; Γέγραπται γάρ· *Ἰησοῦς δὲ κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο.* Ἄρειος εἶπεν· Συνήγαγές με, ὡς ἠθέλησας, ἐκ τοῦ παραδείγματος τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων, ὅτι οὐχ ὡς Θεὸς Λόγος ἐκοπίασεν, ἀλλ' ἵνα φανῇ ὅτι σάρκα, ἣν οὐκ εἶχε πρότερον ὁ Λόγος καὶ Θεὸς, ταύτην ἀνέλαβεν· διὰ τοῦτο τῇ σαρκὶ συνεχώρησε πάσχειν τὰ ἴδια, ἵνα φανῇ ὅτι σάρξ ἐστιν. Ἀθανάσιος εἶπε· Μέμνησο ὅτι προωμολόγηται ὅτι πανταχοῦ πάρεστιν ὁ Λόγος καὶ Θεός. Ἄρειος εἶπεν· Ἀραρότως. Ἀθανάσιος εἶπεν· Εἰ οὖν πανταχοῦ πάρεστι, τίνος ἕνεκεν ἔφασκεν, *Ὁ Πατήρ μου ὁ πέμψας με μείζων ἐστίν*; Ἄρειος εἶπεν· Παρακαλῶ σε, μὴ ὀχνήσῃς ἀποκαλύψαι τὸ κάλυμμα ἀπὸ τοῦ γράμματος ἐν τάχει. Λίαν γὰρ ἀνιῶμαι. Ἀθανάσιος εἶπεν· Τίς ἐστιν ὁ κεκοπιακὼς, ἄνθρωπος, ἢ ὁ Θεὸς Λόγος; Ἄρειος εἶπεν· Ἄνθρωπος. Ἀθανάσιος εἶπεν· Οὐκοῦν σόν ἐστι τὸ νοῆσαι λοιπόν. Ἄρειος εἶπεν· Κατελαβόμην σου τὸν νοῦν ἐν τῷ λόγῳ τούτῳ, ὅτι, τοῦ Θεοῦ Λόγου πανταχοῦ παρόντος, δῆλον ὅτι διὰ τὴν σάρκα εἶπεν, *Ὁ Πατήρ μου ὁ πέμψας με μείζων ἐστίν*, τὴν βαδίζουσαν καὶ κοπιῶσαν, καὶ ἀπὸ τόπου εἰς τόπον ἑτερον πορευομένην. Ἀληθῶς ὀρθῶς ἔχει τοῦτο.

6. Athanasius dixit: Quinam igitur fatigantur; hominesne, an angeli? Arius dixit: Angeli incorporei sunt, ut cum ipsi ministrant, nullum lassitudinis experimentum percipiant. At hominis proprium est fatigari, propter gravem nempe corporis molem. Athanasius dixit: Quomodo ergo fatigatus est Dominus? Scriptum enim est: *Jesus vero fatigatus ex itinere, sedebat*[8]. Arius dixit: Ut voluisti, eo me, angelorum hominumque exemplo, adduxisti, ut fatear Verbum non ut Deum fatigatum esse, sed ut appareret carnem hanc, quam antea Verbum et Deus non habebat, assumpsisse: idcirco carni quæ sibi erant propria pati permisit, ut carnem esse evidens fieret. Athanasius dixit: Memor sis, concessum jam esse Verbum et Deum ubique exsistere. Arius dixit: Recte admodum. Athanasius dixit: Si igitur ubique præsens est, quanam de causa ait: *Pater meus, qui misit me, major me est?* Arius dixit: Obsecro te, ne graveris velum a littera quam cito detrahere. Valde enim angor animo. Athanasius dixit: Quis fatigatus est, homone, an Deus Verbum? Arius dixit: Homo. Athanasius dixit: Tuum igitur jam est intelligere. Arius dixit: Percipio quid tuo hoc responso intelligas, nempe, cum Deus Verbum ubique adsit, prorsus constare ipsum propter carnem dixisse: *Pater meus, qui misit me, major me est*, Caro enim gradiebatur et fatigabatur, et a loco in locum migrabat. Certe id recte se habet.

Τοῦ ἁγίου Ἀμφιλοχίου ἐκ τοῦ κατὰ Ἀρειανῶν λόγου (8).

S. Amphilochii ex sermone adversus Arianos.

ζ'. Διὰ τοῦτο γὰρ πῇ μὲν ἀνηγμένους, πῇ δὲ ταπεινοὺς φθέγγομαι λόγους· ἵνα διὰ μὲν τῶν ὑψηλῶν τοῦ ἐνοικοῦντος λόγου ἀποδείξω τὴν εὐγένειαν, διὰ δὲ τῶν ταπεινῶν τῆς ἐνοικουμένης σαρκὸς γνωρίσω τὰ ἀσθενῆ. Καὶ πάλιν· Πῇ μὲν ἐμαυτὸν ἴσον λέγω τῷ Πατρὶ, πῇ δὲ μείζονα τὸν Πατέρα· οὐ μαχόμε-

7. Idcirco nunc sublimi, nunc humili oratione utor: nempe ut sublimi, inhabitantis Verbi nobilitatem demonstrem; humili autem, comitantis carnis infirmitatem significem. Et iterum: Modo me Patri æqualem, modo Patrem majorem dico: neque ipse mihi repugno, sed me Deum hominemque demon-

[7] Joan. IV, 22 [8] ibid. 6.

(6) Edit. Maurin. t. I, orat. 30, § 7.

(7) Edit. Maurin. t. II, p. 210. Porro vides Græcam sæculi XII synodum agnovisse ut genuinum Athanasii opus, quod postea Maurini aliique critici inter Spuria Athanasiana confidenter collocaverunt.

(8) In S. Amphilochii reliquiis apud Combefisium p. 149 citatur idem hic titulus; sermo vero ipse periit: ita tamen ut particula quædam Vaticani hujus fragmenti occurrat etiam apud prædictum Combefisium, p. 146, cum titulo: *In illud, «Pater major me est.»*

stro; Deum, sublimitate sermonis; hominem, humilitate. Neque tamen cor vestrum turbetur, quia dixi vobis: *Pater meus major me est*; major enim est illo qui ad eum vadit, non illo qui in ipso est; nam quatenus Deus sum, in Patre sum; quatenus autem homo, ad Patrem vado. Illo igitur major Pater est, qui ad ipsum vadit; non illo qui semper in ipso est. Atque ut verba ad compendium conferam, major simul est atque æqualis: major sciscitante: *Quot panes habetis*[9]? æqualis populum universum quinque panibus saturanti: major interrogante: *Ubinam Lazarum posuistis*[10]? æqualis Lazarum jussu suscitanti: major dicente: *Quis me tetigit*[11]? æqualis perpetuum hæmorrhoissæ fluxum sistenti: major dormiente in puppe, æqualis mari increpanti: major eo quem damnavit Pilatus; æqualis ei qui mundum damnatione liberat: major eo qui alapam crucemque sustinuit cum latronibus; æqualis ei qui latronem gratis justificavit: major eo qui veste nudatus fuit; æqualis ei qui animam ornat: major eo cui propinatur acetum; æqualis ei qui proprium sanguinem ex vino facit: major eo qui dissolutionem templi (id est corporis sui) passus est; æqualis ei qui suum templum (id est corpus) suscitavit; illo, inquam, major, huic æqualis. Et iterum. Haud pluribus verbis vos morabor. Cernis, hæretice, quonam major sit Pater, eo nimirum qui ait: *Jam plura vobiscum non loquar*[12]; non eo qui dicit: *Non relinquam vos orphanos*[13]; etenim *vobiscum sum cunctis diebus usque ad sæculi consummationem*[14]. — *Venit princeps hujus mundi, neque in me quidquam invenit*[15]. Cernis quonam sit major; ille scilicet qui coram principibus damnatus fuit, non eo qui mundum fecit. *Surgite eamus hinc*[16]. Quonam major est Pater? nempe dicente: *Eamus*; non dicente, *Habitabo vobiscum et inambulabo*[17,18]. — *Ego sum vitis vera*[19]; cernis quonam major sit Pater nimirum dicente: *Ego sum vitis*; non dicente: Ego veram vitem plantavi.

S. Cyrilli ex homilia in Ramos Palmarum.

8. Sed quamvis rationalis natura nostra personaliter Verbo unita fuit, non tamen est æquata. Qui enim fieri potest, ut temporale exæquetur æterno; id quod habuit initium, ei quod sine initio est? Et paulo post: Quomodo inquit: *Ego et Pater, unum sumus*? ob cœlestem scilicet ante sæcula nativitatem. Quomodo *Pater meus major me est*? ob terrenum ex Virgine ortum.

Ejusdem ex sermone ad reginas.

9. At quomodo is angelis minor evasit, qui ab illis adoratur, unaque cum Patre regni solium ob-

[9] Matth. xv, 34. [10] Joan. xi, 34. [11] Marc. v, 31. 20. [12] Joan. xiv, 30. [13] ibid. 31. [14,15] Levit. xxvi, 12. [16] Joan. xiv, 30. [17] ibid. 18. [18] Matth. xxv

(9) Notemus de eucharistica transsubstantiatione testimonium catholicum ecclesiastici Patris valde nobilis, qui sæculo quarto post Christum florebat.

(10) Edit. Paris. t. V, part. II, p. 497, 498.

(11) Edit. cit. t. V, part. II, p. 133. D.

νος ἐμαυτῷ, ἀλλὰ δεικνὺς ὡς Θεός εἰμι καὶ ἄνθρωπος· Θεὸς μὲν ἐκ τῶν ὑψηλῶν, ἄνθρωπος δὲ ἐκ τῶν ταπεινῶν. Ἀλλὰ μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, ὅτι εἶπον ὑμῖν, *Ὁ Πατήρ μου μείζων μού ἐστι*· μείζων γάρ ἐστι τοῦ πορευομένου πρὸς αὐτὸν, οὐ τοῦ ὄντος ἐν αὐτῷ· ὡς γὰρ Θεός εἰμι ἐν τῷ Πατρί· ὥστε ὡς ἄνθρωπος πορεύομαι πρὸς τὸν Πατέρα. Ἐκείνου οὖν μείζων ὁ Πατὴρ, τοῦ πορευομένου πρὸς αὐτὸν, οὐ τοῦ ἀεὶ ὄντος ἐν αὐτῷ· καὶ ἵνα συντόμως εἴπω, μείζων ἐστὶ καὶ ἴσος· ἴσος τοῦ ἐκ πέντε ἄρτων δῆμον ὁλόκληρον κορεννύντος· μείζων τοῦ ἐρωτῶντος, *Ποῦ τὸν Λάζαρον τεθείκατε*; ἴσος τοῦ τὸν Λάζαρον ἀνιστῶντος λόγῳ· μείζων τοῦ λέγοντος, *Τίς μου ἥψατο*; ἴσος τοῦ τὰς ἀκενώτους πηγὰς τῆς αἱμορροούσης ξηράναντος· μείζων τοῦ καθεύδοντος ἐπὶ τῇ πρύμνῃ· ἴσος τοῦ ἐπιτιμῶντος τῇ θαλάσσῃ· μείζων τοῦ κρινομένου ἐπὶ Πιλάτου· ἴσος τοῦ κόσμου ἐλευθεροῦντος τὸν κόσμον· μείζων τοῦ βαπτιζομένου, μείζων τοῦ συσταυρουμένου λῃσταῖς· ἴσος τοῦ τὴν λῃστὴν δικαιοῦντος δωρεάν· μείζων τοῦ γυμνουμένου τὴν ἐσθῆτα· ἴσος τοῦ στολίζοντος τὴν ψυχήν· μείζων τοῦ ποτιζομένου ὄξος· ἴσος τοῦ οἰκεῖον οἰνοχοοῦντος αἷμα (9)· μείζων τοῦ λυομένου ναοῦ· ἴσος τοῦ καὶ μετὰ τὴν λύσιν τὸν οἰκεῖον ἐγείραντος ναόν· ἐκείνου μείζων, τούτου ἴσος. Καὶ πάλιν· *Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν*. Ὅρᾳς, ῥητορικὲ, τίνος μείζων ἐστὶν ὁ Πατὴρ, τοῦ λέγοντος, *Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν*· οὐ τοῦ λέγοντος· *Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς*· *μεθ' ὑμῶν* γάρ *εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας*. — *Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν*. Ὅρᾳς τίνος ἐστὶ μείζων, τοῦ κρινομένου ἐπ' ὄψεσιν ἀρχόντων, οὐ τοῦ ποιήσαντος τὴν οἰκουμένην· *Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν*· ὑπὲρ τίνος ἐστὶ μείζων ὁ Πατὴρ, τοῦ λέγοντος Ἄγωμεν, οὐ τοῦ λέγοντος· *Ἐνοικήσω ἐν ὑμῖν καὶ ἐμπεριπατήσω*. — *Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή*. Ὅρᾳς τίνος ἐστὶ μείζων ὁ Πατὴρ, τοῦ λέγοντος *Ἐγώ εἰμι ἡ ἄμπελος*· οὐ τοῦ λέγοντος, Ἐγὼ ἐφύτευσα ἄμπελον ἀληθινήν.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ εἰς τὰ Βάια Λόγου (10).

ηʹ. Ὅμως, εἰ καὶ ἡνώθη καθ' ὑπόστασιν τῷ Λόγῳ ἡ λογικὴ ἡμῶν φύσις, ἀλλ' οὐκ ἰσώθη· Πῶς γὰρ ἰσωθήσεται τῷ προαιωνίῳ τὸ πρόσφατον; ἢ πῶς ὁμοιωθήσεται τῷ ἀνάρχῳ τὸ ἔναρχον; Καὶ μετ' ὀλίγα· Πῶς φησίν· *Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν*; τῇ δὲ πρὸ αἰώνων γεννήσει, Πῶς, *Ὁ Πατήρ μου μείζων μού ἐστι*; τῇ κάτω ἐκ Παρθένου γεννήσει.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὰς βασιλίσσας Λόγου (11).

θʹ. Πῶς οὖν ἠλάττωται παρὰ τοὺς ἀγγέλους, πρὸς αὐτῶν προσκυνούμενος, ὁ σύνεδρος Πατρὶ

Ἀλλ' ἔστι σαφὴς ἡ πρόφασις· καθίκετο γὰρ ἐν τοῖς A tinet? In promptu est responsio: Nam corpore, τῆς ἀνθρωπότητος μέτροις, καὶ τὸ ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν, ἴδιόν τε αὐτὸ ποιησάμενος, ἐν αὐτῷ πέπονθε ἑκὼν, καὶ ταῖς ἀνωτάτω δόξαις στεφανοῦται διὰ τὸ πάθος, ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον, καὶ ἄπρακτον ἀποφήνας τὴν φθοράν· ἅτε δὴ καὶ ὑπάρχων ἀφθαρσία καὶ ζωή. Ὅταν οὖν Ἰησοῦν ὀνομάζῃ, καὶ ἠλαττῶσθαι λέγῃ παρὰ τοὺς ἀγγέλους αὐτὸν, οὐκ ἄνθρωπον ἁπλῶς μέρος καὶ ἰδικῶς, ἀλλ' αὐτὸν νοοῦμεν τὸν Μονογενῆ, παραχωροῦντα τοῦ προὔχειν οἰκονομικῶς τοῖς ἁγίοις ἀγγέλοις· ὅτι ἀληθείᾳ γέγονεν ἄνθρωπος ὁ τῆς ἐκείνων ὑπεροχῆς ἠττώμενος· τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἁγίοις ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς, καὶ τοῦ τεθνάναι κρείττους εἰσί· γεγονότος ἐν τούτοις τοῦ Υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν. Ἀλλ' ὁ βραχὺ παρ' ἀγγέλους B ἠλαττωμένος, διά γε τὸ τῆς ἀνθρωπότητος μέτρον, ἐν ὑπεροχῇ θεότητος ὤν, προσκυνεῖται παρ' αὐτῶν, καὶ ἐνίδρυται θώκοις, οὓς περιστᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ, καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες Κύριον.

quod mori posset, assumpto, ad humanæ naturæ infirmitates se ipsum demisit, in eoque veluti proprio spontaneam mortem sustinuit. Ob eam porro mortem et passionem, summæ gloriæ coronam promeruit; quippe qui ipsa vita et incorruptio est, et mortem abolevit, et corruptionem omni vi spoliavit. Cum Jesum ergo nominat, et angelis minorem prædicat, non simpliciter nos hominem, seorsumque ac per se positum, mente concipere oportet; sed ipsummet Unigenitum propter incarnationis ordinem potiores partes angelis deferentem. Nam qui excellentiæ illorum cedere prædicatur, is vere homo factus dignoscitur. Illa autem sanctorum angelorum eminentia in hoc præcipue posita est, et quod carne sunt immunes, et quod morti non sunt obnoxii: his autem infirmitatibus propter voluntariam exinanitionem subjectus fuit Filius. Verum enimvero, qui propter humanæ naturæ conditionem paululum infra angelos minoratus dicitur [30], is in deitatis excellentia exsistens, ab illis adoratur, considetque in iis majestatis thronis, quos illi venerabundi undequaque cingunt, indefesso laudum præconio illum extollentes, ac virtutum Dominum appellantes.

Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου κατὰ Ἀρείου, καὶ εἰς τὸν Εὐαγγελισμὸν, οὗ ἡ ἀρχὴ, « Τῇ προτέρᾳ Κυριακῇ » (12).

S. Joannis Chrysostomi contra Arium, et in Annuntiationem Deiparæ, homilia quæ incipit: « Præcedente Dominica. »

ι'. Ἐὰν εἴπῃ· Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, αὐτοῦ ἀκούετε· ἐὰν εἴπῃ· Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα, αὐτοῦ ἀκούετε· οὐ γὰρ δὴ ψεύδεται ἡ Ἀλήθεια· ἐὰν εἴπῃ· Ὁ πέμψας με Πα- C τὴρ μείζων μου ἐστὶ, τοῦτο μὴ θροήσητε· οὐ γὰρ θεότητα πρὸς θεότητα λέγει, ἀλλ' ὅτι θεότης τῆς ἀνθρωπότητος μείζων· πρὸς τὸ μεῖζον τὸ ἔλαττον ἁρμόζεται.

10. Si dixerit: Ego et Pater unum sumus, ipsum audite. Si dixerit: *Ego in Patre et Pater in me est*, ipsum audite. Si dixerit: *Qui vidit me, vidit Patrem*, ipsum audite; Veritas enim non mentitur. Si dixerit: *Qui misit me Pater, major me est*, id vos ne terreat: neque enim divinitatem divinitati opponit; sed ait divinitatem majorem humanitate; res minor ad majorem refertur.

Τοῦ αὐτοῦ ἐκ τῶν ἑρμηνειῶν τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς (13).

Ejusdem ex interpretatione Epistolæ ad Hebræos.

ια'. *Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον*, φησὶ, *βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου*. Εἶτα χρηστὰ πάλιν, *Δόξῃ καὶ τιμῇ ἐστεφανωμένον*. Εἶδες, πῶς αὐτῷ πάντα ἥρμοσε; Τὸ γὰρ *βραχὺ* τίνι ἂν ἢ αὐτῷ ἁρμόσειε μᾶλλον τῷ τριῶν ἡμέρας ἐν ᾅδῃ γενομένῳ μόνα; Ἀλλ' οὐχ ἡμῖν τοῖς ἐπιπολὺ φθειρομένοις. Εἶτα πάλιν παρακατιὼν λέγει· Εἰ γὰρ ὁ προσκυνούμενος ὑπ' ἀγγέλων, φησὶν, ἠνέσχετο βραχύ τι παρ' ἀγγέλων ἔχειν D διὰ σὲ, πολλῷ μᾶλλον σὺ, ὁ τῶν ἀγγέλων ἐλάττων, πάντα φέρειν ὀφείλεις.

11. *Aliquantulum infra angelos minoratum videmus*, inquit, *Jesum propter mortis passionem* [31]. Deinde rursus bona adjecit: *Gloria et honore coronatum* [32]. Viden' ut cuncta ad hominem accommodavit? Nam illud *aliquantulum*, cuinam magis quam ei congruerit qui tres tantummodo dies in inferis mansit? Certe nobis haudquaquam qui ad longum tempus corrumpimur. Deinde progrediens ait: Nam si is qui adoratur, inquit, ab angelis, sustinuit quiddam minus habere quam angeli propter te, multo magis tu qui es minor angelis, debes omnia propter ipsum perferre.

Ἐκ τῆς ὁμιλίας τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου εἰς τό· « Ὁ ἀποστείλας με Πατὴρ μείζων μού ἐστι » (14).

Ex homilia sancti Amphilochii episcopi Iconiensis in illud: « Qui misit me Pater, major me est. »

ιβ'. Εἰπὲ κατὰ ποῖον λόγον λέγεις τὸν Πατέρα

12. Dic mihi quonam sensu ais Patrem Filio

[30] Hebr. II, 9. [31] ibid. [32] ibid.

(12) Hanc homiliam inter Spurias collocat Montfauconius, t. XI, p. 858. At Græci certe sub Manuele Comneno genuinam existimabant.

(13) Edit. Montf. t. XII, homil. IV, p. 41 A.

(14) Titulus hic exstat apud Combefisium, p. 145. Verum ipsa materia codicis Vaticani est inedita. Imo vero idem sermo videtur, qui supra dicitur *contra Arianos*. Etenim locus apud nos (col. 209) citatus dicitur apud Combefisium ex sermone in illud: *Pater major me est.*

majorem? Haud ego, inquit, dico, sed dicenti credo. Ipsemet enim ait : *Qui misit me Pater, major me est.* Si dicenti credis, jam tu a contentione desiste, et ego quoque linguam cohibebo, ipsique Filio permittamus proprii sermonis interpretationem. Ain ergo, Domine, cur modo dicis : *Ego et Pater unum sumus;* modo autem : *Qui misit me Pater, major me est?* Si major, quomodo æqualis? si æqualis, quomodo major? Ego, inquit, utrumque affirmo : nam et major me est, et mihi æqualis : nempe secundum divinitatem, æqualis; secundum incarnationem, major. Ego æqualis illi sum, quatenus ab eo genitus : major ille me est, quatenus ego ex Virgine natus sum.

A μείζονα τοῦ Υἱοῦ; Οὐκ ἐγὼ, φησὶ, λέγω, ἀλλὰ τ λέγοντι πείθομαι· οὗτος γὰρ ἐστιν ὁ εἰπών· Ὁ ἀποστείλας με Πατὴρ μείζων μού ἐστιν. Εἰ τ λέγοντι πείθῃ, παῦσον καὶ σὺ τὴν μάχην, κἀγὼ στελῶ τὴν γλῶσσαν· καὶ δῶμεν τῷ Υἱῷ τὸν ἰ κεῖον λόγον ἑρμηνεῦσαι. Εἰπὲ γοῦν, Δέσποτα, διατ ποτὲ μὲν λέγεις· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ποτὲ δὲ, Ὁ ἀποστείλας με Πατὴρ μείζων μ ἐστιν; Εἰ μείζων, πῶς ἴσος; εἰ ἴσος, πῶς μείζων; Τὰ δύο λέγω· ἐπειδὴ καὶ μείζων μου ἐστὶ καὶ ἴσος κατὰ τὴν θεότητα ἴσος, κατὰ τὴν οἰκονομίαν μείζω Ἴσος αὐτοῦ εἰμι, ἐπειδὴ ἐξ αὐτοῦ ἐγεννήθην· μ ζων μου ἐστὶν, ἐπειδὴ ἐκ τῆς Παρθένου ἐγεννή θην.

Ex epistola S. Leonis papæ Romani, quæ dicitur columna rectæ fidei.

13. Ita non ejusdem naturæ est dicere : *Ego et Pater unum sumus;* et dicere : *Pater major me est.* Quamvis enim in Domino Jesu Christo Dei et hominis una persona sit; aliud tamen est, unde in utroque communis est contumelia, aliud unde communis est gloria. De nostro enim illi est minor Patre humanitas; de Patre illi est æqualis cum Patre divinitas

B Ἀπὸ τῆς ἐπιστολῆς τοῦ ἁγίου Λέοντος πάπα Ῥώμης τῆς λεγομένης στήλης ὀρθοδοξίας (15).

ιγ'. Οὕτως οὐ τῆς αὐτῆς ἐστι φύσεως τὸ λέγειν Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ τὸ λέγειν Ὁ Πατήρ μου μείζων μου ἐστιν· εἰ καὶ τὰ μάλιστ γὰρ ἐν τῷ Δεσπότῃ Ἰησοῦ Χριστῷ, τοῦ Θεοῦ κ τοῦ ἀνθρώπου ἓν ἐστι πρόσωπον, ὅμως ἕτερόν ἐστ ἐκεῖνο ἐξ οὗ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως καὶ ἕτερον, ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν ἐξ ἡμῶν μὲν γάρ ἐστιν αὐτῷ ἡ ἐλάσσων τοῦ Πατρὸ ἀνθρωπότης· ἀπὸ δὲ τοῦ Πατρός ἐστιν αὐτῷ ἡ μετ τοῦ Πατρὸς ἴση θεότης.

S. Anastasii capitulum septimum ex sexdecim adversus Monophysitas.

14. Qui philosophice vel potius insipienter aiunt carnem factam esse divinam æquatamque Dei Verbo, dicant nobis utrum haud contrectabilis quoque, invisibilis, et incircumscripta post conjunctionem cum Dei Verbo caro evaserit. Quod si ita est, incarnatio quidem nihil aliud nisi phantasia spectrumque est. Sin vero has qualitates non habet, quomodo æquata est incircumscripto atque invisibili?

C Ἐκ τῶν δεκαὲξ κεφαλαίων τῶν κατὰ τῶν Μονοφυσιτῶν τοῦ ἁγίου Ἀναστασίου τὸ ἕβδομον.

ιδ'. Οἱ φιλοσόφως, μᾶλλον δὲ ἀσόφως λέγοντες ἐν ἀπεθεώθη καὶ ἰσώθη ἡ σὰρξ τῷ Θεοῦ Λόγῳ, εἰπάτω ἡμῖν εἰ ἄρα καὶ ἀψηλάφητος καὶ ἀόρατος καὶ ἀπερίγραπτος μετὰ τὴν ἕνωσιν ἡ σὰρξ τῷ Θεῷ Λόγ Εἰ δὲ τοῦτο, φαντασία πάντως· καὶ δόκησις ἡ οἰκ νομία· εἰ δ' οὐ ταῦτα ἔσχεν ἡ σὰρξ, πῶς ἰσώθη τ ἀπεριγράπτῳ (16);

S. Gregorii Nysseni ex sermone de divinitate Filii sanctique Spiritus, et de Abrahamo.

15. Cum igitur Verbum dicit, *se non posse facere*, perspicuum est non deitati unigeniti Filii impotentiam attribuere; sed imbecillitatem nostræ naturæ impotentem esse testari. Infirma autem caro est, quemadmodum scriptum est : *Spiritus quidem promptus est, caro autem infirma* [18]. Ergo per utraque verum dicit divina Scriptura, dum et majorem Patrem confitetur, et æqualem Filium non negat; nam ubi Verbum humanam spectat naturam, eum qui non cernitur, majorem eo dicit esse qui per carnem cernebatur : sed ubi mentem ad divinitatem ducit, desinit hæc majoris et minoris comparatio; proque his unitas prædicatur : *Ego et Pater unum sumus.* At ea quæ per inæqualitatem variant, unum esse non possunt.

D Τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης ἐκ τοῦ λόγ αὐτοῦ τοῦ περὶ θεότητος Υἱοῦ καὶ ἁγίου Πν ματος καὶ εἰς τὸν Ἀβραάμ (17).

ιε'. Ὅταν οὖν ἀποφαίνηται ὁ λόγος ὅτι οὐ δύνα ποιεῖν, δῆλον ὅτι οὐχὶ τῇ θεότητι τοῦ Μονογενο τὴν ἀδυναμίαν προστίθησιν, ἀλλὰ τῇ ἀσθενείᾳ τ ἡμετέρας φύσεως προσμαρτυρεῖ τὸ ἀδύνατον. Ἀ σθενὴς δὲ ἡ σὰρξ, καθὼς γέγραπται, ὅτι· Τὸ μ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· οὕτω δι' ἀμφοτέρων ἀληθεύει ἡ θεία Γραφὴ, καὶ τὸ μεί ζον ὁμολογοῦσα, καὶ τὸ ἴσον μὴ ἀρνουμένη· ὅτ γὰρ πρὸς τὸ ἀνθρώπινον ὁ λόγος βλέπῃ, μείζονα ὁ μολογεῖ τοῦ διὰ σαρκὸς ὁρωμένου τὸν μὴ ὁρώμενο ὅταν δὲ πρὸς τὸ θεῖον χειραγωγῇ τὴν διάνοιαν, ἀ γεῖ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος ἡ συγκριτικ αὕτη ἀντιπαράθεσις· καὶ ἀντὶ τούτου ἑνότης κηρύ τεται· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Τὰ δὲ ἐπ ηλλαγμένα κατὰ τὸ ἄνισον, ἓν εἶναι οὐ δύναται.

[18] Matth. xxvi, 41.

(15) Edit. Ballerin. t. I, p. 823.

(16) His sæpe similia sunt in *Hodego* apud Anastasium, præsertim cap. 13.

(17) Edit. Paris. t. III, p. 471 C.

Τοῦ ἁγίου Αὐγουστίνου. A

— ις'. Ἐπίγνωθι τὴν διττὴν φύσιν τοῦ Χριστοῦ· τὴν θείαν δὴ λέγω, τὴν ἴσην ὑπάρχουσαν τῷ Πατρί· καὶ τὴν ἀνθρωπείαν, ἧς μείζων ἐστὶν ὁ Πατήρ (18).

Τοῦ Δαμασκηνοῦ κεφ. ρ' (19).

ιζ'. Καὶ σεσάρκωται τοίνυν ὁ Λόγος, καὶ τῆς οἰκείας ἀϋλότητος οὐκ ἐξέστηκε· καὶ ὅλος σεσάρκωται, καὶ ὅλος ἐστὶν ἀπερίγραπτος· σμικρύνεται σωματικῶς καὶ συστέλλεται, καὶ θεϊκῶς ἐστιν ἀπερίγραπτος, οὐ συμπαρεκτεινομένης τῆς σαρκὸς αὐτοῦ τῇ ἀπεριγράπτῳ αὐτοῦ θεότητι. Ὅλος μὲν οὖν ἐστι Θεὸς τέλειος, οὐχ ὅλον δὲ Θεός· οὐ γὰρ μόνον Θεὸς, ἀλλὰ καὶ ἄνθρωπος· καὶ ὅλος τέλειος ἄνθρωπος· οὐχ ὅλον δὲ ἄνθρωπος· οὐ μόνον γὰρ ἄνθρωπος, ἀλλὰ καὶ Θεός.

S. Augustini.

16. Agnosce geminam substantiam Christi; divinam scilicet, qua æqualis est Patri; humanam, qua major est Pater.

Damasceni capitulum centesimum.

17. Et caro igitur Verbum factum est, et naturam suam materia expertem non amisit. Totum incarnatum est et totum est incircumscriptum. Minuitur corporaliter et contrahitur, divinitus autem manet infinitum: neque vero ejus caro extenditur ad ejusdem divinitatis infinitatem. Totus igitur est Deus perfectus; neque tamen ejus universitas est Deus; non enim tantummodo est Deus, verum etiam homo. Totus perfectus est homo; non tamen ejus universitas est homo: neque enim tantummodo est homo, verum etiam Deus. B

Ἐκ τοῦ πρώτου βιβλίου τῶν Θησαυρῶν τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ ἑνδεκάτου κεφαλαίου (20).

ιη'. Ὅταν λέγῃ Χριστὸς ἑαυτοῦ τὸν Πατέρα μείζονα, ἔσται πάλιν τῇ ἀνθρωπότητι πρέπων ὁ λόγος, οὐ τῆς θείας οὐσίας αὐτοῦ κατηγόρημα, ὡς ἐν ἐλάττοσι κειμένης, ἢ ἐν οἷς ἐστιν ὁ γεννήσας αὐτόν. Καὶ πάλιν προϊών· Ἴσος ἄρα τῷ Πατρὶ καὶ ὁμοούσιος ὁ Υἱός. Οἰκονομικῶς δὲ εἰρῆσθαι πιστεύομεν ἐπὶ τοῦ Πατρὸς τὸ μεῖζον. Ὅταν γὰρ ἐνανθρωπήσας φαίνεται, τότε καὶ τοῦτό φησιν ὡς ἄνθρωπος.

Ex primo libro Thesaurorum S. Cyrilli, cap. XI.

18. Cum Christus dicit, Patrem majorem se esse, sermo hic humanitati illius convenit, non autem divinam ejusdem essentiam lædit, quasi inferior sit Genitore suo. Et infra: Æqualis igitur est et consubstantialis Patri Filius. Incarnationis vero causa credimus Patrem majorem a Filio vocatum. Cum enim humanitatem assumpsit tum etiam ut homo hoc dixit.

Τοῦ αὐτοῦ ἐν ἑβδόμῳ τῶν πρὸς Ἑρμείαν λόγῳ. C

ιθ'. Ἀνθρωπότητι γὰρ καθ' ἕνωσιν οἰκονομικὴν ἀπορρήτως συνενηγμένος ὁ ἐκ Θεοῦ Λόγος νοεῖται Χριστός· ἀνωτέρω μὲν ἀνθρωπότητος, ὡς φύσει Θεὸς καὶ Υἱός· ὑφιζάνων δέ τι βραχὺ τοῦ ἐν δόξῃ θεοπρεποῦς, ὡς ἄνθρωπος. Τοιγάρτοι ποτὲ μὲν ἔφασκεν· *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.* Καὶ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν.* Ποτὲ δὲ αὖ πάλιν, *Ὁ Πατήρ μου μείζων μου ἐστιν.*

Ejusdem in septimo sermonum ad Hermiam.

19. Humanitati per nexum hypostaticum ineffabiliter conjunctum Dei Verbum, Christus intelligitur: superior quidem humanitate, utpote natura Deus et Filius: minoratus autem aliquantum infra gloriam Deo dignam, utpote homo. Quamobrem modo dixit: *Qui vidit me, vidit Patrem.* Item: *Ego et Pater unum sumus.* Modo autem: *Pater meus major me est.*

Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ πρώτου τοῦ περὶ Υἱοῦ Λόγου (21).

κ'. Σὺ δέ μοι καταρίθμει πρὸς ταῦτα τὰ τῆς ἀγνωμοσύνης ῥήματα· τὸ, *Θεός μου καὶ Θεὸς ὑμῶν*· τὸ, *μείζων*· τὸ, *ἔκτισε*· τὸ, *ἡγίασε*. Καὶ μετ' ὀλίγα· Τούτων γὰρ ἕκαστον οὐ χαλεπὸν καὶ κατὰ μέρος ἐπεξιόντα ἐξηγεῖσθαί τοι πρὸς τὸ εὐσεβέστατον καὶ ἀναιρεῖν τὸ ἐν τοῖς γράμμασι προσκομμα· εἰ γε προσπταίεις ὄντως, ἀλλὰ μὴ ἑκὼν κακουργεῖς. Ἑνὶ δὲ κεφαλαίῳ τὰ μὲν ὑψηλότερα πρόσαγε τῇ θεότητι καὶ τῇ κρείττονι φύσει παθῶν καὶ σώματος, τὰ δὲ ταπεινότερα, τῷ συνθέτῳ καὶ τῷ διὰ σὲ κινωθέντι καὶ σαρκωθέντι.

Ejusdem ex eodem sermone.

20. Tu vero mihi illas vecordium hominum voces enumera: *Deus meus et Deus vester*, et *major*, et *creavit*, et *sanctificavit*. Et paulo infra: Hæc enim singula sigillatim persequi, ploque sensu explicare, minime difficile est; atque offendiculum illud, quod in litteris exsistit, removere; si modo vere offendis, et non potius de industria peccas. Ut autem summatim dicam, tu quidem sublimiora dicta divinitati, passionibusque et corpore experti naturæ, attribue; humiliora autem composito homini tuique causa exinanito et incarnato. D

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ Λόγου.

κα'. Τίς οὖν ἀντερεῖ λόγος κτίσμα μὲν λέγεσθαι

Ejusdem ex eodem sermone.

21. Quænam ergo ratio vetat, quominus creaturam

(18) Vestiganti mihi occurrit hic locus apud Aug. in Joan. tract. LXXVIII, 3. Ibi tamen est *agnoscamus*, non *agnosce*.

(19) In editione Lequienii, *De fid. orth.* lib. III, cap. 7, t. I, p. 215.

(20) Edit. cit. t. V, part. I, p. 85, A, et p. 86 B.

(21) Edit. Maurin, t. I, orat. 29, § 18.

Sapientiam dicamus secundum terrestrem nativitatem ; Filium autem secundum primam magisque incomprehensibilem ?

A τὴν Σοφίαν κατὰ τὴν κάτω γέννησιν, γέννημα δὲ κατὰ τὴν πρώτην καὶ πλέον ἄληπτον ;

S. Joannis Damasceni ad eos qui rogant, sitne Christi persona creata, an increata.

Τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ πρὸς τοὺς λέγοντας, ἡ ὑπόστασις τοῦ Χριστοῦ κτιστὴ ἢ ἄκτιστος· Κεφ. ρκζ' (22).

22. Dei Verbi persona, ante carnem assumptam simplex erat, nec composita, corpore expers, et increata. Ex quo autem carnem suscepit, carni quoque persona facta est, compositaque evasit ex divinitate, quam nunquam non habuit, et ex carne quam assumpsit : geritque adeo duplicis naturæ proprietates, utpote quæ in duabus naturis noscitur. Quo fit ut una eademque persona et divinitatis ratione increata sit, et creata ratione humanitatis ; visibilis simul et invisibilis. Nam alioqui in B eas angustias adducemur, ut vel unum eumdemque Christum dividamus, duas personas asserendo ; vel naturarum distinctionem inficiantes, conversionem aut confusionem inducamus.

κβ'. Ἡ ὑπόστασις τοῦ Θεοῦ Λόγου πρὸ τῆς σαρκώσεως ἁπλῆ ἦν καὶ ἀσύνθετος καὶ ἀσώματος καὶ ἄκτιστος. Σαρκωθεῖσα δὲ αὕτη γέγονε καὶ τῇ σαρκὶ ὑπόστασις· καὶ γέγονε σύνθετος ἐκ θεότητος, ἣν εἶχεν ἀεί, καὶ ἐξ ἧς προσεῖληφε σαρκός· καὶ φέρει τῶν δύο φύσεων τὰ ἰδιώματα, ἐν δυσὶ γνωριζομένη ταῖς φύσεσιν. Ὥστε καὶ αὐτὴ μία ὑπόστασις, ἀκτιστός τέ ἐστι τῇ θεότητι, καὶ κτιστὴ τῇ ἀνθρωπότητι, ὁρατή τε καὶ ἀόρατος. Ἐπεὶ ἀναγκαζόμεθα διαιρεῖν τὸν ἕνα Χριστὸν, δύο τὰς ὑποστάσεις λέγοντες, ἢ τὴν τῶν φύσεων ἀρνεῖσθαι διαφοράν· καὶ τροπὴν εἰσάγειν καὶ σύγχυσιν.

Ejusdem capitulum CVI, *de naturarum proprietatibus.*

Τοῦ αὐτοῦ κεφάλαιον ρς' περὶ τῶν ἰδιωμάτων τῶν φύσεων (23).

23. Eumdem porro Dominum nostrum Jesum Christum, et perfectum Deum, et perfectum hominem prædicantes, hoc profitemur, eumdem et omnia habere, quæ Pater habet, excepta ingeniti proprietate ; et omnia item, quæ primus Adam, excepto solo peccato, hoc est, corpus et animam ratione et intelligentia præditam : quin habere etiam eum, uti duabus naturis consentaneum est, C duplices naturarum duarum naturales proprietates ; hoc est, duas naturales voluntates, divinam et humanam : duas item naturales operationes, divinam et humanam ; duas naturales arbitrii libertates, divinam et humanam : ac denique sapientiam et scientiam duplicem, divinam et humanam. Nam cum ejusdem ac Pater substantiæ sit, libere vult et agit ut Deus : rursus cum consubstantialis sit nobis, libere item vult et agit, ut homo. Ipsius enim miracula sunt, ipsius quoque passiones.

κγ'. Τέλειον δὲ Θεὸν ὁμολογοῦντες τὸν αὐτὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τέλειον ἄνθρωπον, φαμὲν τὸν αὐτὸν πάντα ἔχειν ὅσα ὁ Πατὴρ, πλὴν ἀγεννησίας· καὶ πάντα ἔχειν ὅσα ὁ Ἀδὰμ ὁ πρῶτος δίχα μόνης τῆς ἁμαρτίας· ἅτινά ἐστι σῶμα καὶ ψυχὴ λογικὴ τε καὶ νοερά· ἔχειν δὲ αὐτὸν καταλλήλως ταῖς δυσὶ φύσεσι διπλᾶ τὰ τῶν δύο φύσεων φυσικὰ ἰδιώματα· δύο θελήσεις φυσικὰς, θείαν τε καὶ ἀνθρωπίνην· καὶ ἐνεργείας δύο φυσικὰς, τὴν τε θείαν καὶ τὴν ἀνθρωπίνην· καὶ αὐτεξούσια δύο φυσικὰ, θεῖόν τε καὶ ἀνθρώπινον· καὶ σοφίαν καὶ γνῶσιν, θείαν τε καὶ ἀνθρωπίνην. Ὁμοούσιος γὰρ ὢν τῷ Θεῷ καὶ Πατρὶ, αὐτεξουσίως θέλει καὶ ἐνεργεῖ ὡς Θεός· ὁμοούσιος δὲ καὶ ἡμῖν, αὐτεξουσίως θέλει καὶ ἐνεργεῖ ὡς ἄνθρωπος ὁ αὐτός. Αὐτοῦ γὰρ τὰ θαύματα, αὐτοῦ καὶ τὰ παθήματα.

Ex secunda S. Leonis papæ Romani ad Leonem imperatorem epistola, cujus est inscriptio : «Gloriosissimo et tranquillissimo filio Augusto Leoni, Leo episcopus.»

Ἐκ τῆς δευτέρας ἐπιστολῆς τοῦ ἁγίου Λέοντος πάπα Ῥώμης πρὸς Λέοντα τὸν βασιλέα, ἧς ἡ ἐπιγραφὴ, « Τῷ ὑπερενδοξοτάτῳ καὶ γαληνοτάτῳ υἱῷ Αὐγούστῳ Λέοντι, Λέων ἐπίσκοπος (24). »

D

24. In vero Dei atque hominis Filio, Verbi et carnis una persona est, quæ inseparabiliter atque indivise communes habet actiones. Intelligendæ tamen sunt ipsorum operum qualitates, et sinceræ fidei contemplatione cernendum est, ad quæ provehatur humilitas carnis, et ad quæ inclinetur altitudo deitatis : quid sit quod caro sine Verbo non agit, et quid sit quod Verbum sine carne non efficit ? Sine Verbi enim potentia nec conciperet Virgo nec pareret ; et sine veritate carnis obvoluta pannis infantia non jaceret. Sine Verbi potentia non adorarent Magi puerum, stella indice declaratum ; et

κδ'. Τῷ ἀληθεῖ τοῦ Θεοῦ καὶ ἀνθρώπου Υἱῷ τοῦ τε Λόγου καὶ τῆς σαρκὸς ἓν ὑπάρχει πρόσωπον, ὅπερ ἀχωρίστως καὶ ἀδιαιρέτως κοινὰς ἔχει τὰς πράξεις. Δεῖ νοεῖν ὅμως αὐτῶν τῶν ἔργων τὰς ποιότητας· καὶ τῇ κατανοήσει τῆς εἰλικρινοῦς πίστεως δεῖ καθορᾶν, ἐπὶ ποῖα μὲν ἡ τῆς σαρκὸς προάγεται ταπεινότης, ἐπὶ ποῖα δὲ τὸ ὕψος τῆς θεότητος ἐπικλίνεται· καὶ τί μὲν ἐστιν, ὅπερ ἡ σὰρξ οὐ πράττει δίχα τοῦ Λόγου· τί δὲ εἴη ὅπερ ὁ Λόγος χωρὶς τῆς σαρκὸς οὐκ ἐργάζεται. Δίχα μὲν γὰρ τῆς τοῦ Λόγου δυνάμεως οὐδ' ἂν ἡ Παρθένος συνέλαβεν, οὐδὲ ἔτεκεν· δίχα δὲ τῆς ἀληθείας τῆς σαρκὸς οὐκ

(22) Edit. Lequien. *De fid. orth.* lib. IV, cap. 5.
(23) Oper. cit. lib. II, cap. 13.
(24) Edit. Ballerin. t. I, p. 1366.

ἂν κεκαλυμμένη τοῖς ῥάκεσιν ἔκειτο νηπιότης. Καὶ δίχα μὲν τῆς τοῦ Λόγου δυνάμεως οὐκ ἂν προσεκύνησαν οἱ Μάγοι τὸ παιδίον, τὸ ὑπὸ τοῦ μηνύοντος ἀστέρος δηλούμενον· δίχα δὲ τῆς ἀληθείας τῆς σαρκὸς οὐκ ἂν ἐκελεύετο τὸ παιδίον εἰς Αἴγυπτον μεταφέρεσθαι, καὶ τοῦ κατὰ τὸν Ἡρῴδην ὑπεξάγεσθαι διωγμοῦ. Καὶ δίχα μὲν τῆς τοῦ Λόγου δυνάμεως οὐκ ἂν ἔλεγεν ἡ φωνὴ τοῦ Πατρὸς, ἐξ οὐρανῶν ἀφεθεῖσα, *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα*· δίχα δὲ τῆς ἀληθείας τοῦ σώματος οὐκ ἂν προσεμαρτύρατο ὁ Ἰωάννης· *Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*. Καὶ δίχα μὲν τῆς τοῦ Λόγου δυνάμεως οὐκ ἂν ἐγένετο τῶν τε ἀσθενούντων ἡ ῥῶσις καὶ τῶν τεθνεώτων ἡ ζωοποίησις· δίχα δὲ τῆς ἀληθείας τῆς σαρκὸς οὔτε τροφὴ τῷ νηστεύοντι, οὔτε μὴν ὕπνος ἀναγκαῖος ὑπῆρχεν τῷ κοπιάσαντι. Καὶ τὸ δὴ πέρας δίχα μὲν τῆς τοῦ Λόγου δυνάμεως οὐκ ἂν ἑαυτὸν ὁ Κύριος ἴσον τῷ Πατρὶ τυγχάνοντα ὡμολόγει· δίχα δὲ τῆς ἀληθείας τοῦ σώματος οὐκ ἂν ὁ ἑαυτὸς ἔλεγε μείζονα εἶναι ἑαυτοῦ τὸν Πατέρα· ὁπότε καὶ ἡ καθολικὴ πίστις ἑκάτερον δέχεται, καὶ ἑκάτερον ἐκδικεῖ, ἥτις κατὰ τὴν ὁμολογίαν τοῦ μακαρίου ἀποστόλου Πέτρου, ἕνα Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἄνθρωπον πιστεύει καὶ Λόγον. Εἰ καὶ τὰ μάλιστα τοίνυν ἐξ ἐκείνης τῆς ἀρχῆς, ἀφ' ἧς ἐν τῇ γαστρὶ τῆς Παρθένου ὁ Λόγος γέγονε σὰρξ, τοῦτ' ἔστι σάρκα ἔλαβεν, οὐδ' ὅτι οὖν ἦν διαιρέσεως μεταξὺ τῆς ἑκατέρας μορφῆς· καὶ δι' ἁπάσης αὐξήσεως σωματικῆς, ἑνὸς προσώπου αἱ τοῦ παντὸς χρόνου πράξεις γεγόνασιν· ὅμως αὐτὰ ταῦτα, ἅπερ ἀχωρίστως γεγένηται, κατ' οἰκείαν ἐπιμιξίαν συγχέομεν· ἀλλὰ ποίας εἴη μορφῆς, ἐκ τῆς τῶν ἔργων ποιότητος αἰσθανόμεθα.

sine veritate carnis non juberetur in Ægyptum transferri puer, et ab Herodis persecutione subduci. Sine Verbi potentia non diceret vox Patris missa de cœlo : *Hic est Filius meus dilectus, in quo mihi bene complacui* [24]; et sine veritate carnis non protestaretur Joannes : *Ecce Agnus Dei, ecce qui tollit peccata mundi* [25]. Sine Verbi potentia non fieret redintegratio debilium, et vivificatio mortuorum ; et sine veritate carnis nec cibus jejuno, nec somnus esset necessarius fatigato. Postremo sine Verbi potentia non se Dominus Patri profiteretur æqualem ; et sine veritate carnis non idem diceret Patrem se esse majorem : cum catholica fides utrumque suscipiat, utrumque defendat, quæ secundum confessionem beati apostoli Petri, unum Christum Dei vivi Filium, et hominem credit et Verbum. Quamvis itaque ab illo initio, quo in utero virginis Verbum caro factum est, nihil unquam inter utramque formam divisionis exstiterit, et per omnia incrementa corporea unius personæ fuerint totius temporis actiones ; ea ipsa tamen, quæ inseparabiliter facta sunt, nulla permistione confundimus ; sed cujus formæ sit, ex operum qualitate sentimus.

Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας τοῦ ὁμολογητοῦ (25).

S. Athanasii episcopi Alexandrini confessoris.

κε'. Ὅσαι τοίνυν ταπειναὶ λέξεις καὶ ἔργα, εἰς τὸ σῶμα τοῦ Υἱοῦ γεγραμμένα νόει· ὅσα δὲ ἔνδοξα γράμματα, εἰς τὴν τοῦ Λόγου θεότητα. Ὅταν πεινᾷ μετὰ τὸ νηστεῦσαι, τοῦ σώματός ἐλάττωμα· ἡνίκα δὲ ἐκ πέντε ἄρτων τοὺς πεντάκις χιλίους ἄνδρας χωρὶς παιδίων καὶ γυναικῶν τρέφει, καὶ δώδεκα κοφίνους πλήρεις κλασμάτων περισσεύει, τῆς θεότητος τοῦ Λόγου τὸ ἔργον. Ἡνίκα δὲ ἐπὶ τὸ πρόσκεφάλαιον ἐν τῷ πλοίῳ κοιμᾶται, ἀναπαύσεως σωματικῆς ἔργον· ὅταν περιπατῶν ἐπὶ τῆς θαλάσσης ἀπειλῇ τοῖς κύμασι καὶ τοῖς ἀνέμοις, *Σιώπα, πεφίμωσο*, εὐθὺς ἀκούει παρὰ τῶν ἐν τῷ πλοίῳ μεθ' ὅρκων ὁμολογούντων, *Ἀληθῶς Θεοῦ Υἱὸς εἶ*. Ὅταν ἑστὼς πρὸς τῷ μνήματι Λαζάρου δακρύῃ, καὶ ὀφηνίκα πάσχειν ἔμελλε, λέγῃ· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, καὶ ἀδημονῇ*· καὶ τὸ μὲν πνεῦμα τῆς θεότητος πρόθυμον εἰς πᾶσαν οἰκονομίαν λέγῃ, τὴν δὲ σάρκα ἀσθενῇ, τοῦ σώματος ἀσθένεια, τὸ λυπεῖσθαι καὶ ἀδημονεῖν· ὅταν κελευστικῶς λέγῃ, *Λάζαρε, δεῦρο ἔξω*, καὶ ἀνίστῃ ζῶν ὁ νεκρὸς τετραήμερος ἤδη λελυμένος (ὃ οὐκ ἐγένετο ἀπ' ἀρχῆς τῆς κτίσεως), τῆς θεότητος τὸ σημεῖον.

25. Cunctas igitur humiles dictiones de Filii corpore scriptas existima : gloriosas autem dictiones ad Verbi divinitatem refer. Cum esurit post jejunium, corporis est infirmitas ; cum autem quinque panibus virorum quinque millia, absque pueris mulieribusque, saturat, et duodecim cophinos fragmentis implet, hoc a Verbi divinitate procedit. Cum in navi capite reclinato dormit, id corporalis requiei proprium est : cum autem ambulans supra mare fluctibus ventisque imperans ait : *Sile, obmutesce*, statim audit navis socios cum sacramento affirmantes : *Vere Filius Dei es* [26]. Cum sepulcro Lazari astans lacrymatur ; et cum passioni proximus dicit : *Tristis est anima mea usque ad mortem atque tædiat* ; et divinitatis quidem spiritum ad omne opus incarnationis paratum ait, carnem autem infirmam ; hæc est videlicet corporis infirmitas, quæ tristatur atque tædiat ; cum vero imperative dicit : *Lazare, veni foras*, surgitque redivivus qui quatriduanus jam fœtebat (cujusmodi res ab orbe condito nunquam acciderat), hæc divinitatis demonstratio est.

[24] Matth. III, 17 ; XVIII, 5. [25] Joan. I, 29. [26] Marc. IV, 39.

(25) Sequentibus similia legebam etiam in spurio, ut dicitur, opere S. Athanasii de fide sua, quod exstat Latine in edit. Maurin. t. II, p. 629. Item paria habet Nicetas Aquileiensis in opusculo *De ratione fidei* a me divulgato.

S. Cyrilli ex libro nono operis de adoratione in spiritu.

26. Non igitur æquare poterit divinitatis excellentiam humana natura; id enim fieri minime potest. Itaque, ut qui nostri similis factus esset, talisque intelligeretur, dicebat: *Pater major me est*, cum tamen idem ex natura divinitatis æqualis sit, et nihilo inferior excellentia Genitoris.

S. Cyrilli.

27. Nonne de ipso scriptum est, inferiorem esse, quod ad humanitatem attinet, præstante angelorum natura; infraque horum gloriam paulo minoratum? Ita est. Dixit enim Paulus: *Eum autem qui modico quam angeli minoratus est, videmus Jesum, propter passionem mortis, gloria et honore coronatum.* At quid causæ sit, cur licet præstantiorem naturam nacti supernæ civitatis incolæ, et certissima atque indubitata prorsus Dei cognitione præditi, illum qui natura inferior est, et ipsorum gloriæ cedit, adorandum fecerint, expone, quæso. Equidem tuæ jam sunt hæ partes. Igitur, si est idem et inferior simul, et incomparabiliter excellens, facile tribuemus humanitati id quod inferius est, quod in eam congrue cadit (multum enim distat ab angelis natura hominis): deitati vero omnia superanti, supereminere et attolli supra res creatas, et ultra omnem rationalem substantiam et omne nomen quod nominatur, substantialiter excedere concedemus. Sin autem etiam absque carne, et nondum humanitati velut insertum Verbum, ipsis quoque angelis inferius esse censeatur, minus quidem erit ipsum suis creaturis, ac præterea adorator; nec ei jam succurret aut patrocinabitur demum nostra defensio. Quod si hæc dicere ac sentire impium est simul ac fallacissimum, minor autem est, quoniam et homo est; utique sequetur id esse cogitandum, scilicet adoratorem esse, quatenus homo est.

Ejusdem.

28. Cum autem apostolico dicto insultent, perinde ac si advulgarem aliquem hominem referretur, age totam sententiam ab initio repetamus, quatenus ad institutum sermonem pertinet. Scriptum itaque est: *Eum autem qui modico quam angeli minoratus est, videmus Jesum propter passionem mortis gloria et honore coronatum. Et paulo infra.* Ecce enim, et quidem apertissime cum dicat minoratum infra angelos propter passionem mortis, atque ob id coronatum esse gloria et honore, manifeste illum ostendit de quo verba fecit, nimirum Unigenitum: participem enim ait factum esse carnis et sanguinis perinde ac nos.

(26) Edit. cit. t. I, p. 317 D.
(27) *De Trinitate*, dialog. VI, t. V, part. I, p. 624 D.

Τοῦ ἁγίου Κυρίλλου ἀπὸ τοῦ ἐννάτου λόγου τοῦ περὶ τῆς ἐν πνεύματι λατρείας. Κεφ. β' (26).

κς'. Οὐκοῦν οὐκ ἰσοστατήσει τῆς θεότητος ὑπεροχαῖς τὸ ἀνθρώπινον· πολλοῦ γε καὶ δεῖ. Τοιγάρτοι καὶ ἔφασκεν ὡς καθ' ἡμᾶς γεγονὼς καὶ νοούμενος· *Ὁ Πατήρ μου μείζων μού ἐστι*, καίτοι κατὰ φύσιν θεότητος ἰσομέτρως ἔχων, καὶ τῆς τοῦ τίκτοντος ὑπεροχῆς οὐχ ἡττώμενος.

Τοῦ ἁγίου Κυρίλλου (27).

κζ'. Ἡ γὰρ οὐχὶ γέγραπται περὶ αὐτοῦ ὡς ὑφιζήσειεν ἂν κατά γε τὸ ἀνθρώπινον καὶ τὴν ἀμείνω φύσιν, τουτέστι τὴν εὐαγγελικὴν, καὶ τῆς ἐκείνων εὐκλείας νοοῖτ' ἂν ἠττᾶσθαι βραχύ; Ἀληθές. Ἔφη γὰρ ὁ Παῦλος· *Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον.* Εἶτα τί παθόντες, εἰπέ μοι, καίτοι τὴν ἀμείνω φύσιν λαχόντες οἱ τὴν ἄνω τρίβοντες πόλιν, καὶ ἁπλῇ πού πάντως καὶ ἀπαραλόγιστον τὴν ἐπὶ θεῷ γνῶσιν πεπλουτηκότες, τὸν ἐν μείονι φύσει καὶ κατόπιν ἥκοντα τῆς ἐνούσης εὐκλείας αὐτοῖς, ἐπιοῦντο προσκυνητὸν, φράσαις ἄν, ὦ ἑταῖρε. Καὶ μὴν καὶ τοῦτό γέ ἐστιν ἤδη σόν. Οὐκοῦν, εἴπερ ἐστὶν ὁ αὐτὸς ἐλάττων τε ἅμα καὶ ἐν τοῖς ἀσυγκρίτως ὑπερκειμένοις, ἀπονεμοῦμεν εὐκρινῶς τῇ μὲν ἀνθρωπότητι τὸ χωροῦν ἐπ' αὐτῇ πρεπόντως, τὸ ἔλαττον (παρὰ πολὺ γὰρ ἀγγέλων ἀνθρώπου φύσις)· τῇ δ' ὑπὲρ πάντα θεότητι τὸ ὑπερκεῖσθαί τε καὶ ὑπεραίρειν τὰ γενητὰ καὶ πάσης ἐπέκεινα λογικῆς οὐσίας καὶ παντὸς ὀνόματος διάττειν οὐσιωδῶς. Εἰ δὲ ἡ καὶ δίχα σαρκὸς, καὶ οὔπω τοῖς καθ' ἡμᾶς οἷον συμπλακεὶς ὁ Λόγος, τό γε ἐν ἐλάττοσι κεῖσθαι καὶ αὐτῶν ἀνειχότως ἀποφέροιτο τῶν ἀγγέλων, μείων μέν ἐστι τῶν ἰδίων κτισμάτων, καὶ πρός γε τούτῳ προσκυνητὸς, οὐδὲν ἐπαμύνοντος ἢ ὑπερδιϊκοῦντος ἔτι τοῦ παρ' ἡμῖν λόγου. Εἰ δὲ δὴ ταυτὶ φάναι τε καὶ φρονεῖν δυσσεβές τε ἅμα καὶ σφαλερώτατον μείων δὲ, ὅτι καὶ ἄνθρωπος· ἕψεταί που πάντως ἐκεῖνο νοεῖν· προσκυνητὸς γάρ ἐστι, ὅτι καὶ ἄνθρωπος.

Τοῦ αὐτοῦ (28).

κη'. Ἐπειδὴ δὲ τὴν ἀποστολικὴν κατεξιστᾶσι ῥῆσιν, ὡς ἐπ' ἀνθρώπου κοινοῦ προενηνεγμένην, φέρε λέγωμεν ἐλόντες ἀπ' ἀρχῆς τῶν γεγραμμένων μέχρι καταλήξεως τῆς ἀποχρώσης τῷ λόγῳ. Γέγραπται τοίνυν· *Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον.—Καὶ μετ' ὀλίγα·* Ἰδοὺ γὰρ, ἰδοὺ καὶ μάλα σαφῶς ἠλαττῶσθαι λέγων αὐτὸν παρὰ τοὺς ἀγγέλους διὰ τὸ πάθημα τοῦ θανάτου, κατεστέφθαι γε μὴν δι' αὐτὸ τιμῇ τε καὶ δόξῃ, καθίστησιν ἐμφανῆ τὸν ἐφ' ᾧ ποιεῖται τοὺς λόγους· δῆλον δὲ ὅτι τὸν Μονογενῆ· μετεσχηκέναι γὰρ φησιν αὐτὸν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν.

(28) Dialog. *Quod unus est Christus*, t. V, part. I, p. 763 B.

Τοῦ Χρυσοστόμου (29).

κθ'. Ἀλλὰ καὶ περιφέρων τὴν σάρκα, ἀφίησιν αὐτῇ τὰ τῆς φύσεως ἐλαττώματα ὑπομεῖναι, καὶ διψῆσαι, καὶ καθεσθῆναι, καὶ κοπιάσαι· τέλος δὲ καὶ ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, ἀφίησιν αὐτὴν τὰ τῆς σαρκὸς παθεῖν· διὰ τοῦτο καὶ κρουνοὶ ἱδρώτων κατεφέροντο ἐξ αὐτῆς· καὶ ἄγγελος ηὐρίσκετο αὐτὴν διακρατῶν· καὶ λυπεῖται, καὶ ἀδημονεῖ· καὶ γὰρ πρινὴ ταῦτα εἰπεῖν, φησὶν, *Ἡ ψυχή μου τετάραχται*· καὶ, *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.*

Τοῦ αὐτοῦ.

λ'. Ὁ δὲ Χριστὸς σῶμα καθαρὸν ἁμαρτημάτων εἶχεν, οὐ φυσικῶν ἀναγκῶν ἀπηλλαγμένον· ἐπεὶ οὐδὲ σῶμα ἦν.

Τοῦ ἁγίου Ἀμβροσίου (30).

λα'. Ὡς ἄνθρωπος οὖν ἐνδοιάζει, ὡς ἄνθρωπος ἐκταράττεται· οὐ ταράττεται γὰρ ἡ δύναμις οὐδὲ ἡ θεότης αὐτοῦ, ἀλλ' ἡ ψυχὴ ταράττεται καὶ σπαράττεται κατὰ τὴν τῆς ἀνθρωπίνης σαθρότητος πρόληψιν.

Τοῦ αὐτοῦ (31).

λϐ'. Ὁ οὖν ἴσος ἐν τῇ Θεοῦ μορφῇ ἐλάσσων ἐν τῇ προσλήψει τῆς σαρκὸς, καὶ τῷ πάθει τοῦ ἀνθρώπου· πῶς γὰρ ἡδύνατο ἡ αὐτὴ φύσις ἐλάττων εἶναι καὶ ἴση; Πῶς δὲ, ἐὰν ἐλάττων ἐστὶ, τὰ αὐτὰ ποιεῖ ὁμοίως ἅπερ ὁ Πατὴρ ποιεῖ; Καὶ γὰρ τίνα τρόπον ἡ αὐτὴ ἐνέργεια διαφόρου ἐστὶ δυνάμεως; Μή τι οὕτως δύναται ἐνεργεῖν ὁ ἧττων, καθ' ὃν τρόπον ὁ μείζων; ἢ μία ἐνέργεια δύναται εἶναι, ὅπου διάφορος οὐσία ἐστί; Τοίνυν λάβε τὸν Χριστὸν κατὰ τὴν θεότητα μὴ δύνασθαι ἐλάττονα λέγεσθαι.

Τοῦ ἁγίου Ἀγαθωνος (32).

λγ'. Καὶ ἐν ὅσῳ δείκνυσιν ὁ μέγας Ἀμβρόσιος μὴ δύνασθαι διαφόρου δυνάμεως μίαν ἐνέργειαν ὑπάρχειν, μηδὲ τὴν ἐλάσσονα δύνασθαι ἐνεργεῖν τὰ τῆς μείζονος, οὔτε ὅπου διάφορος οὐσία ἐστὶ, μίαν δύνασθαι νοεῖσθαι τὴν ἐνέργειαν, ἀποδείκνυσι φανεροῖς μηνύμασι τὸ μὴ δύνασθαι μίαν φυσικὴν ἐνέργειαν ἔχειν τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ· εἰ καὶ ἑνὸς προσώπου εἶναι γινώσκομεν, καὶ μετὰ τῆς ἀλλήλων κοινωνίας ἐνεργεῖν θεωροῦνται. Ὅπου τοίνυν μείων καὶ ἐλάττων ἐνέργεια λέγεται, οὐ περὶ μιᾶς, ἀλλὰ περὶ δύο φυσικῶν τοῦ ἑνὸς Χριστοῦ ἐνεργειῶν φανεροῦται (33).—Καὶ ταῦτα μὲν εἶπεν ἐπιχυροῦσα ἡ ἕκτη σύνοδος τὰ παρὰ τοῦ ἁγίου Ἀμβροσίου γραφέντα· ἡ δέ γε πέμπτη σύνοδος, ταῦτα ἐξεφώνησε περὶ αὐτῆς καὶ τῶν λοιπῶν ἁγίων τῶν τότε συνελθόντων, ὅτι Δεχόμεθα πάντα τὰ παρ' αὐτῶν περὶ τῆς ὀρθῆς πίστεως εἰς κατάκρισιν τῶν αἱρετικῶν ἐκτεθέντα· *Καὶ μετά τινα*· Καὶ εἴ τις ἑαυτὸν τῆς ἐν αὐτοῖς κοινωνίας

(29) Sequentium apud Chrysostomum verborum sedem vestigandam per otium eruditis permitto.
(30) Ex opere *De fide*, lib. II, cap. 7, n. 56.
(31) Lib. cit. cap. 8, n. 70.

Chrysostomi.

29. Sed carne assumpta, sinit eam naturæ infirmitates perferre, videlicet et sitire, et requiescere, et laborare : denique ad crucem deveniens, sinit carnem quæ sunt propria ejusdem perpeti. Propterea que et sudoris rivi ex ea defluebant, et angelus apparuit illam confortans ; et tristatur et mœsta est. Nam et antequam hæc diceret. *Anima*, inquit, *mea turbata est.* Item : *Tristis est anima mea usque ad mortem.*

Ejusdem.

30. Christo autem corpus erat peccatis purum, non tamen naturalibus necessitatibus alienum. Alioqui corpus non fuisset.

Sancti Ambrosii.

31. Ut homo ergo dubitat, ut homo turbatur. Non turbatur ejus virtus, non turbatur ejus divinitas ; sed turbatur anima : turbatur secundum humanæ fragilitatis assumptionem.

Ejusdem.

32. Æqualis ergo in Dei forma, minor in susceptione carnis et hominis passione. Nam quomodo eadem posset minor esse æqualisque natura ? Quomodo autem si minor est, eadem similiter facit quæ Pater facit ? Nam quemadmodum eadem operatio diversæ esset potestatis ? Numquid sic potest minor, quemadmodum major operari ? aut una operatio potest esse, ubi diversa substantia est ? Itaque accipe Christum secundum divinitatem, minorem non posse dici.

Sancti Agathonis.

33. Et dum ostendit magnus Ambrosius, non posse diversæ potestatis unam operationem exsistere, nec minorem posse operari quod magnam ; nec ubi diversa substantia est, unam posse operationem intelligi, demonstrat manifestis indiciis, quod non possit unam naturalem operationem habere divinitas et humanitas Christi, licet unius personæ esse noscantur, et alterum cum alterius communione operari cernantur. Ubi itaque major et minor dicitur operatio, non de una sed de duabus naturalibus unius Christi operationibus intimatur. — Atque hæc quidem sexta synodus decreto firmavit, quæ videlicet sanctus Ambrosius scripserat. Quinta vero synodus tum huic sententiæ tum reliquis sanctorum Patrum congregatorum sic acclamaverat : Recipimus cuncta, quæ ab ipsis circa rectam fidem prolata sunt ad hæreticorum condemnationem. *Et paulo post.* Et si quis ab horum consensu semet abstrahit, contraria sentien-

(32) Ex concil. in Constantinop., ed. Coleti, t. VIII, p. 686 D.
(33) Hactenus exstat textus apud citatum concilium.

hic quoniam recta fide se abalienat hæreticisque connumerat, merito a sancta Dei Ecclesia damnatur atque anathemati subjicitur.

Ex synodicis quæ Romam misit sanctus Pater noster Sophronius patriarcha Hierosolymorum, de Dominica incarnatione, et quod sit unus ex Trinitate Jesus Christus Filius Dei et Dominus noster.

34. Nos unum Christum et Filium incarnatum, nempe Verbum, asserimus; et unicam ejus substantiam compositam dicimus, et duas ejus confitemur naturas, voluntates atque operationes. Duas quoque ejusdem Verbi Dei nativitates credimus, unam quidem ex Deo Patre quam intemporalem et sempiternam scimus; ex Deipara matre alteram, quam et nuperam et temporalem cognoscimus. Et naturarum proprietates servari dicimus, duas nempe physicas voluntates, et duas physicas operationes. Et quatenus Deus est, consubstantialem ipsum Patri affirmamus: Matri autem nobisque consubstantialem, quatenus homo est, eumdem pronuntiamus; visibilem pariter et invisibilem, creatum et increatum, corporeum et incorporeum, contrectabilem et incontrectabilem, circumscriptum et incircumscriptum, terrenum et cœlestem, carne cum rationali anima præditum et simul divinitate, nuperum et sempiternum, humilem et excelsum, et quæcumque duplicis inseparabiliter reperiuntur naturæ. Et sublimia quidem is semper habuit, utpote sempiterna natura præditus; humilia vero propter nos extremis temporibus immutabiliter ascivit, propter assumptam humanam naturam. Quare unus simul esse deprehenditur atque duo: unus quidem secundum subsistentiam atque personam, duo vero secundum ipsas naturas ac naturales earum proprietates, videlicet voluntatis et operationis. Utraque enim forma cum mutua communione operatur quod proprium sui est: ita ut Verbum operetur quod Verbi proprium est cum corporis communione; corpus autem quæ sunt propria peragit, non sine Verbi cooperatione. Porro ex his unum prodigiis coruscat, alterum contumelias perpetitur.

S. Basilii in illud: « Ego sum vitis. »

35. Hic me invadunt hæretici, aiuntque: Si vitis est Servator, nos palmites, agricola autem Pater; rursus si palmites ejusdem naturæ sunt, cujus vitis, vitis autem non est agricolæ consubstantialis; Filius quidem ejusdem est naturæ cujus nos sumusque nos ipsius pars: non autem Filius ejusdem est naturæ cujus Pater, sed omnino alienus. Quibus respondebimus, vocatos nos esse non deitatis illius palmites, sed carnis; secundum eum qui dixit: *Nos enim sumus corpus Christi et membra ex*

χωρίσει τὰ ἐναντία φρονῶν, ὁ τοιοῦτος, ἑαυτὸν ἀλλοτριῶν καὶ τῆς ὀρθῆς πίστεως καὶ τοῖς αἱρετικοῖς συναριθμῶν, δικαίως ὑπὸ τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας κατακρίνεται καὶ ἀναθεματίζεται (34).

Ἀπὸ τῶν συνοδικῶν ὧν ἔπεμψεν ἐν Ῥώμῃ ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Σωφρόνιος πατριάρχης Ἱεροσολύμων περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν.

λδ'. Ἡμεῖς ἕνα Χριστὸν καὶ Υἱὸν τὸν σαρκωθέντα Λόγον πρεσβεύομεν· καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν λέγομεν σύνθετον· καὶ ἐν δυσὶν αὐτὸν ὁμολογοῦμεν ταῖς φύσεσι, θελήμασί τε καὶ ἐνεργείαις· καὶ δύο τοῦ αὐτοῦ Θεοῦ Λόγου γεννήσεις πιστεύομεν· μίαν μὲν τὴν ἐκ Θεοῦ καὶ Πατρὸς, ἣν ἄχρονον καὶ ἀΐδιον οἴδαμεν· καὶ δευτέραν τὴν ἐκ τῆς Θεοτόκου μητρὸς, ἣν καὶ πρόσφατον καὶ χρονικὴν ἐπιστάμεθα· καὶ τὰ τῶν φύσεων φάσκομεν σώζεσθαι ἴδια· τουτέστι δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας· καὶ ὁμοούσιον μὲν Θεὸν τῷ Πατρὶ τὸν αὐτὸν ἀναγράφομεν· καὶ ὁμοούσιον τῇ μητρὶ καὶ ἡμῖν τὸν αὐτὸν ὡς ἄνθρωπον φάσκομεν· ὁρατὸν αὐτὸν καὶ ἀόρατον· κτιστὸν τὸν αὐτὸν ὡσαύτως καὶ ἄκτιστον· σῶμα τὸν αὐτὸν καὶ ἀσώματον· ἁπτὸν τὸν αὐτὸν καὶ ἀνέφαπτον· περιγραπτὸν τὸν αὐτὸν καὶ ἀπερίγραπτον· ἐπίγειον τὸν αὐτὸν καὶ οὐράνιον· σάρκα τὸν αὐτὸν ἐψυχωμένην λογικῇ καὶ θεότητα· πρόσφατον τὸν αὐτὸν καὶ ἀΐδιον· ταπεινὸν τὸν αὐτὸν καὶ ὑπέρτατον· καὶ ὅσα διττῶς ἀμερίστως εὑρίσκεται φύσεως. Καὶ τὰ μὲν ὑψηλὰ ὑπῆρχεν ἀεὶ, ὡς φύσιν ἔχων ἀΐδιον· τὰ δὲ ταπεινὰ δι' ἡμᾶς ἐν χρόνῳ ἐσχάτῳ ἀτρέπτως ἐγένετο, ὡς φύσιν προσλαβὼν τὴν ἀνθρώπειον. Καὶ ἔστιν ἰδεῖν καὶ δύο ὁ αὐτὸς γνωριζόμενος· ἐν μὲν κατὰ τὴν ὑπόστασιν καὶ τὸ πρόσωπον, δύο δὲ κατὰ τὰς φύσεις αὐτάς καὶ τὰς φυσικὰς αὐτῶν ἰδιότητας, λέγω δὴ θελήματος καὶ ἐνεργείας· ἐνεργούσης ἑκατέρας μορφῆς μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε· τοῦ μὲν Λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶ τοῦ Λόγου μετὰ τῆς κοινωνίας τοῦ σώματος· τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος, κοινωνοῦντος αὐτῷ τοῦ Λόγου τῆς πράξεως. Καὶ τὰ μὲν αὐτῶν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ τὴν ὕβρισιν ὑποπέπτωκε.

Τοῦ ἁγίου Βασιλείου εἰς τὸ, « Ἐγώ εἰμι ἡ ἄμπελος (35). »

λε'. Ἐνταῦθά μοι ἐπισκήπτουσιν οἱ αἱρετικοὶ καὶ φασιν· Εἰ ἄμπελος μὲν ὁ Σωτὴρ, κλήματα δὲ ἡμεῖς, γεωργὸς δὲ ὁ Πατὴρ, τὰ δὲ κλήματα ὁμοφυῆ τῇ ἀμπέλῳ, ἡ δὲ ἄμπελος οὐχ ὁμοφυὴς τῷ γεωργῷ· ὁμοφυὴς ἄρα ἡμῖν ὁ Υἱὸς, καὶ μέρος ἡμεῖς αὐτοῦ· οὐχ ὁμοφυὴς δὲ τῷ Πατρὶ ὁ Υἱὸς, ἀλλὰ κατὰ πάντα ἀλλότριος. Πρὸς οὓς ἐροῦμεν· Οὐ τῆς θεότητος αὐτοῦ, ἀλλὰ τῆς σαρκὸς εἰρηκεν ἡμᾶς ὁ Χριστὸς κλήματα· κατὰ τὸν εἰπόντα· *Ἡμεῖς γὰρ ἐσμεν τὸ σῶμα τοῦ Χριστοῦ καὶ μέλη ἐκ μέρους.* Καὶ πά-

(34) Ex concil. cit. t. VII, p. 897-899.

(35) *Adversus Eunomium*, lib. IV ed. Garnerii, t. I, p. 291.

λιν· Οὐκ οἴδατε ὅτι τὰ σώματα ἡμῶν μέλη Χριστοῦ ἐστιν; Οὐκ εἰς τὴν θεότητα οὖν τοῦ Λόγου, ἀλλ' εἰς τὴν ἀνθρωπίνην αὐτοῦ παρουσίαν ἀναφέρω τὸ, Ἐγὼ ἡ ἄμπελος· ἡμεῖς γὰρ κατὰ τὸ σῶμα τοῦ Κυρίου συγγενεῖς ἐσμεν· καὶ αὐτὸς διὰ τοῦτο εἶπεν· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· καὶ ὥσπερ ἐστὶ τὰ κλήματα ὁμοούσια τῆς ἀμπέλου καὶ ἐξ αὐτῆς, οὕτω καὶ ἡμεῖς, ὁμογενῆ τὰ σώματα ἔχοντες τῷ σώματι τοῦ Κυρίου, ἐκ τοῦ πληρώματος αὐτοῦ λαμβάνομεν· κἀκεῖνο ῥίζαν ἔχομεν εἰς τὴν ἀνάστασιν καὶ τὴν σωτηρίαν. Ὁ δὲ Πατὴρ εἴρηται ὁ γεωργός· αὐτὸς γὰρ εἰργάσατο διὰ τοῦ Λόγου τὴν ἄμπελον, ἥτις ἐστὶ τὸ ἀνθρώπινον τοῦ Σωτῆρος· καὶ αὐτὸς δι' αὐτοῦ τοῦ Λόγου τὴν εἰς βασιλείαν ἡμῖν ὁδὸν ἡτοίμασεν.

A parte [37]. Et rursum: *Nescitis quod corpora vestra membra Christi sunt* [38]? Non igitur ad Verbi divinitatem, sed ad humanum ejus adventum verba refero: *Ego sum vitis* [39]. Nos enim secundum corpus cognati sumus Domini. Et ipse propterea dixit: *Nuntiabo nomen tuum fratribus meis* [40]. Et sicuti palmites consubstantiales sunt viti ex eaque procedunt, sic et nos homogenea corpora habentes corpori Christi, ex ejus plenitudine accipimus; idque habemus veluti radicem resurrectionis atque salutis. Pater vero dicitur agricola; ipse enim per Verbum excoluit vitem, quæ est ipsius Servatoris humanitas; ipse demum per idem Verbum viam nobis ad regnum munit.

Τοῦ Χρυσοστόμου ὁμιλία κζ εἰς τὸ κατὰ Ἰωάννην ἅγιον Εὐαγγέλιον (36).

λς'. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε. Καὶ, Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. Υἱὸν δὲ ἀνθρώπου ἐνταῦθα οὐ τὴν σάρκα ἐκάλεσεν, ἀλλ' ἀπὸ τῆς ἐλάττονος οὐσίας ὅλον ἑαυτὸν, ἵν' οὕτως εἴπω, ὠνόμασε νῦν· καὶ γὰρ τοῦτο ἔθος αὐτῷ, πολλάκις μὲν ἀπὸ τῆς θεότητος. πολλάκις δὲ ἀπὸ τῆς ἀνθρωπότητος τὸ πᾶν καλεῖν.

Chrysostomi ex homilia 27 *in sanctum Joannis Evangelium.*

36. *Si terrena dixi vobis, et non creditis; quomodo si dixero vobis cœlestia, credetis* [41]? *Nemo ascendit in cœlum, nisi qui de cœlo descendit, Filius hominis qui est in cœlo* [42]. Filium hominis hic non carnem vocavit, sed a minore substantia se totum, ut ita dicam, nominavit. Solet enim sæpe a divinitate, sæpe item ab humanitate se totum vocare.

λζ'. Ἐφ' ἱκανὸν δὲ τῆς τῶν τοιούτων χρήσεων γινομένης κατεξετάσεως, καὶ πρότερον μὲν πολλάκις ὁ φιλοθεώτατος οὗτος ἡμῶν βασιλεὺς συνδιεσκοπεῖτο περὶ τοῦ πράγματος· ὁτὲ μέν τισι τούτων, ὁτὲ δ' ἐκείνων, διομιλούμενος· ἔστι δ' οὗ καὶ κοινῇ τῶν τινας περὶ τούτων διαφερομένων ἐπεκαλούμενος, καὶ τῆς ὀρθοτομουμένης καὶ εὐσεβοῦς ἑρμηνείας ἀντιποιούμενος, ἣν ἐκ χειλέων προήνεγκεν αὐτίκα τοῖς λεγομένοις οὕτως ἐπιβαλὼν ἐκ πρώτης τῆς τοῦ ζητήματος ἀκροάσεως· ὥστε ποτὲ καὶ τοιῷδε τῷ ἐπιχειρήματι χρήσασθαι. Ἐπεὶ γάρ τισιν ἔδόκει κατὰ τὸ τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως πρόσωπον τὴν τοιαύτην φωνὴν ἐκλαμβάνεσθαι, τότε δὴ οὗτος ὁ θεόσοφος βασιλεὺς τῷ μεγάλῳ καὶ θεολογικωτάτῳ Ἀθανασίῳ προεντυχὼν διαλεγομένῳ πρὸς Ἄρειον, καὶ τοῦτον ἀνατρέπειν σπουδάζοντι, εἰς ἀνίσους φύσεις τὴν ὁμοούσιον ἁγίαν διαιροῦντα Τριάδα, καὶ δευτερεύοντα τοῦ Πατρὸς τὸν μονογενῆ Υἱὸν εἶναι λέγοντα, καὶ ταύτῃ δὴ τῇ φωνῇ πρὸς παράστασιν τῆς οἰκείας αἱρέσεως ἀποχρώμενον, τὰς ἐκείνου συλλαβὰς εἰς μέσον παρῆγε, πρὸς Ἄρειον λέγοντος (37)· « Τίς ὁ κεκοπιακώς; ἄνθρωπος ἢ Θεὸς Λόγος; Ἄρειος εἶπεν· Ἄνθρωπος. Ἀθανάσιος εἶπεν· Οὐκοῦν σόν ἐστι τὸ νοῆσαι λοιπόν. Ἄρειος εἶπε· Κατελαβόμην σου τὸν νοῦν ἐν τῷ λόγῳ τούτῳ· ὅτι, τοῦ Θεοῦ Λόγου πανταχοῦ παρόντος, δῆλον ὅτι διὰ τὴν σάρκα εἶπεν, Ὁ *Πατὴρ ὁ πέμψας μείζων μου ἐστι*, τὴν βαδίζουσαν καὶ κοπιῶσαν καὶ ἀπὸ τόπου εἰς

37. Postquam satis hæ Patrum auctoritates perpensæ fuerunt, in primis quidem ac sæpenumero Deo dilectissimus noster rex hoc negotium cum cæteris expendebat, modo hos modo illos alloquens. Interdum vero et gregatim aliquot qui sententiis dissidebant convocans, rectam religiosamque interpretationem defendebat; quam ipse ore suo statim illis significabat, quia vix audito controversiæ initio, sic rem ipse sibi persuaserat. Quare aliquando sic etiam argumentatus est. Cum enim nonnullis videretur ad generalem hominum naturam trahenda esse evangelici dicti interpretatio, Cæsar autem superno lumine instructus in magni summique theologi Athanasii dialogum cum Ario habitum incidit, ob illum coarguendum qui sanctam consubstantialemque Trinitatem in naturas impares dividebat, inferioremque Patri unigenitum Filium dicebat, atque hoc ipso evangelico dicto ad suæ hæreseos propugnationem abutebatur. Athanasii ergo ipsa verba Cæsar in medium attulit, adversus Arium disputantis: « Quis fatigatus est, homone an Deus Verbum? Arius dixit: Homo. Athanasius dixit: Tuum igitur jam est intelligere. Arius, inquit: Percipio quid tuo hoc responso intelligas; nempe, cum Deus Verbum ubique adsit, palam esse ipsum propter carnem dixisse: *Pater meus, qui misit me, major me est.* Hæc enim gradiebatur et fatigabatur, et a loco in locum migrabat. Certe id recte se habet »

[37] I Cor. XII, 27. [38] I. Cor. VI, 15. [39] Joan. XV, 5. [40] Psal. XXI, 23. [41] Joan. III, 12. [42] ibid. 13.

(36) Edit. Montfauc. t. VIII, p. 153, 154.

(37) Recole supra note 7.

Atque ita Athanasius interpretabatur, non secundum divinam substantiam hæc Christum passum fuisse, sed secundum quam induerat carnem naturalibus sine peccato obnoxiam passionibus. Habuitque in his consentientem Arium, concedentemque majorem dici Patrem Christo quatenus homo est. Atque hinc valide invicteque concludebat Cæsar, nequaquam ad generalem hominum naturam retulisse magnum Athanasium Christi dictum : *Pater major est.* Qui enim fieri poterat, ut adversarius Arius in his rebus acutissimus, et in sermonibus ventilandis solertissimus, pateretur magnum hunc virum de alio individuo loqui, eoque Patrem dicere majorem : dum ipse de Christo quæreret, atque hoc Unigenito diceret secundum suam naturam Patrem majorem? Tunc enim idem evenisset ac si illi, qui falces petunt, audiuntque sibi ligones denegari, minime id ægre ferrent. Sed neque aliter Nicænæ primæ synodi Patres, Arii hujus adversus unigenitum Verbum hæresim, quæ ab eo nomen contraxit, refutassent (is enim Verbo secundum divinam ejus substantiam accommodabat dictiones : *Creavit me*, et *Fidelem ei qui se fecit*, et *Apostolum ac pontificem confessionis nostræ*) ; nisi ejusmodi locutiones ad Christi humanitatem retulissent. Nam de divina natura scriptum pronuntiarunt : *In principio erat Verbum ;* et : *Ego et Pater unum sumus*, et quæ his sunt similia.

38. Huic optimo ac tantopere demonstrativo argumento, aliam quoque adjecit mirificus Cæsar confirmationem, restringendo scilicet ac subtiliter explicando sanctorum dicta, ut opportune, prout par erat intelligerentur. Sic enim aiebat. Cum aliqui occurrunt Ecclesiæ defensores Patres dictum illud explicantes secundum quod Pater causa est cœlestis nativitatis, hi tunc de unigeniti Filii Dei persona theologice id dicunt, ut adversariorum ora occludant, qui differentiam in unam eamdemque naturam invehunt ; ipsi autem Patres affirmant haud differre a paterna Filii naturam ; neque in gradu majore Patrem versari, quasi substantiæ seu naturæ habeat differentiam. Sed quamvis Pater dicatur major a Filio, id tamen dictum sempiternam originem causamque, id est ad ineffabilem inexplicabilemque generationem, referunt, veluti de unigenito Filio Dei personaliter eloquentes : et sic unice tunc intelligendam dictionem aiunt. Cum autem unigeniti Verbi incarnationem spectant, atque ad conjunctas inconfuse naturas sermonem convertunt, earumque differentiam definire volunt, tunc Christi quoque humanitati hanc locutionem accommodant. Magnus igitur theologus Gregorius hic in medium proferebatur, qui post priorem interpretationem secundum causam divinæ generationis, hanc quoque adjecit : Nam dicere quod

(38) Zenob. proverb. I. 83.

A τόπον ἕτερον πορευομένην. Ἀληθῶς ὀρθῶς ἐφ τοῦτο. Καὶ οὕτω μὴ κατὰ τὴν θείαν οὐσίαν τὸν παθεῖν τὸν Χριστὸν ἑρμηνεύοντος, ἀλλὰ καθ' ἣ ἐφόρεσε σάρκα τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις ἐν κειμένην πάθεσι, καὶ τοῦτον δὴ τὸν Ἄρειον συ ιέντα τῶν λεγομένων ἔχοντος, καὶ τὸ μείζο λέγεσθαι τὸν Πατέρα ὡς ἀνθρώπου τοῦ ἑνὸς Χριστ συντιθέμενον· κἀντεῦθεν ἀναμφιλέκτως καὶ ἰσχ ρῶς ἐπεπέραινε μὴ κατὰ τὴν κοινὴν φύσιν τ ἀνθρώπων λέγειν τὸν μέγαν Ἀθανάσιον εἰρηκ παρὰ τοῦ Χριστοῦ τὸν *Πατέρα μείζονα*· πῶς γ ἂν καὶ ὁ ἀντικαθιστάμενος Ἄρειος τῶν περὶ τα τε τυγχάνων δεινῶν, καὶ ἀκριβολογεῖν εἰδὼς λεγόμενα, τὸν μέγαν τοῦτον ἀνδρα ἐδέξατο π ἑτέρου ἀτόμου διαλεγόμενον, κἀκείνου λέγοντ

B Πατέρα μείζονα, ὁ περὶ Χριστοῦ συζητῶν; τ τούτου ὡς μονογενοῦς Υἱοῦ κατὰ τὴν φύσιν λέγ εἶναι τὸν Πατέρα μείζονα ; Ταυτὸν γὰρ ἂν ἦ τοῖς κατὰ τὴν παροιμίαν ἅμας μὲν ἐκζητοῦσι ἀπαρνουμένας δὲ τὰς σκάφας μανθάνουσι (38), καὶ μὴ πρὸς τὴν ἀπόκρισιν δυσχεραίνουσιν· τ μὴν ἀλλ' οὐδὲ ἄλλως οἱ τῆς ἐν Νικαίᾳ πρώ συνόδου τῷ Ἀρείῳ τούτῳ τὴν ἐπωνύμως κα τοῦ μονογενοῦς Λόγου μανίαν ἐναπεκρούσαντο (τ τούτου ὑποστάσει κατὰ τὴν θείαν οὐσίαν πρ ἁπτοντος τὴν τοῦ, *Ἔκτισέ με*, φωνὴν, καὶ τ τοῦ, *Πιστὸν τῷ ποιήσαντι αὐτὸν*, καὶ τὴν τ *Τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογί ἡμῶν*)· εἰ μὴ τὰς τοιαύτας φωνὰς τῷ τοῦ Χριστ τὸ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, παρήγαγον· καὶ τ

C λη'. Ἐπὶ δὲ τῷ τοιούτῳ ἀρίστῳ καὶ ἀποδεικτ τοῦ λόγου ἐπιχειρήματι καὶ ταύτην ὁ θειότα ἐπήγαγε βασιλεὺς τὴν ἐπὶ τοῖς προκειμένοις συγ κρότησιν· καταλεπτύνων οἷον καὶ ἰσχνολογῶν τ τῶν ἁγίων φωνὰς ὅπως κατὰ καιρὸν ὡς ἔδει παρ ἐλαμβάνοντο. Ὅτε, γὰρ, ἔφασκεν, εὑρίσκονταί τι τῶν τῆς Ἐκκλησίας ὑπερμάχων Πατέρων τὴν α αὐτὴν φωνὴν κατὰ τὸ αἴτιον τῆς ἀνωτάτω γεννήσ ἐξηγούμενοι, τότε δὴ περὶ τῆς τοῦ μονογενοῦς Υἱ τοῦ Θεοῦ ὑποστάσεως θεολογοῦντες τοῦτο διδάσκο τοὺς ἑτεροδοξοῦντας ἐπιστομίζοντες, διαφορὰν ἐ τῆς μιᾶς αὐτῆς εἰσάγοντας φύσεως· καὶ ἀποδεῖ βουλόμενοι μηδέν τι κατὰ φύσιν τοῦ Πατρὸς διίστ σθαι τὸν Υἱὸν, μηδὲ τὸν μείζονα κλῆρον ἐπέχειν τ

D Πατέρα διὰ τὸ τῆς οὐσίας εἶτουν φύσεως ἐν τούτ διάφορον. Ἀλλ' εἰ καὶ ἑαυτοῦ μείζων εἴρηται πα τοῦ Υἱοῦ ὁ Πατὴρ, πρὸς ἄναρχον ἀρχὴν καὶ αἰτίαν τουτέστι τὴν ἄῤῥητον γέννησιν, τὸ τοιοῦτο ῥητ ἀναφέρουσιν, ὡς περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θε ὑποστατικῶς τὸν λόγον ἐκφέροντες· οὐ μέντοι καὶ κατὰ ταύτην μόνην ἐπάγουσιν αὐτὴν ἐκλαμβ νεσθαι. Ὅτε δὲ τὸν μονογενῆ Λόγον σεσαρκωμέν θεωρεῖν ἔχουσι καὶ πρὸς τὰς ἐν αὐτῷ ἡνωμέν ἀσυγχύτως φύσεις χειραγωγεῖν τὸν λόγον ἐπιχ ροῦσι καὶ διευκρινεῖν τὸ ἐν ταύταις διάφορον, τό καὶ τῇ ἐν τῷ Χριστῷ ἀνθρωπότητι τὴν τοιαύτ φωνὴν προσαρμόζουσιν. Ὁ μέγας οὖν ἐν θεολογί

Γρηγόριος ἐντεῦθεν εἰς μέσον παρήγετο μετὰ τὴν προτέραν κατὰ τὸ αἴτιον τῆς θείας γεννήσεως ἐρμηνείαν, ἐπάγων καὶ ταῦτα· « Τὸ γὰρ δὴ λέγειν ὅτι τοῦ κατὰ τὸν ἄνθρωπον νοουμένου μείζων ἀληθὲς μὲν, οὐ μέγα δέ. Τί γὰρ τὸ θαυμαστὸν, εἰ μείζων ἀνθρώπου Θεός; » Ἐφεξῆς δὲ καὶ ὁ τῆς παλαιτέρας Ῥώμης ἁγιώτατος πάππας Λέων, τάδε δ᾽ ἀλαμβάνων· « Δίχα μὲν τῆς τοῦ Λόγου δυνάμεως οὐκ ἂν ἔλεγεν ἡ φωνὴ τοῦ Πατρὸς ἐξ οὐρανῶν ἀφεθεῖσα Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· δίχα δὲ τῆς ἀληθείας τοῦ σώματος οὐκ ἂν προεμαρτύρετο Ἰωάννης, Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ αὖθις ἕκαστος τῶν ἀνωτέρω καταγεγραμμένων Πατέρων, ὡς οἷα τοῦ βασιλέως ἐπὶ γλώσσης ὥσπερ ἐγγεγραμμένα τὰ ῥήματα φέροντος.

A Christo, quatenus homo intelligitur, pater major est; verum id quidem, sed non magnum. Quid enim mirum, si major homine Deus est? Præterea senioris quoque Romæ sanctissimus papa Leo de hoc dicto edisserens: Sine Verbi, inquit, potentia non diceret vox Patris missa de cœlo, *Hic est Filius meus dilectus in quo mihi bene complacui* Et sine veritate carnis non protestaretur Joannes: *Ecce Agnus Dei qui tollit peccatum mundi*... Et sic ex ordine unusquisque Patrum, quorum auctoritates supra sunt perscriptæ, in ore Cæsaris erat, tanquam si impressa verba eorum mente haberet.

λθ'. Οὐκ ἠρκεῖτο τούτοις ὁ ἀκάμας καὶ σῶμα καὶ νοῦν βασιλεὺς, ἀλλὰ καὶ ἕτερόν τι ποριζόμενος ἐπινοθύμημα, τοῖς προλαβοῦσιν ἐπῆγε διατρανοῦν τῶν ἐν τῷ Χριστῷ ἡνωμένων φύσεων τὸ ἀδιαιρέτῳ ὑποστάσει σεσωσμένον διάφορον. Τὸ γὰρ καταπλουτῆσαι τὴν ἁγίαν τοῦ Κυρίου σάρκα τὰ τῆς προσλαβούσης αὐτὴν θεότητος αὐχήματα προσλαμβανομένων τινῶν, καὶ ταύτῃ προσκόπτειν κινδυνευόντων, ὡς καὶ περὶ τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη καινοτομεῖν τοὺς λόγους, καὶ ἀποστέλλεσθαι λέγειν παθητὴν εἶναι τὴν προσληφθεῖσαν τῷ Κυρίῳ σάρκα κατὰ τὴν τῶν σαρκῶν φύσιν, καὶ τῷ ἑκουσίως τὸν Χριστὸν παθεῖν ὑπὲρ ἡμῶν πρὸς τοῦτο ἀποχρωμένων, καὶ ἀποδιστώντων αὐτὴν τοῦ κατὰ φύσιν πάθους καὶ τῆς νεκρώσεως· οὗτος καὶ τὴν λεχθησομένην ἐπαγωγὴν τῆς ἐννοίας προήνεγκε· περὶ γὰρ ἰδιωμάτων καὶ αὐχημάτων φιλοσοφήσας καὶ τῷ διαιρετικῷ τῶν ὑποκειμένων λόγῳ χρησόμενος τίνα μὲν τὰ ἰδιώματα, τίνα δὲ τὰ αὐχήματα διετράνωσε· τὰ μὲν οὖν ἰδιώματα φύσεως εἶναι, τῶν ὁμολογουμένων ἐτίθετο. Καὶ γοῦν τῆς θείας καὶ μακαρίας ἐν τῇ μοναρχικῇ Τριάδι φύσεως ἰδιώματα τὸ ἀπερίγραπτον ἔλεγε, τὸ ἄκτιστον, τὸ ἀΐδιον, καὶ τἄλλα δὴ τὰ τούτοις ὁμοστιχα· αὐχήματα δὲ ταύτης, τοῖς ἀπηριθμημένοις ἰδιώμασι παρεπόμενα, τὸ παντοδύναμον, τὸ ζωοποιὸν, καὶ ὅσα ταύτης τῆς τάξεως. Ἐντεῦθεν καὶ προσεπῆγε τὴν τοῦ Κυρίου σάρκα τῶν μὲν αὐχημάτων πάντως μετασχεῖν τοῦ προσλαβομένου ταύτην μονογενοῦς Θεοῦ, ἅτε καὶ ζωοποιόν τε καὶ παντοδύναμον, οὐ μέντοι γε τῶν ἰδιωμάτων τῆς θείας αὐτοῦ φύσεως· οὐδὲ γὰρ ἀπερίγραπτός ἐστιν, οὐδὲ ἄκτιστος, οὐδὲ ἄχρονος διὰ τὰ αὐχήματα. Οὐκοῦν, ἐπείπερ ἑκατέρα τῶν φύσεων ἐπὶ τῶν οἰκείων ἰδιωμάτων ἀσύγχυτος ἔμεινε, τί τὸ προσιστάμενον ἐντεῦθεν τὸ *μείζον* παρὰ τούτοις ἐνθεωρεῖν· καὶ τοῖς τῆς θείας φύσεως ἰδιώμασι τὸ ὑπερέχον ἀπονέμειν, τῇ πρὸς τὰς τῆς σαρκὸς ἰδιότητος παραλλάξει ἐπόμενον.

B 39. Neque tamen hic substitit indefessus corpore ac mente Cæsar, sed alium quoque protulit cogitatum suum, quo explicaret naturarum in Christo conjunctarum, salva unica individua persona, differentiam. Nam quia sancta Domini caro, postquam assumpsit eam divinitas, gloriosis dotibus instructa fuit; ea re nonnulli non sine periculo erroris utebantur; ita ut de naturalibus sine peccato passionibus Domini novos sererent sermones; minimeque auderent affirmare passibilem fuisse assumptam a Christo carnem secundum carnium ipsam naturam; abuterenturque ad id argumento illo, quod Christus sponte pro nobis passus est; ita ut ipsum naturali passione ac mortalitate eximerent; his, inquam, Cæsar excogitatam a se sententiam, quam jam dicemus, opposuit. Nam de idiomatibus et de gloriosis dotibus disputans, atque utramque rem accurate distinguens, quænam sint idiomata, quænam item gloriosæ dotes, perspicue enucleabat. Et idiomata quidem propria esse naturæ, extra dubitationem ponebat. Ac divinæ et beatæ, in monarchica Trinitate, naturæ idiomata esse dicebat, ut infinita sit, increata, sempiterna aliisque hujusmodi proprietatibus prædita: dotes autem gloriosas prædicta idiomata comitantes, omnipotentiam, vivificandi virtutem, atque alia ornamenta ejusmodi. Deinde concludebat, Domini carnem omnino præditam fuisse gloriosis dotibus divini Unigeniti a quo est assumpta, virtute scilicet vivificandi et omnipotentia; non tamen divinæ naturæ idiomatibus. Nam etiamsi habet gloriosas dotes, non idcirco tamen infinita est caro, vel increata, vel ante tempora. Igitur quoniam utraque natura in propriis idiomatibus inconfusa manet; hinc cognoscere, inquit, licet quonam pertineat illud epithetum *major*, de quo nunc controversia fit: oporteatque divinæ naturæ idiomatibus gradum sublimiorem attribuere, consentaneum comparationi cum carnis proprietatibus.

C

D

40. Hæ igitur regalis mentis, vel potius humanarum mentium regis, propositiones atque conclusiones erant, linguæque aureæ dulciora melle effata. Postquam autem complures noctes insomnes multosque dies in harum rerum meditatione consumpsit, existimans oportere orthodoxam dicti evangelici

interpretationem ad liquidum deduci; ne ob ejus ambiguitatem corda infirmiorum perturbarentur: ad extremum sanctissimos patriarchas sacramque et divinam congregavit synodum, ad quam senatores quoque convenerunt, præsentibus etiam illustrissimorum omnium monasteriorum abbatibus. Et Cæsar quidem residebat in regio throno, qui est in conclavi mare versus magni palatii nuper ab ipso Cæsare exstructi, quod occidentali urbis muro imminet, habetque id conclave ab ipso Manuele nomen: quo in loco innumerabiles imperatoris victorias brevi gyro comprehensas ars pictoria, aureis lapillis varios interserens colores, prout fieri potuit, descripsit. Hic fuit consistorii locus; ibique definita sunt quæ infra ponemus, consentientibus inter se sanctissimis patriarchis, sacratissimisque archiepiscopis, reliquoque sacerdotali cœtu, et senatoribus universis; sic favente pacis Deo, necnon religiosi nostri a Deo coronati imperatoris zelo. De his autem tomus quoque conscriptus fuit, in quo ad litteram sequentia continentur.

τῆς ἐξηγήσεως, ἵνα μὴ τῷ ἀδήλῳ ταύτης αἱ τῶν ἀπαγεστέρων καρδίαι διαταράττοιντο· τέλος τοὺς ἁγιωτάτους πατριάρχας καὶ τὴν ἱερὰν καὶ θείαν συνῆθροισε σύνοδον· ἀλλ' οὐδὲ οἱ τῆς συγκλήτου βουλῆς ἀπελείποντο· παρῆσαν δὲ καὶ οἱ τῶν ἐπισημοτάτων πασῶν μονῶν καθηγούμενοι· καὶ τὸν μὲν ὁ βασιλικὸς εἶχε θρόνος ἐν τῷ πρὸς θάλατταν ὑπερῴῳ τοῦ ἐν τῷ μεγάλῳ παλατίῳ νεουργηθέντος οἴκου τῷ βασιλεῖ τοῦ δυτικωτέρου τείχους ἐφύπερθεν, φερώνυμον τὴν κλῆσιν ἐκ τῆς τοῦ Μανουὴλ προσρήσεως φέροντος· ἐν ᾧ καὶ τῶν δυσεριθμήτων κατορθωμάτων τοῦ αὐτοκράτορος βραχέ' ἅττα παραλαβοῦσα ἡ ζωγράφος τέχνη ἐκ καταχρύσων ψηφίδων ποικιλοχρόοις ἑτέραις ἐπιμιγνυμένων, ὡς εἶχε, ἐνδιεγράψατο· ἐνταῦθα μὲν δὴ τὰ τῆς συνελεύσεως κυροῦνται δὲ τὰ ὑποτεταγμένα, ὁμογνωμονησάντων ἀλλήλοις, τῶν τε ἁγιωτάτων πατριαρχῶν, τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ ἱερατικοῦ λοιποῦ καταλόγου, καὶ ξυμπάντων τῶν τῆς συγκλητικῆς γερουσίας· εὐδοκίᾳ τοῦ τῆς εἰρήνης Θεοῦ καὶ διαπύρῳ ζήλῳ τῶν εὐσεβοῦς ἡμῶν καὶ θεοστεφοῦς αὐτοκράτορος· ἐπὶ τούτοις καὶ τόμος ἐκτίθεται. τάδε κατὰ βῆμα διεξιών

ACTIO II.

Mensis Martii die secunda, indictionis XIV ante quarta.

1. Præsidente a Deo coronato sancto nostro rege et imperatore domino Manuele Comneno, in tropico conclavi meridiem versus, nempe in magni palatii porphyromanuelico triclinio; astantibus sanctæ majestati ejus, amabilibus consobrinis, filiis inclyti sebastocratoris domini Andronici, scilicet protosebasto et protovestiario domino Joanne Comneno, ejusque fratre domino Alexio Comneno; amabili consobrino potentis sanctique nostri regis, domino Andronico Comneno, filio pansebasti celsissimi domini Theodori Batatzæ; fratre ejus et amabili consobrino potentis sanctique nostri regis domino Alexio Comneno, amabili patruele potentis sanctique nostri regis, nato ex amabili patruo potentis sanctique nostri regis, pansebasto celsissimo domino Constantino Angelo, domino, inquam, Joanne Duca; fratre ejusdem, amabili nepote potentis et sancti nostri regis, domino Andronico Duca; genero potentis et sancti nostri regis sebasto domino Joanne Cantacuzeno; genero potentis et sancti nostri regis domino Constantino Duca; sebasto domino Gudelio Tzicandile; sebasto et magno hetæriarcha domino Georgio Palæologo; sebasto domino Joanne Duca; sebasto et domestico vestiario potentis et sancti nostri regis domino Alexio Petralipha; sebasto et domestico vestiario potentis et sancti nostri regis domno Isaacio Duca; sebasto et domestico vestiario potentis et sancti nostri regis domino Alexio Rogerio; sebasto et domestico vestiario potentis et sancti nostri regis et chartulario domino Andronico Lombardo; protonobilissimo et eparcho Basilio Camatero; proto-

ΠΡΑΞΙΣ Β'.

Μηνὶ Μαρτίῳ δευτέρᾳ, ἡμέρᾳ τετάρτῃ ἰνδικτιῶνος ιδ'.

α'. Προκαθημένου τοῦ θεοστέπτου ἁγίου ἡμῶν βασιλέως καὶ αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ἐν τῇ ὑπερῴᾳ τροπικῇ τῇ πρὸς μεσημβρίαν τοῦ ἐν τῷ μεγάλῳ παλατίῳ πορφυρομανουηλίτου τρικλίνου, παρισταμένων τῇ ἁγίᾳ βασιλείᾳ αὐτοῦ τῶν περιποθήτων ἀνεψιῶν αὐτοῦ καὶ υἱῶν τοῦ ἀοιδίμου σεβαστοκράτορος κυροῦ Ἀνδρονίκου, τοῦ πρωτοσεβαστοῦ καὶ πρωτοβεστιαρίου κυροῦ Ἰωάννου τοῦ Κομνηνοῦ, καὶ τοῦ αὐταδέλφου αὐτοῦ κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ· τοῦ περιποθήτου ἀνεψιοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἀνδρονίκου τοῦ Κομνηνοῦ τοῦ υἱοῦ τοῦ παναοιδίμου σεβαστοῦπερτάτου κυροῦ Θεοδώρου τοῦ Βατάτζου· τοῦ αὐταδέλφου αὐτοῦ καὶ περιποθήτου ἀνεψιοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ· τοῦ περιποθήτου ἐξαδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, τοῦ υἱοῦ τοῦ περιποθήτου θείου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, τοῦ πανσεβαστοῦπερτάτου κυροῦ Κωνσταντίνου τοῦ Ἀγγέλου, κυροῦ Ἰωάννου τοῦ Δούκα· τοῦ αὐταδέλφου αὐτοῦ περιποθήτου ἐξαδέλφου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἀνδρονίκου τοῦ Δούκα· τοῦ γαμβροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἰωάννου τοῦ Καντακουζηνοῦ· τοῦ γαμβροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Κωνσταντίνου τοῦ Δούκα· τοῦ σεβαστοῦ κυροῦ Γουδελίου τοῦ Τζικανδίλη· τοῦ σεβαστοῦ καὶ μεγάλου ἑταιρειάρχου κυροῦ Γεωργίου τοῦ Παλαιολόγου· τοῦ σεβαστοῦ κυροῦ Ἰωάννου τοῦ Δούκα· τοῦ σεβαστοῦ καὶ οἰκείου βεστιαρίτου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἀλεξίου τοῦ Πετραλίφα· τοῦ σεβαστοῦ καὶ οἰκείου βεστιαρίτου τοῦ

κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἰσαακίου τοῦ Δούκα· τοῦ σεβαστοῦ καὶ οἰκείου βεστιαρίτου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἀλεξίου τοῦ Ῥογέρη· τοῦ σεβαστοῦ καὶ οἰκείου καὶ χαρτουλαρίου κυροῦ Ἀνδρονίκου τοῦ Λαμπαρδᾶ· τοῦ πρωτονωβελισσίμου Καματηροῦ· τοῦ πρωτονωβελισσίμου Ἰσαακίου τοῦ Ἀκολούθου· καὶ ἑτέρων οὐκ ὀλίγων. A nobilissimo Isaacio Acolutho; nobilissimo et primicerio bardariotarum Basilio Tripsycho; et non paucis aliis. βεστιαρίτου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, τοῦ πρωτονωβελισσίμου καὶ ἐπάρχου βασιλείου τοῦ νωβελισσίμου καὶ πριμικηρίου

β'. Συνεδριαζόντων τῶν ἁγιωτάτων πατριαρχῶν, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Λουκᾶ· τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας κυροῦ Ἀθανασίου· καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων κυροῦ Νικηφόρου· παρισταμένων καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας Μιχαὴλ, τοῦ Ἀμασείας Νικήτα, τοῦ Μελιτηνῆς Νικήτα, τοῦ Γαγγρῶν Ἰωάννου, τοῦ Μύρων Χριστοφόρου· τοῦ Κορίνθου Θεοδώρου, τοῦ Ἀθηνῶν Νικολάου, τοῦ Μωκησοῦ Λουκᾶ, τοῦ Κρήτης B Ἰωάννου, τοῦ Τραπεζοῦντος Μιχαὴλ, τοῦ Λαρίσσης Ἰωάννου, τοῦ Φιλιππουπόλεως Βασιλείου, τοῦ Ῥόδου Λέοντος, τοῦ Φιλίππων Ἰωάννου, τοῦ Ἀδριανουπόλεως Λέοντος, τοῦ Ἱεραπόλεως Γεωργίου, τοῦ Μιτυλήνης Πόθου, τοῦ νέων Πατρῶν Εὐθυμίου, τοῦ Εὐχαΐτων Κωνσταντίνου, τοῦ Ἀμάστριδος Ἰωάννου, τοῦ Θηβῶν Ἰωάννου, τοῦ Σερβίων Θεοδώρου, τοῦ Αἴνου Ἰωάννου, τοῦ Ἀριστρᾶς Λέοντος, τοῦ Κερκύρας Κωνσταντίνου, τοῦ Ἀβύδου Μιχαὴλ, τοῦ Μηθύμνης Νικολάου, τοῦ Λακεδαιμονίας Νικήτα, τοῦ Μεσημβρίας Θεοδώρου, τοῦ Μιλήτου Νικήτα, τοῦ Μαρωνείας Νικήτα, τοῦ Ἀρκαδιουπόλεως Κωνσταντίνου, τοῦ Παρίου Νικολάου, τοῦ Προικοννήσου Ἰσαακίου, τοῦ Σελυβρίας Θεοδούλου, τοῦ Δέρκου Ἰωάννου, καὶ τοῦ Ἀγγιάλου Στεφάνου· συμπαρισταμένων καὶ τῶν θεοφιλεστάτων ἐκκλησιαστικῶν ἀρχόντων. 2. Considentibus sanctissimis patriarchis, nempe sanctissimo et œcumenico patriarcha domino Luca, sanctissimo patriarcha urbis Dei magnæ Antiochiæ domino Athanasio, et sanctissimo patriarcha Hierosolymitano Domino Nicephoro: præsentibus etiam sacratissimis episcopis, Heracleæ Michaele, Cyzici Basilio, Nicomediæ Michaele, Amaseæ Niceta, Melitenes Niceta, Gangrorum Joanne, Myrorum Christophoro, Corinthi Theodoro, Athenarum Nicolao, Mocesi Luca, Cretæ Joanne, Trapezuntis Michaele, Larissæ Joanne, Philippopoleos Basilio, Rhodi Leone, Philipporum Joanne, Hadrianopoleos Leone, Hierapoleos Georgio, Mitylenes Potho, Neopatrarum Euthymio, Euchaitarum Constantino, Amastridis Joanne, Thebarum Joanne, Serrarum Theodoro, Æni Joanne, Dristræ Leone, Corcyræ Constantino, Abydi Michaele, Methymnæ Nicolao, Lacedæmoniæ Niceta, Mesembriæ Theodoro, Mileti Niceta, Maroniæ Niceta, Arcadiopoleos Constantino, Parii Nicolao, Præconnesi Isaacio, Selybriæ Theodulo, Derci Joanne, Anchiali Stephano: astantibus etiam Dei amantissimis ecclesiasticis præpositis.

γ'. Ἐπεὶ πρό τινων ἡμερῶν ἔφθασε λαληθῆναι C λόγος παρά τινων περὶ τοῦ ὅπως νοεῖται τὸ, *Ὁ Πατήρ μου μείζων μού ἐστι*, συνῆλθον προστάξει τῆς βασιλείας μου σήμερον οἱ ἐνδημοῦντες τῇ μεγαλοπόλει ἀρχιερεῖς, καὶ ἠρωτήθησαν ὅπως νοεῖται τὸ τοιοῦτον εὐαγγελικὸν ῥητόν. Πρῶτος τοίνυν ὁ Ἡρακλείας ἐρωτηθεὶς εἰ τὸ *Ὁ Πατήρ μου μείζων μού ἐστιν*, εἴρηται παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν φύσιν καθ' ἣν καὶ πέπονθε, δέδωκε τῷ Πατρὶ καὶ κατὰ τοῦτο τὸ *μείζων*· καὶ τὰς λοιπὰς εἰς τοῦτο τῶν ἁγίων Πατέρων ἐξηγήσεις εἰπὼν ἀποδέχεσθαι. Ὁ Κυζίκου τῆς αὐτῆς εἶπε γνώμης εἶναι τῷ Ἡρακλείας. Ὁ Νικομηδείας ἔφη ὡς, Ἐπεὶ τὸν ἕνα καὶ ἀδιαίρετον τὸν Χριστὸν, καὶ μετὰ τὴν ἄφραστον σάρκωσιν ἐν δυσὶ φύσεσι θεωρῶ ἀτρέπτοις καὶ ἀσυγχύτοις, ἀκτίστῳ τε καὶ κτιστῇ, ἀπαθεῖ τε καὶ παθητῇ, ἐκλαμβάνομαι τὸ εὐαγγελικὸν ῥητὸν τὸ, *Ὁ Πατήρ μου μείζων μού ἐστι*, καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστήν τε καὶ παθητὴν φύσιν· ἀποδεχόμενος καὶ τὰς ἄλλας περὶ τοῦ τοιούτου ῥητοῦ ἑρμηνείας, ἃς οἱ τῆς Ἐκκλησίας φωστῆρες εἰρήκασι. Τὰ αὐτὰ ἀπαραλλάκτως λέγειν τῷ Νικομηδείας καὶ ὁ Ἀμασείας ἐφθέγξατο. Ὁ Μελιτηνῆς εἶπεν ὅτι Ἀκούσας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, ἐν τοῖς Εὐαγγελίοις *Ὁ Πατήρ μου μείζων μού ἐστι*, λέγω τοῦτο εἰρηκέναι αὐτὸν καὶ κατὰ τὴν ἐν αὐτῷ 3. Quoniam ante aliquot dies sermo a nonnullis commotus fuit, quomodo intelligenda sint verba *Pater meus major me est*, convenerunt jussu majestatis meæ hodie, qui erant in magna urbe pontifices, rogatique sunt quinam sensus sit evangelici hujus dicti. Primus ergo Heracliensis rogatus sententiam, an verba *Pater meus major me est*, dicta fuerint a Domino et Deo et Servatore nostro Jesu Christo etiam secundum suam creatam naturam in qua et passus est; concessit Patri epithetum *major;* et cæteras quoque effati hujus sanctorum Patrum interpretationes se admittere dixit. Cyzicenus in eadem sententia se esse dixit, quam Heracliensis protulerat. Nicomediensis dixit: Ego de unius et individui Christi, etiam post ineffabilem incarnationem, duabus naturis inconvertibilibus et inconfusis, increata scilicet et creata, impassibili et passibili, intelligo evangelicum dictum, *Pater meus major me est;* nempe etiam ad creatam ipsius passibilemque naturam id refero: recipioque simul alias quoque hujusce dicti interpretationes, quas Ecclesiæ illuminatores pronuntiaverunt. In Nicomediensi sententiam pedibus se ire Amasenus dixit. Melitensis ait: Ego audiens Dominum nostrum Jesum Christum in Evangeliis dicentem: *Pater meus major me est*, aio hoc dici etiam de creata ejusdem natura. Gangrensis dixit: Ego audiens

Dominum dicentem : *Pater meus major est*, aio id ab eo dici etiam secundum assumptam humanam naturam. Myrensis dixit : Ut interpretantur sanctus Basilius, et theologus Gregorius, et Chrysostomus, sic et ego hoc effatum interpretor et accipio : et quoniam alii quoque complures sancti dixerunt, œconomice id a Christo dictum, quatenus nempe homo est, ne his quidem contradico.

4. Corinthius ait : Majorem Patrem Christus dixit, etiam quatenus exinanivit se, et usque ad corpus se demisit sponte qui erat altissimus, sustinuitque carnem suscipere inconfuse, inconvertibiliter, indivisibiliter, ejusdemque recepit œconomice passiones sine peccato ; mortem denique nobis salutarem et causam nostræ resurrectionis, cujus antea spe carebamus. Atheniensis dixit : Servator noster Deus, ineffabili misericordia factus etiam perfectus homo, quandoquidem theanthropum Verbum est, una hypostasis, unaque persona, propter summam duarum naturarum conjunctionem ; ego quidem a sanctis disco, quod quatenus est hypostasis, neque Patri cohæret neque Spiritui, neque matri vel nobis. Secundum igitur humanitatem, qua matri nobisque communicat, existimo ipsum dixisse Patrem majorem. Amplector autem sanctorum quoque de hoc dicto sententias. Mocesinus dixit : Majorem Patrem appellat Christus, sicuti sanctæ synodi sanctusque affirmat Apostolus. Aio igitur majorem dixisse Patrem, quatenus Filius carnem nostræ similem sibi ascivit ac sanguinem, et quatenus creatam naturam habet, in qua etiam passus est. Cretensis dixit : Ego cunctas sanctorum sententias super effato : *Pater meus major me est* recipiens, ne illam quidem repudio quæ id intelligit dictum secundum humanitatem, id est, secundum Christi creatam naturam, in qua etiam passus est : consentioque et suffragor confratri meo Heracliensi, et synodorum sententias amplector. Secundum verba Cretensis dixit sententiam etiam Trapezuntius. Larissæus dixit : Verba *Pater meus major me est*, deprehendimus a sanctis theologo Gregorio, magno Basilio, et a Chrysostomo intellecta secundum qualitatem causativam honoremque patris, et quasi ob discipulorum solatium dicta fuerint. Sed quia novi a nonnullis sanctis affirmari, sic locutum fuisse Dominum etiam propter humanitatem, ad quam se demisit, atque ut humanæ suæ naturæ fidem faceret, hanc ego quoque amplector sententiam.

5. Rhodiensis dixit : Quoniam scio theanthropum Verbum secundum œconomiam multa dixisse, veluti illud *de die autem illa atque hora nemo scit, neque angeli neque Filius* ; aio ipsum dixisse item *Pater major me est* œconomice, id est secundum creatam suam naturam : accedoque sanctorum etiam hujus dicti interpretationibus.

A κτιστὴν φύσιν. Ὁ Γαγγρῶν εἶπεν ὅτι, Ἀκούσας τὸ Κυρίου λέγοντος, *Ὁ Πατήρ μου μείζων μού ἐστι*, λέγω τοῦτο εἰρηκέναι αὐτὸν καὶ κατὰ τὴν ἀνθρωπίνην φύσιν τὴν παρ' αὐτοῦ προσληφθεῖσαν. Ὁ Μύρων εἶπεν ὡς, Καθὼς ἑρμηνεύει τοῦτο ὁ ἅγιος Βασίλειος καὶ ὁ Θεολόγος Γρηγόριος καὶ ὁ Χρυσόστομος, ἑρμηνεύω τοῦτο κἀγὼ καὶ δέχομαι· ἐπεὶ δὲ καὶ ἕτεροι πολλοὶ τῶν ἁγίων εἶπον οἰκονομικῶς τοῦτο λεχθῆναι παρ' αὐτοῦ Χριστοῦ καθὸ γέγονεν ἄνθρωπος, οὐδὲ τούτοις ἐναντιοῦμαι.

δ'. Ὁ Κορίνθου εἶπεν ὅτι Μείζονα τὸν Πατέρα εἴρηκε, καὶ καθόσον ἐκένωσεν ἑαυτὸν, καὶ κατῆλθε μέχρι καὶ σώματος ἑκὼν ὁ Ὕψιστος, καὶ ἠνέσχετο σάρκα προσλαβεῖν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως· καὶ τὰ τοιαῦτα ἀδιάβλητα πάθη κατεδέξατο B οἰκονομικῶς· καὶ θάνατον σωτήριον ἡμῖν καὶ ἀναστάσεως πρόξενον, ἧς οὐκ εἴχομεν ἐλπίδα πρότερον. Ὁ Ἀθηνῶν εἶπεν· Ὁ Σωτὴρ ἡμῶν Θεὸς, γενόμενος δι' ἄφατον ἔλεον καὶ ἄνθρωπος τέλειος, ἐπεὶ θεάνθρωπος ὢν Λόγος μία ὑπόστασίς ἐστι καὶ ἓν πρόσωπον διὰ τὴν ἄκραν ἕνωσιν τῶν δύο φύσεων· μανθάνω ἀπὸ τῶν ἁγίων ὅτι, ὡς μὲν ὑπόστασις οὔτε τῷ Πατρὶ συνάπτεται καὶ τῷ Πνεύματι, οὔτε τῇ μητρὶ καὶ ἡμῖν· κατὰ γοῦν τὴν ἀνθρωπότητα καθ' ἣν ἐπικοινωνεῖ τῇ μητρὶ καὶ ἡμῖν νομίζω εἰρηκέναι αὐτὸν μείζονα τὸν Πατέρα· ἀσπάζομαι δὲ καὶ τὰς περὶ τοῦ τοιούτου ῥητοῦ τῶν ἁγίων ῥήσεις. Ὁ Μωκησοῦ εἶπεν ὅτι Μείζονα ἑαυτοῦ τὸν Πατέρα καλεῖ, καθὼς αἱ ἅγιαι σύνοδοι καὶ ὁ ἅγιος Ἀπόστολος εἶπον. Λέγω οὖν μείζονα εἰρηκέναι αὐτὸν τὸν C Πατέρα καθὸ κεκοινώνηκε παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος, καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν φύσιν καθ' ἣν καὶ πέπονθε. Ὁ Κρήτης εἶπεν· Ἐγὼ, τε πάσας τὰς ῥήσεις τῶν ἁγίων τὰς περὶ τοῦ *Ὁ Πατήρ μου μείζων μού ἐστιν*, ἀποδεχόμενος οὐδὲ τὸ κατὰ τὰ ἀνθρώπινον εἶναι μείζονα ἀποβάλλομαι, ἤτοι κατὰ τὴν ἐν αὐτῷ τῷ Χριστῷ κτιστὴν φύσιν, καθ' ἣν καὶ πέπονθε· συμφρονῶν καὶ συναινῶν τῷ συναδέλφῳ μου τῷ Ἡρακλείας, καὶ τὰ λεχθέντα παρὰ τῶν συνόδων κατασπαζόμενος. Ταὐτὰ τῷ Κρήτης εἶπε λέγειν καὶ ὁ Τραπεζοῦντος. Ὁ Λαρίσσης εἶπε· Τὸ, *Ὁ Πατήρ μου μείζων μού ἐστιν*, εὑρίσκομεν ἀπὸ τῶν ἁγίων, τοῦ τε Θεολόγου Γρηγορίου, τοῦ μεγάλου Βασιλείου καὶ τοῦ Χρυσοστόμου, καὶ κατὰ τὸ αἴτιον καὶ διὰ τὴν τιμὴν, καὶ D πρὸς παρηγορίαν τῶν μαθητῶν ἐκλαμβανόμενα. Ἐπεὶ δὲ εὑρίσκω τινὰς τῶν ἁγίων λέγοντας εἰρηκέναι τοῦτο τὸν Κύριον καὶ κατὰ τὸ ἀνθρώπινον καθὸ ἐταπείνωσεν ἑαυτὸν ὡς θέλων πιστώσασθαι τὴν ἀνθρωπείαν φύσιν τὴν ἐν αὐτῷ, ἀσπάζομαι τοῦτο καὶ αὐτός.

ε'. Ὁ Ῥόδου εἶπεν· Ἐπεὶ εὑρίσκω τὸν θεάνθρωπον Λόγον οἰκονομικῶς λέγοντα πολλὰ, ἐξ ὧν ἐστι καὶ τὸ, *Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν οὐδὲν, οὐδὲ οἱ ἄγγελοι οὐδὲ ὁ Υἱὸς*, λέγω εἰρηκέναι αὐτὸν καὶ τὸ, *Ὁ Πατήρ μου μείζων μού ἐστιν*, οἰκονομικῶς, τουτέστι κατὰ τὴν κτιστὴν φύσιν τὴν ἐν αὐτῷ· προστιθέμενος

ταῖς τῶν ἁγίων ἐξηγήσεσι τοῦ τοιούτου ῥητοῦ. Ὁ Φιλιππουπόλεως εἶπεν ὡς, Ἐπεὶ κατὰ τὴν χθὲς παρεγενόμην ἀπὸ τῆς λαχούσης με, καὶ οὐκ ἐδυνήθην εὑρεῖν χρήσεις τῶν ἁγίων περὶ τοῦ ζητουμένου ῥητοῦ, λέγω ὅτι οἷς εἶπον οἱ φωστῆρες καὶ διδάσκαλοι ἡμῶν, εἴτε ὑψηλῶς, ἤγουν κατὰ τὴν ἄνω γέννησιν καθ' ἣν καὶ τιμᾷ τὸν Πατέρα· εἴτε ἀνθρωπικῶς, δηλονότι κατὰ τὴν ἐκ τῆς Ἀειπαρθένου γέννησιν, καθ' ἣν δὴ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος κεκοινώνηκε, τὴν κτιστὴν φύσιν καὶ παθητὴν καθ' ἣν καὶ πέπονθε προσλαβόμενος, τούτοις συντίθεμαι καὶ αὐτός. Ὁ Φιλίππων εἶπεν ὅτι Διπλοῦς ὢν ὁ Χριστὸς ἐκ θείας καὶ ἀνθρωπίνης φύσεως, μείζονα τὸν Πατέρα εἴρηκε κατὰ τὴν ἀνθρωπότητα καὶ τὴν αἰτίαν καὶ τὴν πρὸς τὸν Πατέρα τιμήν, ἴσος ὢν αὐτῷ κατὰ τὴν θεότητα. Ὁ Ἀδριανουπόλεως εἶπεν· Ὁ σαρκὸς καὶ αἵματος ὑπερουσίως κεκοινωνηκώς, καινήν τινα θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος, οὐχ ὡς μὴ ἄνθρωπος, ἀλλ' ὡς ἐξ ἀνθρώπων, ἀνθρώπων ἐπέκεινα, μείζονα ἑαυτοῦ τὸν Πατέρα εἶπε, καθὼς ὁ μέγας Χρυσόστομος, καὶ ὁ Πηλουσιώτης Ἰσίδωρος ἑρμήνευσαν, ναὶ μὴν καὶ ὁ θειότατος Κύριλλος. Λέγω δὲ ὅτι εἴρηκε τοῦτο καὶ ὡς ἄνθρωπος διὰ τὴν ἐν αὐτῷ κτιστὴν φύσιν καθ' ἣν καὶ πέπονθεν. Ὁ Ἱεραπόλεως εἶπεν ὅτι Τῇ γνώμῃ τοῦ Ἡρακλείας καὶ τοῦ Κρήτης ἀκολουθῶ ἐπὶ πᾶσιν. Ὁ Μιτυλήνης ἔφη ὅτι, Ἐπεὶ εὑρίσκω τὸν μέγαν Ἀπόστολον λέγοντα ὅτι, Ὁ Υἱὸς τοῦ Θεοῦ ἐκένωσεν ἑαυτὸν ἀκενώτως μορφὴν δούλου λαβών, λέγω εἰπεῖν τὸν Σωτῆρα τὸν Πατέρα μείζονα κατὰ τὴν ἀνθρωπότητα ἤτοι τὴν συγκατάβασιν καὶ τὴν κένωσιν, καθὼς ὁ θαυματουργὸς μέγας Γρηγόριος διδάσκει με, Γρηγόριος ὁ Νύσσης, καὶ ὁ ἅγιος Κύριλλος, καὶ ὁ ἅγιος Ἀθανάσιος· ἤγουν κατὰ τὴν ἐν αὐτῷ φύσιν τὴν βαδίσασαν καὶ κοπιάσασαν.

ς'. Ὁ νέων Πατρῶν εἶπε· Τὸ ταπεινὸν τοῦτο ῥῆμα τὸ, *Ὁ Πατήρ μου μείζων μού ἐστιν*, οὕτως εἰπεῖν νοῶ τὸν Μονογενῆ καθ' ὃν λόγον καὶ τὰ λοιπὰ τῶν ταπεινοτέρων δέδωκεν ἑαυτῷ, τὴν οἰκονομίαν δηλονότι πιστούμενος, καὶ ὅτι κατὰ ἀλήθειαν ἄνθρωπος γέγονεν. Ὁ Εὐχαΐτων εἶπε· Λέγω ὡς κατὰ τὸ αἴτιον καὶ τὴν τιμὴν καὶ πρὸς παρηγορίαν τῶν μαθητῶν καὶ διὰ τὴν ἡμετέραν σάρκα ἣν ἀνελάβετο παραπλησίως ἡμῖν κοινωνήσας σαρκὸς καὶ αἵματος. Ὁ Ἀμάστριδος εἶπεν ὅτι Οὐδεμίαν χρῆσιν τῶν ἁγίων ἀποπέμπομαι, ἀλλὰ πάσας προσδέχομαι· καὶ κατὰ τοῦτο νοῶ ὅτι εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὅτι *Ὁ Πατήρ μου μείζων μού ἐστι*, καὶ κατὰ τὸ ἀνθρώπινον· ἀνθρώπινον δὲ λέγω τὴν συγκατάβασιν, τὴν κένωσιν, τὴν ταπείνωσιν, καὶ τὸ παραπλησίως ἡμῖν κοινωνῆσαι σαρκὸς καὶ αἵματος· καὶ κατὰ τὸν ἅγιον Ἀθανάσιον, διὰ τὴν ἐν αὐτῷ κτιστὴν φύσιν τὴν κοπιάσασαν καὶ βαδίσασαν, καθ' ἣν καὶ πέπονθεν. Ὁ Θηβῶν ἔφη· Ἐπεὶ τὸν Υἱὸν συγκτίστην καὶ συνδημιουργὸν τῷ Πατρὶ οἶδα, δι' αὐτοῦ γὰρ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἴσον

A Philippopolitanus dixit: Quoniam pridie ex ecclesia mea huc perveni, nondumque potui sanctorum auctoritates de controverso dicto nancisci; aio me assentiri sententiis quas illuminatores magistrique nostri protulerunt; quod nimirum Christus vel divinitus sic Patrem honorat propter cœlestem nativitatem; vel humanitus loquitur, propter suam ex perpetua Virgine nativitatem, ob quam æque ac nos carni et sanguini communicavit, creata videlicet passibilique natura assumpta, in qua etiam passus est. Philippensis dixit: Quia duplex est Christus ex divina humanaque natura, majorem Patrem dixit secundum humanitatem, atque ob qualitatem causativam honoremque patris: quamvis eidem sit æqualis secundum divinitatem. Hadrianopolitanus dixit: Qui carni et sanguini supernaturaliter participavit, novam quamdam theandricam operationem apud nos exseruit, non quod non esset homo, sed veluti ex hominibus supra homines, majorem Patrem quam se dixit, sicuti magnus Chrysostomus et Pelusiota Isidorus interpretati sunt, imo etiam eximius Cyrillus. Aio tamen Christum id dixisse etiam quatenus homo erat, propter creatam suam naturam, in qua et passus est. Hierapolitanus dixit se prorsus accedere ad Heracliensis et Cretensis sententiam. Mitylenæus dixit: Quoniam novi magnum Apostolum dicentem [33], quod Filius Dei seipsum exinanivit manens inexhaustus, cum servi formam accepit, aio a Servatore dictum Patrem majorem secundum humanitatem sive demissionem atque exinanitionem, quemadmodum me docent thaumaturgus Gregorius, Nyssenus Gregorius, sanctus Cyrillus, et sanctus Athanasius; videlicet secundum illam ejus naturam quæ ambulabat et fatigabatur.

6. Neopatrensis dixit: Humilem hanc locutionem: *Pater meus major me est* prolatam intelligo ab Unigenito eadem ratione qua cæteras humiliores partes sibi attribuit, videlicet ut incarnationem suam testaretur, et quod homo reapse existeret. Euchaitensis dixit: Aio sic locutum fuisse secundum causativam qualitatem honoremque Patris, et ob discipulorum solatium, et propter nostram quam ipse assumpserat carnem, communicans æque ac nos carni et sanguini. Amastrianus dixit: Nullam e dictis apud sanctos sententiis repudio, sed cunctas amplector; et secundum illas existimo dixisse Dominum nostrum Jesum Christum: *Pater meus major me est*, et secundum humanitatem; humanitatem autem dico demissionem, exinanitionem, humiliationem, nostræque carnis et sanguinis participationem; atque ut censet sanctus Athanasius, propter creatam ejus naturam, quæ laborabat et fatigabatur, in qua etiam passus est. Thebanus dixit: Quoniam Filium creatorem auctoremque rerum una cum Patre scio; nam per

[33] Philipp. II, 7.

ipsum Pater fecit et sæcula; idcirco Filium Patri æqualem censeo. Sed quoniam dixit: *Pater meus major me est*, propositumque pridie fuit ut disquireretur quænam hac de re nonnullorum sanctorum mens fuisset; censeo id dictum fuisse a Christo etiam secundum humanitatem et humiliationem miramque demissionem ad humanam quam assumpsit naturam, in qua non secus atque nos carni et sanguini participavit. Serrensis dixit: Quoniam evangelicum hoc dictum: *Pater meus major me est*, sancti Patres alii aliter interpretati sunt; et quoniam horum nonnulli etiam secundum humanitatem hoc fuisse prolatum affirmarunt, recipio amplectorque cunctas sanctorum Patrum locutiones, unaque hanc quæ dictum refert ad humanitatem. Porro humanitatem intelligo creatam in Christo naturam, in qua æque ac nos carni et sanguini communicavit.

7. Etiam amplector et profiteor ea quæ de efflato Dominico in sanctis Evangeliis: *Pater meus major me est* tradita sunt a sanctis Patribus, declarata autem in religioso tomo, qui compositus est nutu divinitus inspirati potentis sanctique nostri regis Porphyrogeniti et imperatoris domini Manuelis Comneni: nempe quod locutionem hanc protulit Dominus et Deus noster Jesus Christus etiam secundum suam creatam circumscriptamque naturam, in qua et passus est. Recipio autem de locutione hac cæteras quoque sanctorum Patrum interpretationes. Atque hæc a cunctis consecrandis deinceps episcopis profitenda esse constitutum est.

8. His actis, unius Dei Ecclesia in unum corpus rediit et unita est; exclamavitque cum magno Paulo: *Christus est pax nostra, qui fecit utraque unum* [55]: et eum, qui æque ac Salomon sapientia infusa præditus erat, apprime pacificum et vere unctum Domini regem magnificavit.

ACTIO QUINTA.

1. Neque tamen interim dormitabat is qui zizanium in religionis tritico serere molitur; neque porro demoratus est, neque malitiam diu distulit, sed rumores iterum insonuerunt, qui persanatum nuper Christianitatis corpus exulcerare tentabant: denuoque obloquebantur quidam, conditum to-

[55] Ephes. II, 14.

A ὡς ἐκστῆναι τῶν φυσικῶν ἰδιοτήτων τοῦ κτιστοῦ, τοῦ περιγραπτοῦ, καὶ τῶν λοιπῶν τῶν ἐν τῇ ἀνθρωπείᾳ φύσει τοῦ Χριστοῦ θεωρουμένων· μεταμεφθῆναι δὲ εἰς τὴν θεότητος οὐσίαν, ὡς ἐκ τούτου εἰσάγειν ἢ φαντασίᾳ καὶ οὐκ ἀληθείᾳ γεγονέναι τὴν ἐνανθρώπησιν τοῦ Κυρίου καὶ τὰ πάθη, ἢ τὴν τοῦ Μονογενοῦς θεότητα παθεῖν, ἀνάθεμα.

Δ'. — ε'. Τῶν λεγόντων ὅτι ἡ σὰρξ τοῦ Κυρίου ἐξ αὐτῆς ἑνώσεως ὑπερυψωθεῖσα, καὶ ἀνωτάτω πάσης τιμῆς ὑπερκειμένη, ὡς ἐξ ἄκρας ἑνώσεως ὁμόθεος γενομένη, ἀμεταβλήτως, ἀναλλοιώτως, ἀσυγχύτως καὶ ἀρρήπτως, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, κτλ.

B ἀχώριστος καὶ ἀδιάσπαστος μένουσα τῷ προσλαβόντι αὐτὴν Θεῷ Λόγῳ, ἰσοκλεῶς αὐτῷ τιμᾶται καὶ προσκυνεῖται μιᾷ προσκυνήσει, καὶ τοῖς βασιλικοῖς καὶ θείοις ἐγκαθίδρυται θώκοις ἐκ δεξιῶν τοῦ Πατρὸς, ὡς τὰ τῆς θεότητος αὐχήματα καταπλουτήσασα, σωζομένων τῶν ἰδιοτήτων τῶν φύσεων, αἰωνία ἡ μνήμη.

ς'. Ταῦτα δὴ καὶ ἐτησίως κατὰ ταύτην τὴν κυριώνυμον συνεκφωνεῖσθαι τοῖς προγραφεῖσι κεκύρωται· οὐ μόνον δὲ ἀλλὰ καὶ παρὰ τοῦ τηνικαῦτα

C τότε χειροτονηθῆναι μέλλοντος ἀρχιερέως τῆς Νεοκαισαρέων πόλεως, τοῖς παρὰ τοῦ πρότερον πρὸς ἀσφάλειαν τοῦ ἑαυτῶν φρονήματος γραφομένοις καὶ ταῦτα συνεξησφάλισται πρὸς ἕπος οὕτω διαλαμβάνοντα.

ζ'. Ἔτι κατασπάζομαι καὶ ὁμολογῶ τὰ περὶ τῆς ἐν τοῖς ἁγίοις Εὐαγγελίοις Δεσποτικῆς φωνῆς τῆς, *Ὁ Πατήρ μου μείζων μού ἐστι*, παρὰ τῶν ἁγίων Πατέρων παραδοθέντα καὶ διατρανωθέντα ὑπὸ τοῦ εὐσεβοῦς τόμου τοῦ ἐκτεθέντος θεοκινήτῳ νεύματι τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως Πορφυρογεννήτου καὶ αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ· ἤγουν ὅτι τὴν φωνὴν ταύτην εἴρηται ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν καὶ πέπονθε. Δέχομαι δὲ καὶ τὰς περὶ τοῦ τοιούτου ῥητοῦ ἑτέρας ἑρμηνείας τῶν ἁγίων Πατέρων. Ἅπερ καὶ ἐφεξῆς οἱ χειροτονεῖσθαι μέλλοντες πάντες ἀρχιερεῖς ὡρίσθησαν ἀσφαλίζεσθαι.

D η'. Γέγονε ταῦτα· καὶ ἡ τοῦ ἑνὸς Θεοῦ Ἐκκλησία πρὸς ἓν συνήγετο καὶ συνήνωτο· καὶ κατὰ τὸν μέγαν Παῦλον· *Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν*, ἀνακέκραγε· καὶ τὸν κατὰ Σολομῶντα τὸ τῆς φρονήσεως χύμα πλουτήσαντα καὶ εἰρηνικώτατον ἀληθῶς τὸν Χριστὸν Κυρίου βασιλέα προσεμεγάλυνεν.

ΠΡΑΞΙΣ Ε'.

α'. Ἀλλὰ γὰρ οὐκ ἦν ἀμελεῖν τὸν ἄγρυπνον τῶν ζιζανίων σπορέα τῷ τῆς εὐσεβείας σίτῳ ἐπιβουλεύοντα· οὔκουν οὐδ' ἀνεβάλετο, οὐδὲ τὴν κακίαν ἐπὶ μακρὸν ὑπερέθετο· ἀλλ' ὑποτονθορυσμοί τινες πάλιν ἐπανηχοῦντο, τὸ συνουλωθὲν ἤδη τοῦ τῶν Χριστιανύμων σώματος ἀναξαίνειν ἀποπειρώμενοί· καὶ

λόγοι πάλιν τὸν ἐκτεθέντα τόμον τῆς ἀσαφείας ἀπαιτιώμενοι, καὶ παρερμηνεύειν τὰ; ἐγκαταγεγραμμένας γνώμας ἐπιχειροῦντες, καὶ ἀναστατοῦν τινας βιαζόμενοι· ἐντεῦθεν καὶ συνοδικῆς γενομένης κατεξετάσεως, δέον ἐκρίθη καὶ τὸ περὶ τούτων λυθῆναι περιθρυλλούμενον· καὶ γοῦν ἔγγραφον συνετέθη καὶ τῆς θείας συνόδου μέσον ἐξελαλήθη, τοιᾶσδέ τινος ὂν περιλήψεως.

A mum synodicum obscuritatis insimulantes, scriptarum ibi sententiarum sensum pervertentes, sectamque sibi conflare conantes. Quam rem cum synodus considerasset, necessarium esse judicavit rumores hujusmodi comprimere. Quamobrem formula composita mediaque in synodo recitata fuit, cujus continentia hæc.

β'. Στοιχῶ τῇ γνώμῃ τοῦ κρατίστου καὶ θεοστέπτου ἁγίου ἡμῶν βασιλέως καὶ αὐτοκράτορος, καὶ τοῦ ἁγιωτάτου μου δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τῶν ἑτέρων ἁγιωτάτων πατριαρχῶν, τοῦ τε Θεουπόλεως; μεγάλης Ἀντιοχείας, καὶ τοῦ Ἱεροσολύμων, καὶ τῆς ἱερᾶς καὶ θείας συνόδου· καὶ πάντα τὸν μὴ ταύταις ἀμεταθέτως καὶ μετὰ καθαρᾶς ἀκολουθήσαντα συνειδήσεως, ἢ ἐναντία φρονήσαντα, ἐξότου τὸ κῦρος αἱ τοιαῦται γνῶμαι εἰλήφασιν, ἢ ὁπωσοῦν φρονήσαντα, ἀναθέματι καθυποβάλλω, καὶ ἐμαυτὸν δὲ, εἰ μὴ οὕτως ἔχω. Ἐπεὶ δὲ σκάνδαλον ἐνέπεσεν, ὅτι τινὲς μὲν τὰς τοιαύτας γνώμας παρερμηνεύουσι, λέγοντες μὴ νοεῖσθαι τὴν τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φωνὴν τὴν, *Ὁ Πατήρ μου μείζων ἐστί*, καθώσπερ κατὰ διαφόρους ἐξηγήσεις παρὰ τῶν θεοφόρων ἁγίων Πατέρων ἡρμηνεύθη, καὶ κατ' αὐτὴν τὴν ἐν τῷ αὐτῷ Χριστῷ ἀνθρωπίνην κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν παθητὴν τότε οὖσαν καὶ πέπονθε, μόνῃ δὲ τῇ κενώσει τὴν τοιαύτην φωνὴν προσαρμόζουσί τινες δὲ καὶ τῇ κατὰ ψιλὴν ἐπίνοιαν διαιρέσει τὴν τοιαύτην τοῦ Κυρίου φωνὴν ἀπονέμουσι, λέγοντες; προσαρμόζειν ταύτην, ὁπόταν ἡ τοῦ Κυρίου σὰρξ νοεῖται καθ' ἑαυτὴν κεχωρισμένη τῆς θεότητος, ὥσπερ εἰ μηδὲ ἡνώθη· καθ' ὃν τρόπον καὶ δούλη καὶ ἀγνοοῦσα λέγεται· καὶ διὰ τοῦτο κατὰ τὴν κατὰ ψιλὴν ἐπίνοιαν διαίρεσιν, ὡς εἴρηται, λέγουσι τὴν φωνὴν ταύτην εἰρῆσθαι, ἣν ὁ αὐτὸς Χριστὸς ὁ Θεὸς ἡμῶν εἶρηκε κατὰ τὴν ἐν αὐτῷ ἀνθρωπίνην κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν καὶ πέπονθεν· ἢ καὶ ὅτι τὸ τῆς κοινῆς φύσεως ὑποδυόμενος πρόσωπον τοῦτό φησι· καθ' ὃν τρόπον λέγεται καὶ ἡ ἐγκατάλειψις, ἥπερ ἐστὶ τοῖς θεηγόροις Πατράσι προσώπῳ τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως ἐκλαμβανομένη· καὶ τοὺς τοιούτους καθυποβάλλω τῷ ἀναθέματι.

B

C

2. Sequor sententiam potentissimi a Deo coronati sancti nostri regis et imperatoris, nec non sanctissimi mei domini et œcumenici patriarchæ, et aliorum sanctissimorum patriarcharum, nempe urbis Dei magnæ Antiochiæ, ac Hierosolymorum, sacræque et divinæ synodi. Et quicunque his firmiter et cum pura conscientia non adhæserit, vel contraria senserit, postquam hæ doctrinæ definitæ fuerunt, vel in posterum sentiet, eum ego anathemati subjicio, meque adeo ipsum, nisi sic credidero. Quoniam vero scandalum incidit, propterea quod nonnulli has sententias prava interpretatione pessumdant, dicentes non intelligi veri Dei et Servatoris nostri Jesu Christi locutionem *Pater meus major me est*, sicuti juxta diversas sanctorum et inspiratorum Patrum interpretationes explicata fuit, etiam secundum humanam Christi creatam circumscriptamque naturam, in qua tum passibili reapse passus est: sed uni exinanitioni hujusmodi dictionem ipsi accommodant: quidam vero etiam secundum unicam ac simplicem distinctionem mentalem hæc verba intelligunt; dicentes recte se habere locutionem, si per mentis præcisionem caro Domini ipsa per se et absque divinitate cogitetur, tanquam ne unita quidem esset; juxta quam rationem et serva et inscia dicitur; propterea que secundum simplicem mentis distinctionem verba hæc prolata affirmant, quæ reapse idem Christus Deus noster dixit secundum suam humanam creatam circumscriptamque naturam, in qua etiam passus est: vel etiam dicunt Christum sic locutum, quatenus communis naturæ personam repræsentabat; secundum quam rationem dicitur etiam derelictio in cruce, quam Deo inspirati Patres de communis hominum naturæ persona accipiunt; hos etiam, inquam, sic opinantes anathemati subjicio.

γ'. Αἱ μέντοι γνῶμαι· ἧγουν ἡ μὲν τοῦ κρατίστου θεοστέπτου ἁγίου ἡμῶν αὐτοκράτορος ἔχει οὕτως· Στοιχῶ ταῖς γνώμαις τῶν ἁγιωτάτων πατριαρχῶν καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου· καὶ λέγω ὅτι αὕτη ἡ σὰρξ τοῦ Κυρίου, ἐξ αὐτῆς ἑνώσεως ὑπερυψωθεῖσα, καὶ ἀνωτάτω πάσης τιμῆς ὑπερκειμένη, ὡς ἐξ ἄκρας ἑνώσεως ὁμόθεος γενομένη, ἀμεταβλήτως, ἀναλλοιώτως, ἀσυγχύτως καὶ ἀτρέπτως, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ ἀχώριστος καὶ ἀδιάσπαστος μένουσα τῷ προσλαβομένῳ αὐτὴν Θεῷ Λόγῳ, ἰσοκλεῶς αὐτῷ τιμᾶται καὶ προσκυνεῖται μιᾷ προσκυνήσει· καὶ τοῖς βασιλικοῖς καὶ θείοις ἐγκαθίδρυται θώκοις ἐκ δεξιῶν τοῦ Πατρὸς, ὡς τὰ τῆς θεότητος;

D

3. En autem ipsas sententias. Et quidem potentissimi a Deo coronati sancti nostri imperatoris sententia ita se habet. Sequor sententias sanctissimorum patriarcharum et divinæ sanctæque synodi, aioque ipsam Domini carnem conjunctione cum Verbo exaltatam, supraque omnem honorem collocatam, (ita ut hoc eximio nexu deificata sit) immutabiliter, invariabiliter, inconfuse, inconvertibiliter, hypostaticæ conjunctionis gratia inseparabilem indivisibilemque manentem, cum assumente ipsam Deo Verbo, pari honore coli et adorari, unica adoratione, regioque et divino in solio ad Patris dexteram residere, utpote quæ Divinitatis dotes

gloriosas adepta est, salvis naturarum proprietatibus.

4. Sanctissimi autem nostri domini et œcumenici patriarchæ sententia talis fuit. Mihi videntur quotquot episcopi ac præpositi de Christi humanitate dicta affirmarunt verba : *Pater meus major me est*, id est secundum ejus creatam humanam naturam in qua et passus est, recte et inoffense atque ad propositum respondisse : qui autem aliter dixerunt, obscure respondisse videntur, imo inter se discordes neque ad propositum collineantes. Sanctissimi autem urbis Dei magnæ Antiochiæ patriarchæ, hæc fuit. Sanctissimus patriarcha urbis Dei magnæ Antiochiæ ait, dictum fuisse a Christo : *Pater meus major me est*, etiam secundum incarnationem creatamque suam naturam ac passibilem. Sanctissimi denique Hierosolymorum patriarchæ ejusmodi sententia fuit. Sanctissimus Hierosolymorum patriarcha dixit : Jam sanctus Spiritus verba, *Pater meus major me est*, explicavit per sanctos magnosque illuminatores Ecclesiæ, sacrosanctasque synodos. Recipio igitur cunctas traditiones, secundum quas illa verba intellecta sunt. Quoniam vero affirmarunt *Patres*, dictum hoc a Christo fuisse tum quatenus verus Deus est, tum etiam quatenus verus homo, qui nempe creatam passibilemque naturam habet, in qua etiam passus est, aio id ipsum ego quoque, neque inficias ire queo. His autem sententiis sigillatim subscriptum fuit ; eæque lectæ sunt audiente sanctissimo œcumenico patriarcha divinaque et sacra synodo, per Dei amantissimum magnum scevophylacem Joannem Pantechnem. Denique adjectum est decretum synodicum, cujus continentiam in consequentibus damus.

ACTIO SEXTA.

Mensis Martii die vicesima, indictionis decimæ quartæ, die prima.

1. Præsidente sanctissimo nostro domino œcumenico patriarcha domino Luca in occidentali catechumeneo ; considentibus Cæsariensi, Nicomediensi, Melitenensi, Gangrensi, Larissensi, Cretensi, Philippopolitano, Euchaitensi, Philippensi, Hierapolitano, Serrensi, Abydeno, Paronaxio, Milesio, Arcadiopolitano, Pario, Præconnesio, Selybriensi, Anchialensi ; astantibus dominis præpositis ; Dei amantissimus magnus scevophylax Joannes Pantechnes, ut se omni suspicione purgaret, sicuti palam fit ex progredientibus synodi decretis, sistens se hodie legit ex libello continentiam ejus. Postquam igitur hæc lecta sunt publice coram nostra mediocritate sacraque synodo, in hac schedula nomen suum subscripsit, seque omni suspicione purgavit, ita ut superiora synodi decreta nihil ad ipsum jam attinerent. Deinde exaratum in eadem schedula scriptum hujusmodi, eique per complures dies subscripserunt alii quoque episcopi, quia non-

(42) Vide col. 250.

A αὐχήματα καταπλουτήσασα, σωζομένων τῶν ἰδιοτήτων τῶν φύσεων.

δ'. Ἡ δὲ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου οὕτως (42)· ὅτι Ἐμοὶ δοκοῦσιν ὅσοι εἶπον τῶν ἀρχιερέων καὶ τῶν ἀρχόντων κατὰ τὸ ἐν τῷ Χριστῷ ἀνθρώπινον εἰρῆσθαι τὸ, Ὁ *Πατήρ μου μείζων μού ἐστιν*, ἤγουν κατὰ τὴν αὐτῷ ἀνθρωπίνην κτιστὴν φύσιν, καθ' ἣν καὶ ἔπαθεν, ὀρθῶς καὶ ἀπροσκόπτως καὶ πρὸς τὴν ἐρώτησιν ἀποκρίνασθαι· οἱ δὲ ἄλλως εἰρηκότες, ἀσυμφοποιησάμενοι τὴν ἀπόκρισιν, καὶ μᾶλλον πρὸς ἀλλήλους μὴ συμφωνήσαντες, οὐδὲ πρὸς τὴν ἐρώτησιν δοκοῦσί μοι ἀποκρίνασθαι. Ἡ δὲ τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας οὕτως· Ὁ ἁγιώτατος πατριάρχης Θεουπόλεως μεγάλης B Ἀντιοχείας εἶπεν εἰρῆσθαι τό· *Ὁ Πατήρ μου μείζων μου* παρὰ τοῦ Χριστοῦ, καὶ κατὰ τὴν ἀνθρώπησιν καὶ τὸ ἐν αὐτῷ τῷ Χριστῷ κτιστόν τε καὶ παθητόν. Ἡ δὲ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων οὕτως· Ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων εἶπεν· Ἔφθασε τὸ Πνεῦμα τὸ ἅγιον τό· *Πατήρ μου μείζων μού ἐστιν*, ἑρμηνεῦσαι διὰ τῶν ἁγίων καὶ μεγάλων φωστήρων τῆς Ἐκκλησίας καὶ τῶν ἁγίων καὶ ἱερῶν συνόδων· δέχομαι γοῦν πάσας τὰς ἐκδοχὰς καθ' ἃς ἡρμήνευσαν αὐτό. Ἐπεὶ δὲ εἰρήκασιν ὅτι καὶ ὡς Θεὸς τέλειος, καὶ ὡς ἄνθρωπος τέλειος εἰρηκεν ὁ αὐτὸς Χριστὸς τὸ τοιοῦτον ῥῆμα, ἤγουν ὡς ἔχων ἐν ἑαυτῷ τὴν κτιστὴν φύσιν καὶ παθητὴν καθ' ἣν καὶ πέπονθε· λέγω καὶ αὐτὸς τὰ αὐτά, καὶ C οὐ δύναμαι ἀρνεῖσθαι· ὃ καὶ ὑπεγράφη, ἀναγνωσθὲν ἐν ἐπηκόῳ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου παρὰ τοῦ θεοφιλεστάτου μεγάλου σκευοφύλακος Ἰωάννου τοῦ Παντεχνῆ. Ἐπὶ δὲ τούτῳ καὶ σημείωμα συνοδικὸν ἐξετέθη, ταῦτα καὶ αὐτὸ ῥητῶς διηγούμενον.

ΠΡΑΞΙΣ Ϛ'.

Μηνὶ Μαρτίῳ κ', ἡμέρᾳ πρώτῃ ἰνδικτιῶνος ιδ'

α'. Προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Λουκᾶ ἐν τοῖς δυτικοῖς κατηχουμενείοις· συνεδριαζόντων, τοῦ Καισαρείας, τοῦ Νικομηδείας, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Λαρίσσης, τοῦ Κρήτης, τοῦ Φιλιππουπόλεως, τοῦ Εὐχαΐτων, τοῦ Φιλίππων, τοῦ Ἱεραπόλεως, τοῦ Σερρῶν, τοῦ Ἀβύδου, τοῦ Παροναξίας, D τοῦ Μιλήτου, τοῦ Ἀρκαδιουπόλεως, τοῦ Περιθείου, τοῦ Προικοννήσου, τοῦ Σηλυβρίας, καὶ τοῦ Ἀγχιάλου· παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων· ὁ θεοφιλέστατος μέγας σκευοφύλαξ Ἰωάννης ὁ Παντεχνῆς, ἑαυτὸν ἀπαλλάττων πάσης ὑποψίας, καθὰ ἐξελοῦται τοῖς προβᾶσι συνοδικοῖς σημειώμασι, παρεστὰς τὴν σήμερον, ἀνέγνω ἀπὸ εἰληταρίου τὰ ὑποτεταγμένα· ὡς οὖν ἀνέγνω ταῦτα ἐπὶ κοινοῦ καὶ ἐναντίον τῆς ἡμῶν μετριότητος καὶ τῆς ἱερᾶς συνόδου, ἐν τῷ τοιούτῳ χαρτίῳ ὑπέγραψεν, ἑαυτὸν πάσης ὑποψίας ἀπήλλαξεν, ἀπρακτεῖν ὀφειλόντων ὅσον ἐπ' αὐτῷ καὶ τῶν προγεγονότων συνοδικῶν σημειωμά-

των (43). Εἶτα ἐγκατεστρωμένον ἦν ἐν αὐτῷ τὸ τοιοῦτον ἔγγραφον· ἐπὶ δὲ τῷ προγραφέντι ἐγγράφῳ, κατὰ διαφόρους ἡμέρας ὑπέγραψαν καὶ ἕτεροι ἀρχιερεῖς διὰ τὸ σκανδαλισθῆναί τινας τῶν ἀρχιερέων καὶ ἐπ' αὐτοῖς· καὶ θέλειν καὶ τούτους μηδὲν ὑποψίας ἔνδαλμα κατ' αὐτῶν, παρ' οἱῳδήτινι σώζεσθαι· οἳ καὶ ἦσαν· ὁ Μύρων Χριστοφόρος, ὁ Λαρίσσης Ἰωάννης, ὁ Ῥόδου Λέων, ὁ Ἀδριανουπόλεως Λέων, ὁ Νέων Πατρῶν Εὐθύμιος, ὁ Θηβῶν Ἰωάννης, καὶ σημειώματα συνοδικὰ ἐξετίθεντο, τῆς αὐτῆς

A nulli scandalum de aliis sumpserant; qui noluerunt ullam suspicionis speciem de se apud quemlibet superesse. Erant autem hi: Myrorum Christophorus, Larissæ Joannes, Rhodi Leo, Hadrianopoleos Leo, Neopatrarum Euthymius, Thebarum Joannes, Maroneæ Nicetas: de quorum singulorum subscriptionibus condita sunt decreta synodica tenoris ejusdem.

καὶ ὁ Μαρωνείας Νικήτας· ὧν ἑφ' ἑκάστου ὑπογραφῇ ὄντα δυνάμεως.

β'. Μετὰ δὲ ταῦτα καὶ ἕτερον προέβη συνοδικὸν σημείωμα, αὐτολεξεὶ οὕτως περιέχον.

2. Post hæc aliud quoque prodiit synodicum decretum hisce verbis.

Μηνὶ Ἀπριλλίῳ ς', ἡμέρᾳ δ' ἰνδικτιῶνος ιδ'.

B *Mensis Aprilis die sexta, quarta indictionis decimæ quartæ.*

Προκαθημένου Λουκᾶ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς ἀλεξιακοῖς κατηχουμενείοις· συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Καρίας, τοῦ Ἰκονίου, τοῦ Κορίνθου, τοῦ Μωκησοῦ, τοῦ Κρήτης, τοῦ Τραπεζοῦντος, τοῦ Φιλίππων, τοῦ Ἱεραπόλεως, τοῦ Μιτυλήνης, τοῦ Θηβῶν, τοῦ Σερρῶν, τοῦ Δρίστρας, τοῦ Κερκύρας, τοῦ Ἀβύδου, τοῦ Μιλήτου, τοῦ Μαρωνείας, τοῦ Παρίου, τοῦ Σηλυβρίας, τοῦ Νίκης, καὶ τοῦ Ἀγχιάλου· παριστημένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων· ὁ θεοφιλέστατος διάκονος καὶ καντορίσιες τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας Σαμουὴλ, πάσης ὑποψίας ἑαυτὸν ἀπαλλάττων, κατὰ τὴν τετάρτην τοῦ παρόντος Ἀπριλλίου μηνὸς ἐπὶ τοῦ μέσου στὰς, καὶ τὸ διαφόρως παρά τινων ἱερωτάτων ἀρχιερέων καὶ θεοφιλεστάτων ἀρχόντων ἀναγνωσθὲν καὶ ὑπογραφὲν εἰλητάριον ἀνὰ χεῖρας λαβὼν, εἰς ἐπήκοον τοῦ ἱεροῦ συνεδρίου ἀνέγνω τὰ ἐν αὐτῷ γεγραμμένα μετὰ καὶ προσθήκης, προστεθείσης αὐτῷ, διὰ τὸ εὑρεθῆναι χάρτην τοιαῦτα διαλαμβάνοντα οἷα ἡ προσθήκη περιεῖχεν· ἡ καὶ εἶπεν ἐπὶ λέξεων οὕτω.

Præsidente Luca sanctissimo nostro domino et œcumenico patriarcha in dextro alexiano catechumeneo; considentibus, cum magna sanctitate ejus sacratissimis episcopis, Cæsariensi, Nicomediensi, Nicæno, Melitenensi, Gangrensi, Cario, Iconiensi, Corinthio, Mocesino, Cretensi, Trapezuntio, Philippensi, Hierapolitano, Mitylenæo, Thebano, Serrensi, Dristrensi, Corcyræo, Abydeno, Milesio, Maroneensi, Pario, Selybriensi, Nicensi, Anchialensi; astantibus Dei amantissimis dominis præpositis; Dei amantissimus diaconus et cans'risius sanctissimæ Dei magnæ Ecclesiæ Samuel, omni suspicione semet liberans, quarta die præsentis C Aprilis, in medio consistens, et jam multipliciter a nonnullis sacratissimis episcopis Deique amantissimis præpositis lectum et subscriptum libellum præ manibus tenens, audiente sacro synedrio legit continentiam ejus, itemque additamentum ipsi subnexum. Causa ejus rei fuerat, quod inventa charta fuerat ea continens quæ in additamento perscribebantur, his videlicet verbis.

γ'. Ἐπεὶ δὲ καὶ χαρτίον ἐνεφανίσθη ἔχον οὕτως ἐν καταρχαῖς· *Ἐκεῖ ἐδειλίασαν φόβον οὗ οὐκ ἦν φόβος*, ἐν προφήταις Προφήτης ἅμα καὶ βασιλεὺς, ἔφησέ που ψάλλων ἐν πνεύματι, περατούμενον δὲ κατὰ τὸ τέλος ἐν τούτοις· εἰ γοῦν ὑπερέχειν φασὶν αἱ Γραφαὶ τοῦ Χριστοῦ τὸν Πατέρα (44), καθὸ τέως οὕτος οὐκ ἐνηνθρώπησεν, οὐδὲν καινὸν εἰ καὶ τὸ μεῖζον ἔχειν τοῦ ἐν αὐτῷ ἀνθρωπίνου διανοητικῶς φαντασθήσεταί τισι καὶ ῥηθήσεται. Ὥστε δὲ καὶ τοῖς παρὰ τῶν ἁγίων ῥηθεῖσιν ὁμοφώνως ἔχοντα δεῖξαι ταῦτα τὰ δεδογμένα, ἡμῖν λεγέτωσαν οὗτοι, καὶ ἡμεῖς σιωπήσομεν· ἐν δὲ τῷ τοιούτῳ χάρτῃ μετὰ καὶ ἄλλων τινῶν ἀπεμφαινόντων καὶ ἀπαδόντων πρὸς τὰ τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας ὀρθότατα δόγματα, καὶ ταῦτα ἐμπεριέχεται· ἐῶμεν γὰρ λέγειν Ἀμφιλοχίου καὶ

3. Quoniam schedula apparuit, cujus initium est hoc: *Ibi expavebunt timore ubi non erat timor*[35]. D Propheta summus idemque rex inspiratus dixit in Psalmo, id quod modo ad exitum deductum est. Etenim si Patrem extollunt supra Christum Scripturæ, quo tempore nondum venerat ad incarnationem, nil profecto novi est, quod majorem Patrem humanitate Christi quidam nunc imaginantur atque affirmant. Verumtamen isti si certe nobis demonstrabunt dicta sua cum sanctorum quoque sententiis conspirare, tum demum silentium nobis imponent. In eadem autem schedula, præter alia quædam abhorrentia et dissona a sanctæ Dei catholicæ et apostolicæ Ecclesiæ rectissimis dogmatibus, hæc quoque continebantur. Mitto enim Amphilochium, Ambrosium, aliosque haud paucos in-

[35] Psal. XIII, 5.

(43) Vide col. 262.

(44) Nimirum, ut nonnulli explicant, quatenus auctor est Filii Pater, ut in præcedentibus dictum fuit; quæ tamen res nihil Filio detrahit, neque inferiorem Patri constituit.

spiratos viros, quorum alii audacter de hoc dogmate locuti sunt, quantum certe ipsa verba sonant: alii ipsum aperte præ se tulerunt. Et infra : Mente quidem Christum, prout homo est, separatim imaginari; atque ita majorem ipso Patrem cogitare; atque hanc schedulam, quatenus scilicet præter orthodoxam pietatem loquitur; et hæc ipsa sanctis Patribus nostris verba injuriosa; et confingere sibi distinctam veluti Christi humanitatem; atque ita majorem ipso Patrem judicare; hæc, inquam, manifesto subjicio anathemati; itemque eum qui sic credat vel scribat, vel scripturus sit aut crediturus, quisquis sit, sive ego sive alius quispiam.

A Ἀμβροσίου καὶ ἑτέρων οὐκ ὀλίγων πνευματοφόρων ἀνδρῶν· ὧν οἱ μὲν τολμηρὰ περὶ τοῦ τοιούτου δόγματος ἀπεφθέγξαντο, ὅσον κατὰ τὸ τῶν λέξεων πρόχειρον· οἱ δὲ καὶ ἐνέφηναν τοῦτο. Καὶ κατωτέρω· Σκιαγραφεῖν μέντοι τῷ νῷ τὸ κατὰ Χριστὸν ἀνθρώπινον, καὶ οὕτω μείζονα τὸν Πατέρα διανοεῖσθαι καὶ τὸν τοιοῦτον χάρτην, καθόσα δηλαδὴ παρὰ τὸν ὀρθὸν τῆς εὐσεβείας διέξεισι λόγον, καὶ αὐτὰ δὴ ταῦτα τὰ περὶ τῶν ἁγίων Πατέρων ἡμῶν ἀπόφημα ῥήματα, καὶ τὸ σκιαγραφεῖσθαι τὸ κατὰ τὸν Χριστὸν ἀνθρώπινον, καὶ οὕτω μείζονα τὸν Πατέρα τούτου διανοεῖσθαι, λαμπρῷ καθυποβάλλω τῷ ἀναθέματι (45)· καὶ τὸν ταῦτα φρονοῦντα καὶ γράφοντα, εἴτε ποτὲ γράψοντα ἢ φρονήσοντα, ὁποῖος ἂν καὶ εἴη, εἴτε ἐγὼ εἴτε ἕτερος.

4. Postquam igitur hæc legit, et coram nostra mediocritate, sacraque considente fraternitate, huic libello subscripsit; decretum est hodie quidem ipsum, his peractis, pergere porro et ulterius prægredi, sicuti et alios qui cæteris libellis subscripserant, versarique nobiscum et officio fungi cum nostra mediocritate et cum sancta divinaque synodo. Visum insuper est, præter capitula nuper constituta, synodico tomo, qui in orthodoxiæ festo die legendus esset, hæc esse adjicienda. — His qui respuunt sanctorum Patrum locutiones, quæ ad rectorum Ecclesiæ Dei dogmatum confirmationem dictæ sunt, Athanasii, Cyrilli, Ambrosii, Amphilochii, inspirati a Deo Leonis Papæ veteris Romæ, aliorumque; nec non repudiantibus œcumenicarum synodorum actus, quartæ, inquam, et sextæ, anathema sit.

B δ'. Ὡς οὖν ἀνέγνω ταῦτα καὶ ἐπ' ὄψει τῆς ἡμῶν μετριότητος καὶ τῆς συνεδριαζούσης ἱερᾶς ἀδελφότητος ἐν τῷ τοιούτῳ εἰληταρίῳ ὑπέγραψεν, ὡρίσθη τὴν σήμερον αὐτὸν μὲν ἀκολούθως προκόπτειν καὶ προοδεύειν ἐπὶ τὰ ἔμπροσθεν ὥσπερ καὶ τοὺς λοιποὺς τοὺς ἐν τοῖς ἑτέροις εἰληταρίοις ὑπογράψαντας καὶ τῇ ἡμῶν συνέρχεσθαι καὶ συλλειτουργεῖν μετριότητι, καὶ τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ· προστεθῆναι δὲ καὶ τοῖς ἐναγχος ἐντεθεῖσι κεφαλαίοις τῷ κατὰ τὴν ἑορτὴν τῆς ὀρθοδοξίας ἀναγινωσκομένῳ συνοδικῷ καὶ ταῦτα. — Τοῖς ἀποβαλλομένοις τὰς τῶν ἁγίων Πατέρων φωνὰς, τὰς ἐπὶ συστάσει τῶν ὀρθῶν τῆς τοῦ Θεοῦ Ἐκκλησίας δογμάτων ἐκφωνηθείσας, Ἀθανασίου, Κυρίλλου, Ἀμβροσίου, Ἀμφιλοχίου, τοῦ θεηγόρου Λέοντος πάππα τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῶν λοιπῶν· ἔτι δὲ καὶ τὰ τῶν οἰκουμενικῶν συνόδων πρακτικὰ, τῆς τετάρτης τε φημι καὶ τῆς ἕκτης μὴ κατασπαζομένοις, ἀνάθεμα.

C

5. His omnibus, tanquam domui super petram fundatæ, pulcherrimum tectum accessit, quam petram esse Christum magnus Paulus docuit [37]; et tanquam fonti orthodoxiam aquam fundenti sigillum sacrum et genuinum; denique tanquam horto lignum vitæ habenti porta inexpugnabilis accessit potentissimi sanctique nostri regis edictum, quod ita se habet.

ε. Τούτων ἁπάντων, ὡς μὲν οἰκίας ἐπὶ τὴν πέτραν τεθεμελιωμένης περικαλλέστατος δροφος, ἣν πέτραν εἶναι τὸν Χριστὸν ὁ μέγας Παῦλος ἐδίδαξεν· ὡς δὲ πηγῆς τὸ τῆς εὐσεβείας ὕδωρ ἀναδιδούσης, σφραγὶς ἱερὰ καὶ ἀνόθευτος· ὡς δὲ κήπου τὸ τῆς ζωῆς ξύλον ἔχοντος πύλη ἀκαταμάχητος, τὸ τοῦ κρατίστου ἡμῶν καὶ ἁγίου βασιλέως γέγονεν ἔδικτον, οὕτως ἐπ' αὐτῶν διαλαμβάνον τῶν λέξεων.

6. Manuel in Christo Deo fidelis rex Porphyrogenitus, etc.

ς'. Μανουὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεύς, κ. τ. λ.

(Manuelis edictum jam edidimus in tomo nostro CXXXIII, cum aliis ejusdem imperatoris constitutionibus ecclesiasticis.)

Erat autem hoc religiosissimum edictum subsignatum rubris litteris manu propria potentissimi et sancti nostri imperatoris, mense Aprili, indictione XIV; sigilloque aureo munitum.

D Ἦν δὲ τὸ τοιοῦτον εὐσεβέστατον ἔδικτον ὑποσημασμένον τῇ αὐτοχείρῳ ἐρυθρογράφῳ ὑπογραφῇ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κατὰ μῆνα Ἀπριλλίου ἰνδικτιῶνα ιδ', καὶ χρυσῇ σφραγῖδα ἐπιφερόμενον.

ACTIO SEPTIMA.

ΠΡΑΞΙΣ Ζ'.

1. Post hoc lectum venerabile edictum regium, prodiit synodicum decretum verbis his:

α'. Τοῦ δὲ τοιούτου βασιλικοῦ καὶ θείου ἔδικτου ἀναγνωσθέντος, σημείωμα προέβη συνοδικὸν, τάδε κατὰ ῥῆμα διεξιόν·

[37] I Cor. x, 4.

(45) Videlicet ob metum Nestoriani erroris.

Μηνὶ Ἀπριλλίῳ δ', ἡμέρᾳ δευτέρᾳ ἰνδικτιῶνος ιδ'. A *Mensis Aprilis die quarta, indictionis decimæ quartæ die secunda.*

Προκαθημένου τοῦ Λουκᾶ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς ἀλεξιακοῖς κατηχουμενείοις· συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Νεοκαισαρείας, τοῦ Μύρων, τοῦ Καρίας, τοῦ Ἰκονίου, τοῦ Κορίνθου, τοῦ Μωκησσοῦ, τοῦ Ἀθηνῶν, τοῦ Φιλίππων, τοῦ Ἀδριανουπόλεως, τοῦ Σμύρνης, τοῦ Εὐχαΐτων, τοῦ Ἀμάστριδος, τοῦ Θηβῶν, τοῦ Αἴνου, τοῦ Κερκύρων, τοῦ Ἀβύδου, τοῦ Παροναξίας, τοῦ Μιλήτου, τοῦ Μαρωνείας, τοῦ Ἀρκαδιουπόλεως, τοῦ Πάρου, τοῦ Προικοννήσου, τοῦ Σηλυβρίας καὶ τοῦ Νίκης· παριστα- B μένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

Præsidente Luca sanctissimo nostro domino et œcumenico patriarcha in dextero alexiano catechumeneo; assidentibus magnæ sanctitati ejus sacratissimis episcopis, Cyziceno, Nicomediensi, Niczeno, Melitenensi, Gangrensi, Neocæsariensi, Myrensi, Cario, Iconiensi, Corinthio, Mocesino, Atheniensi, Philippensi, Hadrianopolitano, Smyrnensi, Neopatrensi, Euchaitensi, Amastridensi, Thebano, Ænensi, Corcyrensi, Abydeno, Paronaxio, Milesio, Maronensi, Arcadiopolitano, Pario, Præconnesio, Selybriensi, Nicensi; astantibus etiam Dei amantissimis dominis præpositis.

β'. *Ὁδοὶ ζωῆς, διανόημα τῶν συνετῶν· καὶ ἐν καρδίᾳ ἀνδρὸς ἀγαθῇ σοφία Θεοῦ·* ταῦτά φησί που ἐν Παροιμίαις ὁ Σολομών· αὐτοῖς δὲ πράγμασιν ὁ θεοδίδακτος ἡμῶν αὐτοκράτωρ ἐφ' ἑαυτῷ τετελεσμένα ὑπέδειξε, τὰς εἰς τὴν ἀληθῆ ζωὴν καὶ ἀνώλεθρον ἀπαγούσας ὁδοὺς τοῖς αὐτοῦ θεοκυβερνήτοις διανοήμασι καὶ νοήμασι, καὶ τοῖς τῆς θεοκινήτου γλώττης αὐτοῦ ῥήμασι πᾶσιν ἑτοιμασάμενος· ἅτε μὴ μόνον τὰ ἐν μέσῳ σκῶλα περιαιρῶν καὶ προσκόμματα, ἀλλὰ καὶ τὰ τοῖς πολλοῖς προσάντη καὶ δυσνόητα ἐξομαλίζων, καὶ εὐθέα τοῖς συνιοῦσι καὶ εὑρίσκουσι γνῶσιν, ἀπεργαζόμενος· καὶ γὰρ τὰ κατὰ τὴν δευτέραν τοῦ προσεχῶς παρελθόντος Μαρτίου μηνὸς πραχθέντα, καὶ τηνικαῦτα μὲν τὸ κῦρος τῇ τε τῆς C ἡμῶν μετριότητος καὶ ταῖς τῶν ἑτέρων ἁγιωτάτων πατριαρχῶν καὶ τῆς ἱερᾶς συνόδου γνώμαις δεξάμενα, κατὰ δὲ τὴν ἕκτην τοῦ αὐτοῦ μηνὸς, καὶ τῇ αὐτοκρατορικῇ ἁγίᾳ χειρὶ ἐρυθρογραφέντα, τοῖς ἀνὰ πᾶσαν πόλιν καὶ χώραν καὶ νῆσον καὶ ἤπειρον δῆλα γενέσθαι βουλόμενος, ἵνα πάντες καὶ κατὰ τὴν τοιαύτην δογματικὴν κύρωσιν ὀρθοδοξεῖν ἔχωσι· καὶ μὴ ταῖς τῆς πλάνης ἀνοδίαις συμπεριφέρωνται, θεῖον προσκυνητὸν ἐξέθετο ῥδικτον, καὶ πρὸς τὴν ἡμῶν μετριότητα, καὶ τὴν ἱερὰν καὶ θείαν ἐξαπέστειλε σύνοδον· ὃ καὶ ἀπεγνώσθη ἐπὶ κοινοῦ, ἔχον ἐπὶ λέξεων οὕτω·

2. *Viæ vitæ, cogitatio prudentium; et in corde bono viri, sapientia Dei* [38]. Hoc ait in proverbiis Salomon; re autem vera, a Deo doctus noster imperator in se perfectum demonstravit; dum ad veram immortalemque vitam ducentes semitas suis a Deo rectis cogitatibus et consiliis, suisque a Deo motæ linguæ verbis cunctis hominibus præparavit: quippe qui non solum impedimenta de medio sustulit et offendicula, verum etiam ea quæ multis ardua erant atque aspera et intellectu difficilia explanavit, faciliaque reddidit iis qui inveniunt comprehenduntque eruditionem. Etenim ea, quæ die secunda proxime præteriti Martii mensis peracta fuerant, et tunc confirmationem a nostra mediocritate atque a cæterorum sanctissimorum patriarcharum sacræque synodi suffragiis acceperant; sancta vero ejusdem mensis die imperatoriæ sanctæ manus rubris litteris subscripta fuerant; cum omnibus urbibus, regionibus, insulis, continenti, palam fieri vellet, ut cuncti homines secundum hanc dogmaticam definitionem recta fide uterentur, neque in errores impervios deferrentur, divinum venerandumque proposuit edictum, atque ad nostram mediocritatem sacramque et divinam misit synodum; quod et coram omnibus lectum fuit, atque ita se habet:

γ'. Μανουὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς, Πορφυρογέννητος, Ῥωμαίων αὐτοκράτωρ, εὐσεβέστατος, ἀειστέβαστος, Αὔγουστος, Ἰσαυρικὸς, Κιλικικὸς, Ἀρμενικὸς, Δαλματικὸς, Οὐγγρικὸς, Βοσθνικὸς, Χρωβατικὸς, Λαζικὸς, Ἰβηρικὸς, Βουλγαρικὸς, Σερβικὸς, Ζεχικὸς, Χαζαρικὸς, Γοτθικὸς, θεοκυβέρνητος, κληρονόμος τοῦ στέμματος τοῦ μεγάλου Κωνσταντίνου, καὶ ψυχῇ νεμόμενος πάντα τὰ τούτου δίκαια· ὡς τινῶν ἀποστατησάντων τοῦ κράτους ἡμῶν, τοῖς τοῦ φιλοχρίστου ἡμῶν παντὸς λαοῦ τῆς θεοφυλάκτου ἡμῶν βασιλίδος πόλεως, ἔτι δὲ καὶ πᾶσι τοῖς τῶν ὑπὸ τὴν τῆς ἡμετέρας βασιλείας ἐξουσίαν χωρῶν ἠπειρωτικῶν τε καὶ θαλαττίων οἰκήτορσιν.

3. Manuel in Christo Deo fidelis rex Porphyrogenitus, Romanorum imperator, piissimus, semper D sebastus, Augustus, Isauricus, Cilicicus, Armeniacus, Dalmaticus, Ungaricus, Bosthnicus, Chrovaticus, Iazicus, Ibericus, Bulgaricus, Servicus, Zecchicus, Chazaricus, Gothicus, a Deo directus, hæres coronæ magni Constantini, animo gestans cuncta hujus jura, quanquam nonnulli a nostro imperio defecerunt; universo nostro philochristo populo regiæ nostræ a Deo custoditæ urbis, cunctisque imperio nostro subjectis terrestrium maritimarumque regionum incolis.

δ'. Εἰ μακαρίζει Πέτρον Χριστὸς τὸν ἐν ἀποστό-

4. Si beatum prædicat Petrum Christus aposto-

[38] Prov. VI, 23; XIV, 33.

lorum summum apicem, propterea quod omnes præcessit fervore amoris, et ipsum testatus fuit esse Christum, Dei viventis Filium; utpote a Deo Patre mysterium de illo edoctus; quidnam aliud beatius erit. — Sequebatur deinde universum supra a nobis scriptum edictum. Postremo hæc addebantur verba. — Postquam igitur palam venerandum hoc edictum lectum fuit, consueta ab omnibus facta est acclamatio, invictæ majestati ejus stabilitatem vitam incolumitatemque diutinam comprecantibus.

3. Hæc igitur ita gesta sunt atque absoluta. Verumtamen non cessavit tentator, quominus Ecclesiæ moliretur perturbationem; neque se victum, quamvis per supra dicta gesta fugatus, fassus est: verum quibus actibus primitivam ipse gloriam amisit, iisdem maxime adversus homines struere solet insidias: læva quidem semper parte hostiliter aggrediens; dexteræ autem simulatione fraudem obtegens, esca scilicet hamum, mortiferas herbas mellis perunctione. Sic ergo iste sacratissimum quoque Nicææ metropolitam parum abfuit quin in fatale projiceret periculum, ita ut ne sacram quidem personam stationemve huic reliquam faceret, profundis aquis merso, unde prorsus enatare non posset. Is enim gloriosum sibi existimavit si præfracte in divinis rebus resisteret; ignorans videlicet zelum, qui secundum scientiam non est, divina Scriptura teste, ab Ecclesia esse respuendum. Quod autem hæc ita se habeant, decretum synodi jussu conditum palam faciet, quod est hujusmodi

ACTIO OCTAVA.

Mensis Maii die sexta, indictionis decimæ quartæ die sexta.

1. Præsidente Luca sanctissimo nostro Domino et œcumenico patriarcha in dextero alexiano catechumeneo; assidentibus magnæ sanctitati ejus sacratissimis episcopis Cæsariensi, Heracliensi, Cyziceno, Nicomediensi, Melitenensi, Gangrensi, Cario, Mocesino, Cretensi, Trapezuntio, Philippensi, Mitylenensi, Neopatrensi, Euchaitensi, Anastridensi, Serrensi, Thebano, Ænensi, Apameensi, Abydeno, Lacedæmonio, Paronaxio, Arcadiopolitano, Pario, Selybriensi, Nicensi, Brysensi, Dercensi; astantibus etiam Dei amantissimis dominis præpositis.

2. *Tempus tacendi et tempus loquendi*, sapiens Ecclesiastes dicit[29]; his verbis sobrium cordatumque auditorem admonens ne quid inconsulte loquatur neque intemperanter labiis effutiat; verum ut antea exploret discernatque quod mente revolvit, seduloque consideret, ne vitiosus sermo ex ore nostro procedat, sed contra si quis est bonus et salutaris, atque alienæ ædificationi idoneus. Hæc

[29] Eccle. III, 7.

λοις κορυφαιότατον, ἐπεὶ προφθάνει πάντας τῷ διαπείρῳ τῆς ἀγαπήσεως, καὶ τοῦτον εἶναι τὸν Χριστὸν διατείνεται τὸν τοῦ Θεοῦ τοῦ ζῶντος Υἱὸν, ἅτε παρὰ τοῦ Πατρὸς ἀποκαλυφθεὶς τὸ κατ' ἐκεῖνον μυστήριον, τί δήποτ' ἂν εἴη μακαριστότερον; — Καὶ ἐφεξῆς περιεῖχε κατὰ ῥῆμα τὸ προγραφὲν ἅπαν ἔδικτον· καὶ μετὰ τοῦτο, ταῦτα ῥητῶς. — Ὡς οὖν εἰς ἐπήκοον τὸ τοιοῦτον προσκυνητὸν ἔδικτον ἀνεγνώσθη, ἡ συνήθης παρὰ πάντων γέγονεν εὐφημία, συμφώνως ἐπευξαμένων τῷ ἀηττήτῳ κράτει αὐτοῦ διαμονὴν καὶ ζωὴν καὶ ὑγείαν μακραίωνα.

ε'. Ταῦτα μὲν οὖν οὕτως ἤνυστο καὶ τετέλεστο. Ἀλλὰ γὰρ οὐδὲ πάλιν ἀπέστη ὁ πειραστὴς, τὸν ἐκκλησιαστικὸν διαμελετώμενος τάραχον· οὐδὲ εἰς τὸ ὀπίσω πεμφθείς, ἀπὸ τῶν προλαβόντων τὴν ἧτταν προσωμολόγησεν· ὅλῳ οἷς αὐτὸς τῆς πρωτοδόξου δόξης ἔκπτωσιν καταχέχριται, τούτοις καὶ μᾶλλον τὴν κατὰ τῶν ἀνθρώπων ἐπιβουλὴν συγκατασκευάζεται· ἐκ τῶν ἀριστερῶν μὲν πάντη τε καὶ πάντως προσβάλλων· τῇ δὲ τῶν δεξιῶν φαντασίᾳ περικαλύπτων τὸ σκαιωρούμενον· ὡς δελέατι φάναι τὸ ἄγκιστρον, ἢ τὰς θανασίμους πόας τῇ περιχρίσει τοῦ μέλιτος· οὕτω γοῦν οὕτω καὶ τὸν ἱερώτατον μητροπολίτην Νικαίας, μικροῦ δεῖν, εἰς ἀνυπεξάλυκτον κατήνεγκεν κίνδυνον, ὡς μηδὲ ὑπόστασιν τούτῳ περιλειφθῆναι, βαθέων μέχρις ὑδάτων κατενεχθέντι, καὶ ἀνανήξασθαι τέλος οὐκ ἔχοντι· ἅτε δὴ νομίζοντι κάλλιστον εἶναι τὴν ἐπὶ τοῖς θείοις οὐκ εὐένδοτον ἵστασιν· ἀγνοοῦντι δὲ ὅμως ὡς ὁ μὴ κατ' ἐπίγνωσιν ζῆλος· παρὰ τῇ θείᾳ Γραφῇ, τῆς Ἐκκλησίας ἀπόβλητος. Ὅτι δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, τὸ συνοδικὸν ἐκτεθὲν παραδηλώσει σημείωμα· ἔχει γὰρ οὕτω.

ΠΡΑΞΙΣ Η'.

Μηνὶ Μαΐῳ ς', ἡμέρᾳ ς' ἰνδικτιῶνος ιδ'.

α'. Προκαθημένου Λουκᾶ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς ἀξιοῖς ἀλεξιακοῖς κατηχουμενείοις· συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Καρίας, τοῦ Μωκησοῦ, τοῦ Κρήτης, τοῦ Τραπεζοῦντος, τοῦ Φιλίππων, τοῦ Μιτυλήνης, τοῦ Νέων Πατρῶν, τοῦ Εὐχαΐτων, τοῦ Ἀμάστριδος, τοῦ Σερβῶν, τοῦ Θηβῶν, τοῦ Αἴνου, τοῦ Ἀπαμείας, τοῦ Ἀβύδου, τοῦ Λακεδαιμονίας, τοῦ Παροναξίας, τοῦ Ἀρκαδιουπολέως, τοῦ Παρίου, τοῦ Σηλυβρίας, τοῦ Νίκης, τοῦ Βρύσεως, τοῦ Δέρκου· παριστάμενων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

β'. *Καιρὸς τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν*, ὁ σοφὸς Ἐκκλησιαστὴς ἀναφθέγγεται· διὰ τῶν ῥημάτων τούτων παιδεύων ἀκροατὴν τὸν νηφάλιον καὶ ἀρτίφρονα, μὴ ἀβασανίστως τι φθέγγεσθαι, μηδ' ἀσυντηρήτως τῶν χειλέων προφέρειν ἐκτὸς, ἀλλὰ δοκιμάζειν καὶ κρίνειν πρῶτα τὸ διανοούμενον ἔνδοθεν ἐν ψυχῇ καὶ συνορᾶν ἐμμερίμνως, ἵνα μὴ πονηρὸς λόγος ἐκ τοῦ στόματος ἡμῶν ἐκπορεύηται,

ἀλλ' εἴ τις ἀγαθὸς καὶ σωτήριος καὶ πρὸς οἰκοδομὴν ἑταίρων καὶ ἐπιστήριξιν. Ταῦτα τοῦ Ἐκκλησιαστοῦ τὰ ῥήματα μὴ κατὰ νοῦν θέμενος ὁ ἱερώτατος μητροπολίτης Νικαίας Γεώργιος, μηδὲ τοῦ Σιρὰχ λόγον ἐν τισάμενος, ὑποτιθέμενον τὸν μὲν εἰδότα λαλεῖν καὶ παῤῥησιάζεσθαι· τὸν δὲ μὴ εἰδότα τιθέναι τὴν χεῖρα ἐπὶ στόματι, ἀνοίξας τὸ στόμα οὐχ εἵλκυσε πρῶτα πνεῦμα· καὶ οὕτω μετὰ τοῦ πνεύματος, ἠρεύξατο τὰ τοῦ πνεύματος, ἀλλ' ἀσυντηρήτως προήνεγκε· καθὼς δηλοῖ τὸ κατὰ τὴν ἕκτην τοῦ παρελθόντος Ἀπριλλίου μηνὸς τῆς ἐνεστώσης τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως ἐκτεθὲν συνοδικὸν σημείωμα· ἀμέλει τοι καὶ κατὰ τὸ τοιοῦτον συνοδικὸν σημείωμα τότε καταδίκη ἐνομίσθη εἶναι ὑπεύθυνος.

A Ecclesiastæ dicta minime secum reputans sacratissimus Nicææ metropolita Georgius; et ne Siracidis quidem audito monito, suadentis ut sapiens loqui audeat, insipiens autem super os ponat manum suam [49]; is igitur, resoluto ore, haud antea contraxit spiritum; atque ita cum spiritu eructavit quæ erant spiritus, sed inconsiderate profudit; sicuti palam fit in synodico decreto sexta die præteriti Aprilis mensis condito præsentis indictionis quartæ decimæ; quo synodi decreto reus pœnæque obnoxius judicatus est.

γ'. Ὅθεν καὶ πρὸς τὴν ἀνεξάντλητον τοῦ ἐλέους πηγήν, μᾶλλον δὲ θαῤῥούντως εἰπεῖν, τῆς συμπαθείας τὴν ἄβυσσον, τὸν θεοστεφῆ κραταιότατον ἅγιον ἡμῶν αὐτοκράτορα καταπέφευγε· καὶ θερμοῖς τὴν φλοικτον αὐτοῦ καὶ θείαν ψυχὴν πρὸς οἶκτον ἐξεκαλέσατο δάκρυσιν· ὡς καὶ μήνυμα θεῖον προσκυνητὸν ἐκεῖθεν πρὸς τὴν ἡμῶν μητριότητα καὶ τὴν ἱερὰν καταπεμφθῆναι σύνοδον, διὰ τοῦ μεγαλεπιφωνεστάτου πρωτοκουροπαλάτου τοῦ βασιλικοῦ γραμματικοῦ κυροῦ Γεωργίου τοῦ Σκυλίτζη· καθὼς τὸ κατὰ τὴν ιδ' τοῦ παραδρομόντος Ἀπριλλίου μηνὸς τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος ἐκτεθὲν ἐπὶ τῇ τοῦ τοιούτου βασιλικοῦ καὶ θείου μηνύματος πρὸς ἡμᾶς διαπορθμεύσει συνοδικὸν σημείωμα παριστᾷ. Ὅτι γοῦν καὶ σήμερον πάλιν διὰ τοῦ αὐτοῦ βασιλικοῦ γραμματικοῦ ἀνηγγέλη τῇ ἡμῶν μετριότητι καὶ τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ ὡς οὐ προστακτικῶς, ἀλλ' ὡς ἐν εἴδει συμβουλῆς ὁ κράτιστος ἡμῶν ἅγιος βασιλεὺς φιλανθρωπότερον διατεθῆναι περὶ τὸν Νικαίας ἡμῖν ὑποτίθησι, πλὴν τῶν κανόνων σωζομένων, ἡ μετριότης ἡμῶν συνάμα τῇ ἱερᾷ ἀδελφότητι, ἀναγνωσθέντος τοῦ κατὰ τὴν ς' τοῦ παρελθόντος Ἀπριλλίου μηνὸς τῆς ἐνεστώσης ιδ' ἰνδικτιῶνος γεγονότος συνοδικοῦ σημειώματος, ἐν ᾧ καὶ καταδίκῃ ὑπεύθυνος ὁ Νικαίας εἶναι ἐνομίσθη, σκοπηθῆναι δεῖν ἔγνω, ὁποία τις τῷ Νικαίας ἐκ τῶν κανόνων καταδίκη ἐπάγεται· τοῦτο γὰρ ἦν τὸ ἔτι λειπόμενον, τὸ καὶ τὴν ποιότητα τῆς ἐπαγομένης αὐτῷ καταδίκης διαγνωσθῆναι· ὅτι γοῦν οὐ καθαίρεσις εἶναι διεγνώσθη τούτῳ τὸ ἐπιτίμιον, ἀφορισμῷ τοῦτον ἀλειτουργησίας ἐπὶ διετίᾳ ὑπέβαλλε, πρὸς τὸ φιλανθρωπότερον ἀπονεύσασα. Ὅτι δὲ πολλοῖς ἐπὶ πολλαῖς ταῖς ὥραις ὁ Νικαίας, κατὰ γῆς ἑαυτὸν βίψας, τὸ ἱερὸν τοῖς δάκρυσι κατέβρεχεν ἔδαφος, καὶ στεναγμοὺς ἐκ βάθους ἀνέπεμπεν, ὡς καὶ σύμπαν εἰς οἶκτον τὸ ἱερὸν συνέδριον προκαλέσασθαι, καὶ συγκινῆσαι πάντας εἰς δάκρυα, ὡς οὐδὲν ἧττον ἐκείνου παρακαλεῖν εἰς ἔλεον τὴν ἡμῶν μετριότητα, ἡ μετριότης ἡμῶν συνάμα τῇ ἱερᾷ ἀδελφότητι εἰς ἕνα καὶ μόνον ἐνιαυτὸν τὰ τῆς ἀλειτουργησίας αὐτῷ παρίστη, ἐπὶ τοσοῦτον αὐτῷ καὶ τὴν ἐπὶ ταῖς ψήφοις συνέλευσιν ἀποκλείσασα. Ὡς οὖν οὐ μόνον κανονικὴ, ἀλλὰ καὶ φιλάνθρωπος ἡ τοιαύτη πᾶσιν ἔδοξεν ἐπιτίμησις, ἐπεδόθη αὐτῷ αἰτήσαντι καὶ τὸ παρὰ διαφόρων ὑπογραφὲν εἰλητάριον· καὶ ὑπέγραψε καὶ αὐτὸς ἐν αὐτῷ.

3. Quamobrem ad inexhaustum misericordiæ fontem, imo ut confidentius dicam, ad clementiæ abyssum, id est ad coronatum a Deo fortissimum sanctumque nostrum imperatorem confugit; fervidisque mitem ejus divumque animum ad misericordiam commovit lacrymis: ita ut divum quoque venerandum rescriptum ad nostram mediocritatem inde missum fuerit sacramque synodum, per magnum atque illustrissimum protocuropalatam regium scribam dominum Georgium Scylitzen; sicuti narratur in synodico decreto, quod die 14 præteriti Aprilis mensis, præsentis decimæ quartæ indictionis, ob hujus regii diique rescripti ad nos missionem conditum fuit. Quia vero hodie quoque per eumdem regium scribam denuo significavit mediocritati nostræ sacræque et divæ synodo, non imperative quidem sed quasi suadens, præstantissimus noster sanctusque rex, ut clementius erga Nicænum nosmet geramus, salvis tamen canonibus, mediocritas nostra cum sacra fraternitate, post lectum synodicum diei sextæ præteriti Aprilis mensis præsentis decimæ quartæ indictionis, decretum quo pœnæ obnoxius judicatus Nicænus fuit; quærendum censuit, quamnam canonicam mereretur Nicænus pœnam; id enim definiendum supererat, nempe ut de infligendæ pœnæ qualitate judicium ferretur. Cumque pœna canonica non esset comperta depositio, Nicæno per biennium ministerio interdixit, clementiæ ratione habita. Cum autem ad complures horas Nicænus humi stratus sacrum permultis lacrymis pavimentum rigaret, suspiria profundo pectore mittens, ita ut ad misericordiam synedrium universum cieret, lacrymasque cunctis eliceret; nostramque adeo mediocritatem ad clementiam æque commoveret; nostra, inquam, mediocritas cum sacra fraternitate uno tantummodo anno Nicænum ministerio prohibuit, itemque suffragiis conventiculis. Quæ cum pœna non solum canonica verum etiam mitis omnibus visa esset; traditus ipsi quoque petenti libellus fuit a compluribus jam subscriptus, eidemque et ipse suscripsit.

[49] Eccli. v, 14.

4. Hunc Deus finem suprascriptis rebus imposuit; A sic magna Ecclesiæ tempestas sedata est; sic regii sceptri dignus moderator, ab universali gubernatore Deo impulsus atque directus, traditos sibi subditos custodivit, nemoque omnino, periit, nemo in profundum hæretici cordis mare projectus fuit; imo lucente velut speculari face ducti ad rectæ fidei portum cuncti pervenerunt. Sic nunc etiam Dei sapientia, novellum alterum sibi habitaculum in hoc rege ædificavit, septemplici divini Spiritus munere exornatum: cumque Patre adveniens, mansionem sibi in eo effecit, ut in Evangelio promittitur: et scientiæ poculo eidem tradito, cunctis inde haurire insatiabiliter concessit; qua gratia reapse repleti, veræ vitis palmites cuncti evaserunt, in hac videlicet manentes et fructificantes, vinumque propi- B nantes quod orthodoxa corda lætificat. Hæc est nimirum præteritorum imperatoris meritorum coronis; hoc est incomparabilium tropæorum ejus culmen; hæc est futurorum ejusdem maximorum facinorum arrha. Sic Deus imitatorem suum regem, ut cum magno Jeremia loquamur, quasi munitam urbem in omne tempus statuit, et quasi columen cuncti regnatoribus terræ atque potentibus, et sacerdotibus, atque populo orbis. Quare etiam ea quæ sequuntur ibi, confidenter prædicare licet; nunquam scilicet fore ut adversus eum quivis hostis prævaleat, quia Dominus cum ipso est. Huic igitur maximo imperatori nostro (qui in eo quoque similitudinem cum Deo servat, quod aliud nullum ex usitatis nomen C est, prærogativis ejus mentis, animi, manus, atque prudentiæ convenientius) nemo prorsus debitas referre gratias poterit. Attamen effusis ex imo corde precibus cuncti huic favemus atque plaudimus: et cum rege Davide canimus, Ponat Deus thronum ejus sicut dies cœli, atque in sempiternum præparet semen ejus, omnesque cordis ejus petitiones compleat; cunctæ gentes serviant ei; et ejusdem fructus supra Libanum exaltetur, et rex nunquam appellari desinat: donec ex hoc terrestri, post longos solis anfractus, ad cœleste immortale regnum commigret.

δ'. Τοιοῦτον Θεὸς τὸ πέρας τοῖς προτεθεῖσιν ἐπ-
ήνεγκεν· οὕτως ἡ μεγάλη ζάλη τῆς Ἐκκλησίας
ἐγκατεστόρεσται· οὕτως ὁ τῶν βασιλικῶν σκήπτρων
οἰακοστρόφος ἐπάξιος, τῷ τοῦ παντὸς κυβερνήτῃ
Θεῷ κινούμενος καὶ οἰκονομούμενος, τοὺς αὐτῷ δι-
δομένους καὶ ἀρχομένους ἐφύλαξε, καὶ οὐδεὶς τῶν
πάντων ἀπώλετο· οὐδὲ εἰς βάθη καρδίας ἑτεροδόξου
θαλάσσης ἀπέρριπται· ἀλλ' ὡς πύργῳ φρουκτω-
ροῦντι τούτῳ καθοδηγούμενοι τοῖς τῆς ὀρθοσεβείας
λιμέσι πάντες ἐγκαθωρμίσθησαν· οὕτω καὶ νῦν ἡ
τοῦ Θεοῦ σοφία καινότερον ἕτερον τρόπον οἱα-
ἑαυτῇ τὸν βασιλέα τοῦτον ἀνῳκοδόμησε· τοῖς ἐπι-
δικοῖς τοῦ θείου Πνεύματος πεπυκασμένον χαρί-
σμασι· καὶ μετὰ τοῦ Πατρὸς ἐλθοῦσα τὴν μονὴν ἐν
αὐτῷ ποιεῖται, κατὰ τὴν ἐν Εὐαγγελίοις ὑπόσχεσιν
καὶ τὸν τῆς γνώσεως κρατῆρα τούτῳ χειρίσασα, πᾶ-
σιν ἀπαντλεῖν ἀκένωτα δίδωσιν· οὗ καὶ χάριτος κλή-
ματα τῆς ἀληθινῆς ἀμπέλου πάντες εὑρέθησαν, ἐν
ταύτῃ μείναντα καρποδοτήσαντα, καὶ τὸν τὰς ὀρθο-
δόξους καρδίας εὐφραίνοντα τῆς εὐσεβείας οἶνον πη-
γάζοντα· τοῦτο τῶν προλαβόντων κατορθωμάτων τὸ
αὐτοκράτορος ἄριστον ἀκροθίνιον· τοῦτο τῶν ἀπαρ-
μίλλων αὐτοῦ τροπαίων μέγιστον ἐγκαλλώπισμα·
τοῦτο μελλόντων μειζόνων μεγαλουργημάτων ἐχέγ-
γυον· οὕτω Θεὸς τὸν αὐτοῦ μιμητὴν βασιλέα, κατὰ
τὸν μέγαν Ἱερεμίαν εἰπεῖν, ὡς πόλιν ὀχυρὸν ἐν
παντὶ καιρῷ τέθεικε· καὶ ὡς στῦλον ἅπασι τοῖς κρα-
τοῦσι τῆς γῆς, καὶ τοῖς ἄρχουσι, καὶ τοῖς ἱερεῦσι
καὶ τῷ λαῷ τῆς γῆς· ὡς ἐντεῦθεν θαῤῥοῦντας καὶ
τὰ ἐξῆς ἀναφθέγγεσθαι· οὐ μὴ δύνωνται πρὸς αὐτὸν
πάντες οἱ ἀντικείμενοι· διότι Κύριος μετ' αὐτοῦ
ἐστιν. Τοῦτον δὴ τὸν μέγιστον ἡμῶν αὐτοκράτορα
τὸν κἀν τούτῳ τὴν πρὸς Θεὸν ἐμφέρειαν σώζοντα, ὅτι
μηδέν ἐστι κοινόν τι προσαρμοζόμενον ὅρομα (46)
τοῖς κατὰ νοῦν καὶ ψυχὴν καὶ χεῖρα καὶ σύνεσιν αὐ-
τοῦ προτερήμασιν, ἑτέρῳ μὲν οὐδενὶ πάντως ἁρμόσει
σθαι τρόπῳ τῶν τις ἁπάντων δυνήσεται· εὐχαῖς ὑ-
ξύμπαντες ἐγκαρδίοις καὶ συγγλιχόμεθα καὶ συνε-
ξιούμεθα· μετὰ τοίνυν τοῦ βασιλέως Δαβὶδ, Θὴ
Κύριος, ἄδομεν, τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας
τοῦ οὐρανοῦ· καὶ εἰς αἰῶνα ἑτοιμάσαι τὸ σπέρμα
αὐτοῦ· καὶ πληρῶσαι πάντα τὰ τῆς αὐτοῦ καρδίας
καὶ ὁ καρπὸς αὐτοῦ ὑπεραρθείη ὑπὲρ τὸν Λίβανον·
αἰτήματα· καὶ πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ·
καὶ τέλος τῆς βασιλικῆς προσωνυμίας τούτῳ μὴ γένοιτο· ἐκ τῆς ἐπιγείου ταύτης μετὰ μακροὺς ἡλίου
κύκλους, ἐπὶ τὴν ἐν οὐρανοῖς ἀκατάλυτον βασιλείαν μεταχωρήσαντι.

Sequuntur subscriptiones autographæ.

D

Humilis monachus Lucas miseratione Dei archiepiscopus Constantinopoleos novæ Romæ.

Ὁ ταπεινὸς μονάχος Λουκᾶς καὶ ἐλέῳ Θεοῦ ἀρ-
χιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης.

Humilis archiepiscopus metropoleos Cæsareæ Cappadociæ Stephanus.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος τῆς μητροπόλεως Καισα-
ρείας Καππαδοκίας Στέφανος.

Sanctissimæ metropoleos Ephesi archiepiscopus humilis Nilus.

Ὁ τῆς ἁγιωτάτης μητροπόλεως Ἐφέσου ἀρχιεπί-
σκοπος ταπεινὸς Νῖλος.

Humilis metropolita Heracleæ Michael.

Ὁ εὐτελὴς μητροπολίτης Ἡρακλείας Μιχαήλ.

Humilis metropolita Cyzici Basilius.

Ὁ εὐτελὴς μητροπολίτης Κυζίκου Βασίλειος.

Humilis metropolita Nicomediæ Michael.

Ὁ εὐτελὴς μητροπολίτης Νικομηδείας Μιχαήλ.

Humilis metropolita Nicææ Georgius.

Ὁ εὐτελὴς μητροπολίτης Νικαίας Γεώργιος.

(46) *Emmanuel* significare *Deus nobiscum* nemo ignorat.

Ὁ μητροπολίτης Ἀμασείας Λέων (47).
Ὁ εὐτελὴς μητροπολίτης Γαγγρῶν Ἰωάννης.
Ὁ εὐτελὴς μητροπολίτης Κλαυδιουπόλεως Ἰωάννης.
Ὁ εὐτελὴς μητροπολίτης Μωκησοῦ Λουκᾶς.
Ὁ ἀρχιεπίσκοπος τῆς μητροπόλεως Κρήτης Ἰωάννης.
Ὁ εὐτελὴς μητροπολίτης Πατρῶν Θέων.
Ὁ εὐτελὴς μητροπολίτης Φιλίππων Ἐπιφάνιος (48).
Ὁ εὐτελὴς μητροπολίτης Ἱεραπόλεως Γεώργιος.
Ὁ εὐτελὴς μητροπολίτης Δυρραχίου Μιχαήλ.
Ὁ εὐτελὴς μητροπολίτης Αἴνου Ἰωάννης.
Ὁ εὐτελὴς μητροπολίτης Ἀπαμείας Ἰσαάκιος.
Ὁ εὐτελὴς μητροπολίτης Ναζιανζοῦ, εἰ καὶ ἀνάξιος, Νικηφόρος.
Ὁ εὐτελὴς μητροπολίτης Ἀβύδου Μιχαήλ.
Ὁ εὐτελὴς μητροπολίτης Μηθύμνης Νικόλαος.
Ὁ εὐτελὴς μητροπολίτης Λακεδαιμονίας Νικήτας.
Ὁ εὐτελὴς μητροπολίτης Μιλήτου Νικήτας.
Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Παρίου Νικόλαος.
Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Προικοννήσου Ἰσαάκιος.
Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Σηλυβρίας Θεόδουλος.
Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Κίου Μιχαήλ.
Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Ἀπ. . . . (49).
Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Κυψέλλων Ἰωάννης.
Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Βρύσεως Κωνσταντῖνος.
Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Γοτθίας Κωνσταντῖνος (50). — (*Reliquæ subscriptiones desunt propter extrema folia e codice abscissa*).

A Humilis metropolita Amaseæ Leo.
Humilis metropolita Gangrorum Joannes.
Humilis metropolita Claudiopoleos Joannes.
Humilis metropolita Mocesi Lucas.
Humilis metropolita Cretæ Joannes.
Humilis metropolita Patrarum Theon.
Humilis metropolita Philipporum Epiphanius.
Humilis metropolita Hierapoleos Georgius.
Humilis metropolita Dyrrachii Michael.
Humilis metropolita Æni Joannes.
Humilis metropolita Apameæ Isaacius.
Humilis metropolita Nazianzi, quanquam indignus, Nicephorus.
B Humilis metropolita Abydi Michael.
Humilis metropolita Methymnæ Nicolaus.
Humilis metropolita Lacedæmoniæ Nicetas.
Humilis metropolita Mileti Nicetas.
Humilis archiepiscopus Parii Nicolaus.
Humilis archiepiscopus Præconnesi Isaacius.
Humilis archiepiscopus Selybriæ Theodulus.
Humilis archiepiscopus Cii Michael.
Humilis archiepiscopus . . . .
Humilis archiepiscopus Cypsellorum Joannes.
Humilis archiepiscopus Bryseos Constantinus.
Humilis archiepiscopus Gothiæ Constantinus.
C

(47) Aliqui in præcedentibus, Amaseæ metropolita dicitur *Nicetas*; et sic alia quoque in his autographis subscriptionibus nonnulla nomina a suprascriptis differunt. Videtur igitur concilii amasensis mendose interdum scripsisse; neque enim ipsi episcopi nomina propria ignorabant; neque tam brevi synodi intervallo mutatos episcopos reor.
(48) Retro *Joannes*.
(49) Urbis hujus episcopique nomina ex tachygraphica nota informi ac perdifficili explicare nequeo. Legebam tamen Ἀπ... cum leni spiritu accentuque in prima syllaba acuto.
(50) Retro in codice nostro est *Joannes*. Sed tamen *Constantinus* Gothiæ episcopus sub Manuele Comneno occurrit etiam apud Allatium *de consens.* p. 685.

NICETÆ CHONIATÆ

EX LIBRO INCERTO

THESAURI ORTHODOXÆ FIDEI

(Mai Spicil. Rom. t. IV, 498.)

Περὶ τῆς καινοφανοῦς αἱρέσεως τῶν Λιζικιανῶν. D

Ἰστέον ὅτι, καθά φησι Γρηγόριος ἀρχιεπίσκοπος Σικελίας, ὁ τὸν βίον τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως συγγραψάμενος, ἐπὶ τῆς βασιλείας Μιχαὴλ καὶ Θεοδώρας τῆς αὐτοῦ μητρὸς ἦν τις ἀπηκρῆτις, ᾧ τὸ ἐπώνυμον

De recenti Lizicinorum hæresi.

Notandum, secundum quod dicit Gregorius, archiepiscopus Siciliæ, qui vitam sancti Patris Methodii, patriarchæ CP., conscripsit, sub regno Michaelis et Theodoræ matris ipsius virum quemdam a secretis, cui nomen Licix, exstitisse. Hic

Manichæorum hæresim amplexus, crucem venerabilem stultitiam arbitratus est esse, Deum et Dominum nostrum Jesum Christum creaturam nominando et sanctissimam ejus matrem Deiparam esse negando. Idem mysteriorum tremendorum communionem irrisit, et cum asseclas invenisset non paucos, Lizicinorum secta originem inde traxit. Hunc virum sanctus Methodius ad fidem orthodoxam cum reduxisset, id effecit ut alii quoque ejus exemplum sequerentur. Hos die aliquo festo solemniter sacro unguento delibutos et candidis vestibus ornatos postquam faces in eorum manibus posuisset, orthodoxorum choro immiscuit.

A Λίζιξ, ὃς, τὰ Μανιχαίων φρονήσας, τὸν προσκυνητὸν σταυρὸν μωρίαν ἡγεῖτο, καὶ τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν ὀνομάζων κτίσμα, τὴν πάναγνον αὐτοῦ μητέρα Θεοτόκον οὐκ ἔλεγε· ἐγὼ δὲ πρὸς τούτοις καὶ τὴν τῶν φρικτῶν καὶ θείων μυστηρίων μετάληψιν. Πολλῶν δὲ αὐτῷ καὶ ἄλλων ἀκολουθησάντων, ἐντεῦθεν ἡ τῶν λεγομένων Λιζικιανῶν αἵρεσις συνέστη. Τοῦτον τοίνυν ὁ ἅγιος Μεθόδιος, πείσας μεταθέσθαι πρὸς τὴν ὀρθόδοξον πίστιν, συνέπεισε δι' αὐτοῦ καὶ τοὺς ἄλλους καὶ παρασκευάσας ἐν ἐπισήμῳ ἡμέρᾳ θριαμβεῦσαι τὴν οἰκείαν αἵρεσιν, χρίσας τε μύρῳ ἁγίῳ, καὶ λευκὴν κοσμήσας ἐμφωτείοις, λαμπάδας κατέχοντας, τοῖς ὀρθοδόξοις συνέστησεν.

RECENSIO CODICIS MEDICEI XXIV,

PLUT. IX.

(Ex Ang. Mariæ Bandinii fasciculo rerum Græcarum. Florentiæ 1763.)

Continet hic codex Nicetæ Choniatæ *Thesaurum orthodoxæ Fidei*, in libros XXVII digestum, quem ipse in gratiam amici, qui capta a Latinis Constantinopoli, solum vertere secum coactus fuerat, in exsilio conscripsit, ubi post expositam salutarem doctrinam, omne genus hæresum sectarumque ad suam usque ætatem persequitur, et testimoniis veterum Ecclesiæ doctorum, vel propriis argumentis refellit. Cum vero totum hoc opus propter molem hactenus lucem, quam meretur, haud viderit, quoniam duo facile volumina in folio compleret, librorum argumenta, quorum index præcurrit, ac primas duas codicis paginas occupat, subjicere animus erat; sed cum jam prolata fuerint, et a Fabric. *B. G.* t. VI. p. 420 seqq. et a Montefalconio *Palæogr. Græc.* p. 327 seqq., nos iis omissis, quæ cum dictis editionibus concordare comperimus, argumentum tantummodo libri IV, quod aliquantum ab iis differt, proferimus, quod ita habet :

ιη'. Ἡ δὲ τῶν ἁγίων μετάθεσις, τοῦ σώματος, φημὶ, τοῦ Δεσποτικοῦ καὶ τοῦ αἵματος ἀπὸ τῆς προθέσεως (21), καὶ ἡ τούτων πρὸς τὸ θυσιαστήριον εἴσοδος κατὰ τὸ χερουβικὸν, τὴν ἀπὸ Βηθανίας πρὸς Ἱερουσαλὴμ δηλοῖ τοῦ Κυρίου εἰσέλευσιν· τηνικαῦτα γὰρ καὶ ὁ πλεῖστος ὄχλος καὶ οἱ τῶν Ἑβραίων παῖδες ὡς βασιλεῖ καὶ νικητῇ τοῦ θανάτου τὸν ὕμνον ἀνέφερον αἰσθητῶς· νοητῶς δὲ ἄγγελοι μετὰ τῶν χερουβὶμ τὸν τρισάγιον ἀπεδίδοσαν ὕμνον· καὶ τὰ σκῆπτρα καὶ τὰς ῥομφαίας (22), ἃς τὸ παλαιὸν ἔφερον, ὡς σύμβολα βασιλείας ἐπιφέρουσιν οἱ διάκονοι· καὶ τὰ ῥιπίδια, ἃ καὶ ῥιπίδες γράφονται, εἰς τύπον εἰσὶ τῶν χερουβίμ. (23) Ὁ δὲ ᾀδόμενος χερουβικὸς ὕμνος προτρέπεται πάντας ἐντεῦθεν καὶ μέχρι τοῦ τέλους τῆς ἱερουργίας προσεκτικώτερον ἔχειν τὸν νοῦν πᾶσαν βιωτικὴν μέριμναν κάτωθεν ἀφιεμένους, ὡς βασιλέα μέγαν μέλλοντας δέχεσθαι διὰ τῆς κοινωνίας. Ἡ δὲ πρὸ τὴν ἁγίαν τράπεζαν τῶν ἁγίων ἀπόθεσις μίμησιν ἔχει τηνικαῦτα μὲν τοῦ ἐστρωμένου ἀνωγέου, μετ' ὀλίγον δὲ ἡ αὐτὴ καὶ τὴν ἐπὶ τοῦ σταυροῦ ὕψωσιν· ἐν δὲ τῷ τέλει τὴν ταφὴν εἰκονίζει, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἐκεῖθεν ἀνάληψιν· ἵνα γὰρ μὴ τὸ καθ' ἕκαστον τῶν τότε γενομένων τὴν ὥραν καὶ τὸν καιρὸν καὶ τὸν τόπον ἀφορίζοντες οἱ μακάριοι Πατέρες, ἔτι καὶ μεταθέσεων ἑτέρων καὶ θυσιαστηρίων πλειόνων δεηθῶσι, κἀκ τούτων ὡσανεὶ μωμητὸν τὸ τῆς οἰκονομίας μυστήριον καταστῇ, ἄξιον τῆς θεουργοῦ δημιουργίας τρόπον ἐμιμήσαντο, ὡς οἷόν τε ἀνθρώπῳ τὰ θεῖα μιμεῖσθαι καὶ κατεργάζεσθαι. Καὶ δὴ ὡς οὐρανὸν μὲν τὸ ἐπάνωθεν τῆς ἁγίας τραπέζης ὁρόφιον ἀπαρτίζουσι· ὡς ὅλην δὲ γῆν ὁρίζονται τὸ ὑπὸ τεσσάρων κιόνων τοῦ κιβωρίου συγκλειόμενον ἢ περιγραφόμενον ἱερὸν ἔδαφος· ἐν ᾧ πληροῦται καὶ ὁ προφητικὸς λόγος, ὁ, «Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεός·» πάντων γὰρ ὁμολογούντων ἐν Ἱεροσολύμοις περιγεγράφθαι τῆς γῆς τὸ μεσαίτατον, ἔνθα δὴ καὶ πάντα τὰ τοῦ

B 18. Age vero sanctarum rerum a prothesi translatio, corporis, inquam, Dominici et sanguinis, et horum ad altare introitus resonante hymno cherubico, indicat Domini ex Bethania ad urbem Jerusalem processum. Tunc enim et turba plurima, et Hebræorum pueri, tanquam regi mortisque victori, hymnum voce sensibili cecinerunt; intellectualiter autem angeli cum cherubinis trisagii hymnum dixerunt. Et sceptra gladiosque, quorum olim usus erat tanquam regni symbola gestant diaconi. Tum et ventilabra, figuram cherubinorum gerunt. Qui autem canitur hymnus cherubicus, admonet omnes, ut nunc, et usque ad liturgiæ finem, attentiore animo sint, omissa omni mundana terrenaque

C cura, ceu qui magnum Regem in sacra communione suscepturi sunt. Jam et rerum sanctarum in sancta mensa repositio, imitatur stratum illud cœnaculum, et paulo post, in crucem exaltationem; et in fine demum sepulturam repræsentat, et resurrectionem et deinde assumptionem. Ne enim, si omnium sigillatim tunc actorum horam ac tempus locumque definirent beati Patres, adhuc aliis translationibus, pluribusque altaribus indigerent, atque hinc quasi risui expositum œconomiæ mysterium evaderet, decoram mundanæ Dei creationis rationem imitati sunt, quatenus homini divina imitari licet atque operari. Itaque cœli instar superius sanctæ mensæ lacunar fabricarunt. Instar vero universæ terræ esse constituerunt sub quatuor ciborii

D columnis clausum et circumscriptum sacrum pavimentum. Qua in re impletur prophèticum illud dictum: « Qui operatus est salutem in medio terræ [19]. » Nam cum omnes confiteantur Hierosolymam in media terræ statione esse collocatam, qua in civitate universam passionem suam sustinuit Dominus, proditionem, judicium, et ea quæ crucem præcesserunt ac subsecuta sunt; cum in-

[19] Psal. LXXIII, 12.

(21) Al. codex addit ἢ σκευοφυλακίου, *aut a scevophylacio*; quod mendum videretur, cum non eadem mensa fuerit πρόθεσις et σκευοφυλάκιον, quod etiam *diaconicum* nonnulli appellant. Sed tamen in libello Delineationis ecclesiæ Orientalis Græcæ, auctore Eustrathio Joannide Ruthevo, p. 117, legimus: *Prius quam ad altare, consecrationis gratia, deferrentur oblationes, in gazophylacium* (idem quod *scevophylacium*) *portabantur, donec inquisitio facta fuisset, num ex tales essent, quæ Domino digne offerrentur.* Sed legesis Allatium *De Græcorum templis*, ed. Paris. p. 136.

(22) Hinc in picturis Græcæ missæ vides angelos, quorum vicem gerunt diaconi, gladiis armatos. Et cæremoniarum apud nos magistris baculus instar sceptri est.

(23) Hic quoque tractus, usque ad κοινωνίας, exstat in solo codice b32, p. 6. a.

super sanctam mensam medium inter cœlum ac terram tenere locum appareat, eademque media inter columnas ac ventilabra sit, merito ipsa cœlo supposita esse dicetur : atque sive in India sive in Britannicis insulis ea consistat, salutem in medio terræ patratam fuisse denotat per ea quæ in ipsa peraguntur mysteria. Quod si quis dicat, non omnem ecclesiam habere ciborium et crepidines atque columnas, satis, inquam, erit si semicirculare bema habeat, quod in qualibet ecclesia fieri constitutum est, cujus curvum lacunar cœleste hemisphærium repræsentat, mediam habens ex adverso sanctam mensam.

πάθους ὑπέστη ὁ Κύριος, τὴν προδοσίαν, τὴν κρίσιν, τὰ πρὸ τοῦ σταυροῦ, καὶ τὰ μετὰ τὸν σταυρόν· ἐπεὶ καὶ ἡ ἁγία τράπεζα μεθόριον οὐρανοῦ καὶ γῆς ὡς παραδείκνυται, καὶ κατὰ τὸ μέσον τῶν κιόνων καὶ τῶν κύκλῳ ῥιπίδων ἔχει τὴν στάσιν, εἰκότως ἐν οὐρανὸν εἴη αὕτη, εἴτε ἐν Ἰνδίᾳ, εἴτε ἐν Βρετανικαῖς (24) νήσοις, ἐν μέσῳ τῆς γῆς (25) τὴν σωτηρίαν ἐργάζεσθαι ὑπεμφαίνει διὰ τῶν τελουμένων ἐν αὐτῇ· τῷ δὲ λέγοντι, Ἀλλ' οὐ πᾶσα ἐκκλησία κιβώριον ἔχει καὶ χρηπῖδας καὶ κίονας; ἀρκέσει τὸ τοῦ βήματος ἡμικύκλιον ἐν πάσῃ ἐκκλησίᾳ νομοθετηθέν (26)· οὗ καὶ ὁ μῦαξ τὸ οὐράνιον ἡμισφαίριον σχηματίζει, ἐν μέσῳ ἔχον καταντικρὺ τὴν ἁγίαν τράπεζαν.

19. Jam post sanctorum donorum repositionem, precem episcopus pro se et populo recitans, postulat ut gratum sit Deo Patri sacrificium Filii ejus unigeniti qui immolatur. Etenim hic immolatus hostiam se in sui Patris honorem obtulit, quanquam id Pater non exigeret. Atque sanguis ejus liberando universo hominum generi pretium exstitit, et quasi redemptio. Postea elata voce : Amemus invicem, clamat diaconus; ita ut sensibilis quæ tunc fit salutatio, intellectualiter intra cor recipiatur, et omnis injuriarum memoria abstergatur. Tum bis diaconus inclamans ait : « Portas, portas; in sapientia attendamus; » id est, Ne insipienter neque inconsiderate sancta hæc tractare ausimus, nec quasi quotidiana consuetudine inviolabile hoc peragamus officium et actum, ut acceptabile videamur Domino sacrificium offerre : sed postquam cum puritate cognoverimus cui vel quali modo singula prototypa, quæ nunc fiunt, utiliter congrueque competant. Oportet itaque ut mystæ atque initiatores harum rerum, sacerdotes, inquam, atque episcopi, cunctique ministri, rationem noverint officiorum horum, et cui unumquodque referatur. Quod est enim rationalis naturæ proprium, id his verbis, « In sapientia attendamus, » imperatur. Sequitur : « Stemus honeste, stemus cum timore, attendamus sanctæ anaphoræ. » Quænam porro anaphora? Nempe ad prototypa perficiendorum symbolorum respectus. Demonstrativum enim est, et similitudinis indicativum, anaphoræ vocabulum. Ideoque trementes pariter et lacrymantes, quasi ipsum nunc cerneremus patientem pro nobis theanthropum, ita stemus sobrie et composite, ut cum pace, et sine terrenarum cogitationum perturbatione, hæc exhibentes, digni fiamus inclytam ejus resurrectionem cernere, atque hinc gaudio repleri; præcipue qui, prout loci sanctitas postulat, corpus suscipiunt. Hi enim et ei compatiuntur, et consepulti, postea simul resurgunt.

ιθ'. Μετὰ δὲ τὴν ἀπόθεσιν τῶν ἁγίων δώρων, τὴν εὐχὴν ὁ ἀρχιερεὺς ὑπὲρ ἑαυτοῦ καὶ τοῦ λαοῦ ποιούμενος, αἰτεῖται εὐπροσδόκητον γενέσθαι τὴν προτεθεῖσαν τῷ Θεῷ καὶ Πατρὶ θυσίαν τοῦ θυομένου μονογενοῦς Υἱοῦ αὐτοῦ· οὗτος γὰρ ὁ θυόμενος εἰς τιμὴν τοῦ οἰκείου Πατρὸς, ἑαυτὸν εἰς θυσίαν ἀπέδωκε καὶ ταῦτα μὴ αἰτήσαντος τοῦ Πατρός· καὶ τὸ εἰς τιμὴν πατρικὴν χυθὲν αἷμα, τοῦτο τιμὴ ἐγένετο πρὸς ἐλευθερίαν πάσης ἀνθρωποτήτος, καὶ οἱονεί τις ἐξώνησις· εἶτα τὸ, « Ἀγαπήσωμεν ἀλλήλους, » ἐκφωνεῖ ὁ διάκονος, ὥστε τὸν αἰσθητὸν γινόμενον ἀσπασμὸν νοητῶς ἐν τῇ καρδίᾳ εἰσδέχεσθαι, καὶ πᾶσαν ἐξορίζειν μνησικακίαν. Ἀναδιπλασιάζει δὲ παρεγγυώμενος ὁ διάκονος λέγων, « Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσσχωμεν· » τουτέστι, Μὴ ἀσόφως καὶ ἀλογίστως τολμῶμεν ταυτὶ τὰ ἅγια, μεθ' ὑπὸ τῆς καθ' ἑκάστην ἡμέραν συνηθείας τὸ ἀνεπιφαλὲς κατορθοῦντες τῆς πράξεως καὶ τῆς ἐνεργείας αὐτῶν, δοκῶμεν θυσίαν εὐπρόσδεκτον τῷ Κυρίῳ προσφέρειν· ἀλλ' ὅταν μετὰ καθαρότητος ἐπιγινώσκωμεν, τίνι καὶ ποίῳ τρόπῳ τῶν πρωτοτύπων ἕκαστον τῶν νῦν τελουμένων προσφόρως καὶ καταλλήλως συνάπτεται. Χρὴ οὖν τοὺς μύστας καὶ μυσταγωγοὺς τῶν τοιούτων, ἱερεῖς, φημὶ, καὶ ἀρχιερεῖς, καὶ πάντας τοὺς ταῦτα διακονουμένους, εἰδέναι τὸν λόγον τῶν τελουμένων, καὶ πρὸς τί ἕκαστον ἀναφέρεται· τοῦτο γὰρ ἴδιον τῆς λογικῆς φύσεως, ὡς καὶ τὸ, « Ἐν σοφίᾳ πρόσσχωμεν, » διεντέλλεται. Τούτοις ἕπεται καὶ τὸ, « Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ. » Τί δὲ ἡ ἀναφορά; Ἡ πρὸς τὰ πρωτότυπα τῶν τελουμένων συμβόλων ἔποψις· δηλονότι· δεικτικὸν γὰρ καὶ ὁμοιωματικὸν τὸ τῆς ἀναφορᾶς ὄνομα· καὶ διὰ τοῦτο τρέμοντες ὁμοῦ καὶ δακρύοντες, ὡς νῦν αὐτὸν ὁρῶντες πάσχοντα ὑπὲρ ἡμῶν τὸν θεάνθρωπον, οὕτω στῶμεν νηφόντως καὶ εὐσταθῶς, ὅπως ἐν εἰρήνῃ καὶ ἀταραξίᾳ τῶν κάτωθεν λογισμῶν, ταῦτα προσφέροντες ἢ ἀναφέροντες, καταξιωθῶμεν ἰδεῖν αὐτοῦ τὴν θείαν ἀνάστασιν, καὶ τῆς ἐντεῦθεν χαρᾶς ἐμπλησθῶμεν· καὶ μάλιστα οἱ ἄξιοι τοῦ θείου τόπου ὄντες αὐτῷ, καὶ συνθαπτόμενοι συνανίστανται.

(24) Male apud Germanum βενετικαῖς, *venetis*. Item alibi ἀνώγαιον ἐσταυρωμένον pro ἐστρωμένον.

(25) Diceres cum poetis ἐν ὀμφαλῷ τῆς γῆς.

(26) Vides legem Græcam de semicirculari presbyterio, ut apud Allatium *De templis Græc.* ed. Paris. p. 166. Quin adeo decoram hanc legem servatam videmus in priscis etiam Romæ et civitatis Toscaniæ basilicis.

κ'. Παρεγγυᾶται δὲ πρὸς τούτοις ὁ ἀρχιερεὺς ἄνω A τὰς καρδίας ἔχειν, καὶ ὅλον τὸν νοῦν. Οἱ πιστοὶ δὲ, τούτων λεγομένων, ἐπαγγέλλονται προσφέρειν πρῶτον μὲν ἔλεον, εἶτα εἰρήνην ὡς θυσίαν αἰνέσεως. Ὁμολογοῦσι δὲ καὶ τὰς καρδίας οὕτως ἔχειν πρὸς Κύριον, ὥσπερ ἐντέλλονται. Ἐπὶ τούτοις τὸ θεῖον τῆς ὀρθοδόξου πίστεως σύμβολον λέγεσθαι διατέτακται, ἵν' ἐκ τούτου γνώριμον εἴη τοῖς πᾶσιν ὅτι ὁ εἷς τῆς Τριάδος ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ ἀνάρχου Πατρὸς, οὗτος διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ ἄνθρωπος γέγονε, σαρκωθεὶς ἐκ τῆς ἁγίας Παρθένου, σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστάς· οὗ κατὰ τὰς θείας ἐντολὰς τὰ τελούμενα ταῦτα πράττομεν, ἵνα μὴ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις εἰσαεὶ τῆς σωτηρίας ἡμῶν ἐνεργουμένης, οὕτω φαινώμεθα ζῶντες B ὁμοῦ καὶ πολιτευόμενοι· καὶ τὰ μὲν πάθη σαρκὶ τοῦτον ὑπομεμενηκέναι ὁμολογῶμεν, ἀπαθῆ δὲ τούτου φυλάττεσθαι τὴν θεότητα· ἅμα δὲ ἵνα τῇ ἐκφωνήσει τοῦδε τοῦ θείου συμβόλου καὶ οἱ ἀγνῶτες καὶ ἀμαθεῖς, τούτου ἀκούοντες τοῦ ᾄδομένου, διὰ παντὸς ἐν γνώσει ἔχωσι τὰ ἔκφορα τοῦ μυστηρίου τῆς πίστεως, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς οὐκ ἀπόῤῥητα.

κα'. Ἡ δὲ τῶν θυρῶν κλεῖσις, καὶ ἡ ἐπάνω τούτων ἐξάπλωσις τοῦ καταπετάσματος, ὡς ἐν τοῖς μοναστηρίοις εἰώθασι, καὶ ἡ τοῦ λεγομένου ἀέρος (27) τῶν θείων δώρων ἐπικάλυψις, ὡς οἶμαι, τὴν νύκτα ἐκείνην δηλοῖ, καθ' ἣν ἡ τοῦ μαθητοῦ προδοσία πρὸ ἔβη, καὶ ἡ πρὸς Καϊάφαν ἀπαγωγὴ, καὶ ἡ πρὸς Ἄνναν παράστασις, καὶ αἱ ψευδομαρτυρίαι, ναὶ C μὴν καὶ οἱ ἐμπαιγμοὶ, καὶ οἱ κολαφισμοὶ, καὶ τἆλλα ὅσα τὸ τηνικαῦτα συμβέβηκε· διὰ τί γὰρ τὸ κάλυμμα τοῦτο ἀὴρ ὠνομάσθη, ἢ πάντως διὰ τὸ τὸν ἐπικαλυπτόμενον παρ' αὐτοῦ σκοτεινὸν ἀέρα τῆς εἰρημένης νυκτὸς εἰκονίζεσθαι; καθ' ὃν καὶ Πέτρος ὁ μέγας ἔξω τῆς θύρας ἐστὼς, πρεσβείᾳ τοῦ ἐγνωσμένου τῷ ἀρχιερεῖ μαθητοῦ, ἔνδον ἐγένετο τῆς αὐλῆς· ἔνθα καὶ ἡ παιδίσκη τούτῳ ἐντυχοῦσα, καὶ οἱ πρὸς τῇ πυρᾷ παρεστῶτες, διήλεγχον· καὶ τὰ λοιπὰ τούτῳ ἐπηκολούθησαν ὅσα πρὸς τὸν κρημνὸν τῆς ἀρνήσεως κατηπείγοντο, διὰ τὸ πτῶμα συγχωρηθέντι οὕτω γενέσθαι τῆς ἐπάρσεως ἢ καυχήσεως. Αἰρουμένου δὲ τοῦ ἀέρος καὶ τοῦ καταπετάσματος συσταλλομένου, τῶν θυρῶν τε ἀνοιγομένων, ἡ πρωΐα διατυποῦται, καθ' ὃν ἀπήγαγον αὐτὸν καὶ παρέδωκαν D Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι· ἐν τούτῳ γὰρ τῷ καιρῷ τῆς τῶν θυρίδων δηλαδὴ κλείσεως καὶ τοῦ καταπετάσματος τοὺς ὑποδιακόνους ἔξωθεν ἱστασθαι ἐν τῷ πλάτει τοῦ θείου ναοῦ, ὡς ἐν αὐλῇ τάχα τοῦ σεπτοῦ θυσιαστηρίου, οἱ θεῖοι Πατέρες διατετάχασι, τὰ σκάνδαλα ἐκ μέσου αἴροντες, καὶ τοὺς ἀναιδῶς καὶ ἀνερυθριάστως ὧδε κἀκεῖσε περιτρέχοντας ἐπὶ βλάβῃ τῶν ἀφελεστέρων, οἷά τινα παιδίσκην ἀποσοβοῦντας καὶ ἀναστέλλοντας, οἵ γε καὶ τὸ, « Ὅσοι πιστοὶ, » ἐκφωνοῦντες τοὺς παρεστῶτας ἀσφαλίζονται, τοῦ πτώματος τοῦ κορυφαίου μυστικῶς κατὰ ταύτην τὴν ὥραν ἀναμιμνήσκοντες, ὡς ἂν

20. Hortatur mox episcopus, sursum corda totamque mentem habere. Fideles autem, dum hæc dicuntur, promittunt exhibere primo quidem misericordiam, deinde pacem, ceu sacrificium laudis. Fatentur item, se ita habere corda erga Dominum, ut jubentur. Post hæc divinum orthodoxæ fidei symbolum dici ordinatum est, ut hinc omnibus fiat exploratum, quod unus de Trinitate unigenitus Filius et Verbum principio carentis Patris, propter nostram salutem homo sit factus, incarnatus de sancta Virgine, crucifixus, sepultus, et resuscitatus: cujus divino mandato hæc sacra facimus ut haud verbis tantum, verum etiam operibus salutem nostram assidue operantes, sic non vivere tantum sed cum virtute vivere videamur: atque cruciatus ipsum quidem carne passum confiteamur, sed ejusdem impassibilem mansisse divinitatem; simulque ut dum hæc divini symboli elata voce recitatio fit, idiotæ ignarique homines, canticum hoc audientes, mente percipiant mysterii notitiam, quæ jam multorum auribus divulgatur.

21. Portarum vero clausura, nec non veli his superimpendentis apertio, ut in monasteriis fieri solet, tum et illud divinorum donorum operimentum, quod vulgo dicitur aer, illam, ut reor, noctem in qua discipuli proditio evenit, denotant, et ad Caipham deductionem, et coram Anna præsentationem, et falsa testimonia, et illusiones, et colaphos, et quæcunque hujusmodi tunc contigerunt. Cur enim operimentum hoc appellatur aer, nisi quia adopertus tenebris aer noctis illius ab eo figuratur? qua et magnus Petrus, cum extra januam staret, rogatu discipuli, qui erat pontifici notus, intromissus in atrium fuit: ubi et ancilla ei occurrens, et qui sedebant ad prunas, eum coarguerunt; et alia ei evenerunt, quæ ad negationis præcipitium impulerunt; dum hoc lapsu corruere permissus est elationis suæ causa et gloriationis. Ablato autem aere, et retracto velo, portisque patentibus, mane illud figuratur, quo Christum abductum Pontio Pilato prætori tradiderunt. Hoc enim tempore, nempe dum portæ clausæ sunt, et velum prætensum, subdiaconos foris manere in venerabilis templi spatiis, quasi in sacri altaris atrio, sancti Patres mandarunt, scandala e medio subducentes, et eos qui inverecunde impudenterque huc illuc discurrunt cum simpliciorum damno, ancillæ cujusdam instar abigentes et cohibentes. Item illi qui illa verba inclamant: « Quicunque fideles, » præsentes omnes a lapsu cavere monent; dum illis coryphæum hoc tempore in memoriam revocant; ne quis horum, metu aut dolo subripiente, ab iis qui semper in punitionis prunis sunt dæmonibus, igneas cogitationes injicientibus in corda potissimum virtute sublimiorum, mente

(27) Velum nempe persubtile, quo res sacræ in altari operiuntur.

torpeat; etiamsi non sputa tantum et colaphos repulet, verum etiam sanguinem et passionem mortemque Dei memorari audiat : et nihilominus quasi Dei impassibilitati favens, omnino ei indolentiam absque ulla molestia insipienter largiatur : atque ita in hæreticorum phantasticorum barathrum deferatur, et totam Christi œconomiam in arcana mentis suæ officina videatur negare.

μή τις τούτων, φόβῳ ἢ ὄβλῳ κλαπείς, ὑπὸ τῶν ἐν τῇ πυρᾷ τῆς κολάσεως ἀεὶ ἑστηκότων δαιμόνων, πυρίνους τοὺς λογισμοὺς ἐνιέντων εἰς τὰς καρδίας, μάλιστα τῶν ὑψηλοτέρων κατ' ἀρετὴν, ὀκλάσῃ τὸν λογισμὸν οὐ μόνον ἐκπτυσμοὺς καὶ κολαφισμοὺς ἐννοῶν, ἀλλὰ καὶ αἷμα καὶ πάθος ἀκούων Θεοῦ καὶ θάνατον κἀντεῦθεν ὡς συνήγορος δῆθεν Θεοῦ, τὸ παντελῶς ἀνάλγητον αὐτῷ καὶ ἀνώδυνον ἀνοήτως χαρίσηται· καὶ οὕτως εἰς τὸ Φανταστικῶν κατενεχθῆναι βάραθρον, καὶ ἄρνησιν οἰκονομίας τῆς ὅλης Χριστοῦ ἐν τῷ κρυπτῷ τῆς διανοίας ἐργαστηρίῳ ὀφθεῖη ποιούμενος.

22. Videsis autem quomodo divi Patres res magni Petri hoc loco repræsentari voluerint, ut reputare possimus, quod si Ecclesiæ fundamentum, super quo ipsa ædificanda mox erat, Providentia sic disponente, sacro episcopatu spoliari, et tali tantoque lapsu proruere periclitatum est, qui fieri poterit, ut hodierni aliqui sacrum episcopatum minime sibi convenientem adepti, in tale barathrum non incidant? Nonnulli vero aiunt subdiaconos quasi imaginem gestare legalis virgæ, quam olim manu tenebant ii qui pascha illud comedebant : quia nimirum subdiaconi foris consistentes quietem a fidelibus exigunt, ut commoditatem habeant qui intus sunt sacerdotes divina mysteria imperturbate peragendi.

κβ'. Σκόπει δὲ πῶς οἱ θεσπέσιοι Πατέρες τὰ τοῦ μεγάλου Πέτρου παραδεδώκασιν ἐνταῦθα εἰδοποιεῖσθαι, ἵν' ἔχοιμεν λογίζεσθαι ὡς, εἴπερ ὁ θεμέλιος τῆς Ἐκκλησίας, ἐφ' ὃν αὖτη οἰκοδομεῖσθαι ἐμελλεν, οἰκονομικῶς τῆς θείας ἐπισκοπῆς ἀμοιρῆσαι τῷ τηνικαῦτα καὶ πτῶμα τοιοῦτον κατενεχθεὶς ἀπόλλυσθαι ἐκινδύνευε, πῶς δυνατόν τινας τῶν νῦν ὄντων, μὴ τῆς προσηκούσης θείας ἐπισκοπῆς καὶ ἐπιμελείας τυγχάνοντας, πρὸς τοιοῦτον μὴ καταπεσεῖν βάραθρον; Τινὲς δὲ λέγουσιν ὡς τύπον φέρειν τοὺς ὑποδιακόνους τῆς νομικῆς ῥάβδου τῆς ἐγχειρισμένης τοῖς τὸ Πάσχα ἐκεῖνο ἐσθίουσι· διότι τῶν ὑποδιακόνων ἔξωθεν ἀπαιτούντων τοὺς πιστοὺς, τὴν ὑπ' αὐτῶν ἀταραξίαν ὡσανεὶ βάσιν ἔχοντες ἔνδον οἱ ἱερεῖς, ἀτράπτως τῶν θείων μυστηρίων μεταλαμβάνουσι.

23. Quid autem dicendum de ventilabris, quæ diaconi interim manu tenent, et celeriter commovent supra res sanctas, quasi attoniti, usque ad complementum augustæ precis : « Mitte Spiritum sanctum tuum super nos et super proposita dona hæc? » Audacis sane linguæ est de his dicere; sed quia semel mandato jubentis cessimus, agesis de his quoque loquamur, prout Deus concesserit et siquidem aliis quoque dicta nostra fuerint accepta, Deo sint gratiæ; certe haud omnino vituperanda fore scio, neque extra fidei christianæ dogmata. Dicimus ergo, ubique et semper astitisse cœlestes potestates Christo Domino, illa vero potissimum nocte qua traditus fuit. Ipsæ igitur videntes abductionem ad Caiphæ, coram Anna præsentationem, falsa testimonia, virgæ percussiones, sputa, colaphos, illa Judæorum convicia, coccineum a militibus impositum indumentum, spineam coronam, adorationes cum risu, et quæcunque alia divinorum evangeliorum enumerat narratio, et quotquot propter multitudinem fortasse præteriit; ad hæc singula ambigentes, et patientiæ magnitudine obstupescentes, facies suas velantes, semet avertebant : rursusque Domini sui majestatem reverentes, redibant. Idque agebant usque ad elationem in crucem. Finis enim corporis cruciatuum, et ignominiæ ex his manantis, crux fuit; quæ reapse gloria exstitit, non ignominia; hinc enim operationum ac virtutum deitatis initium; hinc ille generalis universalis terræmotus, et trium horarum tenebræ in universa terra; nec non veli ac petrarum scissio, et monumentorum apertio; denique mortuorum resurrectio, et quæcunque ad inferos descendens Salvator fecit.

κγ'. Τί δ' ἄν τις εἴποι περὶ τῶν θείων ῥιπιδίων, ἄρτι ἐγχειρισμένων τοῖς διακόνοις, καὶ ὑπ' αὐτῶν στρεφομένων ἐπάγω τῶν ἁγίων, ὡς ἐν ἐκπλήξει, ἄχρι συμπληρώσεως εἰς τὸ, « Κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, » τῆς θεολέκτου προσευχῆς; Τολμηρὸν μὲν οὖν τὸ περὶ τούτων φθέγγεσθαι ἔτι· ἐπεὶ δ' ἅπαξ ὑπείξαμεν τῇ ἐντολῇ τοῦ κελεύσαντος, φέρε καὶ περὶ τούτων εἴπωμεν, διδόντος Θεοῦ· εἰ μὲν καὶ τοῖς ἄλλοις δεκτὰ, τῷ Θεῷ χάρις· οὐ γὰρ πάντη ψεκτὰ εὖ οἶδα, οὐδ' ἔξω τῶν δογμάτων τῆς τῶν Χριστιανῶν πίστεως. Φαμὲν οὖν ὡς πάντοτε μὲν ἀδιαστάτως παρῆσαν καὶ δυνάμεις οὐράνιαι τῷ Δεσπότῃ Χριστῷ, ἐξαιρέτως δὲ ἐν τῇ νυκτὶ ταύτῃ ᾗ παρεδόθη. Αὗται τοίνυν ὁρῶσαι τὴν πρὸς Καϊάφαν ἀπαγωγὴν, τὴν πρὸς Ἄνναν παράστασιν, τὰ ψευδομαρτυρίας, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα, τὰ κολαφίσματα, τὴν χλεύην ἐκείνην τῶν Ἰουδαίων, τῶν στρατιωτῶν κόκκινον ἔνδυμα, τὸν ἐξ ἀκανθῶν στέφανον, τὰ μετὰ γέλωτος προσκυνήσεις, τἄλλα πάντα ὅσα ἡ τῶν θείων Εὐαγγελίων ἱστορεῖ διήγησις, καὶ ὅσα διὰ τὸ πλῆθος ἴσως παρέλειψεν, ἐφ' ἑκάστῳ τῶν γινομένων διαποροῦσαι καὶ ἐκπληττόμεναι τῆς μακροθυμίας τὸ μέγεθος, καλύπτουσαι τὰς ἑαυτῶν ὄψεις, ἀπεστρέφοντο· καὶ πάλιν τὴν δεσποτείαν αἰδούμεναι, ἀνθυπέστρεφον. Τοῦτο δὲ ἐποίουν ἄχρι τῆς ἐπὶ σταυροῦ ἀνυψώσεως· τέλος γὰρ τῶν τοῦ σώματος παθῶν καὶ τῆς ἐπὶ τούτοις αἰσχύνης ὁ σταυρὸς γέγονε· ὃς δόξα μᾶλλον καὶ οὐκ αἰσχύνη· ἀρχὴ γὰρ οὗτος τῶν ἐνεργειῶν καὶ δυνάμεων τῆς θεότητος· ἐντεῦθεν γὰρ ὁ κοσμικὸς ἐκεῖνος σεισμὸς καὶ τὸ τρίωρον σκότος ἐπὶ πᾶσαν τὴν γῆν, ἥ τε τοῦ καταπετάσματος καὶ τῶν πετρῶν διάῤῥηξις, καὶ ἡ τῶν μνημάτων ἐξάνοιξις· ἔτι γε μὴν ἡ τῶν νεκρῶν ἀνάστασις, καὶ ὅσα ἐν ᾅδου κατελθὼν ὁ Σωτὴρ εἰργάσατο.

κδ'. Καὶ διὰ τοῦτο παρ' αὐτῷ τόπῳ τῆς σταυρώ- A
σεως γενομένῳ τῷ Χριστῷ τὰ τῆς ἐκπλήξεως καὶ
τοῦ θαύματος εἴδη αἱ θεῖαι δυνάμεις ἀπέθεντο. Εἰς
μίμησιν οὖν ἐκείνων, ὡς εἴρηται, στρέφουσιν οἱ διά-
κονοι τὰ θεῖα ῥιπίδια. Κάντεῦθεν δῆλον ὡς τὰ πρὸ
τοῦ σταυροῦ πάντα ὀνείδη, αἱ χλευαστικαὶ τιμαί, καὶ
οἱ καταγέλωτες, πλεῖον ἥπτοντο τοῦ πάσχοντος, ὥσ-
περ καὶ τῶν νοερῶν καὶ θείων δυνάμεων. Ἐπεὶ οὖν
ὁ ταῦτα πάσχων, ἄνθρωπος ὢν τέλειος, καὶ Θεὸς
ὁμοίως τέλειος ἦν, ἐν μιᾷ ὑποστάσει τὰς δύο φέρων
φύσεις, ἀσυγχύτους, ἀτρέπτους, ἀναλλοιώτους, τῆς
μὲν ἀνθρωπίνης τὰ πάθη ὑφισταμένης, τῆς θεότη-
τος δὲ ἀπαθοῦς τηρουμένης· καὶ κατὰ τοῦτο καὶ οἱ
μύσται τῆς σωτηρίας ἡμῶν καὶ οἱ μυσταγωγοὶ ποτὲ
μὲν τὴν διὰ πάθους οἰκονομίαν καὶ μακροθυμίαν
ὑμνοῦσι· ποτὲ δὲ θεοπρεπῆ καὶ καθαρὰν τῇ ὑπερ- B
ουσίῳ φύσει τὴν δοξολογίαν προσφέρουσιν, ὡς ἐξ αὐ-
τῶν χερουβὶμ καὶ τῶν σεραφὶμ ἀποδιδομένην αὐ-
τῷ· εἰς τοῦτο γὰρ ὁδηγεῖ ἡμᾶς ἡ λέγουσα ἐκφώ-
νησις τὸν ἐπινίκιον ὕμνον· δεῖ γὰρ ἡμᾶς ἀναδραμεῖν
ὅθεν ἐξέβημεν.

κε'. Πρὸς δὲ καὶ ὁ μετὰ τὴν ἐκφώνησιν τρισάγιος
ὕμνος· τούτου δὲ ᾀδομένου, ἡ εὐχὴ μάλιστα μὲν τοῦ
μεγάλου Βασιλείου, ἀλλὰ καὶ τοῦ θείου Χρυσοστό-
μου, ἀπὸ τῆς θείας ἀρχομένη φύσεως εἰς τὴν σάρ-
κωσιν κάτεισι, καὶ πᾶσαν τὴν σωτήριον οἰκονομίαν
διαγορεύσαντες, ἐκφωνοῦσι τὸ, « Λάβετε, φάγετε. »
Ζήτησιν οὖν τινα δοκεῖ ἔχειν ἡ ἔλλειψις τοῦ « πάν-
τες, » ἐν τῷ « Λάβετε, φάγετε· » καὶ αὖθις ἐν τῷ C
« Πίετε ἐξ αὐτοῦ πάντες, » προσθήκη. Φαμὲν οὖν ὅτι
διττὴν ἔχει τὴν σημασίαν τὸ, « πάντες, » ἱστορικῶς ὁμοῦ
καὶ πνευματικῶς· ἱστορικῶς μὲν, διὰ τὸν παρὰ
τοῦ προδότου κἂν τοῖς μυστηρίοις γεγονότα δόλον·
πνευματικῶς δὲ, ὡς οἱ θεόπται ἀπόστολοι καὶ θεῖοι
Πατέρες. Εἶτα λεκτέον τὸ πνευματικώτερον· Πάντων
τῶν μαθητῶν τὸν θεῖον ἄρτον ἐν ταῖς χερσὶ δεξαμένων
ἐκ τῶν χειρῶν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, φόβῳ τε καὶ
πίστει μετειληφότων, μόνος Ἰούδας λαβὼν ἔκρυψε
τοῦτο, καὶ τοῖς Ἰουδαίοις ἐφανίσας, τὸ μυστήριον
ἐξεπόμπευσε (28)· τούτου γὰρ ἕνεκα, ὥς φασι, τὸ,
« Οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, »
πρόσκειται· [τῷ,] « Ἐπὶ τοῦ δείπνου σου τοῦ μυστικοῦ. »
Τὸ μέντοι θεῖον αἷμα ὡς ἐξ ἑνὸς ποτηρίου χείλεσι
πάντων καὶ στόμασι δεχομένων, ἀποκρύψαι οὐκ
ἠδυνήθη ὁ δόλιος, ἀλλ' ἐπ' ἴσης τοῖς ἄλλοις με- D
ταλαβών, ἔπιεν· ὅπερ εἰδὼς ὁ πάντα πρὶν γενέσθαι
ἐπιστάμενος Κύριος, ἐπὶ μὲν τοῦ ἄρτου τὸ, « πάν-
τες, » παρέδραμεν· ἐπὶ δὲ τοῦ ποτηρίου, ὡς μετα-
ληψομένου καὶ τοῦ Ἰούδα, προστέθεικε. Καὶ τοῦτο
μὲν οὕτως εἴρηται.

24. Propterea postquam ad crucifixionis locum A
Christus pervenit, stuporem et admirationem cœlestes illæ potestates seposuerunt. Illorum ergo imitatione, uti dictum est, agitant diaconi sacra ventilabra. Atque hinc exploratum est, cuncta ante crucem opprobria, derisorios honores, ludibria, magis affecisse patientem, itemque spiritales cœlestes potestates. Quoniam igitur, qui hæc passus est, perfectus homo pariterque perfectus Deus erat, una in persona duas gerens naturas, inconfusas, non mutabiles, invariabiles; humanam, dolores excipientem; divinam impassibilem manentem: idcirco mystici salutis nostræ ministri et mystagogi, modo quidem passionis dispensationem ac tolerantiam celebrant; modo Deo dignam puramque supersubstantiali naturæ doxologiam B extollunt, tanquam ab ipsis Cherubinis ac Seraphinis ei tributam. Ad hoc enim nos deducit elata prolatus voce triumphalis hymnus; nam nos oportet illuc, unde discessimus, regredi.

25. Post vocis itaque elationem, trissagii canitur hymnus; quo cantato, oratio præsertim dicitur magni Basilii vel etiam divi Chrysostomi, quæ a divina natura exordiens pergit ad incarnationem: totamque Salvatoris œconomiam hi sancti prædicantes, elata voce proclamant: « Accipite, manducate. » Quæstionem quamdam videtur commovere defectus vocabuli « omnes » in dictione: « Accipite, manducate: » vicissimque additio C ejusdem vocabuli « omnes » ad verba: « Bibite ex eo. » Dicimus ergo duplicem habere significatum *omnes*: nempe dici historice ac spiritaliter. Historice quidem, propter proditoris inter hæc ipsa mysteria dolum: spiritaliter vero, ut Dei spectatores apostoli, divique Patres. Postremo dicendum id quod præcipue spiritale est. Cum omnes discipuli divinum panem in manus suas recepissent a Christi Dei nostri manibus, et cum timore ac fide communicassent, solus Judas acceptum panem abscondit, Judæisque manifestans, mysterium publicavit. Hanc ob causam, ut aiunt, illud, « Non enim inimicis tuis revelabo mysterium, » additur verbis: « Super mystico tuo convivio. » D Divinum quidem sanguinem ex uno calice labiis et ore cunctis suscipientibus, clam agere proditor non potuit, sed æque ac cæteri participans bibit. Quam rem cognoscens, qui omnia ante quam fiant scit Dominus, de pane agens, prætermisit « omnes: » de calice autem, quia Judas quoque sumpturus erat, additamentum vocabuli fecit. Atque hactenus de hoc dictum esto.

(28) Quidquid sit de hac Theodori opinione, aut vulgari traditione, circa sacrum arcanum Judæis ubi Juda revelatum, ipsum quidem participasse cum cæteris mysteria, ait etiam Petrus Laodicenus apud nos p. 544. Item S. Petrus Damiani, quem supra citavimus, ad canonem missæ n. 6: *Solet*, inquit, *dubitari an Judas acceperit, quod videtur, cum dicat: Bibite ex hoc omnes. Sed quæritur qua ratione medicus salutaris medicinam dabat ægroto, quam ei sciebat mortiferam? Ad hoc scilicet dabat, ut suo doceretur exemplo, quod sacerdos non debet alii communionem negare, cujus crimen, etsi sibi sit notum, non tamen Ecclesiæ; ne forte non sit corrector, sed proditor.*

26. Reliquum est, ut etiam quod ad communem utilitatem ac magisterium postea mystici exposuerunt, dicamus. Absolute dictum est. « Accipite, manducate, » stylo didascalico et hortatorio tanquam ad omnes homines, quos paterno affectu divi Patres cohortantur; ut infideles quidem ad fidem accedant, haud vi vel necessitate ducti, sed persuasione potius atque animi proposito, quæ reapse est cultus fideique lex. Postquam vero accesserimus, et sacro baptismate mundati fuerimus, sic demum digni simus solidiorem dogmatum alimoniam recipere. Ait enim magnus Basilius sacro baptismate nondum tinctis : « Mellis dulcedinem quomodo significem ignorantibus? *Gustate et videte, quoniam suavis est Dominus* [30]. » Qui tamen jam crediderunt, et orthodoxi cœtus membra sunt, ne omnino indifferenter et sine probatione sumant. Dicit enim Apostolus : « Probet autem se ipsum unusquisque, et sic de pane illo edat, et de calice bibat [31]. » Unumquemque autem hoc loco dicit fidelem. Qui ergo conscius est se esse indignum horum participatione, neque sumere audeat neque manducare. Idcirco dictioni « accipite » non est additum « omnes. » Id est, accipite, qui probata conscientia estis. In locutione autem « bibite omnes » lex fertur participantibus divinum corpus, manducans his dicensque : Nemo eorum qui ad sacram synaxim admittuntur, secum dicat, necessarium non esse de sanguine quoque bibere, sed omnes quotquot divinum corpus sumpsistis, de calice quoque divinum sanguinem bibite : ut hoc etiam ritu naturas duas in persona una Christi Dei nostri confiteamini; atque hunc, tanquam libertatis mundi pretium sponte collatum sumentes, postremo vos ipsi libertatem consequemini. Hoc autem in illius commemorationem facere admonemur. Et quidem locutio : « Quotiescunque manducabitis panem hunc et calicem bibetis, » demonstrat, debere hoc quotidie fieri ab iis qui possunt, ejusque pro nobis passionem glorificari, et usque ad secundum ejus gloriosum adventum concelebrari.

27. Et post recitatam precem ostendit episcopus res sanctas dicens : « Et fac ut panis hic sit ipsum pretiosum corpus Domini Dei ac Servatoris nostri Jesu Christi; quod autem est in hoc calice, sit ipse pretiosus sanguis Christi tui, immutans sancto Spiritu tuo, qui effusus fuit pro mundi vita. » Quæ

[30] Psal. xxxiii, 9. [31] I Cor. xi, 28.

κς'. Λοιπὸν δὲ καὶ τὸ εἰς κοινὴν ὠφέλειαν καὶ διδασκαλίαν μετὰ ταῦτα ὑπὸ τῶν μυστηπόλων διατυπούμενον διηγητέον. Ἁπλῶς εἴρηται τὸ « Λάβετε, φάγετε, » νόμῳ διδασκαλίας καὶ παραινέσεως πρὸς πάντας ἀνθρώπους, πατρικώτερον τούτους τῶν θείων Πατέρων παρακαλούντων, ἵνα οἱ μὲν ἄπιστοι τῇ πίστει προσέλθωσιν, οὐ βίᾳ τινὶ ἢ ἀνάγκῃ ἀγόμενοι, πεισθοῖ δὲ μᾶλλον καὶ προαιρέσει ψυχῆς, ὅσπερ δὴ νόμος λατρείας καὶ πίστεως· προσελθόντες δὲ, καὶ διὰ τοῦ θείου βαπτίσματος καθαρθέντες, οὕτω καταξιωθῶμεν δέξασθαι τῆς στερεᾶς τῶν δογμάτων τροφῆς· λέγει γὰρ ὁ μέγας Βασίλειος τοῖς ἀμύητοις τοῦ θείου βαπτίσματος, « Γλυκύτητα μέλιτος πῶς ἀναγγείλω τοῖς ἀγνοοῦσι; *Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος.* » Οἱ μέντοι ἤδη πιστεύσαντες, καὶ τοῦ τῶν ὀρθοδόξων συστήματος μέρος τυγχάνοντες, μὴ πάντως ἁπλῶς ἀδοκιμάστως λάβωσι· λέγει γὰρ ὁ Ἀπόστολος· « Δοκιμαζέτω δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. » Ἕκαστον δὲ ἐνταῦθα τὸν πιστὸν φησιν. Ὃς γοῦν σύνοιδεν ἑαυτὸν ἀνάξιον ὄντα τῆς τούτων μεταλήψεως, μήτε λαβεῖν τολμήσῃ μήτε φαγεῖν· τούτου γὰρ ἕνεκεν ἀπέλειφεν ἐν τῷ « λάβετε » τὸ, « πάντες· » τουτέστι, Λάβετε οἱ διδοκιμασμένοι τὴν συνείδησιν. Τὸ δὲ ἐν τῷ, « πίετε πάντες, » νόμος ἐστὶ τοῖς μετειληφόσι τοῦ θείου σώματος, παρακελευόμενος τούτοις καὶ λέγων· Μηδεὶς τῶν τοῦ θείου σώματος καταξιωθέντων μεταλαβεῖν εἴποι πρὸς ἑαυτὸν ὡς· οὐκ ἀναγκαῖόν ἐστιν πιεῖν καὶ ἀπὸ τοῦ αἵματος (29)· ἀλλὰ πάντες ὅσοι ἐκ τοῦ σώματος μετελάβετε, καὶ ἐκ τοῦ ἐν τῷ ποτηρίῳ θείου αἵματος πίετε· ἵνα καὶ τούτῳ τὰς δύο φύσεις τοῦ ἐν μιᾷ ὑποστάσει Χριστοῦ Θεοῦ ἡμῶν ὁμολογήσητε· καὶ ὡς τιμὴν τοῦτο ὑπὲρ τῆς τοῦ κόσμου ἐλευθερίας ἐκουσίως καταδληθεῖσαν δεχόμενοι, τελείως καὶ αὐτοὶ τεύξεσθε τῆς ἐλευθερίας. Τοῦτο δὲ ποιεῖν διὰ παντὸς εἰς τὴν ἐκείνου ἀνάμνησιν ἐπετράπημεν· τὸ γὰρ « Ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, » τοῦτο δηλοῖ, ὡς καθ' ἑκάστην ἡμέραν χρὴ τοῦτο τελεῖσθαι παρὰ τῶν δυναμένων (30), καὶ τὰ ὑπὲρ ἡμῶν αὐτοῦ πάθη δοξάζειν, καὶ ἀνυμνεῖν ἄχρι τῆς δευτέρας αὐτοῦ καὶ ἐνδόξου παρουσίας.

κζ'. Καὶ μετὰ τὴν ἐπαγομένην εὐχὴν ἀναδείκνυσιν ὁ ἀρχιερεὺς τὰ ἅγια, λέγων· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον αὐτὸ τὸ τίμιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ αὐτὸ τὸ τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν (31) τῷ Πνεύματί σου τῷ

(29) Proponit hic Græcus homo tanquam peremptionem Christi legem de communione sub utraque specie. Sed videsis apud theologos apologias plurimas pro communionis sub unica specie ritu, quo utuntur Latini. Exstat quoque Allatii hac de re disputatio pro Latinis; neque enim omnes Græci contradicunt.

(30) S. Petrus Damiani op. cit. n. 8 : *Faciat unusquisque quod pium crediderit esse faciendum; hortor tamen omnibus diebus Dominicis esse sumendum, si tamen mens non sit in affectu peccandi.* Græci hodierni, ut audio, quater saltem in anno communicant.

(31) Concorditer Græci mutationis dogma confitentur, sed non omnes modum explicant. Critopulus cap. 9 : Ἔστι γὰρ ἀληθῶς σῶμα Χριστοῦ ὁ ἱερουργούμενος ἄρτος, καὶ τὸ ἐν τῷ ποτηρίῳ αἷμα Χριστοῦ ἀναμφιβόλως· ὁ δὲ τρόπος τῆς τοιαύτης μεταβολῆς ἄγνωστος καὶ ἀνερμήνευτος. Eo tamen in alia Ecclesiæ Orientalis confessione Nectarii

ἁγίῳ (32), τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· ἃ δὴ καὶ γινώσκομεν καὶ πιστεύομεν, οὕτω μεταποιεῖσθαι ὡς ἡ ἐπίκλησις ἔχει. Ἀλλ' ὁ μέγας Βασίλειος ἀντὶ (33) τοῦ *μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ*, τὸ *Ἐκχυθὲν ὑπὲρ τοῦ κόσμου ζωῆς* τέθεικε. Ταῦτα δὲ οὐκ ἔστιν ἀλλήλοις ἐναντία· ὁ μὲν γὰρ τὴν ἰδιότητα τοῦ ζωαρχικοῦ δηλῶν Πνεύματος, τοῦτο ἐγραψεν· ὁ δὲ οὐρανοφάντωρ τὸ ταυτὸν τῆς οὐσίας καὶ ἐνεργείας, πρὸς δὲ καὶ θελήσεως καὶ δυνάμεως τῆς Τριάδος παρίστησιν, ἀποδιδοὺς τὴν συνέργειαν τῆς μεταποιήσεως τῷ Πατρί· κἀντεῦθεν συνιστῶσιν ἀμφότεροι τὸ, Ὅσα ὁ Πατὴρ ἐνεργεῖ, ταῦτα καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ὅσα ὁ Υἱός, ταῦτα καὶ ὁ Πατὴρ καὶ ὁ Παράκλητος· καὶ ὅσα οὗτος, ταῦτα καὶ ὁ Πατὴρ καὶ Μονογενής. Ἐντεῦθεν λοιπὸν ἡ μετὰ τὴν ἀνάδειξιν τῶν θείων δώρων λεγομένη εὐχὴ, διπλῆν φέρουσα καὶ αὐτὴ τὴν σημασίαν ἀπό τε τοῦ νοὸς τοῦ μεγάλου Βασιλείου καὶ τοῦ χρυσοῦ παντὸς τιμιώτερον ἔχοντος στόμα, Ἰωάννου τοῦ πάνυ, τοῖς ζητοῦσι τὰ κάλλιστα καθορᾶται· ὁ μὲν γὰρ θεῖος Βασίλειος τὴν μνήμην τῶν ἁγίων οὕτω πῶς παρεισάγει λέγων· Ἵν' εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων Πατέρων, προπατέρων, καὶ τῶν ἐξῆς πάντων δικαίων· ὁ δὲ χρυσορρήμων, ὡς γέγραπται, καὶ ὑπὲρ αὐτῶν δικαιοῖ προσφέρεσθαι τὴν θυσίαν (34). Καὶ εἰκότως· οὐ γὰρ ὑπὲρ ἁμαρτολῶν μόνον τὸ αἷμα ἐξέχεεν ὁ Ποιμὴν ὁ καλὸς, καὶ θυσία τῷ Πατρὶ εἰς καταλλαγὴν τούτων γέγονεν, ἀλλ' ἤδη καὶ ὑπὲρ αὐτῶν τῶν δικαίων· οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει, οὐδ' ἂν εἰ μία ἡμέρα ἡ ζωὴ αὐτοῦ ᾖ· ἐπεὶ δὲ ὑπεύθυνοι πάντες, ὑπὲρ πάντων ἀπέθανεν· ὅτι καὶ οἱ πρὸ τοῦ σταυροῦ πάντες ἐκ τῆς τοῦ πρωτοπλάστου παραβάσεως καὶ τῶν προσγινομένων ἄλλων κακῶν ὑπεύθυνοι ἐτύγχανον, καὶ δίσμιοι τῷ θανάτῳ. Ἀλλ' οὐδὲ νόμος Μωϋσέως τινὰ τούτων ἐτελείωσεν. Εἷς οὖν τότε ὑπὲρ πάντων ἀπέθανεν. Τὸν αὐτὸν δὲ θάνατον καὶ τὴν ἀνάστασιν ὁμολογοῦμεν ὁρᾶν διὰ τῶν μυστηρίων· πάντα δῆλον καὶ νῦν πληροῦται τοῖς κατ' ἀξίαν προσφέρουσιν, ὅσα τοῦ τότε καιροῦ.

κθ'. Καὶ μή τις λεγέτω, Πῶς ἂν αὐτοῖς ἀρχιερεῦσιν ἐνὸν ὑπὲρ τοιούτων μεσιτεύειν ἁγίων (35); ΜάA ntique agnoscimus et credimus, ita transmutaris, ceu invocatio habet. Sed magnus Basilius loco illius μεταβαλὼν Spiritu sancto tuo, posuit : qui effusus est pro mundi vita. Haec autem inter se non discrepant : ille enim (Chrysostomus) proprietatem vivifici Spiritus indicans scripsit; deiloquus autem (Basilius) unam eamdemque essentiam et operationem, nec non et voluntatem ac virtutem Trinitatis demonstrat; cooperationem transmutationis Patri regerens. Indeque uterque comprobat, quæcunque Pater operatur, illa eadem et Filium et Spiritum sanctum operari : et quæcunque Filius, eadem et Patrem et Paracletum : et quæcunque Paracletus, eadem et Patrem et Unigenitum. Deinde oratio post divinorum donorum ostensionem dici B solita, quæ et ipsa duplicem habet significatum, nempe et illum juxta mentem magni Basilii, et alium magni Joannis prælïosius omni auro os habentis; ut curiose scrutantibus egregie apparebit. Nam divus Basilius sanctorum memoriam ita inducit dicens : Ut inveniamus misericordiam et gratiam cum sanctis Patribus, patriarchis, et cunctis deinceps justis. Chrysostomus autem, ut ibi scriptum est, etiam pro ipsis æquum judicat offerri sacrificium. Et merito; neque enim pro peccatoribus tantum sanguinem fudit Pastor bonus, et hostiam se Patri ob horum reconciliationem obtulit, sed pro ipsis quoque justis. Non enim est, non, inquam, est, qui vivet, et non peccabit, etiamsi unius diei vita ejus fuerit : ideo ergo quia omnes C obnoxii, pro omnibus mortuus est. Nam et illi qui ante crucem exstiterunt omnes, ob protoplasti transgressionem, et supervenientia alia peccata, obnoxii erant, et morti dediti. Sed neque lex Moysis quemquam horum justificavit. Unus tunc igitur pro omnibus mortuus est. Eamdem porro mortem ac resurrectionem confitemur contemplari in mysteriis, atque omnia nunc perinde compleri exploratum est ab iis qui digne offerunt, prout illo tempore actum fuit.

28. Nec quisquam dicat : Quomodo ipsis episcopis liceat pro talibus sanctis intercedere? Enim-

---

Hierosolymorum patriarchæ, ubi de hoc sacramento agitur (p. 167) ita affirmatur : Μετὰ τὰ ῥήματα ταῦτα ἡ μετουσίωσις (transubstantiatio) παρευθὺς γίνεται· καὶ ἀλλάσσει ὁ ἄρτος εἰς τὸ ἀληθινὸν σῶμα τοῦ Χριστοῦ etc. Denique tertia Orientalis Ecclesiæ confessio seu apologia, auctore Gabriele metropolita Philadelphiensi, p. 4 (et sæpe alibi) ed. Paris. utitur pariter vocabulo *transsubstantiationis* : Κατὰ μετουσίωσιν, ὅταν τὴν ἰδίαν ἀποβάλλῃ ἅπασαν οὐσίαν τῆς ψωμότητος, καὶ εἰς σάρκα καὶ αἷμα Χριστοῦ μετουσιωθῇ. Sed de hac re præclare diuque Richardus Simonius in notis uberioribus ad Gabrielem. Cæterum quod ait Anglicanus Cavæus art. *Innocentius III*, ab hoc papa *monstrosum transsubstantiationis figmentum* inter fidei articulos fuisse repositum, nunc videmus in citato Petri Damiani (qui sæculo ferme ac dimidio senior est) n. 7, et 14, vocabula *transubstantiatio*, et *transubstantiare* Recole dicta in hoc nostro volumine p. 449. (*supra col.* 419.)

D (32) Hunc quoque locum citat ex ms. Allatius *De purgatorio*, p. 108.

(33) Ita codices ἀντὶ, cujus loco mihi videretur scribendum πρό, *ante*. Etenim in editionibus certe missæ sancti Basilii non desunt verba μεταβαλὼν etc., sed postponuntur. At noster Theodorus aliter se legisse demonstrat, id est omisso τῷ Πνεύματι τῷ ἁγίῳ, quandoquidem mox conversionis miraculum Patri tribuit. Judicent eruditi.

(34) Hic in cod. 430, f. 142, b, nec non in codice 856, f. 355, b, desideratur nonnullorum versuum comma; quod cum casu comperissem recitari ex ms. ab Allatio *contra Creygtonum* p. 519, recurri ego ad meos codices, idque reapse inveni in solo codice 612, f. 9, b.

(35) Quod attinet ad preces, quasi pro sanctis, in liturgia præsertim Chrysostomi scriptas, audiatur Augustinus mentis Ecclesiæ legitimus explanator in Joan. tract. LXXXIV, 1 : *Ideo quippe ad ipsam mensam non sic martyres commemoramus,*

vero, inquam, quoniam digni facti sunt, ut magni pontificis personam gerant, id fieri potest. Nam et alioquin isti, quæ quidem ex persona propria dicunt vel agunt in divina liturgia, velut accepta ab hominibus auctoritate, ut episcopi factitare videntur; illa tamen quæ supra hominis conditionem exhibent, velut hymnos cherubicos ac seraphicos et alia omnia, utique hæc præter ipsorum dignitatem, tum elata tum submissa voce pronuntiari ab eis constat, sicut magnus quoque Dionysius manifestius nobis sistit. Is enim nostram hanc divinam liturgiam ad imitationem fieri cœlestium potestatum, et ordinum illorum, quorum figuram gerunt sacri ministri, alii quidem primam sortiti stationem et ordinem, alii secundum, et sic reliquos. Et diaconum quidem appellat expiantem; sacerdotem, illuminantem; episcopum, perficientem. Cum itaque verba audies: « Adhuc offerimus tibi rationalem cultum hunc, et aliorum sanctorum nomina mystice submissa voce insusurrantem episcopum; et mox clara voce clamantem: « Præcipue sanctissimæ, immaculatæ, et præ cæteris benedictæ Dominæ nostræ Deiparæ, » qualem quantumque tu hæc dicentem esse arbitraris? Mihi certe hæc ex Domini persona videtur pronuntiare. Namque alia in prece dicit: «Tu enim es qui offers et offerris, et excipis et das.» Sic ergo demonstratur, ipsum solum carere peccato theanthropum Dominum, et pro omnibus simpliciter satisfecisse; et illa ejus temporis acta, passionem, inquam, sepulturam, resurrectionem, nunc per symbola a credentibus recte omnia perfici. Atque idem pari modo a deiloquis magistris confiteri statutum fuit.

29. Simplicem autem rei intelligentiam nos docet illa post recitatam hanc orationem exclamatio, quæ tum etiam a magno Basilio, tum etiam a Chrysostomo dicitur. Quomodo enim concordabit dictum: « Ut inveniamus misericordiam et gratiam, » præcipue cum, «sanctissima immaculata?» in quo et aliud prorsus significat deiloquus: nempe quoniam omnes justi in dextra judicis parte constituri sunt, ibique et ipsa theanthropi Domini Mater, et uniuscujusque gradus et statio distinctus erit; nihilominus, tanquam in una omnes parte siti fuerimus, rogat sacerdos ut illorum statione digni habeamur, qui sine peccato videlicet Christo placuerunt; non autem cum sinistris et damnatis connumeremur. Sed longe est melius hæc intelligi tanquam a Christo dicta et acta. Est enim Filius et Verbum, sine immolatione immolatus, agnus et victima idem et pontifex in æternum. Ipse ergo orat pro nobis Patrem suum. Reapse dum dicit sacerdos: « Accipite, manducate, hoc est corpus meum;» nonne hoc tanquam ab ipso Christo dicitur? Sic ergo tripliciter intelliguntur ab episcopo dicta in divina mystagogia; alia quidem ut a mediatore

Α λιστα μὲν οὖν τοῖς ἀξίοις, ὡς τὸ τοῦ μεγάλου ἀρχιερέως φέρουσι πρόσωπον, οὐκ ἀδύνατον· καὶ ἄλλως δ' οὗτοι τὰ μὲν τῶν παρ' αὐτοῖς λεγομένων ἢ πραττομένων ἐν τῇ θείᾳ ἱερουργίᾳ ὡς ἐξ ἀνθρώπων λαμβανόμενοι ἀρχιερεῖς ποιεῖν φαίνονται· τὰ δὲ ὑπὲρ ἄνθρωπον πεφυκότα προσφέρουσι, τοὺς χερουβικοὺς καὶ σεραφικοὺς ὕμνους, καὶ τἆλλα πάντα ὅσα ὑπὲρ τὴν ἑαυτῶν ἀξίαν ἐκφωνοῦντες ἢ καθ' ἑαυτοὺς ἐπιόντες δείκνυνται· καθὰ καὶ ὁ μέγας Διονύσιος ἀριδηλότερον παρίστησιν (36)· ἐκεῖνος γὰρ τὴν παροῦσαν θείαν λειτουργίαν κατὰ μίμησιν φησὶ τελεῖσθαι τῶν ἐπουρανίων δυνάμεων, καὶ τῶν ταγμάτων ἐκείνων, ὧν τύπον φέρουσιν οἱ λειτουργοῦντες, οἱ μὲν τῆς πρώτης λαχόντες στάσεως καὶ τάξεως, οἱ δὲ τῆς δευτέρας, καὶ τῶν ἑξῆς. Καὶ τὸν Β μὲν διάκονον καθαρτικὸν ὀνομάζει, τὸν δὲ ἱερέα φωτιστικόν, τὸν δὲ ἀρχιερέα τελεστικόν. Ὅταν δ' ἀκούσῃς τὸ, Ἔτι προσφέρομέν σοι τὴν λογικὴν λατρείαν ταύτην, καὶ τῶν μὲν ἄλλων ἁγίων τὰς κλήσεις μυστικῶς ὑποψιθυρίζοντα τὸν ἀρχιερέα, ἐκφωνοῦντα δὲ τρανότερον τὸ, « Ἐξαιρέτως τῆς παναγίας ἀχράντου ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, » ποταπὸν εἶναι οἴῃ τὸν τοῦτο λέγοντα; Ἐμοὶ δοκεῖ ὡς ἐκ προσώπου τοῦτο λέγεσθαι τοῦ Κυρίου· λέγει γὰρ ἐν ἑτέρᾳ εὐχῇ· « Σὺ γὰρ εἶ προσφέρων καὶ προσφερόμενος, ὁ προσδεχόμενος καὶ διαδιδόμενος· » ἵν' οὖν δειχθῇ ὅτι μόνος αὐτὸς ἐκτὸς ἁμαρτίας ὁ θεάνθρωπος Κύριος, καὶ ὅτι ὑπὲρ πάντων ἑαυτὸν ἁπλῶς δέδωκε, καὶ ὅτι ὅσα τότε, τὸ πάθος, ἡ ταφή, καὶ ἡ ἀνάστασις εἰργάσατο, C ταῦτα πάντα καὶ νῦν διὰ τῶν συμβόλων τοῖς πιστεύουσι κατορθοῦται· καὶ ταυτὸ τοῖ; θεηγόροις καὶ διδασκάλοις τοιουτρόπως τελεῖσθαι τεθέσπισται.

κθ'. Εἰς τὴν ἁπλῆν δὲ ἔννοιαν ἡμᾶς ἀνάγει ἡ μετὰ τὴν συμπλήρωσιν τῆς τοιαύτης εὐχῆς ἐκφώνησις οὕτως εἰρημένης καὶ παρὰ τοῦ μεγάλου Βασιλείου, ὡς καὶ παρὰ τοῦ Χρυσοστόμου· πῶς γὰρ ἂν συνταχθείη τὸ εἰρημένον, « Ἵνα εὕρωμεν ἔλεος καὶ χάριν, » μετὰ τοῦ, « ἐξαιρέτως τῆς παναγίας ἀχράντου; » ὃ πάντως τάχα καὶ ἄλλο ὁ θεοφάντωρ ὑποσημαίνει· ὡς ἐπεὶ πάντες οἱ δίκαιοι ἐν τοῖς δεξιοῖς τοῦ κριτοῦ μέρεσι μέλλουσιν ἵστασθαι, πρὸς δὲ καὶ αὐτὴ ἡ τεκοῦσα τὸν θεάνθρωπον Κύριον, καὶ ἡ τάξις, καὶ ἡ D στάσις ἑκάστου ἀποδιῄρηται· ἀλλ' ὅμως ὡς ἐν μέρει ὄντας ἅπαντας, αἰτεῖ τοῦ μέρους τῆς στάσεως αὐτῶν καταξιωθῆναι ἡμᾶς τῶν ἀμέμπτων; θηλαδὴ εὐαρεστησάντων αὐτῷ, ἀλλὰ μὴ τοῖς ἀριστεροῖς καὶ καταδεδικασμένοις. Κυριώτερον δὲ τοῦτο νοεῖν, ὡς παρὰ τοῦ Χριστοῦ λέγονταί τε ταῦτα καὶ πράττονται· Υἱὸς γὰρ καὶ Λόγος τὸ ἀθύτως θυόμενον, καὶ ἀμνὸς καὶ θῦμα ὁ αὐτὸς καὶ ἀρχιερεὺς εἰς τὸν αἰῶνα. Αὐτὸς οὖν ἐντυγχάνει ὑπὲρ ἡμῶν τῷ Πατρὶ αὐτοῦ. Αὐτὸ δὲ τὸ λέγειν τὸν ἱερέα, « Λάβετε, φάγετε, τοῦτό μού ἐστιν τὸ σῶμα, » οὐχ ὡς παρ' αὐτοῦ λέγεται τοῦ Χριστοῦ; Οὕτως οὖν τριχῇ νοεῖται τὰ παρὰ τοῦ ἀρχιερέως λεγόμενα ἐπὶ τῇ θείᾳ μυστ-

quemadmodum alios qui in pace requiescunt, ut etiam pro eis oremus, sed magis ut ipsi pro nobis, ut eorum vestigiis adhæreamus.

(36) *De ecclesiastica hierarchia*, cap. 3.

γωγίᾳ· τὰ μὲν ὡς παρὰ μεσίτου ἐξ ἀνθρώπων, καὶ προχειριζομένου τῷ Πατρὶ, τὰ δὲ κατὰ μίμησιν τῶν ἐπουρανίων δυνάμεων· τὰ δὲ, ὡς παρ' αὐτοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. Τίνος δὲ ἕνεκεν συνῆψαν τοὺς τῆς Παλαιᾶς πάντας ἁγίους καὶ τοὺς τῆς Νέας Διαθήκης; Πρῶτον μὲν διὰ τὰ προειρημένα πάντα· ἔπειτα δεικνύντες ὅτι εἷς Θεός ἐστι κἀκείνων καὶ τούτων, ὁ τὸ παρὸν τοῦτο μυστήριον εὐδοκήσας τελέσαι πρὸ τῶν αἰώνων· καὶ ὅτι πάντες τῷ μώλωπι αὐτοῦ ἰάθημεν, καὶ ὅτι ὑπὲρ πάντων ἐχύθη τὸ αἷμα αὐτοῦ. A

λ'. Εἶτα τοῦ διακόνου τὰ δίπτυχα ὑποψιθυρίζοντος τῶν κεκοιμημένων, ὁ ἀρχιερεὺς πάλιν ἀρχὴν ποιεῖται τῶν τῆς Νέας Διαθήκης ἁγίων, τὸν Πρόδρομον Ἰωάννην ταύτῃ προτιθείς· ὥσπερ οἱ εὐαγγελισταὶ τοῦτο τῇ ἐπιδημίᾳ τοῦ Σωτῆρος προῦθηκαν, οἷα πρῶτον ἄγγελον καὶ κήρυκα τῆς παρουσίας Χριστοῦ· καὶ ὡς ἐπικυροῦντες τὸν τοῦ Χριστοῦ λόγον, « Μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται τούτου· » εἶτα τοὺς ἀποστόλους καὶ τοὺς ἁγίους, ὧν τὴν μνήμην ἐπιτελοῦμεν. Διὰ τί δὲ Διαθήκην λέγομεν αὐτά; Ἐπειδὴ ὁ τύπος ταύτης ἡ δοθεῖσα νομοθεσία τῷ Μωϋσεῖ, καὶ αὐτὴ ἡ σκηνὴ τοῦ μαρτυρίου προχαράγματα ταύτης ἐτύγχανον, ἅτινα παρὰ τοῦ νομοδότου Διαθήκη ἐκλήθησαν. Εἰ οὖν ὁ τύπος Διαθήκη, πολλῷ μᾶλλον ἡ φανερωθεῖσα ἀλήθεια. Εἶχεν οὖν ἐκείνη πρῶτον σκηνὴ, κατὰ τὸν θεῖον Παῦλον, δικαιώματα λατρείας, καὶ ἄλλα τῶν μυστηρίων θαυμασίων μαρτύρια· εἶχε δὲ καὶ ἐντολὰς Θεοῦ καὶ προστάγματα καὶ ἐπαγγελίας τοῖς ταῦτα φυλάττουσι· περὶ ὧν ὁ νομοθέτης ὅρον ἔπηξε λέγων, ἀκούειν μὲν αὐτοῦ καὶ τῶν δοθέντων προσταγμάτων, ἄχρις ἂν ἔλθῃ ᾧ ἀπόκειται, καθὼς φησιν Ἰακώβ· αὐτὸς δὲ Μωϋσῆς οὕτως κατὰ ῥῆμα διέξεισι· « Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν εἴπῃ ὑμῖν. » B C

λα'. Τοῦ προφητευθέντος τοίνυν ὑπ' ἐκείνων, τοῦ τε Ἰακὼβ καὶ τοῦ Μωϋσέως, πρὸς δὲ καὶ τῶν μετὰ ταῦτα θεοπνεύστων προφητῶν, ἐληλυθότος καὶ πληρώσαντος τὰ ἐλλείποντα τοῖς παλαιοῖς νόμοις, καθὼς αὐτὸς ἔφη, « Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι· » πεπλήρωκε δὲ, ἅτε δὴ τὰς ῥίζας καὶ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἀποτεμών· ὧν φυλαττομένων, οὐδεὶς πρὸς ἁμαρτίας τέλος χωρήσει ποτέ· τοῦ γὰρ παλαιοῦ νόμου λέγοντος, « Οὐ φονεύσεις, » ὁ τούτου τε καὶ τῆς νέας δοτὴρ Χριστὸς, « Οὐδὲ ὀργισθήσῃ, » προσέθετο. « Οὐ μοιχεύσεις, » ἐκεῖνος· οὗτος, « Οὐδὲ ἐπιθυμήσεις· » ὅσα ἐξῆς τῶν θείων Πατέρων μᾶλλον ἔστιν ἀκούειν. Ἐν αἵματι ἡ προτέρα ἐγκεκαίνισται Διαθήκη· καὶ αὐτὴ ὁμοίως τοῦ ἀμολύντου Ἀμνοῦ βεβαιωθεῖσα διά τις Διαθήκη ἐν Ἐρυθρᾷ τινι βασιλικῆς βαφῆς, χειρὸς γράμματι δι' ὅλου τοῦ ὕφους σεσημασμένη, ἄῤῥηκτος καὶ ἀδιάπτωτος διαμένει τῇ Ἐκκλησίᾳ· καίτοι πολλὰς ἐπαναστάσεις ἐχθρῶν ὑποστᾶσα, ἀλλὰ καὶ πυλῶν ᾅδου ἰσχυροτέρα δέδεικται τῇ δυνάμει D

inter homines, et Patri exhibita: alia ad imitationem cœlestium potestatum; alia denique ab ipso Christo Deo nostro. Cur vero globatim omnes tum Veteris tum Novi Testamenti sanctos memorarunt? Primo, ob ea omnia quæ diximus; deinde, ut demonstrarent unum esse tum horum tum illorum Deum, cui ut præsens mysterium confieret, ante sæcula placuit. Deinde quia omnes livore ejus sanati fuimus, et quia pro omnibus sanguis ejus effusus fuit.

30. Postea diacono defunctorum diptycha submissa voce recitante, episcopus rursus incipit Novi Testamenti sanctorum commemorationem, præposito in hac Præcursore Joanne, sicut evangelistæ hunc adventui Servatoris præposuerunt, ceu primum Christi adventantis nuntium et prædicatorem; et Christi verba quasi confirmantes: quod major hoc inter natos mulierum non surrexerit. Deinde ponuntur apostoli et sancti, quorum memoriam agimus. Cur autem hæc Testamentum appellamus? Quia nostri hujus figura fuit, data a Moyse legislatio; et ipsum testimonii tabernaculum, delineatio quædam hujus prævia erat, quæ a legis datore dicta est Testamentum. Si ergo figura est testamentum, multo magis veritas quæ apparuit. Habuit ergo Testamentum illud tabernaculum, juxta divum Paulum [29], justificationes cultus, et alia mysteriorum mirabilium testimonia. Habuit etiam præcepta Dei et mandata, et promissiones hæc observantibus; de quibus legislator decretum edidit dicens obaudiendum esse ipsi datisque præceptis, donec ille veniret cui repositum est, ut ait Jacob. Ipse vero Moyses sic ad litteram locutus est: Prophetam vobis suscitabit Dominus, tanquam me: illum audietis in omnibus quæ vobis loquetur [30].

31. Ergo ille ab eis prædictus, a Jacobo nimirum et Moyse, aliisque postea inspiratis a Deo prophetis, venit complevitque quæ priscis legibus deerant, sicut ipse dixit: « Non veni solvere legem, sed adimplere [31]. » Et re sane vera adimplevit, dum radices originesque peccatorum amputavit: cui si mos geratur, nemo unquam peccatum consummabit. Nam vetere lege dicente: « Non occides, » dator illius ac novæ Christus, « Non irasceris, » adjunxit. Illa, « Non adulterabis; » hic, « Non concupisces [32]; » et quæcunque alia a sanctis præcipue Patribus discenda sunt. Et prius quidem Testamentum sanguine dedicatum fuit; et nostrum hoc similiter immaculati Agni sanguine firmatum quasi testamentum in Erythræo quodam regiæ tincturæ, manuali scriptura per totum contextum signatum, infragile et non caducum manet Ecclesiæ, multas ea licet inimicorum aggressiones pertulerit; firmiorque portis inferi apparuit, virtute illius qui hanc in cordibus fidelium impressit. Dicit enim ipse

[29] Hebr. IX, 1. [30] Deut. XVIII, 15. [31] Matth. V, 17. [32] Exod. XX, 13-17; Matth. V, 21 seqq.

prophetæ ore: « Ecce dies veniunt, et statuam fœdus, non secundum fœdus quod statui cum patribus vestris[36]; sed dabo leges meas in corda ipsorum, et cognoscent me cuncti a parvo ad maximum, et erunt omnes docibiles Dei[37]. » Propterea nihil scriptum reliquit Christus, sed verbatim doctrinam atque mandata, id est legem nostram, dedit; et per practicam traditionem, mysterium. Insuper promisit dicens: « Cum venerit Paracletus, quem ego mittam vobis a Patre, ille vos docebit omnia, et in mentem revocabit quæ vobis dixi, et alia annuntiabit, quæ nondum audire et ferre valetis[38]. » Factum vero id est, cum advenit Paracletus.

A τοῦ ταύτην ταῖς ψυχαῖς τῶν πιστῶν ἐγχαράξαντος· λέγει γὰρ διὰ τοῦ προφήτου· « Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ διαθήσομαι ὑμῖν διαθήκην, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἀλλ' ἔσομαι διδοὺς νόμους μου εἰς τὰς καρδίας αὐτῶν· καὶ εἰδήσουσί με πάντες ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν· καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ. » Διὰ τοῦτο οὐδὲν ἐγγράφως κατέλιπεν ὁ Χριστὸς, ἀλλὰ διὰ λόγων μὲν τὰ διδάγματα καὶ τὰς ἐντολὰς τὸν καθ' ἡμᾶς νόμον ἐπέταξεν· διὰ δὲ παραδόσεως πρακτικῆς τὸ μυστήριον. Ἐπὶ δὲ ὑπέσχετο λέγων· « Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, ἐκεῖνος διδάξει ὑμᾶς καὶ ὑπομνήσει πάντα ἃ εἶπον ὑμῖν· καὶ τἆλλα ἀναγγελεῖ, ὅσα ἀκούειν ἢ βαστάζειν οὐ δυνασθε ἄρτι. » Γέγονε δὲὅπερ ὑπέσχετο, τοῦ Παρακλήτου ἐλθόντος.

Τίνα γοῦν εἰσιν, ἃ τοῦ προσκυνητοῦ καταφλυαροῦσι σταυροῦ; Οὐ χρὴ, φασὶ, τὸν σταυρὸν προσκυνεῖν καὶ ἀσπάζεσθαι, ἀλλ' ἀτιμάζειν καὶ ἀποστρέφεσθαι, ὡς τὸν Χριστὸν ἀνελόντα καὶ θανατώσαντα. Καὶ ἐπάγουσιν εἰς ἀπορίαν ὅθεν ὑμᾶς ἐμβαλόντες. Εἴ τις, λέγοντες, τὸν σὸν πατέρα ἐπὶ ξύλου κρεμάσας ἀνεῖλεν, ἐτίμησας ἂν καὶ προσεκύνησας ἐκεῖνο τὸ ξύλον; Πάντως οὐχί· ἀλλὰ καὶ ἀπεστράφης αὐτὸ καὶ ἐμίσησας, καὶ πόρρωθεν βλέπων ἀπέφευγες ἄν, ὡς ἐχθρὸν, οἷα τὸν σὸν φίλον πατέρα ἐναποκτείναν. Ἤδη ἠκούσατε τὴν βλασφημίαν αὐτῶν. Τί ὑμῖν δοκεῖ; Θέλετε ὡς ἰστὸν ἀράχνης διαλῦσαι τῆς ἀπορίας ταύτης τὸν σύνδεσμον; C καὶ τὸν λῆρον τοῦτον δυσσεβείας ἀπελέγξαι μετ' ἐμοῦ· Φέρε καὶ ἀπελέγξωμεν. Νόμος ἐστὶ τοῖς ἀνθρώποις ὑπὸ τῆς φύσεως περὶ τοὺς εὐεργέτας εὐγνωμονεῖν καὶ ἀντιχαρίζεσθαι τὰ εὐχαριστήρια· καὶ μὴ μόνον αὐτοὺς τοὺς εὐεργέτας τιμᾷν, καὶ τὸ προσῆκον σέβας ἀπονέμειν σφίσιν, ἀλλὰ καὶ αὐτὰ τὰ μεσιτεύσαντα πρὸς τὴν τῆς εὐεργεσίας ἐκπλήρωσιν, καὶ ὄργανα σωτηρίας τοῖς κινδυνεύουσι χρηματίσαντα μακαρίζειν· καὶ πειθέτω σε ὁ πάνσοφος Σολομὼν οὕτω λέγων· *Εὐλογεῖτε ξύλον, δι' οὗ γίνεται σωτηρία.* Πολλοὶ καὶ σπάθην βασιλικὴν τετιμήκασιν ἀνθρωποκτόνον τύραννον ἀνελοῦσαν, καὶ πόλεσι τυραννουμέναις ἐλευθερίαν χαρισαμένην, ἀλλὰ καὶ μέχρι τόπων καὶ χρόνων καθ' οὓς εὐημερίας τινὸς ἢ ὠφελείας μετέσχον, ἕτεροι ἐσεβάσθησαν. D

Καὶ ἁπλῶς εἰπεῖν, ἅπαν τὸ κατά τι μεσιτεῦσαν τοῖς ἀνθρώποις εὐεργεσίαν καὶ χαρμονὴν παρασχόμενον ἐπαινετὸν τοῖς ἀνθρώποις καὶ ἀγαπητὸν κατὰ τὸ μέτρον τῆς ὠφελείας· ὥσπερ αὖ τοὐναντίον καὶ τὰ βλάβης αἰτιά τισι γεγονότα, καὶ ἀνιαροῦ τινος πρόξενα, καὶ μισοῦμεν, καὶ ἀποστρεφόμεθα, εἴτε ὄργανά εἰσιν, εἴτε τόποι, εἴτε χρόνοι. Καὶ μάχαιραν γάρ τις ἀδελφοκτόνον κατώρυξε, καὶ ῥάβδον παιδοκτόνον διέθρυσεν. Ἐπαρᾶται Δαυὶδ τὰ ὄρη τὰ Γελβουὲ διὰ τὴν ἐκεῖσε τοῦ φίλου ἀναίρεσιν· ὁ Ἰὼβ τὴν ἡμέραν, ἐν ᾗ ἐγεννήθη, διὰ τὰς ἐπισυμβάσας

[11] Exod. xiv, 26 seqq. [12] Sap. xiv, 7. [13] II Reg. i, 21.

συμφορὰς καὶ τὰς κυμαγωγίας τῶν πειρασμῶν. Ἴδωμεν οὖν τὸν σταυρὸν, τίσιν ὠφέλιμος γέγονε, καὶ τίσιν ἐπιβλαβής· καὶ ὁ μὲν ὠφεληθεὶς ἀνάλογον τῇ ὠφελείᾳ καὶ τὴν τιμὴν προσφερέτω, ᾧ δὲ βλάβης αἴτιος γέγονε, τοῦτον οὗτος ἀποστρεφέσθω καὶ βδελυττέσθω δικαίως. Ἀναγινωσκέσθω τοίνυν τὰ τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, οὕτωσὶ ῥητῶς ἐμφερόμενα, καὶ παρὰ τοῦ Σωτῆρος λεγόμενα· *Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου ἐκβληθήσεται ἔξω· κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.* Ἰδοὺ ἐν τοῖς ὀλίγοις τούτοις ῥήμασιν ἔξεστι διδαχθῆναι τίς ὁ εὐεργετηθεὶς διὰ τοῦ σταυροῦ, τίς δὲ ὁ συντριβὴν ὑποστάς. Ὅτι δὲ περὶ τῆς ἑκουσίου σταυρώσεως ὁ Χριστὸς ταῦτα ἔφη, ἔχομεν αὐτὸν τὸν Εὐαγγελιστὴν μάρτυρα τοῦ λόγου ἀξιόπιστον. Ἐπάγει γάρ· *Τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.*

et Job diei, in quo natus est, propter eas, quæ sibi evenerant, calamitates procellasque tentationum [15]. Videamus igitur crucem, quibusnam utilitatem, et quibus damnum attulerit, isque qui emolumenti aliquid accepit, parem utilitati honorem depromat; cui autem crux detrimenti causa exstitit, hic eam merito suo aversetur et abominetur. Legantur igitur ea quæ in Evangelio secundum Joannem reperiuntur, quæ sic ad verbum habent, et ab ipso Salvatore nostro pronuntiata sunt : *Nunc judicium est mundi hujus; nunc princeps hujus mundi ejicietur foras; et ego cum exaltatus fuero a terra, omnes ad meipsum traham* [15a]. Ecce ex his pauculis verbis discere licet, qui crucis ministerio beneficiis sit affectus, et quis damnum et contritionem passus. Quod vero Christus hæc dixerit de voluntaria illa, quam subiturus erat, crucifixione, testem fide dignum ipsum Evangelistam habemus. Subjungit enim : *Hoc vero dicebat, significans, qua morte moriturus esset* [15b].

Πάλιν οὖν τὸν λόγον ἐπαναλήψομαι. *Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου* · κρίνει δὲ ὡς βασιλεὺς ἐπὶ θρόνου βεβηκὼς βασιλικοῦ τοῦ σταυροῦ. Ἡ δὲ κρίσις εἰς ταύτην ἐκφέρεται τὴν ἀπόφασιν, ἵνα ὁ τοῦ κόσμου ἄρχων ἔξω τῆς αὐτοῦ ἀρχῆς ἐκβληθῇ, καὶ ἡ κατὰ τῶν ἀνθρώπων τυραννὶς αὐτοῦ καὶ ἡ πολυχρόνιος κάκωσις στῇ, καὶ ὁ τύραννος ὑπὸ τοὺς πόδας τῶν τυραννουμένων τεθῇ διὰ τὸν τοῦ Σωτῆρος ἄδικον θάνατον, καὶ τὴν καχὰ τοῦ παμβασιλέως ἀναισχυντίαν τὴν πάντολμον, καὶ οὐκ ἔτι λέγεται κοσμοκράτωρ. Ἐκβέβληται γὰρ σταυρωθέντος Χριστοῦ, καὶ τῷ οἰκείῳ αἵματι τὸν κόσμον ἐξαγοράσαντος. Καὶ ὁ ἀγοράσας εὐαγγελιζόμενος τοῖς ἑαυτοῦ φίλοις ἔφη· *Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.* Καὶ ἀπὸ τοῦδε οἱ γηγενεῖς, οἱ χθές που καὶ πρότριτα ἐκ γῆς εἰς ᾅδην καταφερόμενοι, νῦν ἐν οὐρανοῖς πολιτογραφοῦνται. Ἀπεφήνατο γὰρ, ὡς *Ἐὰν ὑψωθῶ ἐπὶ τοῦ σταυροῦ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν*, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ αὐτοὶ ὦσι μετ' ἐμοῦ.

Eumdem igitur sermonem resumam : *Nunc judicium est mundi hujus;* judicat vero ut rex in thronum regalem crucis conscendens. At judicium in hanc sententiam terminatur, ut princeps mundi extra suum imperium ejiciatur, ipsiusque adversus homines tyrannis et diuturna violentia cohibeatur, et tyrannus pedibus eorum qui tyrannide opprimebantur, subjiciatur propter mortem inique Salvatori illatam, et propter effrenatam illam impudentiam in omnium Regem et Dominum, et ut non amplius mundi princeps appelletur. Ejectus est enim Christo crucifixo, postquam proprio sanguine mundum emit, quique mundum emit, is ad amicos suos concionans dixit : *Data est mihi omnis potestas in cœlo et in terra* [16]. Et ex isto tempore, terrigenæ, qui heri et nudiustertius ad inferos deferebantur, nunc tanquam cives in cœlo conscribuntur. Asseruit enim : *Si exaltatus fuero in cruce, omnes traham ad me ipsum*, ut ubi ego sum, et ipsi sint mecum.

Τίς οὖν ὀφείλει τὸν σταυρὸν ἀγαπᾷν; Οἱ τῆς τυραννίδος ἀπαλλαγέντες τοῦ διαβόλου τῇ σταυρικῇ συνεργίᾳ, καὶ πρὸς οὐρανὸν ἐξ ᾅδου ἀναδραμόντες, καὶ ἰσαγγέλου δόξης ἀξιωθέντες, ἦ ὁ διάβολος ὁ τῆς προτέρας ἐξουσίας ἀποπεσὼν διὰ τοῦ σταυροῦ, καὶ εἰς τὸ καταπαίζεσθαι, καὶ καταπατεῖσθαι, ὑπὸ τῶν ἀνθρώπων οἰκτρῶς ὑποκείμενος; Πάντες οἱ μὲν ἄνθρωποι πολλῶν ἀξιωθέντες τῶν ἀγαθῶν διὰ τοῦ σταυροῦ, καὶ ζωὴν εὑρόντες αἰώνιον, δικαίως ὀφείλουσι καὶ προσκυνεῖν καὶ ἀσπάζεσθαι τὸν σταυρὸν, δι' οὗ τῶν ἀγαθῶν ἐπιγέγονεν ἡ ἀπόλαυσις· τῷ δέ γε διαβόλῳ ἀνάγκη μισεῖν τὸν σταυρὸν, καὶ φεύγειν μακρὰν ἐξ αὐτοῦ, ὡς φεύγει τις ἐκ πυρός· δι' αὐτοῦ γὰρ ἡ συντριβὴ αὐτοῦ καὶ ἐκνεύρισις καὶ παντελὴς ἐξολόθρευσις. Ὅσοι γοῦν τὸν σταυρὸν μισοῦσι, καὶ ἀποστρέφονται, φανερὰν εὔνοιαν ἀποδιδόασι τῷ διαβόλῳ, καὶ πιστοὶ αὐτῷ χρηματίζοντες, ἐχθρὸν ἡγεῖσθαι τὸν αὐτοῦ ἐχθρὸν ἐποφείλουσιν,

Qui igitur crucem honorare debent? An qui beneficio crucis ex diaboli tyrannide erepti, et ad cœlum evecti, et æqualis cum angelis gloriæ participes effecti sunt; an diabolus, qui ex priora potestate per crucem excidit, quique nunc hominum pedibus miserabiliter substratus est, ut ab illis ludibrio haberi et conculcari possit? Universi quidem homines multis affecti et aucti commoditatibus per crucem, vitamque æternam adepti, merito debent et adorare et osculari crucem, ex qua tanta bonorum copia ad illos manavit. At vero diabolus necesse habet, ut crucem oderit, et procul ab ipsa aufugiat, sicut qui ex igne aufugit; per ipsam enim contritus, et enervatus, et funditus eversus est. Quicunque igitur crucem oderunt et aversantur, manifesta suæ erga diabolum benevolentiæ documenta edunt; et ut ei fideles et obnoxii, id quod ei inimicum est, inimici loco ducere

[15] Joan. xii, 31. [15a] Ibid. 32. [15b] Ibid. 33. [16] Matth. xxviii, 18.

debent; quemadmodum vicissim amare id quod ipse amat. Consentanee igitur et convenienter affectioni suæ erga diabolum, et inviolato fœderi conformiter, affirmant Bogomili, iniquum esse ut lignum, in quo pater alicujus aut amicus interfectus sit, adorent filii aut amici ejus. Ecce enim pater illorum diabolus infinita mala per crucem passus est, sicut ostendimus, et propterea crucem oderunt patris sui interfectricem et perditricem. Salvator enim mundi Christus, licet sponte sua cruci sit suffixus, et sanctissimam suam animam in paternas manus libens volensque deposuerit, attamen denuo eamdem propria potestate et libertate resumpsit, juxta verissimum illud ejus oraculum: *Potestatem habeo ponendi animam meam, et potestatem habeo iterum sumendi eam* [17], morsque hujus hominibus vitæ æternæ causa exstitit.

Vere verbum crucis *pereuntibus* quidem *stultitia est*, nobis vero, qui salvamur, *Dei virtus est* [18]. Quid igitur tibi videtur, amice diaboli Bogomile? An Apostolo obtemperandum est asseveranti crucem esse virtutem Dei, an tibi perdito et profligato, qui crucem stultitiam nominas? Si vero tu diabolo rem gratam faciens, nunquam cessas, quin crucem voces stultitiam, at ego iterum fidenter et audacter aio, Deum *quæ stulta sunt mundi elegisse* [19], et *animalem hominem non percipere ea quæ sunt Spiritus* [20]. Si vero tu, diaboli discipulus, dedecus esse arbitraris crucem, sed magister meus, *Mihi absit*, inquit, *in alio quopiam*, quæ in mundo gloriosa et splendida censentur, *gloriari, quam in cruce Christi* [21]. Quid Petro firmius, cui neque sanguis, neque caro Filium Dei revelavit, sed ipse solus Pater, et solus ingenitus? Nihilominus cum ei adhuc passionis mysterium ignotum et absconditum esset, magistrumque ad crucis patibulum festinantem intelligeret, conatus quidem est, tenero quodam amoris affectu, cursum illum et festinationem prohibere, illudque, *Propitius esto tibi, Domine, non erit hoc tibi* [22], commiseratione quadam ductus protulit, sed contra audiit cum gravi indignatione illud: *Vade post me, Satana, scandalum mihi es, quia non sapis ea, quæ Dei sunt, sed ea, quæ hominum* [23]. O miraculum ingens! *Satanas* appellatur magnus Petrus, quod crucem detrectet, quam ut commodum toti mundo longe fructuosissimum Christus arripere cogitabat, et ut petra scandali et lapis offensionis retro abjicitur infractum illud Ecclesiæ fundamentum; quo supplicio non eris dignus, qui blasphemias contra crucem clatras et crucifixum accusas? In vitam enim comminiscens crucifixionem, et non modo non fructuosam et conducibilem, sed et ipsi crucifixo damnosam, ipsosque qui Christum crucifixerunt, potentiores crucifixo statuis, tanquam qui nolentem et reluctantem ad crucem rapuerint.

A ὥσπερ αὖθις φιλεῖν τοὺς φίλους αὐτοῦ. Ἀκολούθως οὖν καὶ ἁρμοδίως τῇ πρὸς τὸν διάβολον διαθέσει αὐτῶν καὶ πίστει ἀπαρασπόνδῳ οἱ Βογόμιλοι λέγουσιν ὅτι ἄδικόν ἐστι τὸ ξύλον ἐν ᾧ πατήρ τινος ἢ φίλος ἐθανατώθη προσκυνεῖσθαι ὑπὸ τῶν τέκνων ἢ τῶν φίλων αὐτοῦ. Ἰδοὺ γὰρ καὶ ὁ πατὴρ αὐτῶν καὶ φίλος διάβολος μυρία δεινὰ πέπονθε διὰ τοῦ σταυροῦ, καθὼς ἀπεδείξαμεν, καὶ διὰ ταῦτα τὸν σταυρὸν μισοῦσι, τὸν τοῦ πατρὸς αὐτῶν ἀναιρέτην καὶ ὀλοθρευτήν. Ὁ γὰρ Σωτὴρ τοῦ κόσμου Χριστὸς, εἰ καὶ ἑκουσίως τῷ σταυρῷ προσεπάγη, καὶ τὴν ὑπεραγίαν ψυχὴν εἰς χεῖρας αὐτεξουσίως τὰς πατρικὰς ἐναπέθετο, ἀλλὰ πάλιν αὐτὴν αὐτεξουσίως προσελάβετο κατὰ τὴν ἀψευδεστάτην αὐτοῦ πρόρρησιν, *Τὴν ἐξουσίαν ἔχω τὴν ψυχήν μου*
B *θεῖναι, καὶ ἐξουσίαν ἔχω πάλιν ταύτην λαβεῖν*, λέγων, καὶ ὁ θάνατος τούτου ζωῆς αἰωνίου τοῖς ἀνθρώποις γέγονε πρόξενος.

Ὄντως ὁ λόγος τοῦ σταυροῦ *τοῖς μὲν ἀπολλυμένοις μωρία* ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν *δύναμις Θεοῦ ἐστιν*. Τί οὖν σοι δοκεῖ, φίλε τῷ διαβόλῳ Βογόμιλε; Τῷ Ἀποστόλῳ χρὴ πείθεσθαι τῷ λέγοντι ὅτι δύναμις Θεοῦ ἐστιν ὁ σταυρὸς, ἢ σοὶ τῷ ἀπολλυμένῳ μωρίαν τὸν σταυρὸν ὀνομάζοντι; Εἰ δὲ σὺ τῷ διαβόλῳ καταχαριζόμενος οὐ παύῃ μωρίαν ἀποκαλῶν τὸν σταυρὸν, ἀλλ' ἐγὼ καὶ πάλιν ἐρῶ μετὰ θάρρους ὅτι *Τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, καὶ ὅτι*
C *ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν*. Εἰ δὲ καὶ διάβολον σὺ μαθητὴς αἰσχύνην ἡγῇ τὸν σταυρὸν, ἀλλ' ὁ διδάσκαλός ὁ ἐμὸς, *Μή μοι γένοιτο*, λέγει, *ἐν ἄλλῳ τινὶ τῶν κατὰ κόσμον ἐνδόξων καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ*. Τί τοῦ Πέτρου στερρότερον, ᾧτινι οὐχ αἷμα οὐδὲ σὰρξ τὸν Υἱὸν ἀπεκάλυψεν, ἀλλ' αὐτὸς ὁ μόνος Πατὴρ, καὶ μόνος ἀγέννητος; Ὅμως ἐπείπερ ἔτι ἀποκεκρυμμένον ἦν αὐτῷ τὸ τοῦ πάθους μυστήριον καὶ πρὸς τὸν σταυρὸν ἐπισπεύδοντα τὸν διδάσκαλον κατενόει, ἐπειράθη μὲν φιλοστόργῳ δήθεν διαθέσει τῆς ὁρμῆς κωλῦσαι καὶ τῆς ἐπείξεως, καὶ, *Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο*, συμπαθῶς ἀπεφθέγγετο. Ἀντήκουσε δὲ μετ' ἐμβριμήσεως ὅτι σφοδρᾶς, *Ὕπαγε ὀπίσω μου, Σατανᾶ. Σκάνδαλόν μοι ἐγενήθης· οὐ φρονεῖς τὰ τοῦ*
D *Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων*. Τοῦ θαύματος! Σατανᾶς ὁ μέγας Πέτρος ἀκούει διὰ τὸ ἀπαναίνεσθαι τὸν σταυρὸν, ὃν ὡς κοσμωφελέστατον ἁρπάζειν ἤθελεν ὁ Χριστὸς, καὶ ὡς πέτρα σκανδάλου καὶ λίθος προσκόμματος ὀπίσω ἐναπορρίπτεται ἀῤῥαγὴς τῆς Ἐκκλησίας θεμέλιος. Τί δ' ἂν πάθοις αὐτὸς ὁ βλάσφημα καθυλακτῶν τοῦ σταυροῦ, καὶ τὸν ἐσταυρωμένον κατηγορῶν; Ἀκούσιον γὰρ εἰσάγεις τὴν σταύρωσιν, καὶ οὐ μόνον οὐκ ὠφελήσασαν, οὐδὲ λυσιτελῆ φανεῖσαν, ἀλλὰ καὶ αὐτὸν καταβλάψασαν τὸν ἐσταυρωμένον· καὶ αὐτοὺς δὲ τοὺς σταυρώσαντας ἰσχυροτέρους τοῦ σταυρωθέντος εἰσάγεις, ὡς καὶ μὴ βουλόμενον ἐπὶ τὸν σταυρὸν ἑλκύσαντας.

[17] Joan. x, 18. [18] I Cor. I, 18. [19] I Cor. I, 27. [20] I Cor, II, 14. [21] Galat. VI, 14. [22] Matth. XVI, 22. [23] Ibid. 23.

Καὶ ταῦτα οἱ πάντολμοι κατὰ τοῦ παντοδυνάμου βλασφημοῦντες Χριστοῦ, Χριστιανοὺς καλοὺς ἑαυτοὺς ὀνομάζουσιν οἱ ταῖς ἀληθείαις ἀντιχριστιανοί. Τὰ γὰρ τοῦ ἀντιχρίστου πρεσβεύουσι, καὶ αὐτῷ μόνῳ λατρεύουσι, καὶ πρὸς αὐτὸν τὰς ἐλπίδας ἀνατιθέασιν. Ἀλλ' οὗτοι μὲν οἱ ἀποστάται μετὰ τοῦ συναποστάτου αὐτοῖς ἐῤῥέτωσαν δαίμονος, καὶ εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον αὐτῷ συμπαραπεμπέσθωσαν. Τοιοῦτον καὶ γὰρ τοῖς τέκνοις αὐτοῦ θησαυρὸν ὁ πατὴρ αὐτῶν ἐθησαυρίσεν· ὅπου τῶν θησαυρῶν αὐτῶν εὑρήσουσιν ἄνθρακας ἐκπυρίξοντας, καὶ ὁ ἀντίχριστος τὰ τοῦ Χριστοῦ ἱεροσυλήσας περὶ τῶν αὐτοῦ λεγέτω μαθητῶν· Θέλω, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ αὐτοὶ ὦσι μετ' ἐμοῦ. Καὶ ὁ ἄρχων τοῦ σκότους μετὰ τῆς τάξεως αὐτοῦ πρὸς τὸν ἴδιον τόπον συγκατερχέσθω. Ἡμεῖς δὲ, ἡ κληρονομία Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡ περιούσιος, ἣν διὰ τοῦ σταυροῦ περιεποιήσατο, καὶ τῷ ἰδίῳ ἐξηγόρασεν αἵματι, δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτοῦ τῷ σταυρῷ, καὶ οἱ πολυτρόπως εὐεργετηθέντες δι' αὐτοῦ πολυωνύμως τοῦτον ἐγκωμιάσωμεν, θρόνον λέγοντες αὐτὸν τοῦ Θεοῦ, ἐν ᾧ ἀναβὰς τῷ κόσμῳ, καὶ τῷ κόσμου τυράννῳ κρίσιν πεποίηκε· καὶ τὸν μὲν κόσμον τῆς τυραννίδος ἀπήλλαξε καὶ διέσωσε, τὸν δὲ κατακεκριμένον καὶ κατησχυμμένον, ἔξω ἐκβέβληκε μετὰ τῶν δορυφόρων αὐτοῦ, καὶ *καθεῖλε δυνάστας ἀπὸ θρόνου, καὶ ὕψωσε ταπεινούς*.

A Hæc dum audacissimi adversus omnipotentem Christum blasphemo ore evomunt, egregios Christianos seipsos appellitant, cum revera sint Antichristi. Rem enim Antichristi et legatos ejus agunt, eique soli serviunt, et in ipso spes suas repositas habent. Sed abeant isti desertores cum dæmone æque apostata, et in ignem æternum ipsi paratum ablegentur. Talem enim filiis suis thesaurum pater ipsorum thesaurizavit, ubi thesaurorum suorum carbones ignitos reperient. Et Antichristus ea quæ Christi sunt, sublegere solitus de suis itidem discipulis dicat: Volo, ut ubi ego sum, et ipsi sint mecum. Et princeps tenebrarum cum cohorte sua ad proprium locum descendat. Nos vero, hæreditas veri Dei peculiaris et electa, quam cruce acquisivit, proprioque sanguine emit, B adeste adoremus, et accedamus ad ipsam crucem, et qui varia ab illa beneficia accepimus, variis itidem nominibus eamdem celebremus. Thronum illum Dei nominemus, in quem ascendens mundo mundique tyranno judicium indixit, et mundum quidem ex tyrannide liberavit et servavit, condemnatum vero et confusum ejecit cum satellitibus suis, et *deposuit potentes de sede, et exaltavit humiles*[35].

Καὶ ὁ μὲν διάβολος, τῆς πάλαι δόξης ἀποπεσὼν διὰ τὴν ἔπαρσιν ἐξ οὐρανοῦ ἐπὶ τὰς νεφέλας, κατ' ἀναβασμὸν κάτεισι· θήσειν γὰρ ἐπ' αὐτῶν τὸν θρόνον αὐτοῦ βουλόμενον, ὑπετόπασεν ἀπὸ τῶν νεφελῶν ἐπὶ τὴν γῆν, ἣν καὶ ἐξαλείψειν ἠλαζονεύσατο, C ἀπὸ τῆς γῆς εἰς τὸν τάρταρον· *Σειραῖς γὰρ ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν τηρούμενον*· ἡμεῖς δὲ ὅσοι διὰ τοῦ σταυροῦ σεσώσμεθα, κατὰ προοδισμὸν καὶ προκοπὴν ἀνατρίχομεν. Εἰ γὰρ καὶ πρότερον ὑποσκελισθέντες τῷ πονηρῷ ἀντιπάλῳ καὶ δολερῷ μέχρις ᾅδου κατενηνέγμεθα, ἀλλὰ νῦν διὰ τοῦ σταυροῦ ἐκ γῆς πρὸς οὐρανὸν ἀνατρίχομεν. Καί μοι διὰ ταῦτα καὶ εἰς κλίμακα θεωρεῖν ἐπέρχεται τὸν σταυρὸν, ἐν ᾧ καὶ ἀνάβασις φαίνεται καὶ κατάβασις. Ἀναβαίνουσι μὲν γὰρ ἕως τῶν οὐρανῶν οἱ ἄνθρωποι· καταβαίνουσι δὲ ἕως τῶν ἀβύσσων οἱ δαίμονες. Σκῆπτρόν ἐστι βασιλικὸν ὁ σταυρὸς τοῖς ἐξ Ἀδὰμ μέχρι συντελείας ἀνθρώποις περίβλεπτον, καὶ αὐτοῖς αἰδέσιμον τοῖς ἀγγέλοις. *Τότε γὰρ*, φησὶ, *φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ ἀνθρώπου* D *ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς*, ὅσαι δηλαδὴ μὴ τῆς αὐτῆς πίστεως οὖσαι τῷ Ἀβραὰμ οὐκ ἠγαλλιάσαντο ἰδεῖν τὴν ἡμέραν τοῦ πάθους αὐτοῦ, ἢ καὶ ἰδοῦσαι οὐκ ἐχάρησαν ἐπὶ τῇ δόξῃ αὐτοῦ· μᾶλλον δὲ καὶ θρασέως ἀντεῖπον, *Οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς*.

Et diabolus quidem ex antiqua gloria excidit, eo quod ex cœlo supra nubes sese sublevare cogitarit; revocatoque quasi gradu descendit. Volentem enim in nubibus thronum suum collocare deturbavit e nubibus in terram, quam se etiam deleturum jactaverat, et ex terra in tartara: *Rudentibus* enim *caliginis in tartara detractum tradidit in judicium reservari*[36]. Nos vero, qui per crucem salvati sumus, progressu et profectu sursum tendimus. Licet enim prius subnervati et prostrati a maligno et doloso adversario ad inferos usque descenderimus, at nunc opera crucis ex terra in cœlum usque sublevamur. Horum gratia scalæ etiam similitudinem mihi crux habere videtur, in qua et ascensus et descensus cernitur. Ascendunt quidem usque ad cœlos homines, descendunt usque ad abyssum dæmones. Regium sceptrum crux est, Adami posteris usque ad finem sæculi admirandum et conspicuum, ipsisque angelis reverendum. *Tunc enim*, inquit, *parebit signum Filii hominis in cœlo, et plangent omnes tribus terræ*[37], quæ videlicet, fidem Abrahami non complexæ, non exsultaverunt videre diem passionis ejus, vel si viderunt, non gavisæ sunt ob gloriam ejus, quin potius audacter contradixerunt: *Nolumus hunc regnare super nos*[37].

Θυσιαστήριόν ἐστιν ὁ σταυρός. Ἐν αὐτῷ γὰρ ἐτύθη ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ τῇ θεοῦ ποστάτῳ σαρκὶ, καὶ τῷ θεορρύτῳ αἵματι ὁλοτελῶς καθηγίασται. Μεῖζον γὰρ ἐνταῦθα τὸ δῶρον τοῦ θυσιαστηρίου, καὶ ὑπὸ τοῦ δώρου τὸ θυσιαστήριον καθαγιάζεται. Πλὴν οὖν καὶ

Altare est crux. In ipsa enim sacrificatus est Agnus Dei, qui tollit peccatum mundi, et carne in Deo subsistente, et divino sanguine consecratum est; majus enim in proposito munus est quam altare, et a munere altare ipsum sanctificatur. Cæterum et qui in hoc crucis altari jurat, jurat quo-

[35] Luc. I, 52. [36] II Petr. II, 4. [37] Matth. XXIV, 30. [37] Luc. XIX, 14.

que in vivifica illa hostia, quæ super eo posita est : nam cum cruce animo et cogitatione simul concipitur Christus. Crux lectulus est Dominicus, quem non lacrymis, more Davidis, sed sanguine lavit, qui ex Davide secundum carnem procreatus est Christus, non proprium expians peccatum, natura enim sua immaculatus est, sed destruens et abolens peccatum mundi natum ex ligno, et in totum mortale genus propagatum, dormiensque in illo somnum, vitæ et vigiliæ æternæ causam et effectorem, surrexit propria potestate, *in matutino interficiens omnes peccatores terræ* [28].

Quin honore et cultu dignum nunc lectulum invenio, ejusque rei testem do Isaiam, qui disertis verbis prædixit : *Et erit requies ejus honos* [29]. Requies appellatur, quia peregrinationis labor et sudor, et aliæ naturales et indetrectabiles passiones et affectiones concessu divinitatis, quando opus erat, commotæ et concitatæ in humana Christi natura usque ad crucis supplicium ; de cætero consopitæ sunt, Christique morte mortuæ. Nam si quando post resurrectionem aliquo ivit, itio illa supra naturam, et plane admiranda fuit : quemadmodum nova itidem fuit manducandi illa actio. Dies me deficiat, si omnia vivificæ crucis miracula persequi velim.

In Rubro mari crux adumbratur ; eratque hoc præsignificatio et prædelineatio ejus roboris, qui ei postea per Domini sanguinem est illitus [30]. Amaritudinem aquæ transmutat in dulcedinem, populumque errabundum et fugitivum vivificat [31]. Sauciantes serpentes perimit, servatque ictos et saucios [32]. Utinam et venenatas istas viperas, Bogomilos inquam, in crucem injuriosos, a facie terræ exterminasset, qui omnia perreptantes, populum Dei mordent, venenumque impietatis suæ infundunt piorum animis ; quos non sine commiserationis affectu jure sic alloquar : *Genimina viperarum*, quomodo, et quo a judicio gehennæ fugietis [33], quam vos vobismet ipsi accendistis, abnegata pietate absque persecutione et tormentis? Sed res illorum in hunc finem desinent, nisi resipuerint pœnitentiamque egerint.

Nos vero agedum populum Christi communiamus sacris precationibus, ne mortiferum hujus hæresis venenum animam ejus contingat. Largiter enim ubique malitia diffusa est, et circumcirca obambulant impii, ut egregio Christi grege aliquid nocumenti inferant. At vos videte graves lupos, videte canes ;

ὁμόσας ἐν τῷ θυσιαστηρίῳ τούτῳ τῷ σταυρικῷ ὁμνύει ἐν αὐτῷ, καὶ ἐν τῷ ἐπάνω αὐτοῦ ζωοποιῷ θύματι. Τῷ γὰρ σταυρῷ συνεννοεῖται καὶ ὁ σταυρωθείς. Κλίνη ἐστὶ Δεσποτικὴ ὁ σταυρὸς, ἣν οὐχὶ δάκρυσι, κατὰ τὸν Δαυΐδ, ἀλλ' αἵμασιν ἔλουσεν ὁ ἐκ Δαυΐδ τὸ κατὰ σάρκα Χριστός· οὐχὶ τὸ ἑαυτοῦ ἐκπλύνων ἁμάρτημα, κατὰ φύσιν γάρ ἐστιν ἄχραντος, ἀλλὰ καταίρων τὴν ἁμαρτίαν τοῦ κόσμου τὴν ἐκ τοῦ ξύλου ἀναφυεῖσαν, καὶ εἰς ἅπαν ἐκδραμοῦσαν τὸ γένος τὸ βρότειον, καὶ ὑπνώσας ἐν αὐτῷ ζωῆς καὶ ἐγρηγόρσεως αἰωνιζούσης πρόξενον ὕπνον ἀνέστη αὐτεξουσίως *εἰς τὴν πρώτην ἀποκτείνων πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς*.

Ἀλλὰ καὶ σεβάσματος ἀξίαν εὑρίσκω ταύτην τὴν κλίνην· καὶ τὸν Ἡσαΐαν παράγω σοι μάρτυρα, *Καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμὴ* (3), προλέγοντα φανερῶς. Ἀνάπαυσις δὲ, ὅτι καὶ ὁ ἐκ τῆς ὁδοιπορίας κόπος καὶ ὁ ἱδρὼς, καὶ τἄλλα τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη, ἐκχωρήσει τῆς θεότητος, ὅτε καὶ ἴδει κεκινημένα ἐν τῷ κατὰ Χριστὸν ἀνθρωπίνῳ μέχρις αὐτοῦ τοῦ σταυροῦ· τὸ ἀπὸ τοῦδε ἀνενέργητα μεμενήκασι, καὶ τῇ νεκρώσει τούτου συνενεκρώθησαν. Ἡ γὰρ μετὰ τὴν ἀνάστασιν ὁδοιπορία ἑτέρα ἦν, ὑπερφυὴς καὶ παράδοξος, ὥσπερ δὴ καὶ ἡ βρῶσις καινοπρεπής. Ἐπιλείψει με καὶ ἡ ἡμέρα τὰ θαυμάσια διηγούμενον τοῦ ζωοπαρόχου σταυροῦ.

Ἐν Ἐρυθρᾷ θαλάσσῃ ὁ σταυρὸς εἰκονίζεται· καὶ ἦν τοῦτο προχάραγμα τοῦ ἐν τῷ Δεσποτικῷ αἵματι ἐπιχρωσθέντος αὐτῷ ἐρυθήματος. Πικρίαν ὑδάτων εἰς γλυκύτητα μεταποιεῖ, καὶ λαὸν πλανήτην καὶ φυγάδα ζωογονεῖ. Δάκνοντας ὄφεις ἀναιρεῖ καὶ διασώζει τοὺς δακνομένους· ὡς, εἴθε καὶ τὰς λοιδόρους ταύτας ἐχίδνας, τοὺς ὑβριστὰς αὐτοῦ Βογομίλους, ἀπὸ προσώπου τῆς γῆς ἐξηφάνισεν, οἵτινες ἕρποντες πανταχοῦ δάκνουσι λαὸν τοῦ Θεοῦ, καὶ τὸν ἰὸν τῆς δυσσεβείας αὐτῶν ἐγχέουσι ταῖς τῶν εὐσεβούντων ψυχαῖς, πρὸς οὓς περιπαθῶς ἂν ἐροίμην ὄφεις· *Γεννήματα ἐχιδνῶν*, ποῦ φύγοιτε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; ἣν αὐτοὶ ἑαυτοῖς ἐξεκαύσατε χωρὶς διωγμοῦ καὶ βασάνων τὴν εὐσέβειαν ἀρνησάμενοι. Ἀλλὰ τὰ μὲν κατ' αὐτοὺς εἰς τοῦτο λήξει τὸ τέλος, ἐὰν μὴ μετανοήσωσι.

Ἡμεῖς δὲ (4) ἀλλὰ φέρε καὶ κατασφαλισώμεθα τὸν λαὸν τοῦ Χριστοῦ ἐπῳδαῖς ἱεραῖς, ἵνα μὴ τῆς θανατηφόρου ταύτης αἱρέσεως ὁ ἰὸς καθάπτηται τῆς τούτων ψυχῆς. Δαψιλὲς γὰρ τὸ κακὸν ἐκκέχυται πανταχοῦ, καὶ κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦντες τὴν καλὴν ποίμνην λυμαίνονται τοῦ Χριστοῦ. Ἀλλ'

[28] Psal. c, 8. [29] Isa. xi, 10. [30] Exod. xiv, 1 seqq. [31] Exod. xv, 23-25. [32] Num. xxi, 6-9. [33] Luc. iii, 7.

(3) Ita 70 Interp. Isaiæ xi, ubi vulg. edit. *Et erit sepulcrum ejus gloriosum*. Locum etiam secundum LXX accepit S. Hieron. de sepulcro Christi, his verbis epist. ad Marcellam, nomine Paulæ et Eustochii : *Cujus sepulcri gloria multo antequam excideretur a Joseph, scimus Isaiæ vaticinio prophetatum ; dicentis : Et erit requies ejus honor : quod scilicet sepulturæ Domini locus esset ab omnibus honorandus*

(4) Sequitur aculeatus in Latinos Epilogus, scriptus eo tempore, quo Veneti et alii Itali, sicuti et Franci, gravissima bella cum Græcis gerebant, ipsa imperii sede Græcis adempta. Quo minus mirandum, Germanum istum Latinæ gloriæ inimicum, linguam et calamum asperius et mordacius in Latinos strinxisse. Similes invectivæ in Latinos exstant apud Nicetam, Gregoram et alios Græcos.

ὑμεῖς βλέπετε τοὺς βαρεῖς λύκους, βλέπετε τοὺς κύνας. Βλέπετε τοὺς κακοὺς ἐργάτας, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς· ἵνα κἀγὼ τολμήσω μετὰ Παύλου καυχήσασθαι· *Πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, καὶ νῦν κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια*· φυλάξατε τὴν καλὴν παραταθῆκην τῆς πίστεως ἀσυλον καὶ ἀνεπιβούλευτον. Μέλλομεν γὰρ ἕκαστος ταύτην ἀπαιτηθῆναι σώαν καὶ ἀνελλιπῆ ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ. Ἀλλά μοι τὸν λόγον ἤδη ἐπισφραγιστέον ταῖς ὑπὲρ τοῦ κρατίστου ἐσιν.

A videte malos operarios, et observate eos qui sic ambulant sicut habetis formam nos, ut audeam cum Paulo gloriari : *Multi enim ambulant, quos sæpe dicebam vobis, et nunc flens dico, inimicos crucis Christi, quorum finis interitus* [31]. Custodite insigne fidei depositum intactum et illibatum. A quolibet enim salvum et integrum reposcetur, cum ad terribile tribunal Christi assistemus. Verum orationem nunc quasi obsignemus precibus votisque ardentibus et assiduis pro optimo imperatore nostro.

ἡμῶν αὐτοκράτορος προσευχαῖς καὶ ἐκτενέσι δεή-

Ἄρατε οὖν, εὐσεβὴς λαός, χεῖρας ἅπαντες πρὸς Θεὸν ὑπὲρ τῶν ἐκείνου χειρῶν πολλὰ καμούσας ἤδη ἐν ταῖς κατὰ τῶν ἐχθρῶν συμπλοκαῖς, ἵνα *θείη τόξον χαλκοῦν τοὺς βραχίονας αὐτοῦ, διδάξῃ τὰς χεῖρας αὐτοῦ εἰς πόλεμον*, εἰς τὸ ἀποβαλεῖν τὴν ἰταλικὴν ὀξυχειρίαν εἰς τὸ καθαρπάζειν τὰ ἀλλότρια, ἵνα ἐπιστρέψωσιν εἰς ἑσπέραν, τὴν ἰδίαν πατρίδα, εἴγε τινὲς ἀπολειφθεῖεν, καὶ λιμώξωσιν ὡς κύνες, οὐκ ἔχοντες οἱ αἱμοχαρεῖς ἔτι λείχειν αἵματα τὰ αὐσονικά. Καὶ *κυκλώσωσι* τὴν ἰδίαν *πόλιν* λιμαγχονούμενοι καὶ βαΰζοντες μάταια. Ἰωάννης ὁ βαπτίσας αὐτοὺς τοῖς αἵμασιν ἑαυτῶν, ὁ θεοφρούρητος ἡμῶν αὐτοκράτωρ, ὑμῖν τοῖς ὑπὸ χεῖρα εὐαγγελίζεται, *Πᾶσα φάραγξ*, λέγων, *πληρωθήσεται*, ἡ τεταπεινωμένη γενεὰ τῆς τῷ χρόνῳ μὲν νεαζούσης Ῥώμης, ταῖς συμφοραῖς δὲ γεγηρακυίας ἰλεινῶς, *καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται*· ἡ καθ' ἡμῶν ἐπαιρομένη ἀγέρωχος ὀφρὺς ἡ ἰταλική. *Καὶ ἔσονται τὰ σκολιὰ εἰς εὐθεῖαν*, ἐκείνου προοδοποιοῦντος, καὶ ἐπανάγοντος τοῦ καὶ τὰ ἡμῖν ἀδύνατα δυναμένου Χριστοῦ. Ἤδη δὲ καὶ ἡ *ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται*. Τῶν κλάδων γὰρ ἀποτετμημένων ἄρτι καὶ κατὰ γῆς ἐπρωμένων καὶ κορμηδὸν ἐρριμμένων εἰς τοῦδαφος, οὐκ ἀπελπιστέα καὶ ἡ ῥιζοτόμησις. Τάχα δὲ ἀσθενὴς ἡ ῥιζοβόλησις, ὡς ἐκ μεταφυτεύσεως. Πίστευε τῷ Θεῷ τῷ πάντα δυναμένῳ, βασιλέων εὐσεβέστατε καὶ πράστατε, κατὰ τὸν Δαυὶδ, ὡς *ὅπλῳ κυκλώσει σε* τῷ σταυρικῷ ἡ *ἀλήθεια αὐτοῦ*, ὅς ἐστιν ὁ Χριστός, καὶ *οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ* τοῦ ἀφανῶς σοι προβάλλοντος, καὶ δειλανδρίαν ἐμποιοῦντος, *οὐδ' ἀπὸ βέλους πετομένου ἡμέρας*, καὶ φανερῶς σοι ἀνθισταμένου ἐχθροῦ. Πάντα γὰρ ταῦτα ὁ τοῦ Χριστοῦ σταυρὸς ἀποσοβήσει μακρὰν, καὶ ὁδηγός σοι πρὸς ἅπαν τὸ καταθύμιον, καὶ ὡς *ὅπλον εὐδοκίας στεφανώσει σε*, τροπαιοφόρον, μεγαλόνικον ἀναδείξας σε παρὰ τοὺς ἔμπροσθεν βασιλεῖς, ἱκετευούσης τῆς πανυπεράγνου Θεομήτορος, καὶ πανυπεραμώμου δὲ δεσποίνης ἡμῶν, καὶ ἀειπαρθένου Μαρίας, καὶ τῶν καλλινίκων μαρτύρων Χριστοῦ καὶ τῶν ἁγίων ἁπάντων. Γένοιτο ταῦτα, Τριὰς παντοδύναμε καὶ παντάνασσα, ἡ ἐν προσώποις προσ-

B Tollite igitur, o fidelis populi, manus vestras ad Deum pro illius, quæ tot jam labores subierunt in conflictibus et præliis adversus hostes, ut *ponat brachia ejus velut arcum æreum et doceat manus ejus ad prælia* [32], ut repellant Italicam illam velocitatem rapiendi aliena, ut revertantur in occasum, propriam suam patriam, si qui supersint, et esuriant ut canes [33], non habentes amplius sanguinarii cruorem Ausonicum, quem lingant. Et *circumeant* propriam *civitatem* fame pressi, incassum latrantes [34]. Joannes, qui baptizavit eos in proprio ipsorum sanguine, custoditus a Deo imperator noster evangelizans, acclamat nobis subditis : *Omnis vallis implebitur* [35], abjecta et afflicta generatio, annis quidem novæ Romæ, calamitatibus vero miserabiliter jam vetustæ. *Et omnis mons et collis humiliabitur* [36], elatum videlicet Italorum supercilium. *Et erunt prava in directa* [40], illo tanquam viæ duce præeunte, et omnia revocante Christo, qui et ea, quæ nobis sunt impossibilia, potest. Jam vero et *securis ad radicem posita est* [41]. Ramis enim modo amputatis, et in terram dejectis, truncatimque solo allisis, non desperandum est, quin et radix incidi possit. Forte enim, ut ex transplantatione, infirmæ sunt illæ, quas miserunt, radices. Fide igitur Deo, qui omnia potest, imperatorum piissime et mitissime, teque, ut David ait, tanquam *scuto* crucis *circumdabit veritas ejus, et non timebis a timore nocturno* [42] ejus, qui occulte te aggreditur, formidinemque immittit, *nec a sagitta volante in die* [43], et hoste palam tibi resistente. Omnia enim hæc longe crux Christi repellet, et dux tibi erit ad omnia, quæ desideras, et *ut scutum bonæ voluntatis coronabit te* [44], triumphatorem et victorem supra superiores imperatores effectum; precibus et interventu castissimæ Deiparæ, et immaculatæ Dominæ nostræ, et semper Virginis Mariæ, fortissimisque victoribus Christi martyribus, et omnibus sanctis intercedentibus isthæc eveniant, o sanctissima et omnia gubernans Trinitas, in tribus personis et in una Deitate adorari solita, quam decet omnis gloria, honos et adoratio in infinita sæcula. Amen (5).

[31] Philipp. III, 18, 19. [32] Psal. XVII, 35. [33] Psal. LVIII, 7. [34] Ibid. 15. [35] Luc. III, 5. [36] Ibid. [40] Ibid. [41] Ibid. 9. [42] Psal. XC, 5. [43] Ibid. 6. [44] Psal. V, 13.

(5) Disquisitio de isto Germano revocat mihi in memoriam, quod est apud Possevinum in *Apparatu sacro*, v° *Germanus*, sub prisci illius Germani, patriarchæ Constantinop. nomine circumferri librum *De*

κυνουμένη τρισὶ καὶ μιᾷ τῇ θεότητι, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

II.

In vivificam crucem tertia jejuniorum Dominica.

Τῇ τρίτῃ Κυριακῇ τῶν νηστειῶν καὶ εἰς τὸν ζωοποιὸν σταυρόν.

(Gretser. ibid. p. 238.)

En lectulum Salomonis, sexaginta fortes in circuitu ejus ex potentibus Israel, omnes tenentes gladios, bellumque docti [1]. Riganda enim sunt statim radix et principium encomiorum, quæ de venerando crucis Dominicæ ligno instituemus, idque fluentis aquarum e Canticis deductarum, et liquore sapientiæ a Salomone profectæ, ut si secundum fluvium oratio decurrat, fructus lætitiæ inde illis exsistat, qui umbram ejus desiderant, et sub ea consident. Salomon igitur, si interpretari hoc nomen velimus, *pacificum* significat, Christus vero *pax nostra est*, ut Paulus testatur, *qui fecit utraque unum, et medium parietem inimicitiarum dissolvit* [2]. Lectulus autem hujus Salomonis crux est, in quo consopitus, dormivit vitalem somnum, et quo eum, qui corruerat, Adamum denuo excitavit, cum sponte sua super hoc caput suum reclinasset.

Sexaginta vero fortibus lectulus circumsepitur, et ambitur a potentibus Israelis suntque illi, qui sub veteri et nova lege vixerunt. Nam qui ex duodecim tribubus Israelitici populi, Dei amantes fuerunt, in duos diversos status distributi sunt; alter enim vitæ status ante legem latam fuit, alter post tabulas (legis) et tabernaculum. Similiter et illi, qui oculis suis divinum Verbum coram aspexerunt, et gratiæ præcones et nuntii exstiterunt, ad æqualem duodenarium numerum redacti sunt, omnes tamen triplici quasi classe continentur ob Trinitatis cul-

A Ἰδοὺ ἡ κλίνη Σολομὼν, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραὴλ, πάντες κατέχοντες ῥομφαίας, δεδιδαγμένοι πόλεμον. Ἀρδευτέον γὰρ εὐθὺς τὴν ῥίζαν καὶ τὴν ἀρχὴν τῶν ἐγκωμίων τοῦ πανσέπτου ξύλου τοῦ σταυροῦ Κυρίου, ταῖς διεξόδοις τῶν ἀσματικῶν ὑδάτων, καὶ τῷ χύματι τῆς Σολομῶντος σοφίας, ἵνα κατὰ ῥοῦν φερομένου τοῦ λόγου καρπὸς εὐφροσύνης ἐκεῖθεν ἀναθλήσῃ τοῖς ὑπὸ τὴν σκιὰν αὐτοῦ ἐπιθυμήσασι καὶ καθίσασι. Σολομὼν μὲν οὖν εἰς εἰρηνικὸν μετεγλώττισται· Χριστὸς δέ ἐστιν ἡ εἰρήνη ἡμῶν, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ὁ ποιήσας ἀμφότερα ἕν καὶ τὸ τῆς ἔχθρας μεσότοιχον καθελών. Κλίνη δὲ τούτου τοῦ Σολομὼν ὁ σταυὸς, B ἐν ᾧ ἐκοιμήθη, καὶ ὕπνωσε τὸν φυσίζωον ὕπνον, καὶ τοῦ πεσόντος Ἀδὰμ ἀναστάσιμον, ἐπικλίνας αὐτῷ τὴν κεφαλὴν ἐκουσίως.

Ἑξήκοντα δὲ δυνατοὶ ἡ κλίνη περιστοιχίζεται καὶ περιέπεται ἀπὸ τῶν δυνατῶν Ἰσραὴλ, τοῦ τε παλαιοῦ καὶ τοῦ νέου νόμου. Ὅσοι τε τοῦ δωδεκαφύλου τοῦ Ἰσραηλιτικοῦ ἀνέσχον θεοφιλεῖς ταῖς διαφόροις διασούμενοι καταστάσεσιν (ἑτέρα γὰρ ἡ πρὸ τοῦ νόμου διαγωγὴ, καὶ ἑτέρα μετὰ τὰς πλάκας καὶ τὴν σκηνὴν), καὶ ὅσοι τοῦ θείου Λόγου αὐτόπται, καὶ τῆς χάριτος κήρυκες εἰς τὴν ἴσην μὲν ἀνακεφαλαιούμενοι δώδεκα, τρισσούμενοι δὲ ὅμως τῇ λατρείᾳ τῆς Τριάδος, καὶ ταῖς ἰσαρίθμοις τοῦ βαπτίσματος καταδύσεσι τελειούμενοι. Προφητῶν

[1] Cant. III, 7. [2] Ephes. II, 14.

processione sancti Spiritus, et librum *De pane infermentato, et de purgatorio, et de tribus modis administrandi baptismi*. Isti tractatus nullo modo ascribendi sunt sancto Germano, qui sub Leone Isaurico floruit, quia fuit orthodoxus, cum Romano Pontifice conjunctissimus: et necdum controversiæ istæ inter Græcos et Latinos exstiterant. Si sunt alicujus Germani, erunt forte hujus ipsius, de quo nobis sermo est; schismaticus enim fuit, et acer hostis Latini nominis.

Neque etiam sancti Germani sunt ea responsa, quæ exstant lib. III *Juris Græco-Romani*, fol. 232, ut sentire videtur Baronius, tom. IX *Annalium* anno 730, num. 6, in margine; quia repugnat numerus annorum mundi subscriptus. Et in primo responso mentio fit Constantini Comneni, quem clarum est, vixisse nonnullis sæculis post Germanum. Scholiastes *Juris Græco-Romani* tribuit Germano, qui prius Adrianopoleos, postea Constantinopolis pontifex fuit, de quo Gregoras, et Catalogus patriarcharum Constantinop. in fine libri quarti *Juris Græco-Romani*.

Nec sunt sancti Germani homiliæ in D. Virginem, ex quibus Canisius multa citat lib. I *De beata Virgine*, et quæ Græce exstant in Bibliotheca Augustana, num. 61 et 66. Sed sunt vel nostri Germani, vel alicujus posterioris, quia stylus et genius prorsus idem est. Nec refert, quod homilia de Præsen- C tatione D. Deiparæ dicitur apud Surium haberi in Simeone Metaphraste, qui istos posteriores Germanos ætate antecessit: quia volumina illa Metaphrastæ centones sunt, quibus posteriores Græci perpetuo aliquid assuerunt. Quare non probo, quod doctissimus vir Petrus Pantinus homiliam in præsentationem D. Virginis, a se editam, sancto Germano attribuit, eumque eumdem esse putat cum illo Germano, cujus exstat homilia in cædem infantium; ab Herode patratam. Nam utraque homilia est recentioris Germani, de quo supra. Nec Cyrus eo loci est nomen proprium, vel prænomen, sed vocabulum honoris a recentioribus Græcis iis qui in dignitate sunt tribui consuetum. Nec iste Germanus sanctus est, sed schismaticus.

Et quia semel censoris munus suscepimus, addo, mihi jam pridem eam suspicionem injectam esse, ne ipsam quidem *Theoriam rerum ecclesiasticarum*, quæ tomo VI *Bibliothecæ SS. Patrum* inserta est, pertinere ad sanctum et vetustum illum Germanum, D sed ad aliquem ex posterioribus; quod vel unus ille locus de *fidelibus, in Veneticis insulis habitantibus, persuadet*, nam temporibus prisci illius Germani paucæ, imo forsan nullæ insulæ Græcæ sub Veneto imperio tenebantur. Et auctor *fidèles* vocare videtur eos qui, Græcorum opinionibus addicti, in insulis Veneticis a Latinorum ritibus abhorrebant.

γὰρ καὶ ἀποστόλων καύχημα ὁ σταυρὸς, δι' οὗ πάντος γεγόνασι δυνατώτεροι δυνάμεις πολλὰς καὶ σημεῖα ἐκτελέσαντες, καὶ δι' οὗ αὐτοῖς κόσμος ἐσταύρωται, καὶ τούτων ἕκαστος τῷ κόσμῳ, οἷος ἦν ἐκεῖνος ὁ εὐδοκῶν ἐν ταῖς ἀσθενείαις αὐτοῦ καὶ λέγων, *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι.*

Πάντες, φησὶ, *κατέχοντες ῥομφαίας διὰ τῶν μηρῶν αὐτῶν ἀπὸ θάμβους ἐν νυξί.* Προκείσθω γὰρ τὸ λειπόμενον τῆς ἁσματικῆς ταύτης περικοπῆς. Ῥομφαίας ἐπὶ τῶν μηρῶν, τοῦ λόγου νοοῦντος τὰς ἀναιρετικὰς ἐγκρατείας τῶν ὑπογαστρίων παθῶν, καὶ ἔστι τοιοῦτος ῥομφαιοφόρος πρὸ τῶν ἄλλων ὁ μέγας στρατιώτης τῆς χάριτος, ὃς ἐπιστέλλων φησὶν· *Ὑπωπιάζω μὲν τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι.* Ἐφήρμοσται δὲ ἀρίστως τῇ ἐννοίᾳ ταύτῃ καὶ τὸ, *ἀπὸ θάμβους ἐν νυξί.* Κἀγὼ τῆς Δαυϊδικῆς ὁπλοθήκης τὴν ῥομφαίαν ταύτην ἀναλεγόμενος συμμαχῶ τῷ λόγῳ ἀγωνιζομένῳ πρὸς τὴν ἀπόδειξιν· *Ὅπλῳ*, φησὶ, *κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ· οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ.* Τὸ γὰρ ὅπλον ἀναιρετικὸν τῶν ἐπαναστάσεων τῆς σαρκὸς, καὶ τῶν ἐντεῦθεν νυκτερινῶν φαντασμάτων. Τοιοῦτόν μοι τοῦ λόγου τὸ ὅρμημα σήμερον ἐκ κλίνης μὲν ἀνιστάμενον, καὶ τῆς κινήσεως ἀπαρχόμενον, εἰς δέ γε τὰς πρωΐας ταύτας τὰς προσκυνησίμους τοῦ πανσεβάστου σταυροῦ *ἀποκτεῖνον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.* Οὗτοι δέ εἰσι δαίμονες, δημιουργοὶ τῆς ἁμαρτίας καὶ τῆς κακίας γεννήτορες. Ἀὴρ γὰρ ἢ τῇ χειρὶ τυπούμενος, ἢ τῇ γλώττῃ τυπτόμενος, τῇ γραφῇ, τῇ κλήσει τῇ σταυρικῇ, τὰ ἐναέρια πνεύματα μακρὰν ἀπελαύνει, Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, καὶ ἀκουόμενος, λέγοντα, ὁ σταυρός.

Ὅτι τοίνυν ὀφθαλμοὶ μὲν τῶν πιστῶν, ὀπτικὰς ἀπορροίας ἐξακοντίσαντες ἐπὶ τὸν σταυρὸν, καθηγιάσθησαν· αἱ δὲ τοῦ ἁγιασμοῦ κορεσθεῖσαι πλήρεις χάριτος παλίρροοι πρὸς τὴν ἰδίαν πηγὴν ἀνεχύθησαν· χεῖλη δὲ διασταλέντα πρὸς ἀσπασμὸν, εἶτ' ἀθρόον συμπτυχθέντα καὶ τὸν ἐποχούμενον ἀέρα τῷ θείῳ σταυρῷ ἀνιμησάμενα, καὶ συνεφελκιζόμενα ἔνδοθεν, πᾶσαν τὴν τῶν σπλάγχνων οἰκονομίαν ζωοποιοῦ ἐμπνεύσεως ἔπλησαν, καὶ ὄσφρησις διὰ τῆς ἐκεῖθεν ἀποπνεομένης εὐωδίας ἠγαλλιάσατο· μέτωπα δὲ, βλέφαρά τε καὶ κορυφαὶ ταῖς ἁφαῖς καθηγιάσθησαν· φέρε καὶ τὰς ἀκοὰς κατακοσμήσωμεν, ὡς ἔν τισι ἐνωτίοις χρυσοῖς τοῖς τοῦ σταυροῦ ἐγκωμίοις, οὐχ ὅτι τὰ ἡμέτερα χρύσεα, οὐ τοῦτό φημι, ἀλλ' ὅτι δι' αὐτὸν ἐγκωμιαζόμενον τίμια. Τιμᾶται γὰρ καὶ ξύλον χερσὶ δρυτόμου ἀπερῥωγὸς δένδρου τινὸς, καὶ τούτου ἀκάρπου, εἶτα εἰς κοντὸν ἀποτετορνευμένον, καὶ σκῆπτρον ὑπανέχον τὸ βασιλικόν. Οἶδα μὲν οὖν ὅτι καὶ τὰς ἀκοὰς ἡγιάσθητε μελουργουμένων τῶν ὕμνων τῶν σταυρικῶν. Πλὴν ἀλλὰ πεφεισμένως, καὶ οὐ κατὰ

tum, todidemque baptismi, quibus perficiuntur, immersiones. Prophetarum et apostolorum gloriatio crux est, qua omnibus potentiores effecti sunt, multis virtutibus et signis patratis, per quam mundus illis crucifixus est, et quilibet illorum mundo, qualis erat ille, qui sibi placebat in infirmitatibus suis, dicens: *Quando infirmor, tunc potens sum* [1].

Omnes, inquit, *tenentes gladios super femora sua propter timores nocturnos.* Addendum enim est id quod restat de sententia ex Canticis. Per gladios super femora nil aliud intelligitur, quam coercitiones illæ et cohibitiones, quæ cupidates ad ventrem spectantes de medio tollunt. Hujusmodi ense ante alios præcinctus erat magnus ille gratiæ miles, qui in quadam epistola ita loquitur: *Castigo corpus meum, et in servitutem redigo, ne forte aliis prædicans, ipse reprobus efficiar* [2]. Huic sententiæ aptissime quadrat etiam illud, *propter timores nocturnos* [3]. Et ego ex Davidico armamentario gladium hunc depromens, orationi ad propositum demonstrandum aggressæ quasi suppetias feram: *Scuto*, inquit, *circumdabit te veritas ejus; non timebis a timore nocturno* [4]. Nam scuto hoc impressiones carnis, et omnia, quæ hinc enascuntur, nocturna phantasmata et spectra comprimit. Tale mihi hodie dicendi exordium erit, ex lectulo quidem exsurgens, et ab hoc progredi incipiens ad matutinas vero istas omni veneratione dignæ crucis adorationes, *omnes peccatores terræ interficiens* [5]. Isti autem sunt dæmones, satores peccati et malitiæ genitores. Aer enim vel manu formatus, vel lingua percussus, signo et invocatione crucis, aerios spiritus procul abigit. Gravis, inquiunt, nobis est crux et visu et auditu.

Quando igitur oculi fidelium emissiones illas visivas ad crucem ejaculantes sanctificati sunt, illæque donis cœlestibus cumulatæ, gratia plenæ, reciproco cursu ad suam originem remearunt, labia vero diducta ad salutationem et osculum; deinde confestim conducta et compressa, et aerem divinæ cruci circumfusum haurientia, et introrsum trahentia, omnem membrorum fabricam et dispositionem vivifica quadam inspiratione compleverunt, olfactus insuper voluptate perfusus est ob suaveolentiam inde manantem; frontes præterea, et supercilia, et vertices contactu sanctificationem perceperunt: agedum aures quoque ornemus, quasi quibusdam inauribus aureis crucis præconiis, non quod nostra existimemus aurea; non ita sentio; sed quod sint ob ipsam, quæ laudatur, omni veneratione digna. Honoratur enim et lignum manibus lignatoris ex arbore, eaque infructuosa recisum, si postea in contum efformetur, sceptrumque regium sustineat. Non me fugit igitur, vestras quoque aures sanctificatas esse hymnis in crucem decantatis.

[1] II Cor. XII, 10. [2] I Cor. IX, 27. [3] Cant. III, 8. [4] Psal. XC, 5. [5] Psal. C, 8.

Cæterum parce, non ad satietatem, nec nisi ad gustum, nunc autem lautius et copiosius id facere oportet, si princeps vitæ novi Israelis Christus, qui et ad supernam Jerusalem nos deducit, *virga virtutis suæ* [8], quæ est crux, arentem meum animum percusserit. Tunc enim per gratiam suam vestras aures exsatiabit abunde, effusa aqua benedictionis, non contradictionis. Hinc ergo dicendi initium sumemus.

Cum sacrarum Litterarum paradisum perlustro, duo ligna reperio propriis et distinctis nominibus, ab aliis, quæ erant in Edem, ligni innominatis, sejuncta : *lignum scientiæ* et *lignum vitæ* [9]. Quorum illud primis parentibus propositum erat quasi in adversarium ; hoc vero repositum erat in præmium. Sic enim visum fuit Agonothetæ et certaminis præsidi, ne mens hominum sine lucta languesceret, desesque et extra omnem pugnæ aleam degeret ; nam ejusmodi vita, omni profectu caret, nec ullam coronam parit. Extendit ergo lignum scientiæ velut manus quasdam, ad manubrii apprehensionem, suavitatem et pulchritudinem fructus, hominemque et oculis, et lingua traxit, ut illo fructu frueretur, qui ei magnam cladem allaturus erat, si intemperantia devictus eumdem gustasset, quod et evenit ; nam succubuit. Cum enim fructus hujus assultibus quasi obsideretur, manus cupiditati dedit, captusque et in servitutem redactus est infelix, et miserabilis homo : et ex hoc tempore a ligno vitæ, exoptatissimo illo victoribus præmio, excidit, et ab ejus communione repellitur, abjectus et confusione plenus : vivere vero jam peccatum incipit, et dominatur *ab Adam usque ad Moysem* [10], ut ille in cœlum raptus Paulus disserit, per *Moysem* legem intelligens, quæ hujus ministerio Israeli data est. Porro *vitæ* appellationem accipit mulier a viro post transgressionem et maledictionem ; nam cum ex cœlesti et immortali vita excidissent, facti sunt primi parentes nostri auctores hujus tot incommodis et peccatis obnoxiæ vitæ. *In iniquitatibus enim conceptus sum, et in peccatis concepit me mater mea* [11] Eva ; quia ipsa mater est omnium, qui in hac corruptioni exposita vita degunt.

Hæc quidem in hunc modum sese habebant ; et ego præ ignavia implicor et illaqueor ligno scientiæ, et casu gravi corruo, et a ligno vitæ abstrahor, jamque nil nisi mortalitatem redoleo. Quid enim immortalitas cum mortalitate commune habet ? Exsurgit autem mihi altera ex parte aliud lignum, manusque remissas et genua dissoluta ex ruina excitat ; nam *virga virtutis* crux a Davide dicta est. Quam vero admirabilis est reparationis ipsius modus ? Commovetur propriis visceribus ad misericordiam Dominus et Agonotheta noster ; neque sustinet videre figmentum manuum suarum, cujus gratia totam rerum universitatem, et quidquid in ea continetur, condiderat, dæmonum manibus illudi,

A κόρον καὶ μέχρι γεύματος, ἄρτι δὲ δαψιλέστερον εἴπερ ὁ ἀρχηγὸς τῆς ζωῆς τοῦ νέου Ἰσραὴλ ὁ Χριστὸς, ὁ καὶ δημαγωγῶν ἡμᾶς πρὸς τὴν ἄνω Ἱερουσαλὴμ τῇ *ῥάβδῳ τῆς ἑαυτοῦ δυνάμεως*, ἥτις ἐστὶν ὁ σταυρὸς, τὴν ἄνικμόν μου πλήξει διάνοιαν. Τότε γὰρ διὰ τῆς ἑαυτοῦ χάριτος προσκορεῖς τὰς ἀκοὰς ὑμῶν ἀπεργάσεται ὕδατα ἐκχυνίσας εὐλογίας, οὐκ ἀντιλογίας. Ἀρξώμεθα δ' οὖν ἐντεῦθεν.

Εὑρίσκω περιερχόμενος τὸν παράδεισον τῆς Γραφῆς δύο ξύλα ὀνόμασι ῥητοῖς τῶν ἄλλων τῆς Ἐδὲμ ἀνωνύμων ξύλων ἀφοριζόμενα, *τὸ ξύλον τε τῆς γνώσεως, καὶ τὸ ξύλον τὸ τῆς ζωῆς*, ὧν τὸ μὲν εἰς ἀντίπαλον τοῖς γενάρχαις καθίστατο· τὸ δὲ εἰς ἔπαθλον ἐτεταμίευστο. Τῷ γὰρ Ἀγωνοθέτῃ οὕτως ἔδοξεν, ἵνα μὴ ὁ νοῦς τῶν ἀνθρώπων ἐκτὸς ἀγώνων καθίζοιτο, καὶ ἀργὸς εἴη καὶ ἀγύμναστος· τὸ γὰρ τοιοῦτον ἀπρόκοπον μένει καὶ ἀστεφάνωτον. Προὔτεινε μὲν οὖν ὥς τινας χεῖρας πρὸς τὰς λαβὰς τὸ ξύλον τῆς γνώσεως, τήν τε γλυκύτητι καὶ τὴν ὡραιότητα τοῦ καρποῦ, καὶ τὸν ἄνθρωπον καὶ δι' ὀφθαλμῶν εἶλκε καὶ διὰ γλώσσης εἰς ἀπόλαυσιν τοῦ καρποῦ. Ἔκειτο γὰρ τοῦτο ἥττημα εἶναι τῷ λιχνευσαμένῳ περὶ τὴν βρῶσιν. Γέγονεν οὕτω, καὶ ἥττηται, πολιορκηθεὶς γὰρ ταῖς τοῦ καρποῦ ἀλλοναῖς, χεῖρας δέδωκε τῇ ἐπιθυμίᾳ, καὶ ἑάλω, καὶ δεδούλωται ὁ βαρυσύμφορος καὶ πολυστένακτος ἄνθρωπος. Ἐντεῦθεν τοῦ ξύλου τῆς ζωῆς τοῦ πολυεύκτου ἐπάθλου τοῖς νικηταῖς ἀποτυγχάνει, καὶ ἐκβάλλεται τῆς τούτου μεθέξεως τεταπεινωμένος, κατησχυμμένος· ζῆν δὲ ἡ ἁμαρτία ἀπάρχεται, καὶ βασιλεύει *ἀπὸ Ἀδὰμ ἕως Μωϋσέως*, ὡς οὐρανοβάμων Παῦλος μυσταγωγεῖ, Μωσέα κατονομάζων τὸν διὰ τούτου δεδομένον νόμον τῷ Ἰσραήλ. Ζωῆς δὲ κλῆσιν ἡ γυνὴ μετὰ τὴν παράβασιν καὶ τὴν κατάραν παρὰ τοῦ ἀνδρὸς δέχεται· τῆς γὰρ οὐρανίου καὶ ἀθανάτου ἐκπεσόντες ζωῆς τῆς ἐμπαθοῦς, καὶ ἐφαμάρτου οἱ προπάτορες ἀρχηγέται γεγόνασιν. *Ἐν ἀνομίαις γὰρ συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκύησέ με ἡ μήτηρ μου* Εὔα· ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων τὴν φθειρομένην ζωήν.

Εἶχε μὲν οὕτω ταῦτα· καὶ συμποδίζομαι τῷ ξύλῳ τῆς γνώσεως ἐκ ῥᾳθυμίας, καὶ κατολισθαίνω πτῶμα παγχάλεπον, καὶ ἀφέλκομαι τοῦ τῆς ζωῆς ξύλου, νεκρότητος ἤδη ἀπόζω. Τί γὰρ κοινὸν ἀθανασίᾳ καὶ θνητότητι; Ἀνατίστησι δέ μοι ξύλον ἕτερον, καὶ χεῖρας ἀνειμένας, καὶ γόνατα παραλελυμένα ἐκ τοῦ ὀλισθήματος παρακαλεῖ· *ῥάβδος* καὶ γὰρ *δυνάμεως* ὁ σταυρὸς τῷ Δαυὶδ εἴρηται. Καὶ ὁ τρόπος τῆς ἀνορθώσεως ὡς θαυμαστός; Κινεῖται σπλάγχνοις οἰκείοις εἰς ἔλεον ὁ Δεσπότης καὶ Ἀγωνοθέτης μου, καὶ οὐκ ἀνέχεται βλέπειν τὸ πλάσμα τῶν οἰκείων χειρῶν, ὑπὲρ οὗ τὴν πάντοτε τῇ συνεπήξατο σφαῖραν, καὶ ὅσα ταύτης ἔνδοθεν φέρονται, χερσὶ δαιμόνων παιζόμενον, καὶ ὡσανεὶ σφαῖραν

[8] Psal. cix, 2. [9] Gen. ii, 17. [10] Rom. v, 14 [11] Psal. l, 7.

κατὰ γῆς κυλιόμενον, καὶ περισυρόμενον. Γίνεται οὖν ὁ νέος Ἀδάμ, καὶ ἐμφανίζεται τῷ κόσμῳ ἀνθρωποτροπικῶς, τὸ θεοπρεπὲς οἰκονομικῶς ἐν πολλοῖς συγκαλύπτων διὰ τὸν ἀντίπαλον. Καὶ ἦν ἐμπρακτος τοῦτο διδασκαλία τῷ προπάτορι μυσταγωγουμένῳ προδήλως, ὅπως καὶ αὐτὸν ἕδει τὴν πάλην τότε μεταχειρίσασθαι. Εἰ γὰρ ἐγὼ, φησὶ, κατὰ φύσιν Θεὸς ὢν κἀν τοῖς οὐρανοῖς κατοικῶν, εἰς γῆν ἀφῖγμαι, καὶ μέχρι δούλου μορφῆς ἐμαυτὸν ἐταπείνωσα, διὰ τί σὺ γήϊνον ἑαυτὸν εἰδὼς, πηλίνην οἰκίαν οἰκοῦντα, ἐνὶ πηδήματι τῶν οὐρανίων ὑπερθεν ἀντύγων ἐπειράθης ὑπεράλλεσθαι; Ἐδέησε τοιγαροῦν τὸν ἴσον ἀγῶνα ὑπὲρ ἡμῶν ἀναδέξασθαι τὸν ἀγωνοθέτην, καὶ ἐντέχνως ὑποσκελίσαι τὸν ἡμέτερον πτερνιστήν. A et velut pilam quamdam in terra volvi et trahi. Nascitur ergo novus Adam, mundoque specie humana inhotescit, divinam majestatem, certa dispensatione in multis tegens ob adversarium. Quod primo parenti efficacis institutionis loco erat; quippe perspicue edocto, quomodo et ipsum tunc ad pugnam accingi oporterit. Si enim ego, inquit, qui natura Deus sum, et in cœlis habito, in terram descendi, et usque ad formam servi me demisi et abjeci, quare tu, qui te terrestrem esse, et in lutea domo habitare non ignorabas, uno saltu super omnes cœlestes orbes saltare conatus es? Quamobrem necesse fuit, ut ipse Agonotheles noster parem pro nobis pugnam iniret, eumque qui calcaneum nostrum observat, artificiose supplantaret.

Φυτεύετε τοιγαροῦν ξύλον ἐν τόπῳ Κρανίου. Τὸ δὲ Κρανίον, λόγος φιλαλήθης, προπάτορος τυγχάνει Ἀδάμ, καὶ ὡσανεὶ ἐπ' αὐτῷ θεατῇ τὸ στάδιον ὑπέρχεται τοῦ παλαίσματος ὁ Χριστός. Ὁ καρπὸς δὲ τοῦ ξύλου τούτου θάνατος ἦν προδηλότατος, μηδὲν προβεβλημένος ἐπαγωγὸν, μηδὲ ἔνδοξον, ἀδοξίαν δὲ μεγίστην καὶ ὄνειδος τοῖς φρονοῦσι τὰ τῶν ἀνθρώπων. Καὶ ὁ μὲν καρπὸς ἐκεῖνος τῆς γνώσεως ὡραῖος ἦν εἰς ὅρασιν καὶ καλὸς εἰς βρῶσιν, καὶ ὑψηλὰς ἐλπίδας τῆς θεώσεως προὔτεινεν· ὁ δὲ σταυρικὸς, τοὐναντίον ἅπαν, ὥστε πόρρωθεν τὸν Ἡσαΐαν τοῦτον ἰδόντα, καὶ παθημένον λέγειν· *Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας ἀνθρώπους.* Καὶ οὐ μόνον ἄδοξος ὁ τοῦ ξύλου τούτου καρπὸς, ἀλλὰ καὶ πικραίνων τὴν αἴσθησιν. Χολὴν γὰρ ἀπέβλυζε· τὰ γὰρ γλυκέα τῷ προπάτορι εἰς χολὴν ἐστράφη τῷ τὴν πτῶσιν τούτου ἀναπαλαίοντι· καὶ γίνονται τὰ ἐναντία ἰάματα τῶν ἐναντίων, καὶ ὁ πικρανθεὶς σώζει τὸν ἡδυνθέντα τῷ καλῷ πρὸς βρῶσιν καρπῷ, καὶ ἐκούσια γύμνωσις τὸ τῆς φθορᾶς ἔνδυμα θεραπεύει, καὶ ὁ ἄδικος θάνατος τὸν δίκαιον ἀναιρεῖ, καὶ τὸ ξύλον, τὸ πρώην ἐπάρατον καὶ θανατοποιὸν, εἰς εὐλογίαν ἀποτελευτᾷ, καὶ ζωὴν αἰώνιον ἀναθάλλει. B Eapropter lignum plantatur in loco Calvariæ. Hæc vero Calvaria, ut vera traditio habet, primi parentis Adami est, quo velut spectatore ingreditur Christus stadium locumque certaminis. At fructus ligni hujus mors erat certissima et præsentissima; nihil, quod recreare posset, nihilque gloriæ continens, quin potius plena dedecoris et opprobrii, judicio illorum, qui humana tantum sapiunt. Et fructus ille quidem scientiæ pulcher erat visu, et jucundus gustatu, et magnifica divinitatis adipiscendæ spe implebat. At crucis fructus contrario prorsus modo sese habuit; ut Isaias eminus eumdem conspicatus et miseratus dixerit: *Vidimus illum, et non habebat formam, neque pulchritudinem, sed species illius sine honore fuit*[13], ut, quod ad illam attinet, omnibus hominibus forma inferior fuerit. Neque solum fructus hujus arboris inglorius fuit, sed et sensum amaritudine infecit; nam fel stillabat; quæ enim primo parenti fuere dulcia, ea in fel conversa sunt ei, qui casum illius reparavit, fluntque contrariorum contraria medicamenta, et is qui amaritudinem expertus est, servat illum qui pulchro fructu sese oblectarat, et voluntaria nuditas corruptionis indumentum curat, morsque injusta justum perimit, et lignum jam pridem exsecrandum et mortiferum in benedictionem desinit, vitamque æternam producit.

Κἀντεῦθεν παιδαγωγούμεθα πρὸς τὸν μέγαν ἀγῶνα, καὶ ἐπιγινώσκομεν τὴν μέθοδον τοῦ παλαίσματος· καὶ μανθάνομεν τὰ ἡδύνοντα πάντα, ὡς ὀδυνηρὰ, παρατρέχειν, γυμνοὶ προσπαθείας εἶναι τοῦ κόσμου, ἵνα μὴ ἔχῃ κοσμοκράτωρ λαβάς· ὑπερεύχεσθαι ἐπηρεαστῶν ὡς εὐεργετῶν, ἂν διαμερίζωνταί τινες τὰ ἱμάτια τὰ ἐκ τῆς τετρακτύος τῶν στοιχείων συμπεπλεγμένα, μηδ' ἐπιστρέφεσθαι· τί γὰρ ἂν καὶ βλάψειαν τοῦ ἄνωθεν ἐξυφασμένου χιτῶνος, φημὶ τῆς ψυχῆς, σώου καὶ ἀῤῥαγοῦς διαμένοντος; τὸν θάνατον αὐτὸν ὡς ὄναρ λογίζεσθαι. Ἔσται γὰρ ὅταν διυπνισθῶμεν, καὶ τὴν ἀνέσπερον ἡμέραν ὀψόμεθα καὶ κατάσχωμεν ἀσφαλῶς τὴν ἐν νυκτὶ τοῦ βίου φανταζομένην ἡμῖν βασιλείαν. D Quæ omnia ad ingens certamen nos erudiunt, et hinc pugnæ rationem cognoscimus, discimusque omnia jucunda ut tristia et acerba defugere, quo nudi simus ab omni erga mundum affectione, ne princeps hujus mundi occasionem adversus nos accipiat. Discimus etiam hinc orare pro iis qui nos lædunt tanquam pro benefactoribus: et nihil morari, si qui dividant vestimenta ex quadruplici elementorum serie coagmentata; quid enim nocumenti inferre queant, si tunica superis in oris texta, anima inquam, salva et integra permaneat? Discimus denique ipsam mortem tanquam somnium quoddam reputare. Erit enim tempus cum expergefiemus, diemque sine vespera intuebimur, secureque occupabimus illud, quod in nocte hujus vitæ animo et cogitatione concepimus regnum.

[13] Isa. LIII, 2.

Videte, qualis schola virtutis sit crux. Videte, quo ferat imitatores Christi crucifixio. In cœlum subducit, cœli cives facit, hæredes Christi. Quam adorandum mihi hoc lignum, quam colendum, quam venerandum ! ut ego illud reputem pro scala illa cœlos tangente, in qua Christus innixus est. Mortuus enim pro vita mea in cruce tenebatur, more hominis, et in eadem firmatus est, ne ad terram propter corpus exsangue inclinatus decideret is, qui divinitate omnia complectitur, vitaque functis vitam inspirat. Angeli vero ascendebant et descendebant per hanc scalam. Ascendebant enim quodammodo, Jesu modicum quid præ ipsis *minorato et humiliato*, propter cruciatum mortis. Confestim autem descenderunt descensu infinito, cum crucifixum viderent supra omnem principatum et potestatem evectum. Et quidnam aliud, quam creatorem suum, et regem, et Dominum gloriæ ? At sub hac scala dormit diuturnum illum somnum, universalis ille patriarcha, pater omnium viventium, et princeps omnium, quæ ab initio fuerunt familiarum, Adam. Et lapis ad caput ejus ; siquidem locus Calvariæ Lithostrotos est appellatus.

Ex hac sublimitate ad aliam quamdam sublimitatem recurrit oratio, Dominique vocem ita dicentem audit: *Sicut exaltavit Moyses serpentem in deserto, ita exaltari oportet Filium hominis, ut omnis, qui credit in eum, non pereat, sed habeat vitam æternam* [13]. — *Quam magnificata sunt opera Domini! nimis profundæ factæ sunt cogitationes tuæ. Vir insipiens non cognoscet, et stultus non intelliget hæc* [14]. Vellem modo et Judæos et Bogomilos adesse, et audire orationem reprehendentem et refellentem eorum maledicta contra benedictam omniumque vocibus laudandam crucem. Sed quid commune Ecclesiæ Dei, et *muris* illis *canibus* ? ut propheta ait [15] ; præsertim cum, ne profanos istos ad hæc audienda advocem, impediat psalmus, qui affirmat, Judæum *insipientem* hæc non percepturum, et *stultum* Bogomilum non intellecturum. In vestram quoque merito incidam reprehensionem, si acceptum a filiis vestris panem objecero canibus. Sed illi quidem abeant ad corvos, qui sub intelligentiam cadunt, scelesti, tanquam morticina quædam et lacrymis digna cadavera, illorumque oculos animales effodiant. Vere enim nec cognoverunt, neque intellexerunt : nam in tenebris ambulant.

At vos filios cœlestis Patris alemus pane nutriente animas, in quem panem injiciemus lignum crucis, non ut comminuatur, sed ut coagmentetur. Iterum ergo verba Evangelii recitentur : *Sicut exaltavit serpentem Moyses in deserto, ita exaltari oportet Filium hominis, ut omnis, qui credit in eum, non pereat, sed habeat vitam æternam.* Principio

Ὁρᾶτε οἷον ἀρετῆς παιδευτήριον ὁ σταυρός. Ὁρᾶτε πῇ φέρει τοὺς μιμητὰς ἡ τοῦ Χριστοῦ σταύρωσις. Εἰς οὐρανὸν ἀνάγει. Οὐρανοπολίτας ποιεῖ, κληρονόμους Χριστοῦ. Ὡς προσκυνητόν μοι τὸ ξύλον τοῦτο, ὡς ἀσπαστὸν, ὡς σεβάσμιον, ὡς ἔγωγε καὶ εἰς οὐρανομήκη τοῦτο θεαματίζομαι κλίμακα, ἐν ᾗ Χριστὸς ὑπεστήριχτο. Νεκρὸς γὰρ ὑπὲρ τῆς ἐμῆς ζωῆς γεγονὼς τῷ σταυρῷ συνείχετο ἀνθρωποπρεπὲς, καὶ ἑδράζετο, μὴ καὶ καταῤῥεύσῃ πρὸς γῆν ὑπενδιδοὺς διὰ τὸ ἄψυχον, ὁ τῇ θεότητι πάντα συνέχων καὶ τοῖς νεκροῖς ἐμπνέων ζωήν. Ἄγγελοι δὲ ἀνέβαινον καὶ κατέβαινον ἐπὶ ταύτην τὴν κλίμακα. Ὑπανέβαινον γάρ πως, βραχύ τι παρ' αὐτοὺς ἠλαττωμένου τοῦ Ἰησοῦ, καὶ τεταπεινωμένου διὰ τὸ πάθημα τοῦ θανάτου. Γοργὸν δ' αὐτίκα κατέβαινον κατάβασιν ἄπειρον, ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας ἀγγελικῆς τὸν σταυρούμενον θεωροῦντες. Καὶ τί γὰρ ἕτερον, ἢ ποιητὴν ἑαυτῶν, καὶ δεσπότην, καὶ Κύριον τῆς δόξης τῷ Πατρὶ συμπροσκυνούμενον καὶ τῷ Πνεύματι ; Ὑποκάτω δὲ τῆς κλίμακος ταύτης ὁ οἰκουμενικὸς πατριάρχης καθεύδει τὸν πολυχρόνιον ὕπνον ὁ Πατὴρ πάντων, τῶν ζώντων, καὶ ἀρχῶν τῶν ἀπ' ἀρχῆς πατρῶν ὁ Ἀδάμ. Καὶ λίθος πρὸς κεφαλῆς αὐτοῦ, εἴπερ τόπος τοῦ Κρανίου τὸ Λιθόστρωτον κέκληται.

Ἐξ ὕψους τούτου πρὸς ἕτερον ὕψος ὁ λόγος μου ἀνατρέχει καὶ τῆς Δεσποτικῆς ἀκούει λεγούσης φωνῆς· *Καθὼς ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. — Ὡς ἐμεγαλύνθη τὰ ἔργα τοῦ Κυρίου ! σφόδρα ἐβαρύνθησαν οἱ διαλογισμοί σου. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.* Ἤθελον ἄρτι καὶ Ἰουδαίους καὶ Βογομίλους παρεῖναι, καὶ τοῦ λόγου ἐπακροᾶσθαι ἐλέγχοντος τὴν κατὰ τοῦ πανευφήμου σταυροῦ δυσφημίαν αὐτῶν. Ἀλλὰ τί κοινὸν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καὶ τοῖς *ἐντεσοῖς* τούτοις *κυσί* ; ὥς φησιν ὁ προφήτης· καὶ ἄλλως γὰρ ἀνακόπτει μου τὴν πρὸς τοῦτο πρόσκλησιν τῶν βεβήλων τούτων ἀνδρῶν ὁ ψαλμὸς, ἀποφαινόμενος, ὡς ἀνὴρ *ἄφρων* Ἰουδαῖος οὐ γνώσεται, καὶ *ἀσύνετος* Βογόμιλος οὐ συνήσει. Ἐπεγκαλέσετε δέ μοι καὶ ὑμεῖς, ἐὰν τὸν ἄρτον τῶν τέκνων ὑμῶν λαβὼν ἐπιδώσω τοῖς κυναρίοις. Ἀλλ' ἐκεῖνοι μὲν ἐῤῥέτωσαν ἐς κόρακας τοὺς νοητοὺς, οἱ παμμίαροι, ὥς τινα θνησιμαῖα καὶ θρήνων ἄξια πτώματα, καὶ ὑπ' αὐτῶν τοὺς ψυχικοὺς ἐξορυττέσθωσαν ὀφθαλμούς. Τῷ ὄντι γὰρ οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν· ἐν γὰρ σκότει διαπορεύονται.

Ὑμᾶς δὲ τὰ τέκνα τοῦ οὐρανίου Πατρὸς θρέψωμεν τῷ ἄρτῳ τῷ τρέφοντι τὰς ψυχάς, εἰς ὃν ἄρτον τὸ ξύλον ἐμβάλλομεν τοῦ σταυροῦ, οὐκ εἰς συντριβὴν, ἀλλ' εἰς σύστασιν. Πάλιν οὖν λεγέσθω τὸ Εὐαγγέλιον· *Καθὼς ὕψωσε τὸν ὄφιν Μωσῆς ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπό-*

[13] Joan. III, 14, 15. [14] Psal. XCI, 6, 7. [15] Isa. LVI, 10.

ληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Πρῶτον οὖν πρὸς τὴν ἱστορίαν ἀπορηματικῶς ἀπαντήσωμεν. Τί δή ποτε δακνομένου τοῦ λαοῦ ὑπὸ ὄφεως, καὶ ἀποθνήσκοντος, εἰς τὸν ἐπὶ μετεώρου χαλκοῦν ὄφιν ἀναρτᾶν τὰς τῆς ζωῆς ἐλπίδας ἐπέτασσεν ὁ Θεός; Καὶ μὴν ἀπ' ἀρχῆς δι' ὄφεως θάνατος εἰς τὸν κόσμον εἰσῆλθε, καὶ τοῦ ξύλου τῆς ζωῆς ἀπεστέρηται. Διὰ τί δὲ μὴ πρὸς τὴν κιβωτὸν ἐκείνην τὴν σεβάσμιον, τὴν θαυματοποιὸν ἀτενίζειν ἐπέτρεψεν ὁ Θεὸς, καὶ τὴν θεραπείαν λαμβάνειν; Ἡ δὲ Μωσαϊκὴ ῥάβδος ποῦ, ἡ τοὺς ὄφεις καταναλώσασα τῶν ἐπαοιδῶν; διὰ τί μὴ καὶ αὐτὴ ἀποθηριωθεῖσα, καθὼς καὶ τὸ πρότερον, τοὺς ἐρημικοὺς κατέπιεν ὄφεις; Τὸ δέ· *Οὐ ποιήσεις πᾶν ὁμοίωμα, οὔτε τῶν ἐν οὐρανῷ, οὔτε τῶν ἐν τῇ γῇ*, πῶς παρὰ τοῦ νομοθέτου ἠκύρωται, καὶ δοξάζεται ὄφις χαλκοῦς ψιλαῖς ἐπενταρίσεσι ζωοποιῶν (1);

Ὁρᾷς τὴν τῆς ἀπορίας σειρὰν ὡς πολύπλοκος, ὡς ἰσχυρὰ, ὡς δυσδιάλυτος; *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ.* Ὄντως προωρισμένον ἦν πρὸ αἰώνων τὸ μυστήριον τοῦ σταυροῦ· καὶ ἄλλως οὐκ ἔδει πραγματευθῆναι τ ν ἀνθρώπων τὴν σωτηρίαν ἢ μόνον διὰ σταυροῦ. Ὁ δὲ προτετύπωται μὲν πρότερον κἀν τῷ μονογενεῖ παιδὶ τοῦ Ἀβραὰμ τῷ ἐξ ἐπαγγελίας, τῷ εὐλογημένῳ· καὶ δεύτερον ἐν τῷ καλῷ τὰ πάντα Ἰωσήφ· ἀλλ' ὅτι ἔνδοξα τὰ προκιάσματα ἦσαν καὶ πίνακας ἔφερον ταῦτα εὐλογημένου γένους, καὶ μεμακαρισμένου ἀπεξεσμένοι, οὐχ ἵστησι μέχρι τούτου τὴν προτύπωσιν ὁ δι' ἑαυτοῦ τὰ εἰκονουργήματα πρὸς τὸν ἐντελόμορφον διαζωγραφήσας λόγος Θεοῦ, ἀλλ' εἰδὼς ὅτι μετὰ ἀνόμων λογισθήσεται, καὶ τοῖς ἐν κατάρᾳ συναριθμηθήσεται διὰ τὸν θάνατον τοῦ σταυροῦ, καὶ τὸ δι' ὄφεως συμπαραλαμβάνει προχάραγμα, οἱονεί τινος χρώματος μέλανος· ἔστι γὰρ οὗτος τῶν ἐπικαταράτων, καὶ συμμυολογογραφεῖ δι' αὐτοῦ τὴν εὐλογίαν τοῦ κόσμου. Προσέλαβε γὰρ τὴν καταραθεῖσαν φύσιν ἡμῶν, καὶ δείκνυσι ταύτην σωτηρίας αἰτίαν, καὶ ζωῆς ἀθανάτου πηγαστικήν. Ὁμοιοῦται δὲ τοῖς ὄφεσι, τουτέστι τοῖς κατηραμένοις ἀνθρώποις ἄνευ ἁμαρτίας, καὶ ὁ χαλκοῦς ὄφις εὔηχος κήρυξ τῆς ἀναμαρτησίας τοῦ προλήμματος, ἰοῦ θανατοφόρου ἀπηλλαγμένος. Ὅφις δὲ τὸν ἰὸν ἐπὶ σώματος φέρει, καὶ ἔβλαψεν ἐν τῷ παραδείσῳ ὁ προελθὼν ἐκεῖθεν μετὰ δόλου ψιθυρισμός. Χριστὸς δὲ *ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ*, καὶ σώζει τὸν κόσμον ἀπὸ τῆς φθορᾶς.

Ἰώδεις οἱ ὀδόντες τοῦ ὄφεως καὶ θανάτου μέλανος πρόξενοι, Χριστοῦ δὲ οἱ ὀδόντες λευκοί, ἢ γάλα, κατὰ τὴν προφητείαν Ἰακώβ, τοῦτο μὲν, ὅτι πρὸς τὴν γῆν ἡμᾶς ὁδηγεῖ ὁ λόγος αὐτοῦ ῥέουσαν μέλι καὶ γάλα, τὴν νοητὴν Ἱερουσαλήμ· τοῦτο δὲ, διὰ

A historiam dubitationibus quibusdam percurremus. Qua de causa, cum populus a serpente morderetur et moreretur, præcepit Deus, ut spem vitæ suspensam haberent ab æneo serpente in altum elato? Atqui statim a condito mundo mors per serpentem in mundum intraverat, lignoque vitæ humo privatus fuerat. Cur non permisit Deus, ut oculos converterent ad venerandam illam et miraculorum effectricem arcam, sicque curarentur? Ubi vero virga Mosaica, quæ serpentes magorum devoravit? cur non et ipsa in serpentem, ut olim, commutata, absumpsit illos in eremo serpentes? Illud autem: *Non facies omnem similitudinem, neque eorum, quæ in cœlo, neque eorum, quæ in terra* [14]; quomodo a legislatore violatum est, et irritum redditum, dum B æreus serpens non sine gloria, solo et nudo intuitu, vitam largitur?

Vides dubitationis quasi catenam. Quam est multiplex, quam firma et quam indissolubilis! *O altitudo divitiarum sapientiæ et scientiæ Dei* [17]! Vere ante sæcula jam prædefinitum erat crucis mysterium, nec aliter hominum salus procuranda fuit, quam per solam crucem, quæ quidem prius etiam præfigurata est in unigenito filio Abrahæ, in eo, qui ex promissione, in illo benedicto. Et rursum in Josepho illo formoso in omnibus. Verum quia istæ figuræ illustres erant, insigniaque ferebant benedictæ et beatæ stirpis, non contentus fuit hoc præsignificatione divinus sermo, qui seipso imagines futurorum, plena, et omnibus numeris perfecta figura describit; sed quia sciebat Christum cum iniquis reputatum iri, et inter maledictos C numerandum, propter crucis supplicium, eam ob causam asciscit quoque effictam speciem serpentis, tanquam nigri cujusdam coloris, qui maledictis et devotioni obnoxiis proprius est, taciteque per serpentem mundi salutem insinuat. Prius enim assumpsit exsecrationi subjectam naturam nostram, eamque salutis causam et vitæ immortalis fontem, et originem esse ostendit. Similis autem fit serpentibus, hoc est, maledictioni obnoxiis hominibus, sed absque peccato, clarusque testis et præco immunitatis a peccato ejus, qui cruci appensus, est ipse æreus serpens, veneni mortiferi expers. Serpens vero venenum fert in ore, nocuitque in paradiso dolosus ille et fraudulentus susurrus, qui inde prodiit. At Christus *peccatum non fecit, nec inventus est dolus in ore ejus* [18], servatque mundum a corruptione.

Venenati sunt dentes serpentis, mortisque atræ auctores; at Christi dentes, candidi sunt, vel potius lac secundum prophetiam Jacob [19], partim quidem, quod sermo ejus nos ducat in terram melle et lacte manantem, ad Jerusalem illam spiritualem,

[14] Exod. xx, 4. [17] Rom. xi, 33. [18] I Petr. ii, 21. [19] Gen. xlix, 12.

(1) Verba illa referri possunt ad ipsum Moysem, si lectio hoc modo constituatur: Καὶ δοξάζεται ὄφεις χαλκοῦς ψιλαῖς ἐπενταρίσεσι ζωοποιῶν· *Et tamen laudatur et celebratur Moyses, quod æreos serpentes effinxerit* ita ut ζωοποιῶν non sit vivificare, sed animalis speciem effingere.

et solo intellectu cognosci aptam ; partim vero, quod typicarum repræsentationum non sit capax, nam solum lac ex omnibus humidis speciem nullam effigiat, neque formas corporeas reddit et repercutit. Serpens autem exuvias quotannis ponit. At Christus nihil habuit de veteri homine, qui corrumpitur secundum desideria deceptionis, neque quidquam abjecit ; sine peccato enim novus Adam vixit, novæque creaturæ auctor. Talis cum esset, in crucem ascendit, seque statim omnis maculæ expertem esse publice testificatur ; accedensque ille, qui jam deprimebatur serpens, nihil in eo reperit. Omnibus enim modis superior erat venenum jaciente malitia, præfocaturque perniciosus ille serpens, et draco apostata, qui calceaneum nostrum observat, conservatur autem Israel, animus videns Deum, cognoscensque salutem æternam repositam in hoc Deo, carne quidem crucifixo, per divinitatem vero vivificante mortuos ; in quem perspicue competit et desinit oraculum Moysis sic vaticinantis : *Videbitis vitam vestram pendentem ante oculos vestros* [30]. Necesse enim habuerunt et illi, qui prius a serpentibus icti fuerant, ad eum, qui ex columna suspensus erat, serpentem, oculos levare, quasi aliter eis vita non esset obventura, quam ab intento aspectu in illum.

Et nunc nos, quibus ante oculos Jesus Christus depingitur, consona divino psaltæ Davidi canamus : *Oculi omnium in te sperant, et tu das illis escam in tempore opportuno* [31]. Sacrificatus enim et suspensus Agnus Dei propriam carnem edendam apponit illis qui in te spem salutis reponunt. Aperis tu manus tuas, expandens eas in cruce, et imples omne animal Patris tui beneplacito. Patris vero beneplacitum est, ut omnes homines salvi fiant, per voluntariam tuam passionem et crucem, et ut omnes in agnitionem veritatis veniant. Agnitio autem veritatis est fides recta in te, tuumque Patrem principio carentem, sanctumque Spiritum. Quis non adorabit scutum salutis nostræ, quis non celebrabit profligatricem homicidæ Satanæ ? Crux videlicet lumen vultus Dei est *signatum super nos* [32]. Nam sceptrum Regis lumen ejus est, ignaros ut lucerna ad ipsum deducens. Hæc significatio est, data timentibus Dominum, *ut fugiant a facie arcus* [33] et diabolicarum impressionum. Hæc et lignum plantatum secus exitus aquarum fontiumque salutis. In omnibus enim divinæ Scripturæ locis, hymnis et laudibus crux decantatur, quæ fructum suum *dedit in tempore suo* [34], quo in Lithostroto depacta est. Gaudet vero crux iis, qui vita fluxa, molli et delicata contempta, asperitati et severitati Christianæ disciplinæ sese dedunt. At fructus ejus est remissio peccatorum, quam in

A τὸ τῶν τυπικῶν ἐμφάσεων ἀπαράδεκτον. Γάλα γὰρ μόνον ἐξ ἁπάντων ὑγρῶν οὐκ οἶδεν ἐνδάλλειν χαρακτήρων ἐμφάσεις, καὶ τύπους ἀποπάλλειν σωματικούς. Ὄφις δὲ τὴν λεθηρίδα δι' ἔτους ἀπαμφιέννυται. Χριστὸς δὲ οὔτ' εἶχέ τι τοῦ παλαιοῦ ἀνθρώπου τοῦ φθειρομένου κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, οὔτ' ἀπεβάλλετο, ἀναμαρτήτως νέος Ἀδὰμ γεγονώς, καὶ τῆς καινῆς κτίσεως ἀρχηγός. Τοιοῦτος ὢν ἀνατρέχει ἐπὶ τὸ ξύλον, καὶ στηλιτεύει ἑαυτὸν εὐθὺς ἀναμάρτητον, καὶ ὁ κάτω συρόμενος ὄφις ἐλθὼν, εὑρίσκει ἐν αὐτῷ οὐδέν. Παντελῶς γὰρ ἦν τῆς ἰοβόλου κακίας ὑπέρτερος, καὶ κατάγχεται μὲν ὁ δεινὸς ὄφις καὶ δράκων ὁ ἀποστάτης, ὁ ἐπιτηρῶν τὴν πτέρναν ἡμῶν, σώζεται δὲ ὁ Ἰσραὴλ ὁ ὁρῶν νοῦς

B τὸν Θεὸν, σωτηρίαν αἰώνιον ἐπιγινώσκων τοῦτον Θεὸν, σαρκὶ μὲν ἐσταυρωμένον, θεότητι δὲ ζωοποιοῦντα τοὺς νεκρωθέντας, εἰς ὃν ἐκβαίνει προδήλως ἡ προφητεία Μωϋσέως προλέγοντος· *Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν.* Ἀνάγκην γὰρ εἶχον καὶ οἱ τοῖς ὄφεσι πρότερον δεδηγμένοι πρὸς τὸν ἀνεστηλωμένον ὄφιν ἐπεντρανίζειν, ὡς οὐχ ἑτέρως χορηγουμένου τούτοις τοῦ ζῆν ἢ ἀπὸ τῆς εἰς αὐτὸν ἀτενίσεως.

Καὶ νῦν ἡμεῖς, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς ἐσταυρωμένος γράφεται, συνῳδὰ τῷ θεσπεσίῳ ψαλτῳδοῦμεν Δαυΐδ· *Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτοῖς ἐν εὐκαιρίᾳ.* Τεθυμένος γὰρ καὶ κρεμαννύμενος ὁ

C Ἀμνὸς τοῦ Θεοῦ τὰς οἰκείας ἐστιᾷ σάρκας τοῖς εἰς σὲ τὰς ἐλπίδας ἀναθεμένοις τῆς σωτηρίας. Ἀνοίγεις σὺ τὰς χεῖράς σου ἐφαπλῶν αὐτὰς τῷ σταυρῷ, καὶ ἐμπιπλᾷς πᾶν ζῷον τῆς πατρικῆς εὐδοκίας. Εὐδοκία δὲ Πατρὸς τὸ πάντας ἀνθρώπους σωθῆναι διὰ τοῦ ἑκουσίου σου πάθους, καὶ τοῦ σταυροῦ, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Ἐπίγνωσις δὲ ἀληθείας ἡ πρὸς σὲ καὶ τὸν ἀναρχόν σου Πατέρα καὶ τὸ πανάγιον Πνεῦμα πίστις ὀρθόδοξος. Τίς οὐ προσκυνήσει τὸ ὅπλον τῆς σωτηρίας ἡμῶν ; Τίς οὐ δοξάζει τὸν ἀναιρέτην τοῦ βρωτοκτόνου Σατάν ; Τοῦτο φῶς τοῦ προσώπου τοῦ Θεοῦ *σημειούμενον ἐφ' ἡμᾶς.* Σκῆπτρον γὰρ βασιλέως φῶς σὺτοῦ ὡς λύχνος, πρὸς αὐτὸν τοὺς ἀγνοοῦντας ἐφοδηγοῦν. Τοῦτο σημείωσις δεδομένη τοῖς φοβουμένοις τὸν Κύριον τοῦ

D *φυγεῖν ἀπὸ προσώπου τόξου*, καὶ τῶν δαιμονικῶν προσβολῶν. Τοῦτο καὶ ξύλον πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων καὶ τῶν τοῦ σωτηρίου πηγῶν. Ἐν πάσαις γὰρ ταῖς θείαις Γραφαῖς ὕμνοι περιαντλούμενός ἐστιν ὁ σταυρὸς, ὃς τὸν καρπὸν αὐτοῦ *δέδωκεν ἐν καιρῷ αὐτοῦ*, καθ' ὃν ἐν τῷ Λιθοστρώτῳ (2) ἐπεφύτευτο. Χαίρει δὲ ὁ σταυρὸς τοῖς τὸν ἔνυγρον μὲν βίον καὶ πλαδαρὸν διαπτύουσι, τῇ

[30] Deut. xxviii, 66. [31] Psal. cxliv, 15. [32] Psal. iv, 7. [33] Psal. lix, 6. [34] Matth. xxiv, 45.

(2) Vocat Germanus Calvariæ montem Lithrostroton, quod et ab aliis Græcis factum observavimus. Nec satis mihi notum qua ratione ; cum Lithrostotos fuerit tribunal Pilati, ex quo sententiam mortis in Christum dixit.

τραχύτητι δὲ καὶ σκληραγωγίᾳ τῆς κατὰ Χριστὸν διαγωγῆς προσανέχουσιν. Ὁ δὲ καρπὸς αὐτοῦ ἄφεσις ἁμαρτιῶν, ἣν ὁ ἐν αὐτῷ προσπαγεὶς Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐδωρήσατο. A ea affixus Agnus Dei, *qui tollit peccatum mundi* [33], donavit credentibus in ipsum.

Ἀλλὰ δεῦτε πάντες προσκυνήσωμεν τῷ ὑποποδίῳ τοῦ παμβασιλέως Χριστοῦ. Προσπέσωμεν ἑκόντες, ἵνα μὴ ἄκοντες τοῦτο πάθωμεν, ὅταν ὁ Πατὴρ τοὺς ἐχθροὺς τοῦ Υἱοῦ ὑποπόδιον θῇ τῶν ποδῶν αὐτοῦ. Δεῦτε τοίνυν *προσπέσωμεν καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ πλάσαντος ἡμᾶς*, εἶτα φθαρέντας τῇ παρακοῇ ἀναπλάσαντος διὰ σταυροῦ, ἵνα μὴ κλαύσωμεν, ὅταν αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ *ὀφθήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς*. Ὡς γὰρ ἀψευδὴς Θεὸς ὁ Χριστὸς προεδήλωσε, προπορεύσεται τῆς δευτέρας παρουσίας αὐτοῦ ὁ σταυρὸς, ὡς βασιλικὴ σημαία πανεύσημος, καὶ γνωρίσουσι πάντες οἱ ἐξ Ἀδὰμ μέχρι τῆς συντελείας ἄνθρωποι, ὡς ὁ ἐσταυρωμένος Χριστὸς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς. *Προφθάσωμεν οὖν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει*. Οἰκειωθῶμεν τῷ βασιλεῖ τῶν αἰώνων καὶ κριτῇ πάσης πνοῆς τῷ ἐσταυρωμένῳ Χριστῷ οἰκείωσιν τὴν διὰ μιμήσεως. Μιμεῖται δὲ τὸν Χριστὸν ὁ καθηλώσας τῷ θείῳ φόνῳ τὰς ἑαυτοῦ σάρκας, καὶ τῷ κόσμῳ σταυρωθεὶς καὶ ἀπονεκρωθείς. B Cæterum adeste omnes, adoremus scabellum ubique regnantis Christi, procidamus volentes, ne id nolentes facere cogamur, quando Pater inimicos Filii posuerit scabellum pedum ejus. Adeste igitur, *procidamus et ploremus coram Domino qui fecit nos* [34], perditosque ob inobedientiam reparavit per crucem, ne ploremus, quando virtutes cœlorum commovebuntur, *apparebitque signum Filii hominis in cœlo, et plangent omnes tribus terræ* [37]; ut enim mentiri nescius Christus Deus prædixit, crux secundum ejus adventum antecedet, tanquam regale vexillum ab omnibus facile cognitu. Et cognoscent omnes ex Adamo progeniti usque ad consummationem, Christum crucifixum venire judicatum vivos et mortuos. *Præoccupemus igitur faciem ejus in confessione* [38]. Similes fiamus Regi sæculorum et judici omnis spiritus Christo crucifixo, similitudine, quæ est per imitationem. Imitatur vero Christum, qui divinæ morti carnem suam clavis affigit, mundo crucifixus et mortuus.

Κάμμυσόν σου τοὺς ὀφθαλμοὺς, ἐπάν τι τῶν θελγόντων αὐτοὺς προσβάλῃ ποθὲν, πρὸς ἡδονῆς βλαβερᾶς παρασύρον σε ὅλεθρον. Κλεῖσον τὸ στόμα σου ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν διάβολον ἐναντίον σου ἐρεθίζοντα πρὸς ὕβρεις καὶ καταλαλοῦντα τοῦ πλησίον. Κωφώθητι καταλαλούμενος, ὑβριζόμενος, καὶ ψάλλε μετὰ Δαυὶδ κατὰ νοῦν· *Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ*. Δέσμευσόν σου τὰς χεῖρας, ἵνα μὴ πρὸς τὰς ψυχοβλαβεῖς ἐκτείνοιντο πράξεις, μηδὲ πρὸς τὴν ἁρπαγὴν τῶν μὴ ἀνηκόντων σοι. Συνδέσμευσον καὶ τοὺς πόδας πειρωμένους τρέχειν πρὸς ἀνοδίας βαράθρα, καὶ ἁπλῶς εἰπεῖν, καθήλωσον καὶ χεῖρας καὶ πόδας τῷ φόβῳ τοῦ διὰ μολυσμὸν τοῦ ψυχικοῦ ἐνδύματος δεθέντος χεῖρας, καὶ πόδας, καὶ ἀπορριφέντος εἰς κόλασιν. Ἐὰν οὕτω συσταυρωθῇς τῷ Χριστῷ, συνδοξασθήσῃ αὐτῷ, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. Τότε προσκυνήσεις τελειότερόν τε καὶ ὑψηλότερον τὸν πολυπόθητον τοῦ Κυρίου σταυρὸν, κατιδὼν ἡλιακὰς ἀκτῖνας φωτοβολοῦντα, καὶ ταῖς ἀγγελικαῖς περικυκλούμενον ταξιαρχίαις, καὶ συνθηματίζοντα τοῖς πιστοῖς τὴν πρὸς τὸν βασιλέα συνδρομὴν, καὶ ἀπὸ τῶν ἐχθρῶν ἀφορίζοντα, καὶ πρὸς τὴν κληρονομίαν τῆς ἀδιαδόχου βασιλείας συγκαλούμενον, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν. C D Claude tuos oculos, cum quid delectabilium in eos incurrerit, abripiens te ad perniciosæ voluptatis exitium. Claude os tuum, cum consistit adversum te peccator calumnians, et irritans ad injurias, et obtrectans proximo. Surdus esto ad oblocutiones et injurias, et cane cum Davide mente tua: *Ego vero tanquam surdus non audiebam, et sicut mutus non aperiens os suum* [39]. Liga manus tuas, ne extendantur ad actiones animæ damnosas, neque ad rapinam earum rerum quæ nihil ad te attinent. Colliga simul et pedes, si conentur currere ad devia et barathra, et ut paucis dicam, confige manus et pedes timore ejus, qui ob contaminationem animalis indumenti manibus et pedibus ligatus et ad pœnam expositus est. Si ita simul cum Christo crucifigaris, gloriam cum ipso consequeris, quando venerit in gloria Patris sui cum sanctis angelis. Tunc adorabis perfectiorem jam et sublimiorem desiderabilem Domini crucem, cum videris solares radios ejaculantem, angelicisque turmis circumdatam, signumque fidelibus, ut ad Regem confugiant, præbentem, et ab hostibus segregantem, et ad hæreditatem expertem successionis convocantem, quam omnes nos assequi contingat in ipso Christo Deo nostro, quem decet omnis gloria, honor, et adoratio, cum Patre principio carente, sanctoque et bono et vivificante Spiritu, nunc et in infinita sæculorum sæcula. Amen.

[33] Joan. I, 29. [34] Psal. XCIV, 6. [37] Matth. XXIV, 30. [38] Psal. XCIV, 2. [39] Psal. XXXVII, 14.

III.

In adorationem venerandæ et vivificæ crucis, tempore medii jejunii.

(Exstat Patrologiæ tom. XCVIII, col. 221, inter Opera S. Germani I.)

IV.

In primam jejuniorum Dominicam, et in sanctarum et venerabilium imaginum restitutionem.

(GRETSER, t. II, p. 437.)

« Quam dilecta tabernacula tua, Domine virtutum, concupiscit et deficit anima mea in atria Domini[30-33], » non propter pulchritudinem creaturarum, murorumque elegantiam et marmorum splendorem, aliorumque, quæ solers et industrius homo ingeniose excogitavit. Hæc enim secundas apud Deum obtinent, et exigua ratio horum vita animaque carentium habetur. Quod vero potissimum Dominus curat, quodque omni sollicitudine dignum judicat, est homo, pretiosa illa res, quem Deus præ omnibus aliis honorat, cœlestis simul et terrestris, nexusque cœlestium et terrestrium, parvus mundus, cujus gratia totus hic est mundus. Si igitur tabernacula Dei hominibus replentur, et si in domo Domini, et in atriis Dei nostri, justi sunt plantati sanguine Christi, et si florent ut palma, multiplicanturque tanquam cedrus in Libano, vere dilecta sunt hæc tabernacula: neque merito quis ea terrena appellaverit. Nam universorum Dominus in his talibus habitat; ubi vero ipse, ibi et cœlestes ordines, et exercitus angelorum flammas specie imitantium. Itaque ego si unquam alias totius anni decursu, hodie profecto dilexi divinum hoc et sacrum tabernaculum: adeo enim repletum est hominibus, ut propemodum quasi effusi templo capi nequeant, tam arcte uniti et conjuncti cum

[30-33] Psal. LXXXIII, 2.

Γ'

Εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἐν τῷ καιρῷ τῷ μεσονηστίμῳ.

Δ'.

Εἰς τὴν πρώτην Κυριακὴν (3) *τῶν νηστειῶν καὶ εἰς τὴν τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀναστήλωσιν.*

« Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου, » οὐχ ἕνεκα κάλλους κτισμάτων, καὶ τοίχων εὐαρμοστίας, καὶ μαρμάρων στιλπνότητος, καὶ τῶν ὅσα χειρίσοφος ἄνθρωπος ἐφιλοτέχνησεν ἁρμοσάμενος εὐφυῶς. Ταῦτα γὰρ ἐν δευτερίῳ κεῖνται παρὰ Θεῷ, καὶ λόγος τῶν ἀψύχων τούτων μικρός. Τὸ δὲ προηγουμένως περιμάχητον τῷ Δεσπότῃ, καὶ πάσης φροντίδος κρινόμενον ἄξιον ὁ ἄνθρωπος, τὸ πολύτιμον χρῆμα, καὶ τοῦ παντὸς τιμώμενον τῷ Θεῷ, ὁ οὐράνιος καὶ ἐπίγειος, καὶ σύνδεσμος οὐρανίων καὶ τῶν ἐπιγείων, ὁ μικρὸς κόσμος καὶ δι' ὃν ἅπας ὁ κόσμος. Εἰ μὲν οὖν τὰ σκηνώματα τοῦ Θεοῦ ἀνθρώπων πλήθουσι, καὶ ἐν τῷ οἴκῳ Κυρίου, καὶ ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν πεφυτευμένοι εἰσὶν οἱ δικαιωθέντες τῷ αἵματι τοῦ Χριστοῦ, καὶ ἀνθοῦσι μὲν ὡς φοῖνιξ, καὶ ὡσεὶ κέδρος ἐν τῷ Λιβάνῳ πληθύνονται, ὄντως ἀγαπητὰ τὰ σκηνώματα ταῦτα. Καὶ οὐδ' ἐπίγεια ταῦτά τις δικαιώσει καλῶν. Ὁ γὰρ τῶν ὅλων Βασιλεὺς ἔνοικός ἐστι τοῖς τοιούτοις· ὅπου δὲ αὐτός, ἐκεῖ καὶ τὰ οὐράνια τάγματα, καὶ τῶν φλογοειδῶν ἀγγέλων τὸ στράτευμα. Ὡς ἔγωγε, εἴπερ ποτὲ τοῦ ἔτους, σήμερον ἠγάπησα τὸ θεῖον τοῦτο καὶ ἱερὸν σκήνωμα· πεπλήρωται γὰρ ἀνθρώπων οὕτω πολλῶν, ὡς καὶ τοῦ ναοῦ σχεδὸν ὑπερχεῖσθαι, οὕτως προσηνωμένων τῷ πρὸς Θεὸν συνδέσμῳ, καὶ πρὸς ἑαυ-

(3) Vocabatur hæc Dominica Κυριακὴ τῆς ὀρθοδοξίας, ut manifestum est, tum ex aliis Græcorum libris ritualibus, tum ex Typico sancti Sabæ, cap. 42, cujus titulus est: Διάταξις τῆς πρώτης Κυριακῆς τῶν ἁγίων νηστειῶν, ἤτοι τῆς ὀρθοδοξίας· *Dispositio* seu *ordo primæ Dominicæ sanctorum jejuniorum, vel Orthodoxiæ.*

Instituebatur eo die, in memoriam restitutæ Orthodoxiæ, processio non sine crucibus et imaginibus. Typicum Sabæ, cap. 42: Αἰτανεύομεν κοινῶς μετὰ τῶν ἁγίων τοῦ σταυροῦ ξύλων καὶ τῶν σεπτῶν εἰκόνων· *Supplicationem in communi instituimus cum sacrosanctis crucis lignis, et venerandis imaginibus.* Legebatur eodem die decretum concilii secundi Nicæni de imaginibus reparandis, retinendis et honorandis. Ἀπερχόμεθα, inquit Typicum, ἐν τόπῳ ὡρισμένῳ ὅπου δεῖ ἀναγινώσκειν τὸ συνοδικόν· *Abimus in locum destinatum, ubi legendum synodale decretum.* Dominicæ τῆς ὀρθοδοξίας, et synodici tum publice recitari consueti, meminit etiam Curopalata lib. *De off. aulæ Constantinop.*, ex quo item liquet imperatorem eo die divinæ rei gratia templum Sophiæ, veteri et solemni ritu, petiisse. Ἀπέρχεται, inquit ille, εἰς τὴν ἁγίαν Σοφίαν καὶ κατὰ τὴν Κυριακὴν τῆς ὀρθοδοξίας, καὶ ὅτε μὲν ἀναγινώσκεται τὸ συνοδικὸν, ἵσταται· τῆς εὐφημίας δὲ λεγομένης, κάθηται ἐπὶ θρόνου αὐτοῦ· *Abit ad S. Sophiæ etiam die Dominico orthodoxiæ, et cum legitur synodale decretum, stat: cum vero fausta acclamatio dicitur, sedet in throno suo.* Nam lecto synodico, solebat concio imperatorem faustis acclamationibus prosequi et consalutare, eique vitam diuturnam comprecari. Typicum: Καὶ μετὰ τὸ τέλος πολυχρονίζομεν τοὺς βασιλεῖς, καὶ τὸν προεστῶτα· *Omnibus peractis vitam diuturnam precamur imperatoribus et antistiti.* Ex his planum esse arbitror, quam vere scripserit Calvinianus scholiastes Curopalatæ, Dominicam orthodoxiæ aut junctam aut certe proximam fuisse Pentecostæ. Qui juncta vel proxima, si fuit prima Dominica Quadragesimæ? Et ut maxime juncta aut proxima fuisset Pentecostæ, non debebat tamen conjici in vicesimum primum diem Maii; tum quia nulla Dominica stabilem et fixum locum habet inter dies mensis, tum quia Pentecoste est festum mobile dependens a Paschate. Non ergo semper cadere potest Dominica orthodoxiæ in 21 diem Maii; cum ipsa Pentecoste hunc diem vel antecedere vel subsequi possit.

Nec minus errat idem Scholiastes, cum docet Dominicam orthodoxiæ fuisse festum τοῦ μεγάλου κανόνος, *magni canonis*. Minime vero. Nam Dominica orthodoxiæ fuit prima Quadragesimæ: festum magni canonis agebatur τῇ πέμπτῃ τῆς πέμπτης ἑβδομάδος τῆς τεσσαρακοστῆς· *Quinta feria quintæ hebdomadis Quadragesimæ*; docent hoc rituales Græcorum libri.

τοὺς, ὡς καὶ σώματα παραδιάζειν πρὸς ἕνωσιν, καὶ εἰς πῆγμα ἓν συσφίγγεσθαι καὶ συνάγεσθαι.

Ἡ δὲ τηλικαύτη πανήγυρις ὑπόθεσιν ἔχει τὴν ἀνάμνησιν τῆς τῶν παναγίων εἰκόνων ἀναστηλώσεως. Ἔκειτο μὲν γὰρ ἡ εἰκὼν τοῦ Χριστοῦ οὐ τριήμερος, ἀλλὰ πολυχρόνιος ὑπὸ τὸν τῆς ἀφαντώσεως τόπον, βασκανίᾳ τῶν Ἰουδαιοφρόνων αἱρετικῶν. Νῦν δ' ἀλλ' ἐκεῖθεν εὐδοκίᾳ Πατρὸς ἐξανίσταται, καὶ πρώτη τῆς ἀναστάσεως ταύτης εὐαγγελίστρια ἡ σεμνοτάτη ἐν γυναιξὶ καὶ μαθήτρια τοῦ Χριστοῦ, ἡ τῆς θείας δωρεᾶς (4) φερώνυμος βασιλὶς, καὶ δι' αὐτῆς πρὸς πάντας τοὺς τότε ἀποστολικοὺς ἄνδρας καὶ χριστοκήρυκας τῆς ἀναστάσεως διαβαίνει τὸ κήρυγμα, καὶ καλλωπίζεται αὖθις ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς ἱερομόρφοις, καὶ εὐωδιάζεται πλεῖστον ἀπαλλαγεῖσα τῆς εἰκονομαχικῆς βδελυρίας. Μυροφόρου γὰρ τάξιν ἀποπληρώσασα ἡ καλὴ αὕτη μαθήτρια καὶ θεοστεφὴς ἄνασσα τοὺς μεταλαβόντας τῆς τοῦ Κοπρωνύμου αἱρέσεως, ὥς τινας κοπρογενεῖς κανθάρους, ἀποπνίξασα ὤλεσε, καὶ τὸν οἰκεῖον σύζευνον τὸν βασιλέα Θεόφιλον ἀθλίως αἰχμαλωτισθέντα ὑπὸ τῆς τυραννικῆς δυσσεβείας, ὡς ἀπὸ κοπρίας πτωχὸν ἐξήγειρεν, ἡ κοινωνὸς μὲν τοῦ βίου, τοῦ δὲ φρονήματος ἀκοινώνητος. Ὦ καλῆς γυναικὸς πολλῶν γυναικῶν ἀναπαλαισάσης ἡττήματα! Εὔα τὸν ἄνδρα τοῦ παραδείσου ἐκβάλλει, μολύνασα τὸ κατ' εἰκόνα διὰ τῆς παρακοῆς. Ἐπὶ τῆς κοπρίας ὁ Ἰὼβ ἐκάθητο, τὸ μὲν σῶμα δύσοσμος, τὴν δὲ ψυχὴν εὔοσμος, καὶ ἡ πονηρὰ ἐκείνη γυνὴ συνεβούλευε τούτῳ, ἵνα καὶ τὴν ψυχὴν ῥυπώσῃ διὰ βλασφημίας. Ἀλλ' οὐχ οὕτως ἡ θεόφιλος αὕτη γυνή· αὐτῇ γὰρ ἐμφαρμόσει μᾶλλον τὸ τοῦ ἀνδρὸς ὄνομα. Θεὸν γὰρ ἀγαπήσασα, ὑπὸ Θεοῦ ἠγαπήθη, καὶ διὰ τὸν Θεὸν καὶ τὸν ἄνδρα (5) ἐφίλησεν οὕτω σφοδρῶς, ὡς ἐξ ᾅδου ἁρπάσαι καὶ τῶν ἐκεῖ δικαιωτηρίων, καὶ πρὸς παράδεισον ἀντεισαγαγεῖν σπουδάσματι φιλοθέῳ καὶ μόχθῳ πνευματικῷ, ἐπὶ δὲ τῆς κοπρίας καθήμενον τῆς τοῦ Κοπρωνύμου βδελυρωτάτης αἱρέσεως τῆς κατ' αὐτὴν βλασφημίας μᾶλλον ἐῤῥύσατο, καὶ θερμὸν εἰσήνεγκε τὸν ἀγῶνα προσοικειῶσαι τοῦτον τῷ Χριστῷ, οὗ μύρον ἐκκενωθὲν τὸ ὄνομα.

Οὕτως ἀγαπᾶτε, γυναῖκες, τοὺς ἄνδρας· οὕτω βοηθεῖτε· ἀλλὰ μὴ μόνοις τοῖς σαρκικοῖς τὸ κοινωνικὸν ἔχετε πρὸς τοὺς συζύγους ἄνδρας, διὰ ἡδυπάθειαν φιλοῦντες αὐτούς· ἀλλὰ συνεργεῖτε καὶ πρὸς τὴν ψυχὴν ὠφελοῦντα, καὶ συμβουλεύετε τὰ πρὸς τὴν σωτηρίαν. Κἂν πρὸ ὑμῶν ὁ θάνατος ἐκείνους ἁρπάσειεν ἔτι ἐσπιλωμένους κατὰ ψυχὴν, θέσθε φροντίδα τῆς σωτηρίας αὐτῶν διὰ προσευχῶν, διὰ δακρύων, δι' ἐλεημοσυνῶν, διὰ θείων ἱερουργιῶν. Δύνασαι γάρ, ὦ γύναι, καὶ θανόντα τὸν ἄνδρα σῶσαι (6) διὰ τῶν

Deo, et inter se vinculo, ut et corpora quodammodo ad unionem et conjunctionem compellant, utque in unum quasi pegma coagmententur et concrescant.

Tanti vero concursus causa est commemoratio sanctarum imaginum restitutarum. Jacebat enim Christi imago, non triduo, sed longissimo tempore in obscuro et tenebricoso loco invidia hæreticorum idem cum Judæis sentientium : sed nunc inde voluntate Patris exsurgit, et prima hujus resurrectionis annuntiatrix exsistit gravissima inter mulieres et discipula Christi regina, quæ a divino munere nomen habet : et per ipsam ad omnes, qui tunc erant apostolici viri, Christique præcones, resurrectionis hujus præconium manat, rursusque exornatur Christi Ecclesia sanctorum imaginibus et typis, gratumque odorem acquirit, ab Iconomachorum abominatione liberata. Vasis enim unguentarii vice functa egregia illa discipula, et a Deo coronata regina, omnes qui Copronymi hæresi infecti erant, tanquam scarabæos quosdam, ex cœno progenitos, suffocans perdidit : et proprium conjugem imperatorem Theophilum miserabiliter a tyrannica impietate captum, tanquam de stercore inopem excitavit, vitæ quidem consors, at sententiæ exsors. O eximiam mulierem, quæ multarum mulierum clades et damna præstitit! Eva virum ex paradiso ejicit, contaminata per inobedientiam illa, quæ secundum Deum est, similitudine. Sedebat Job in sterquilinio, corpore quidem graviter olens, anima autem gratum odorem halans. Et improba illa mulier suadebat ei, ut et animam blasphemiis proferendis inquinaret. Non ita Dei amantissima hæc femina. Ipsi enim mariti nomen competit. Nam cum Deum diligeret, a Deo dilecta est, propterque Deum virum quoque tam vehementer amavit, ut eum ex inferno, eoque, quod inibi est, tribunali eripuerit, et ad paradisum conatu et studio superis grato, et spirituali labore traduxerit, hærentemque in cœlo exsecrandæ hæreseos Copronymi, ab hac blasphemia expedivit, validumque certamen subiit et sustinuit, ut eum vindicaret Christo, cujus nomen unguentum effusum.

In hunc modum, o mulieres, amate maritos vestros; sic opem ferte, neque in solis carnalibus communionem cum viris vestris habete, amantes illos propter voluptatem; sed et subministrate ea quæ animæ conducunt; et suggerite quæ ad salutem pertinent. Etsi prius mors illos abripuerit adhuc vitiis inquinatos, curate illorum salutem precibus, lacrymis, eleemosynis et divinis sacrificiis. Potes enim, o mulier, mortuum quoque virum his operibus salvum reddere. Quia vero adhuc

(4) Theodora imperatrix uxor Theophili, mater Michaelis, de qua Zonaras, Cedrenus, et alii. Alludit ad Theodoræ nomen verbis illis : Ἡ τῆς θείας δωρεᾶς φερώνυμος βασιλίς.

(5) Sunt qui scribant Theophilum imperatorem sub finem vitæ resipuisse, et ab Iconomachorum impietate destitisse. Ita refertur in Periocha seu summa libri vicesimi primi Nicephori Callisti : qui liber simul cum aliis post decimum octavum sequentibus, nondum prodiit. Glycas tamen ait IV p. *Annal.* Theophilum moriturum petiisse ne imagines sacræ rursus erigerentur. Idem Zonaras in Theophilo.

(6) Locus pro purgatorio probando.

supersunt retrimenta quædam de abominatione Copronymi, audentque rabidi illi canes et amici luto sues contra adorandas et sacras imagines Christi, omniumque sanctorum, fenum et stercus evomere (sic enim impia et blasphema illorum dicta appello, sunt autem isti, qui vulgo Bogomili vocantur, verissimi Antichristi discipuli, et proditoris Judæ condiscipuli), ideo ad ipsos orationem convertam. Etenim non raro illis in faciem restiti, illorumque impudentes vultus confudi, subsidio Christi, qui ab illis injuria et contumeliis afficitur. Paucula vero quædam ex disputatione illa selecta et delibata, cum vestra etiam charitate communicabo, ut cognita illorum errore, fraudulentis verbis inscientes non circumveniamini. Multi enim nunc circumeunt, inque domos sese insinuant, in tenebris ambulantes, et pietatis specie multos simul abripiunt. Nam cum sint tenebricosi diaboli, transfigurant sese in angelos lucis.

Rogavit me quidam ex diabolicorum Bogomilorum numero: Quare, inquit, adoratis parietes, et asseres, et calcem, et diversos colores? His vero sacras imagines tacite significabat. Ad quem ego: Quando vidisti aliquem Ecclesiæ nostræ alumnum ad fornaces, ubi calx est, vel ad rudera, ubi lapidum cumuli visuntur, vel ad officinas, ubi venduntur colores, properare, et ista adorare et colere? Si enim lapidibus et coloribus cultum exhiberemus, necesse esset ut ubicunque lapidem vel asserem conspiceremus, ea adoraremus. At longe aliter se res habet. Neque tu quantumvis inimicus veritatis, id affirmare ausis. Cultum enim exhibemus non simpliciter materiæ, sed ei, quæ in materiis elucescit, figuræ; neque omni figuræ, sed Christi, castissimæ Dei Matris, aliorumque sanctorum. Nam honor imaginis transit ad prototypum. Et forte quidem historice Christus expressus est vel in hac tabula, vel in pariete, cruci affixus, nudus. Astant autem Judæi porrigentes acetum cum felle, latus fodientes, Pilatusque in throno considens, assistentibus ei multis satellitibus: omnia hæc illis in coloribus et historiis repræsentantur. At nos, relicto eo, qui sedet in throno, relictis illusoribus Judæis, militibusque Christum vulnerantibus, eum, qui nudus in cruce pendet et ab ipsis illuditur, adoramus et salutamus. Hic sunt colores et ibi colores: hic figuræ et ibi figuræ. Quare igitur illas quidem odimus et aversamur, has vero amplectimur et osculamur? Qua de causa?

Ego tibi explicabo: Scimus eorum, quorum prototypa et exemplaria sancta sunt, sanctas itidem imagines esse. Quorum vero prototypa exsecrabilia sunt, eorum itidem imagines detestandas esse. Iterum ergo interrogabo te, tu iterum responde. Librum Evangeliorum sanctum esse confiteris, eumque, ut thesaurum æternorum bonorum colis, an et hunc

A τοιούτων. Ἀλλ' ὅτι καὶ νῦν εἰσί τινες τῆς Κοπρωνύμου βδελυρίας ἀποσκυβαλίσματα, καὶ ἀποτολμῶσιν οἱ λυσσητῆρες κύνες καὶ φιλοβόρβοροι χοῖροι κατὰ τῶν προσκυνητῶν καὶ ἱερῶν χαρακτήρων τοῦ Χριστοῦ καὶ τῶν ἁγίων πάντων κόπρια ἐναποπτύειν (οὕτω γὰρ ἐγὼ καλῶ τὰ ἐκείνων βλάσφημα ῥήματα οὗτοι δέ εἰσιν οἱ νῦν Βογόμιλοι κεκλημένοι, οἱ γνήσιοι μαθηταὶ τοῦ Ἀντιχρίστου, καὶ τοῦ προδότου Ἰούδα συμμαθηταί)· πρὸς αὐτοὺς τὸ τοῦ λόγου πρόσωπον τρέψω· καὶ γὰρ αὐτοῖς ἐγὼ πολλάκις κατὰ πρόσωπον ἀντέστην, καὶ τὰ μιαρὰ τούτων κατῆσχυνα πρόσωπα, συνεργείᾳ τοῦ παρ' αὐτῶν ὑβριζομένου Χριστοῦ. Ὀλίγα δέ τινα τῆς τότε διαλέξεως; ἀποτεμόμενος καὶ πρὸς τὴν ὑμετέραν ἀγάπην ἐρῶ, ὡς ἂν ἐν εἰδήσει τῆς πλάνης ἐκείνων ὄντες, μὴ λάθητε τοῖς B ἀπατηλοῖς ῥήμασι τούτων ἐξ ἀγνοίας περιπαρέντες. Πολλοὶ γὰρ ἀρτίως περιπατοῦσι, καὶ τὰς οἰκίας εἰσδύνουσιν ἐν σκότει διαπορευόμενοι, καὶ σχήματι εὐλαβείας πολλοὺς συναρπάζουσι· σκοτεινόμορφοι γὰρ ὄντες διάβολοι εἰς ἀγγέλους φωτὸς μετασχηματίζονται.

Ἠρώτησέ με τις τῶν δαιμονοπροσώπων τούτων Βογομίλων. Διὰ τί, φησὶ, προσκυνεῖτε τοίχους, καὶ σανίδας, καὶ ἄσβεστον, καὶ διάφορα χρώματα; Τοῦτο δὲ οὕτω λέγων τὰς ἁγίας εἰκόνας ἠνίττετο. Καὶ ἐγὼ πρὸς αὐτόν· Πότε δὲ εἶδές τινα τῶν τῆς ἡμετέρας Ἐκκλησίας τροφίμων ἐπὶ τὰς καμίνους πορευόμενον, ὅπου ἡ ἄσβεστος, ἢ ἐπὶ ἐρείπια, ὅπου αἱ τῶν λίθων σωρεῖαι, ἢ ἐπὶ τὰ τῶν χρωμάτων πωλητήρια, καὶ προσκυνοῦντα ταῦτα καὶ σέβοντα; Εἰ C γὰρ τοῖς λίθοις καὶ τοῖς χρώμασι τὸ σέβας ἐνέμομεν, ἀνάγκην ἔχομεν, ἔνθα ἂν εἴδομεν ἢ λίθον ἢ σανίδα, προσκυνεῖν αὐτά. Νῦν δὲ τοῦτο μὲν οὐκ ἔστιν, οὐδὲ σὺ ὁ τῆς ἀληθείας ἐχθρὸς τολμήσεις τοῦτο εἰπεῖν, ἀπονέμομεν δὲ τὸ σέβας οὐχ ἁπλῶς ταῖς ὕλαις, ἀλλὰ τῇ ἐμφαινομένῃ ταῖς ὕλαις μορφῇ, καὶ οὐ πάσῃ μορφῇ, ἀλλὰ τῇ τοῦ Χριστοῦ, τῆς ὑπεράγνου Θεομήτορος, καὶ τῶν ἄλλων ἁγίων. Ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Καὶ ἱστόρηται μὲν ὁ Χριστὸς τυχὸν ἐπὶ τῆς σανίδος ταύτης, ἢ ἐπὶ τοῦ τοίχου, ἐπὶ τοῦ σταυροῦ ἠκλωμένος γυμνός· Ἰουδαῖοι δὲ παρίστανται ποτίζοντες ὄξος μετὰ χολῆς, τὴν πλευρὰν κεντοῦντες αὐτοῦ· ὁ Πιλᾶτος καθήμενος ἐπὶ θρόνου, παρισταμένων αὐτῷ πολλῶν δορυφόρων. D Ταῦτα πάντα ἐν χρώμασι καὶ ἐν ἱστορίαις. Καὶ ἡμεῖς ἀφέντες τὸν καθήμενον ἐπὶ θρόνου, τοὺς ἐμπαίζοντας Ἰουδαίους, τοὺς τιτρώσκοντας δορυφόρους, τὸν ἐπὶ τοῦ σταυροῦ κρεμάμενον γυμνὸν καὶ ὑπ' αὐτῶν ἐμπαιζόμενον προσκυνοῦμεν καὶ ἀσπαζόμεθα. Ἐνταῦθα χρώματα, κἀκεῖ χρώματα, ἐνταῦθα μορφαί, κἀκεῖ μορφαί. Διὰ τί γοῦν τὰς μὲν μισοῦμεν καὶ ἀποστρεφόμεθα, τὰς δὲ ἀγαπῶμεν καὶ ἀσπαζόμεθα; Διὰ τί;

Ἐγώ σοι ἐρῶ. Οἴδαμεν, ὅτι ὧν τὰ πρωτότυπα ἅγια, καὶ τὰ εἰκονίσματα ἅγια· ὧν δὲ τὰ πρωτότυπα μιαρὰ, καὶ τὰ εἰκονίσματα μιαρά. Πάλιν οὖν ἐρωτῶ σε· καὶ πάλιν μοι ἀποκρίθητι. Τὴν βίβλον τῶν Εὐαγγελίων ἁγίαν εἶναι λέγεις, καὶ σέβῃ ταύτην ὡς θησαυρὸν τῶν αἰωνίων ἀγαθῶν, ἢ καὶ ταύτην ἀποστρέφεις καὶ ἐν τοῖς ἀτίμοις τάττεις; Οὐχί, φησὶν, ἄτιμον,

ἀλλὰ πολλῆς ἀξίαν τιμῆς ταύτην ἡγούμενος καὶ προσκυνῶ καὶ ἀσπάζομαι. Τοῦτο καλῶς εἶπας. Ἔστι γὰρ ἀληθῶς καὶ τιμιωτάτη, καὶ ἁγιωτάτη, καὶ βίβλος ὄντως ζωῆς διαιωνιζούσης. Ἰδοὺ οὖν ἐκ τοῦ στόματός σου κατακριθήσῃ, Βογόμιλε. Εἰπὲ τοίνυν, ἡ βίβλος αὕτη οὐκ ἀπὸ σανίδων σύγκειται; οὐκ ἀπὸ δερμάτων; οὐκ ἀπὸ νημάτων τῶν τὰ δέρματα συσφιγγόντων; οὐκ ἀπὸ μέλανος καὶ ἑτέρων πολλάκις χρωμάτων; Ἆρ' οὖν καὶ σὺ τὸ βιβλίον τῶν Εὐαγγελίων προσκυνῶν καὶ ἀσπαζόμενος, τὰς σανίδας, καὶ τὸ μέλαν, καὶ τὰ δέρματα προσκυνεῖς καὶ ἀσπάζῃ, ἢ τοὺς λόγους τοῦ Θεοῦ τοὺς ἐγγεγραμμένους τῇ βίβλῳ; Ναί, φησὶ, τοὺς λόγους τοὺς ἐγγεγραμμένους τῇ βίβλῳ. Δύνασαι δὲ ἄλλως τοὺς λόγους τούτους γραφῇ παραδοῦναι καὶ εἰς ἀνάγνωσιν χωρὶς μέλανος καὶ χάρτου; Οὐχὶ, φησί. Τί οὖν λοιπὸν τὸ συναγόμενον; Ὅτι πρὸς τὴν τῶν εὐαγγελικῶν ῥημάτων ἀναγραφὴν παραλαμβάνονται τὰ δέρματα, τὸ μέλαν, καὶ τἄλλα· τὸ δὲ τιμώμενον οἱ λόγοι εἰσὶ τοῦ Κυρίου οἳ τῇ βίβλῳ ἀνάγραπτοι. Ὥστε εἴ τις ἀπαλείψει τοὺς λόγους, συναπήλειψε καὶ τὴν τῆς βίβλου τιμὴν, καὶ τὸ ἐναπομεῖναν ἀσέβαστον καὶ ἀπροσκύνητον. Οὕτω μοι νόησον, αἱρετικὲ καὶ ἀνόητε, κἀπὶ ταῖς τῶν ἁγίων ζωγραφίαις· εἰκόνων, ὅτι τὸ τιμώμενον καὶ προσκυνούμενον ὁ χαρακτὴρ ἐστι καὶ τὸ ὄνομα εἴτε τοῦ Χριστοῦ, εἴτε τῆς Θεοτόκου, εἴτε τινὸς τῶν ἁγίων. Ταῦτα δὲ μορφωθῆναι ἢ γραφῆναι ἀδύνατον, εἰ μὴ ἐκ διαφόρων χρωμάτων· τοῦ δὲ χαρακτῆρος ἀπαλειφθέντος (7), ἄτιμος τὸ ἀπὸ τοῦδε ἡ ὕλη καὶ κεκοίνωται.

Ὡς ἐν παραδείγματι δὲ εἰπεῖν, ἔστω που ἱστάμενον ἔσοπτρον ἢ ἐξ ὑέλου ἢ ἐκ σιδήρου, καὶ ὑπόθου τὸν Χριστὸν ἱστασθαι ἀντὶ προσώπου τινὸς τῶν τοιούτων ἐσόπτρων. Εἰδοποιείσθω δὲ καὶ ὁ χαρακτὴρ αὐτοῦ τῇ τοῦ ἐσόπτρου στιλπνότητι καὶ ἐμφαινέσθω καθαρῶς ἐν αὐτῇ. Ἐὰν οὖν ἐκ πόθου τις προσιὼν τῷ ἐσόπτρῳ, ἐν ᾧ ἡ μορφὴ ἐμφαίνεται τοῦ Χριστοῦ, καὶ προσψαύσῃ τοῦτο τοῖς χείλεσι καὶ ἀσπάσεται, ἆρ' οὖν τὸ ἔσοπτρον ἐτίμησεν ἢ τὴν ἐν τῷ ἐσόπτρῳ μορφὴν τοῦ Χριστοῦ; Εὔδηλον, ὅτι τὴν μορφήν. Εἰ γὰρ τὴν φύσιν ἐτίμησε τοῦ ἐσόπτρου, καὶ τὸ σίδας ταύτῃ ἀπένειμεν· ἀκόλουθον ἦν αὐτῷ πάντα ὕελον καὶ πάντα σίδηρον προσκυνεῖν. Εἰ δὲ τοῦτο μὲν οὐκ ἐποίησε πώποτε, ἐκεῖνο δὲ μόνον ἠσπάσατο, ἐν ᾧ ἐφάνη τὸ μόρφωμα τοῦ Χριστοῦ· δῆλόν ἐστι καὶ τυφλῷ, ὅτι τὴν ἐν τῇ ὕλῃ ἐμφαινομένην μορφὴν ἐτίμησε τοῦ Χριστοῦ. Τὸν ὅμοιον τρόπον καὶ ἐπὶ τῶν ἁγίων εἰκόνων λογίζου. Ἀλλὰ σὺ ὁ αἱρετικὸς οὐχ ἁπλῶς οὕτως Εἰκονομάχος εἶ, ἀλλ' ἀντίκρυς Χριστομάχος, καὶ διὰ τοῦτο κατὰ τῆς ἁγίας αὐτοῦ εἰκόνος ἐκπεπολέμωσαι, καὶ ἐκτεθηρίωσαι ὑπὸ τοῦ ἐνοικοῦντός σοι δαίμονος. Καὶ γὰρ καὶ τὰς παρδάλεις φασὶν ἀπεχθῶς ἔχειν πρὸς τὰ τῶν ἀνθρώπων πρόσωπα, καὶ λυττᾷν κατ' αὐτῶν μανικῶς, κἄν που ἱστορουμένην ἴδοι ἐνανθρωπείαν μορφὴν,

A aversaris, et honore indignum ducis? Nequaquam, inquis, honore indignum, sed plurimo honore dignum existimans, eum adoro et osculor. Recte hoc dixisti. Vere enim omni veneratione dignus et sanctissimus est, vereque liber æternæ vitæ. Vide igitur, ex ore tuo condemnaberis, Bogomile. Dic ergo, nonne liber hic ex asseribus compactus est? Nonne ex pellibus? Nonne ex filis pelles connectentibus? Nonne ex atramento, et aliis non raro coloribus? An igitur et tu librum Evangeliorum adorans et deosculans asseres et atramentum et pelles adoras et oscularis, an verba Dei libro illi inscripta? Vere, inquit, verba Dei in libro scripta. An potes vero verba Dei scribere, et ut legi possint, efficere absque atramento et charta? Non, B inquit. Quid igitur hinc concluditur? Videlicet ad Scripturam evangelicorum verborum adhiberi pelles, atramentum, et his similia; id vero quod honoratur, esse ipsa Domini verba in illo libro exarata. Itaque si quis verba deleat, simul etiam libri honorem et reverentiam obliteravit, idque, quod remanet, inglorium, et inhonorum, et adorationis expers effecerit. Sic, hæretice et fatue, de sanctis itidem imaginum picturis cogita, id nimirum quod honoratur et adoratur, esse figuram et nomen sive Christi, sive Deiparæ, sive alicujus ex cœlitum numero. Hæc vero formari aut pingi aliter nequeunt, nisi ex diversis coloribus; figura autem expuncta inhonora de cætero remanet materia et communis. C

Et ut exemplo rem illustremus: sit speculum aliquod vel vitreum vel ferreum, et finge e regione alicujus ex speculis consistere Christum. Effigietur vero forma etiam illius, splendore speculi et claritudine, et in ea clare reluceat. Si igitur quis desiderio tactus ad speculum accedat, in quo species Christi relucet, illudque labiis attingat et osculetur, num talis speculum honoravit, an eam, quæ est in speculo, formam Christi? Perspicuum est, quod formam. Si enim speculi naturam coluisset, eique cultum exhibuisset, consequens esset, ut omne vitrum et omne ferrum adoraret. Si autem hoc nemo unquam fecit, illud vero duntaxat osculatus est, in quo Christi species apparuit, planum est vel cæco, D eum illam, quæ in materia elucescebat, formam honorasse: idem de sacris imaginibus statue. Sed tu, qui hæreticus es, non simpliciter Iconomachus, hoc est, imaginum hostis, sed adversa fronte Christomachus, hoc est, Christi oppugnator es, eaque de causa contra sacram ipsius imaginem arma corripis, et efferatus es. Nam et pardales ferunt hostili animo esse in humanam figuram, et in eam rabiose furere, et sicubi speciem hominis efformatam viderint, in eam insanire, et iracunde insilire, unguesque expromere et exacuere. Tales sunt et filii

(7) Hæretici interpretes Cedreni et Glycæ, Iconomachos et Iconoclastas vocant *simulacriperdas*, nomine hæretico, et ad fraudem prorsus apto; et ἀναστήλωσιν τῶν εἰκόνων, vocant *restitutionem simulacrorum*, ut et εἰκόνας, *simulacra*; ignoscerem, nisi scirem, qua mente hanc vocem usurpent, et quo et quonam usurpando alludant. Magis probo interpretem in rebus ecclesiasticis magis ecclesiasticum, quam Latinum, etsi nomen imaginis æque Latinum, ac illud alterum.

perditionis, et Antichristi præcursores diabolici re- vera Bogomili, qui Christum insigniter oderunt, neque vel oculis usurpare sustinent venerandam ejus imaginem, quin et idolum illam nominant.

Vere « sepulcrum patens est guttur eorum [86], » halans multam fetoris blasphemiam, filii tenebrarum, et ad lumen veritatis cæci sunt. Christus, mundi conditor, cum vidisset similitudinem quamdam Tiberii Cæsaris, hominis impii et idololatræ, non affecit eam injuria, neque idolum nominavit, sed imaginem. Tu vero, miser, non coborrescis, cum impium illum hominem, quoad honorem et cultum præponis Christo, cœlorum Regi, sanctisque angelis inaccesso, eumque imaginem illius idolum esse blasphemas? Ubi autem figuram Cæsaris Christus imaginem appellet, audi. Interrogarunt aliquando Christum Judæi, tui amici, et fratres, et fœderati, nihil enim a Judæo differt Bogomilus; quin potius omni Hebræo sceleratior est Bogomilus: Hebræus enim licet cætera improbus sit, attamen Deum rerum conditorem esse confitetur. At Bogomilus diabolo rerum procreationem ascribit. Obstupesce, cœlum, super hoc, et fundamenta terræ, movemini, et disrupta absorbete desertores istos, et in communem rerum effectorem et creatorem injuriosos, ut et olim Dathan et Abiron cum suis.

Quod igitur dicere instituebamus, hoc erat: interrogarunt aliquando Christum Judæi, « si liceret censum dare Cæsari, an non? » Ille vero respondit dicens: « Ostendite mihi numisma census. » Illisque ostendentibus, rursus respondit: « Cujus est imago hæc et superscriptio? Dicunt ei: « Cæsaris. » Et Christus: « Reddite, inquit, quæ sunt Cæsaris, Cæsari, et quæ sunt Dei, Deo [87]. » Audisti, exsecrande Bogomile, Christum dicentem: *Cujus est hæc imago et superscriptio?* quodque similitudo Cæsaris in numismate expressa imago fuerit, non idolum. Sed objicit: Scriptura testatur, « simulacra gentium argentum et aurum [88] » esse, et nec loqui, nec videre, neque ambulare. Cum igitur etiam imagines nihil eorum operentur vel agant, quæ agere solent illi, quibus ex appetitu esse movendi, et loquendi, et ambulandi facultas inest, affirmamus illas idolis non esse absimiles. Insipiens, et stolido corde homo! Si loquerentur imagines, si viderent, si audirent, si circuirent, non essent imagines, neque similitudines, sed prototypa et homines perfecti. At imago est tantum similitudo prototypi, et imitatio quædam notis expressa. Divina vero Scriptura idola appellat dæmonum similitudines. Dæmones enim erant gentilium dii. Num igitur, quod dæmones fuerint dii gentium, abnegabimus nos verum Deum, et ut athei in hoc mundo versabimur? Hoc enim affirmare tuæ tenebricosæ

A ἐπιμαίνεσθαι ταύτῃ, καὶ ἐκθύμως καθάλλεσθαι, καὶ ἐκπτύσσειν τοὺς ὄνυχας. Τοιοῦτοί εἰσι καὶ οἱ τῆς ἀπωλείας υἱοί, καὶ τοῦ Ἀντιχρίστου πρόδρομοι οἱ διαβολιανοὶ τῷ ὄντι Βογόμιλοι, οἱ τὸν Χριστὸν μισοῦντες ἐκτόπως, οὐδὲ τὴν πανσέβαστον αὐτοῦ μορφὴν ἀνέχονται καθορᾷν, ἀλλὰ καὶ εἴδωλον αὐτὴν ὀνομάζουσιν.

Ἀληθῶς « τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, » πολλὴν ἀποπνέων τὴν δυσωδίαν τῆς βλασφημίας, υἱοὶ τοῦ σκότους καὶ περὶ τὸ φῶς τῆς ἀληθείας τυφλοί. Ὁ Χριστὸς, ὁ ποιητὴς τοῦ κόσμου, ὁμοίωμα θεασάμενος τοῦ Τιβερίου Καίσαρος, ἀνθρώπου δυσσεβοῦς καὶ εἰδωλολάτρου, οὐχ ὕβρισεν, οὐδὲ εἴδωλον κατωνόμασεν, ἀλλὰ εἰκόνα. Σὺ δὲ οὐ φρίττεις, ἄθλιε, τοῦ ἀσεβοῦς ἐκείνου ἀνδρὸς ἀτιμότερον ἡγούμενος τὸν Βασιλέα τῶν οὐρανῶν, καὶ τοῖς ἁγίοις ἀγγέλοις B ἀπρόσιτον, καὶ τὴν εἰκόνα τούτου εἴδωλον εἶναι βλασφημῶν; Ποῦ δὲ τὴν μορφὴν τοῦ Καίσαρος ὁ Χριστὸς εἰκόνα κατονομάζει, ἄκουσον. Ἠρώτησάν ποτε τὸν Χριστὸν οἱ Ἰουδαῖοι, οἱ σοὶ φίλοι, καὶ ἀδελφοὶ, καὶ ὁμόφρονες. Οὐδὲν γὰρ διαφέρει Ἑβραίου Βογόμιλος, μᾶλλον δὲ καὶ παντὸς Ἑβραίου δυσσεβέστερός ἐστιν ὁ Βογόμιλος. Ἑβραῖος μὲν γὰρ, κἂν τἆλλα εἴη κακὸς, ὅμως ποιητὴν τῶν κτισμάτων τὸν Θεὸν εἶναι ὁμολογεῖ· ὁ Βογόμιλος δὲ τῷ διαβόλῳ τὴν δημιουργίαν ἀποχαρίζεται. Ἔκστηθι, οὐρανὲ, ἐπὶ τούτῳ, καὶ τῆς γῆς, σαλεύθητε, τὰ θεμέλια, καὶ διαῤῥαγέντα καταπίετε τοὺς ἀποστάτας τούτους καὶ ὑβριστὰς τοῦ κοινοῦ Ποιητοῦ καὶ Δημιουργοῦ, ὡς πάλαι τοὺς περὶ Δαθὰν τε καὶ Ἀβειρών.

propter eam ovem quæ aquis submersa est. Invenit quod erraverat, et statim cœlestes januæ aperiuntur, imo vero, ut Scripturæ verbo utar [13], patefactæ sunt cataractæ cœli, unde et prius eruperunt inundantes pluviæ, et hominem per aquas salvatum, qui prius per aquas perierat, suscipiunt, non autem per aquas tantum, sed et per divinum Spiritum. Atque id per ingeniosam consequentiam. Audiit enim ante diluvii immissionem hominum genus : « Non remanebit Spiritus meus in illis hominibus, quia caro sunt [14]; » unde et postquam Spiritus ille, tanquam columba, evolavit (non enim tantam corruptorum hominum pestilentiam sustinebat), spiritus procellæ ejus in locum adductus est, et per aquas destructio; atque ita Deo odibile scelus hominum diluvio perditorum erat, ut renasceretur pro aquæ natura. Non enim tunc Spiritus Dei super aquas ferebatur. Dum enim adhuc aquæ tumescerent, cadaveraque, ut verisimile est, innatarent, corvus quidem ex ea quæ omnia continebat, arca evolans, redire noluit, mortuis corporibus insidens, et corruptis gaudens, symbolum effectum dæmonis qui hominum casibus lætatur, sanguine gaudet nobisque jacentibus irridet. Columba autem non reperiens ubi pedes sisteret, ad eum qui miserat rediit. Sanctus enim Spiritus non habitabit in corpore peccatis serviente. Columba porro solet adhiberi ut Spiritus sancti symbolum. Ita res se tunc habebant, et vitalis aqua hominibus perniciem attulit. Nunc autem, secunda, ut aiunt, navigatio, et puppim nostræ naturæ impellens substantia ab eo qui nobis invigilat nostraque curat, refluens venit et via viæ priori contraria incedit. Ex aquis in Spiritum, a Spiritu in cœlum, et desideratam deificationem. Quam intempestive olim invadere conata mulier, extensione dexteræ, perdidit et quæ in manibus habebat, et cum Deus fieri tentaret homo, parum abfuit quin et homo esse desineret. Homo enim constat anima et corpore; quem mortis gladius scindit, unionemque dissolvit, quacum solvitur et appellatio, et terra solummodo nominatur. Ait enim : « Terra es, et in terram reverteris [15]. » Cum enim uno impetu et confestim in cœlum ascendere cogitaret, fraude seductus lapsus est, et decidit, et tanquam gleba ruptus est super terram, et in infernum dissipata ossa ejus. Accinat enim David suum [16] primo homni dejecto opportunum epitaphium. Oportebat autem non ita, sed quodam ordine et consequentia eum ascensionem suam curare, excellenti humilitate tanquam duce utentem.

γῆς ἐρράγη ἐπὶ τῆς, γῆς διεσκορπίσθη τὰ ὀστᾶ αὐτοῦ χῃ κειμένῳ τὸν ἐπιτάφιον πρόσφορον· ἔδει δὲ οὐχ οὕτως, μελετῆσαι ὁδηγῷ ἀρίστῃ ταπεινοφροσύνῃ χρώμενον.

IV. Sed agedum et conabimur explicationem aggredi verborum Evangelii quæ hodie legenda sunt. Quæ quidem divinissimum Marcum extollunt, par-

κάτεισιν, ἐπὶ γῆς ἔρχεται, σπήλαιον εἰσέρχεται, τὸ πεπλανημένον ἀναζητῶν, τὰς φάτνας διερευνᾷ διὰ τὸν παραβληθέντα τοῖς κτήνεσιν· εἰς ὕδωρ καταβαίνει ποτάμιον διὰ τὸ κατακλυσθὲν τοῖς ὕδασι πρόβατον· εὑρίσκει τὸ πλανηθὲν, καὶ εὐθὺς αἱ οὐράνιαι πτύχες ἀναζυγοῦνται, μᾶλλον δὲ φάναι τὸ τῆς Γραφῆς, ἀνοίγονται οἱ καταῤῥάκται τοῦ οὐρανοῦ, ὅθεν καὶ ὁ κατακλύσας ὑετὸς πρότερον κατεῤῥάγη, καὶ δι' ὕδατος σωζόμενον, τὸν ἐξ ὕδατος ἀπολωλότα πρώην ἄνθρωπον ὑποδέχονται, πλὴν οὐ δι' ὕδατος μόνον, ἀλλὰ καὶ Πνεύματος θείου. Καὶ τοῦτο κατ' ἀκολουθίαν εὐμήχανον· ἦχουσε γὰρ πρὸ τῆς ἐπιφορᾶς τοῦ κατακλυσμοῦ τὸν ἀνθρώπινον ὡς « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκα· » ὅθεν καὶ τοῦ Πνεύματος τότε δίκην περιστερᾶς ἀποπτάντος (οὐκ ἔφερε γὰρ τὴν τοσήνδε τῶν ἀκαθαρσιῶν δυσωδίαν) πνεῦμα καταιγίδος ἀντεπηνέχθη, καὶ ἡ ἐξ ὑδάτων πανωλεθρία καὶ οὕτω θεοστυγὲς τὸ μῦσος ἦν τῶν κατακλυσθέντων ἀνθρώπων ὡς ἀναβλαστῆναι τοῦτο καὶ τὴν φύσιν τοῦ ὕδατος. Οὐ γὰρ ἐπεφέρετο τότε Πνεῦμα Θεοῦ ἐπάνω τοῦ ὕδατος· τεκμήριον δὲ, καὶ γὰρ ἐπὶ τούτου ἐπικυμαίνοντος καὶ τῶν πτωμάτων ὡς εἰκὸς ἐπινηχομένων, ὁ μὲν κόραξ ἀποπτερυξάμενος τῆς παντοδέγμονος κιβωτοῦ τὴν ὑποστροφὴν ἀπηνήνατο, ἐφιζάνων τοῖς νεκροῖς σώμασι καὶ τοῖς θνησιμαίοις ἐπεντρυφῶν, σύμβολον ὢν τοῦ χαίροντος τοῖς ἀνθρωπίνοις πτώμασι δαίμονος καὶ αἱμοχαροῦς καὶ ἐπιγελῶντος κειμένοις ἡμῖν· ἡ γε μὴν περιστερὰ μὴ εὑροῦσα τοῖς ποσὶν αὐτῆς ἀνάπαυσιν παλίμπτερος ἀνυποστρέφει τῷ ἀποστείλαντι. Πνεῦμα γὰρ ἅγιον οὐ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίαις· ἐπίσης συμβολογραφεῖν οἶδε περιστερὰ τὸ Πνεῦμα τὸ ἅγιον. Ἦν μὲν ταῦτα τὸ τηνικάδε, καὶ τὸ ζωτικὸν ὕδωρ ὀλέθριον γέγονε τοῖς ἀνθρώποις. Τὰ νῦν δὲ δεύτερος, φασὶ, πλοῦς, καὶ πρύμναν κρουσαμένη τῆς ἡμῶν φύσεως ἡ ὑπόστασις παρὰ τοῦ συμφερόντος καὶ κυβερνῶντος τὰ καθ' ἡμᾶς ἀνάῤῥους ἧκει κατὰ τὴν ἐναντίαν τῇ προτέρᾳ καταβάσει πορεύεται, ἐξ ὕδατος εἰς τὸ Πνεῦμα ἀπὸ τοῦ Πνεύματος εἰς τὸν οὐρανὸν καὶ τὴν ἐπιθυμουμένην θέωσιν. Ἧς ἀκαίρως πρώην ἐπιδράξασθαι πειραθεῖσα τῇ ἐκτάσει τῆς δεξιᾶς ἀπώλεσε καὶ τὰ ἐν χερσὶ, καὶ Θεὸς γενέσθαι προσδοκήσας ὁ ἄνθρωπος κεκινδύνευκε μηδ' ἄνθρωπος εἶναι. Ἄνθρωπος γὰρ τὸ σύνθετον ἐκ ψυχῆς τε καὶ σώματος· τὸν δὲ τὸ τοῦ θανάτου ξίφος διχοτομεῖ, καὶ τὴν συμπλοκὴν ἀναλύει, καὶ ἡ κλῆσις συναναλύεται, καὶ γῇ ὀνομάζεται μόνον. « Γῆ γὰρ εἶ, φησὶ, καὶ εἰς γῆν ἀπελεύσῃ. » Ἐπεὶ γὰρ ἐνὶ πηδήματι κἂν ἀθρόον πρὸς οὐρανὸν ἀναβῆναι ᾤετο· τῇ ἀπάτῃ συναρπαγεὶς ὀλισθήσας κατέπεσε, καὶ ὡσεὶ πάχος παρὰ τὸν βᾶθυν. Ἐπιψαλλέτω γὰρ ὁ Δαβὶδ τῷ γενέρ-

Δ'. Ἀλλὰ φέρε καὶ πειρασόμεθα τῇ ἐξηγήσει ἐπιβαλέσθαι τῶν τοῦ Εὐαγγελίου ῥημάτων τῶν σήμερον ἀναγνωσθησομένων. Τὰ δὲ συγγραφέα τὸν θειότατον

[13] Gen. VII, 11. [14] Gen. VI, 3. [15] Gen. III, 19. [16] Psal. LIII, 6.

Μάρκον αὐχοῦσι, μικρὸν μὲν ὄντα πρώην ἐν τοῖς ἀδελφοῖς αὐτοῦ (τῆς γὰρ τῶν ἑβδομήκοντα συναυλίας ὁ ἀνὴρ), ἀλλ' ὅτι αἱ χεῖρες αὐτοῦ ἐποίησαν ὄργανον σωτηρίας, καὶ οἱ δάκτυλοι αὐτοῦ ἡρμόσαντο τὸ τῆς βασιλείας γράψαντες Εὐαγγέλιον· εἰς μέγιστον κλέος ἐπήρθη καὶ πρὸς ἰσοτιμίαν ἀνέβη τῶν κορυφαίων· εὐηγγελίσατο γὰρ δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ πάσης τῆς οἰκουμένης, καὶ εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. Καὶ ἐνίων μὲν τῶν ἐν τοῖς δώδεκα τὰ ὀνόματα τάχ' ἂν τοῖς πολλοῖς ἄγνωστα· τοῦ δὲ ὡς θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ, καὶ ἐν ὑψηλῷ τῷ κηρύγματι ὁ εὐαγγελιστὴς τῷ Εὐαγγελίῳ συμμεγαληγορεῖται καὶ συνεκφωνεῖται τρανῶς ἐπὶ τοῦ ἱεροῦ τῆς Ἐκκλησίας ὀκρίβαντος. Κἂν εἰς τὴν βαρβαρικὴν ἐκκλησίαν εἰσέλθῃς, Χριστιανικὴν δ' ὅμως, τῶν μὲν εὐαγγελικῶν ῥημάτων ἐστήξῃ ἀσύνετος διὰ τὸ ἀλλόγλωττον· ὁ Μάρκος δὲ ἀπαραποίητος εἰσδύσεταί σου τὰς ἀκοάς, καὶ ἀνάγνωσιν εὐαγγελικῶν ῥημάτων τεκμήραιο καὶ δοξάσεις τὸν Κύριον. Οὗτος τοίνυν ὁ τηλικοῦτος εὐαγγελιστής, ὁ τὴν φράσιν ἐπίτομος, τὴν δὲ γνῶσιν πλατύς, ἀρχὴν τοῦ κατ' αὐτὸν Εὐαγγελίου ποιεῖται τὴν ἐν τῷ Ἰορδάνῃ φανέρωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ. Πρότερον οὖν ἐρῶ πρὸς ὑμᾶς, ὅπερ τινὶ τῶν τοῦ Εὐαγγελίου σοφωτάτων ἐξηγητῶν χαριέντως νενόηταί τε καὶ γέγραπται. Τῆς τῶν εὐαγγελιστῶν ἕνεκα τετρακτύος ὁ ἐπὶ τῶν Χερουβὶμ, φησὶ, καθήμενος Θεὸς, ἃ τετράπρόσωπα ἡ Γραφὴ λέγει, παρέδωκεν ἡμῖν τετράμορφον τὸ Εὐαγγέλιον, ἐν ἑνὶ πνεύματι συνεχόμενον. Ὥσπερ οὖν τῶν Χερουβὶμ ἕκαστον ἓν μὲν πρόσωπον εἶχεν ὅμοιον λέοντι, ἕτερον δὲ ἀνθρώπῳ, καὶ ἕτερον ἀετῷ, καὶ ἕτερον μόσχῳ· οὕτω καὶ ἡ τοῦ εὐαγγελικοῦ κηρύγματος πραγματεία. Καὶ τὸ μὲν κατὰ Ἰωάννην Εὐαγγέλιον ἔχει λέοντος πρόσωπον, βασιλικὸν γὰρ ὁ λέων καὶ ἡγεμονικόν· ὁμοίως οὖν καὶ ὁ Ἰωάννης ἀπὸ τοῦ βασιλικοῦ καὶ δεσποτικοῦ ἀξιώματος τῆς θεότητος τοῦ Λόγου ἤρξατο, εἰπών· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ Θεὸς ἦν ὁ Λόγος· » τὸ δὲ κατὰ Ματθαῖον ἀνθρωπόμορφον· ἀπὸ γὰρ τῆς κατὰ σάρκα γεννήσεως καὶ ἐνανθρωπήσεως τοῦ Λόγου ἤρξατο. Τὸ δὲ κατὰ Μάρκον ἀετῷ παρεικαζόμενον· ἀπὸ γὰρ τῆς προφητείας ἤρξατο Ἰωάννου· ἡ δὲ προφητεία, χάρις προορατικὴ οὖσα, ὀξέως τὰ πόρρω βλέπουσα ἀετός ἐστι· ὀξυδερκέστατος γὰρ ὁ ἀετός. Μόσχῳ δὲ ὅμοιον τὸ κατὰ Λουκᾶν, διότι ἀπὸ τῆς ἀρχιερατικῆς ἀξίας τοῦ Ζαχαρίου ἤρξατο ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ θυμιῶντος· καὶ μόσχος δὲ ἦν ὁ θυόμενος, τότε. Καὶ ταῦτα μὲν οὕτω κατ' ἀστείαν τινὰ τὴν ἐπιβολὴν ὑφολογεῖται. Τῶν τριῶν τοίνυν παρεισθέντων προσώπων ὁ ἀετὸς ἄρτι παῤῥησιαζέσθω, τὸ κατ' αὐτὸν λύσας πτερὸν, καὶ ἐφιπτάσθω ἡμῖν τοῖς νεοσσοῖς αὐτοῦ· διὰ γὰρ τοῦ Εὐαγγελίου τοῖς ἀποστόλοις ἡμεῖς γεγεννήμεθα. Καὶ διεὶς τὰς πτέρυγας αὐτοῦ ἐπισκιαζέτω διὰ τοῦ ἐν αὐτῷ Πνεύματος· καὶ ὀξυδερκείας μεταδιδότω εἰς τὸ κατοπτεῦσαι τὰ ἐν τῷ βάθει τῶν θείων λόγων ἐγκεκρυμμένα νοήματα. Ἐπαινῶ μὲν τὸν ἀετὸν τὸ κατὰ Μάρκον παρεικάσαντα Εὐαγ-

A vum prius inter fratres Christi (ex septuaginta enim discipulis erat), sed ejus manus salutis instrumentum confecere et digiti ejus ordinavere scribentes Evangelium regni. Ad maximam gloriam elatus est et usque ad coryphæorum honorem ascendit. Evangelizavit enim justitiam in magna totius orbis Ecclesia et in omnem terram exivit sonus ejus. Et quorumdam quidem ex duodecim nomina multis forte sunt ignota; hujus autem mirabile est nomen in universa terra, et excelso præconio evangelista una cum Evangelio clare magnificatur et proclamatur in sacro Ecclesiæ suggestu. Et si in barbarorum ecclesiam intres, Christianam tamen, fieri potest ut evangelicas voces non intelligas propter linguæ diversitatem; Marcus autem non adulteratus tuas
B aures penetrabit, et evangelicorum verborum lectionem meditaberis et laudabis Dominum. Hic igitur tantus evangelista dictione brevis, scientia autem latus, initium sui Evangelii facit Filii Dei in Jordane manifestationem. Prius igitur vobis dicam quod ab uno ex sapientissimis Evangelii interpretibus excogitatum et scriptum est de quatuor evangelistarum numero: Qui super cherubim, inquit, sedet Deus, quibus quatuor vultus Scriptura tribuit, tradidit nobis quadruplici facie Evangelium, in uno spiritu comprehensum. Quemadmodum enim cherubim unumquodque unam quidem faciem habebat leoni similem, aliam vero homini, et tertiam aquilæ, et quartam vitulo; ita et evangelici præconii actio.
C Et quidem Evangelium secundum Joannem habet leonis faciem; animal enim regium est et imperatorium leo; similiter igitur et Joannes a regia et Dominica divinitatis dignitate sermonem cepit, dicens: « In principio erat Verbum, et Deus erat Verbum [14]. » Evangelium autem secundum Matthæum faciem hominis habet: a nativitate enim secundum carnem et Verbi incarnatione narrationem incipit. Evangelium vero secundum Marcum aquilæ comparatur; a Joannis enim prophetia incepit; prophetia porro, cum res prævideat, rapide ea quæ longe sunt prospiciens, aquila est; acutissime enim videt aquila. Vitulo simile est Evangelium secundum Lucam, eo quod incipiat a sacerdotali Zachariæ dignitate pro peccatis populi sacrificium offerentis;
D et tunc temporis vitulus immolabatur. Et hæc quidem eleganti conceptu celebrat. Tribus igitur aliis vultibus omissis, aquila jam eloquatur alas solvens et nobis suis pullis supervolitet, per Evangelium enim ab apostolis geniti sumus; et alas suas extendens nos obumbret per Spiritum qui in ipsa est; et participes nos faciat sui acuminis ut possimus intueri ea quæ in divinorum sermonum profunditate abscondita sunt. Laudo quidem eam Evangelii secundum Marcum cum aquila comparationem. Accurata enim est comparatio non modo propter Joannis prophetiam, sed quia sermonis facies statim Jordanem aspicit, ubi sol justitiæ recens oritur.

[14] Joan. I, 1.

Aquila autem sola ex omnibus animalibus potest intentis oculis et absque dolore solis radios intueri. Ostendit evangelica aquila et in flumine Jordane celebratum divinum mysterium. Quemadmodum enim humana facies Evangelii secundum Matthæum festivitatis mysterium designavit, ita et Evangelii secundum Marcum aquila mysterium revelat divini baptismatis quo renovatur, ut aquilæ, veteris Adami juventus, abluta hodie in Jordane et eam quæ ex transgressione prodierat, corruptionem excutiens. Et aliunde aquila sola inter volucres ex aquis generationem habuit Creatoris mandato; et hoc secundum Marcum Evangelium a divino baptismate incipit, et in altum conscendens in cœlo requiescit, Dominicæ assumptionis modum edocens, volatumque concludens per Salvatoris Christi ad Deum et Patrem ascensionem. Ac nisi longior videri deberem, in medium quoque afferrem aetitem lapidem mire aquilæ huic in pullos utilem. Petrus autem hanc faciem aquilæ præbens Evangelium plurimum juvit dictando, bene ad volandum movens historiam ad hunc salutarem conatum. Sed hæc ambitiosius dicta sunt, cum erectus mihi sermo sit ad magnam hanc aquilam. Hujus igitur initium est evolvendum abundantius. Initium corporis cujuslibet omnino est caput. Caput autem evangelicæ hujus narrationis est Christus, etsi caput in modum servi ante Baptistam inclinet.

A γέλιον· εὐστοχος γὰρ ἡ παρεικασία οὐ μόνον διὰ τὴν προφητείαν Ἰωάννου, ἀλλ' ὅτι καὶ τὸ πρόσωπον εὐθὺς τοῦ λόγου κατευθὺ τοῦ Ἰορδάνου ὁρᾷ, ὅπου ὁ τῆς δικαιοσύνης ἥλιος ἄρτι ἀνίσχει· ἀετοῦ δὲ μόνον τῶν ἁπάντων ζώων τὸ ἐπεντρανίζειν ἀσκαρδαμυκτὶ καὶ δίχα καταμύσεως τοῖς ἡλιακοῖς ἀκτινοβολήμασι. Δηλοῖ δὲ ὁ εὐαγγελικὸς ἀετὸς καὶ τὸ ἐν Ἰορδάνῃ τῷ ποταμῷ ἱερουργούμενον θεῖον μυστήριον. Ὡς γὰρ τὸ ἀνθρωπόμορφον τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου τὸ τῆς ἑορτῆς μυστήριον ὑπεσήμαινε, τοῦ Θεοῦ λέγω τὴν ἐνανθρώπησιν· οὕτω καὶ ὁ κατὰ Μάρκον ἀετὸς τὴν τελετὴν ὑπεμφαίνει τοῦ θείου βαπτίσματος, δι' οὗ ἀνακαινίζεται ὡς ἀετοῦ ἡ νεότης τοῦ παλαιοῦ Ἀδάμ, λουομένη σήμερον ἐν τῷ Ἰορδάνῃ, καὶ τὴν ἐκ παραβάσεως ἀποσειομένη φθοράν. Καὶ ἄλλως δὲ B ὁ ἀετὸς οἷα δὴ πτηνὸν ἐξ ὑδάτων ἔσχε τὴν γένεσιν κελεύσματι δημιουργικῷ· καὶ τὸ κατὰ Μάρκον τουτὶ Εὐαγγέλιον ἐκ τοῦ θείου βαπτίσματος ἄρχεται, καὶ προϊὸν εἰς τὸ ὕψος καταλήγει τοῦ οὐρανοῦ, τῆς δεσποτικῆς ἀναλήψεως ἐκδιδάσκον τὸν τρόπον, καὶ συμπεραῖνον τὴν πτῆσιν τῇ πρὸς τὸν Θεὸν καὶ Πατέρα ἀναβάσει τοῦ Σωτῆρος Χριστοῦ. Εἰ δὲ μὴ περιεργότερος ἔμελλον δόξαι πλέον τοῦ δέοντος, καὶ τὸν ἀετίτην λίθον εἰς μέσον ἂν παρήγαγον ἐπιεικῶς τῇ πτηνῷ τούτῳ πρὸς τοὺς τόκους συμφέροντα. Πέτρος δὲ τῷ ἀετομόρφῳ τούτῳ Εὐαγγελίῳ τὸ πλεῖστον συνεβάλετο, ὑπαγορευτὴς αὐτοῦ γεγονώς, εὖ ἀναπρώσας τὸν συγγραφέα πρὸς τὴν σωτηριώδη ταύτην ἐγχείρησιν. Ἀλλὰ ταῦτα μὲν φιλοτιμότερον ξείρηται συμμετωρισθέντος μοι τοῦ λόγου τῷ μεγάλῳ τούτῳ ἀετῷ. Τὴν ἀρχὴν τοίνυν τούτου περιεργαστέον ἐξηγητικώτερον. Ἀρχὴ δὲ σώματος πάντη πάντως ἡ κεφαλή. Κεφαλὴ δὲ τῆς εὐαγγελικῆς ταυτησὶ πραγματείας Χριστός, κἂν τὴν κεφαλὴν δουλικῶς ὑποκλίνῃ τῷ Βαπτιστῇ.

V. « Initium Evangelii Jesu Christi, Filii Dei, ut C scriptum est in prophetis: Ecce ego mitto angelum meum ante faciem tuam qui præparabit viam tuam ante te. Vox clamantis in deserto: Parate viam Domini [47], » et reliqua. Granum frumenti in terræ sinu absconditum et solutum principium fit abundantis messis et spicam profert multis pro uno granis refertam. Veteri lege nimium arcta jam cessante et soluta (omnes enim prophetæ et lex usque ad Joannem prophetaverunt), initium quoddam alterum et altera germinatio inde apparet, vita secundum Christum et Evangelium regni. Quemadmodum igitur in terram injectum frumentum finis quidem est spicarum unde ortum est, initium autem fit aliarum quæ inde nasci debent spicarum; sic et tibi baptisma et Præcursor venit ut sit quidem D finis legis et prophetarum sigillum concludens, principium autem et radix Novi Testamenti et gratiæ plenitudinis. Et postquam principium illud et semen corruptum est, ille qui semen Abrahæ suscepit Dominus, spicam emisit vitæ, evangelicum dico præconium, unde conficitur purus angelorum panis, panis quidem, sed immaterialis, per eum qui in ignis figura sponte descendit, sanctissimum Spiritum; panem angelorum dico, angelicam vitam

Ε'. « Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, Υἱοῦ τοῦ Θεοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, » καὶ τὰ ἑξῆς. Ὁ κόκκος τοῦ σίτου, ἐγκαταχρυβεὶς ταῖς λαγόσι τῆς γῆς καὶ λυόμενος, ἀρχὴ γίνεται πολυφόρου σιτοδοσίας, καὶ στάχυν προφέρει πολλοῖς ἀνθ' ἑνὸς βρίθοντα κόκκοις. Τοῦ τοίνυν παλαιοῦ νόμου καὶ λίαν ἐστενωμένου ἤδη λήγοντος καὶ λυομένου (πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν) ἀρχή τις ἑτέρα καὶ βλάστη ἐκεῖθεν προφαίνεται ἡ κατὰ Χριστὸν πολιτεία καὶ τὸ Εὐαγγέλιον τῆς βασιλείας. Ὥσπερ τοίνυν ὁ καταβαλλόμενος ἐν τῇ γῇ σῖτος τέλος μὲν τῶν σταχύων ὅθεν ἐξέφυ, ἀρχὴ δὲ γίνεται αὖθις τῶν ἐξ αὐτοῦ ἀναφυησομένων ἀσταχύων ἑτέρων· οὕτω σοι συνῆλθε κἀπὶ τοῦ βαπτίσματος καὶ Προδρόμου, ὡς εἶναι αὐτὸν πέρας μὲν τοῦ νόμου καὶ τῶν προφητῶν ἐπισφράγισμα, ἀρχὴν δὲ καὶ ῥίζαν τῆς Νέας Διαθήκης καὶ τοῦ τῆς χάριτος πληρώματος· καὶ ταύτης τῆς ἀρχῆς καὶ τοῦ σπέρματος τούτου φθινόντων ὁ τοῦ σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος Κύριος, τὸν στάχυν ἐξήνθησε τῆς ζωῆς, τὸ εὐαγγελικὸν φημι κήρυγμα. Ὅθεν ἀστοποιεῖται ὁ καθαρὸς τῶν ἀγγέλων

[47] Marc. I, 1.

ἄρτος, καὶ ἄρτος καὶ ἄῦλος; διὰ τοῦ ἐν εἴδει πυρὸς αὐτεξουσίως κατελήλυθότος Πνεύματος παναγίου· ἄρτον δὲ ἀγγέλων φημὶ τὸν ἀγγελικὸν βίον καὶ τὴν φιλάρετον διαγωγήν, ἣν καὶ ὁ Θεὸς πεινᾷ, καὶ τοῖς μὴ παρέχουσιν ἐπεμβριμώμενος. « Ἐπείνασα, » λέγει, « καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. » Πεινᾷ γὰρ πάντοτε τὴν σωτηρίαν ἡμῶν. Ἡ δὲ σωτηρία βίος ἐστὶ καθαρὸς καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη. Ὅπερ οὖν ἔλεγον, σπόρου τύπον ἐπεῖχε τὸ τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ κήρυγμα καὶ τὸ βάπτισμα. Καὶ αὐτοῦ λυθέντος καὶ ὑποῤῥεύσαντος, ἐξήνθησεν ὁ τῆς χάριτος ἄσταχυς. Καὶ τοίνυν τὴν ἑαυτοῦ μὲν μείωσιν ὁ Βαπτιστὴς συνορῶν, προκοπὴν δὲ καὶ αὔξησιν τοῦ τῆς χάριτος στάχυος, ἐδόα παῤῥησίᾳ πρὸς τοὺς συνιόντας, « Ἐμὲ δεῖ ἐλαττοῦσθαι, ἐκεῖνον δὲ αὐξάνειν, » περὶ τοῦ Χριστοῦ λέγων, οὐκ ἀλγυνόμενος ἐπὶ τούτου, ἀλλ' ἀγαλλιώμενος· ἦ τε γὰρ φθίσις τούτου καὶ ἡ τοῦ Εὐαγγελίου φύσις εἵτουν βλάστησις εἰς ἓν συνέβαινον καὶ συνέτρεχον, τὸ συνθεῖναι τὸν ἄνθρωπον. Καὶ ἄλλως δὲ τὸ τοῦ νόμου ἐστενωμένον κόκκου λόγον ἐπεῖχε διὰ τὸ τοῦ ἔθνους τοῦ ὑπὸ τὸν νόμον μονοειδές· γνωστὸς γὰρ ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, καὶ οὐ περαιτέρω· ἡ δὲ χάρις τὴν τῶν ἐθνῶν συνήγαγε πανσπερμίαν καὶ εἰς ἑκατὸν καὶ εἰς ἑξήκοντα καὶ εἰς τριάκοντα ἐμφορία [εὐφορία] τῶν ἀγαθῶν αὐτῆς πράξεων ἐπληθύνθη. Οὕτως ἀρχὴ τοῦ Εὐαγγελίου Χριστοῦ ἡ τοῦ Ἰωάννου πρὸς τοὺς ἀνθρώπους φανέρωσις. Διὸ καί φησι, « Ὅς γέγραπται ἐν τοῖς προφήταις· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. » Ὢ; ἐκ τοῦ Πατρός ἐστιν ὁ λόγος πρὸς τὸν ἐξ αὐτοῦ Μονογενῆ λελεγμένος, καὶ ἄγγελον ὀνομάζων τὸν ἀγγελόβιον Ἰωάννην, ἵνα μὴ μόνον τῆς ἐκ Παρθένου γεννήσεως ἄγγελος προτρέχῃ ὁ Γαβριὴλ, ἀλλὰ καὶ τῆς ἐν Ἰορδάνῃ ἀναγεννήσεως, ἣν ὑπὲρ ἐμοῦ ἀνεγεννήθη (ἐμὴ γὰρ ἡ τοῦ Χριστοῦ ἀναγέννησις), ἄγγελος ὁ Ἰωάννης προεισάγηται. Ἀλλὰ τότε μὲν ἄῦλος καὶ ἀόρατος διὰ τὸ ἔτι κεκρύφθαι τὴν τῆς σαρκώσεως οἰκονομίαν, καὶ πλὴν τῆς Παρθένου ἄγνωστον εἶναι πᾶσι τοῦ μυστηρίου τὴν δύναμιν· τὰ νῦν δὲ ὁ ἔνσαρκος ἄγγελος τῆς τοῦ Δεσπότου παρουσίας προτρέχει, χάριτος μὲν ἀγγελικῆς ἔμπλεως, φωνὴν δὲ ἀφιεὶς γέμουσαν παῤῥησίας. Βροντὴν ἄλλην φαίη τις ἂν τοὺς κεντροφόρους σκορπίους καταπτήσσουσαν, καὶ ἰοβόλους ὄφεις φυβοῦσαν, καὶ μόνον οὐχὶ δύνειν ὑπὸ γῆν εὐχομένους τῷ φόβῳ. Τί γὰρ ἕτερον βούλεται τὸ γεννήματα ἐχιδνῶν τούτους ὀνομαζομένους σιγᾷν καὶ ἀνέχεσθαι τῶν αὐστηρῶν τουτωνὶ ῥημάτων, καὶ ἐνεοὺς ἑστηκέναι ὡς ἐμβροντήτους; Ἔνσαρκος οὖν ἄγγελος, μᾶλλον δὲ ἀγγελόβιος ἄνθρωπος τῆς θεοφανείας προτρέχει Χριστοῦ, ἀλλ' οὐχὶ ἄῦλος καὶ ἀσώματος πολλῶν ἕνεκεν τρόπων. Ἔδει γὰρ ἀντιμέτωπον ἱστάμενον τοῖς Ἰουδαίοις λέγειν τε καὶ ἀκούειν καὶ οἷον δακτυλοδεικτοῦντα ὑποδεικνύειν τοῖς ἀγνοοῦσι τὸν φανέντα Χριστόν. Εἰ δὲ φύσει ἄγγελος ἦν ὁ τὰ τοιαῦτα τελέσων, ἔπαθον ἂν καὶ τότε τὸ τοῦ Μανωὲ οἱ ὁρῶντες, « Ἀπολώλαμεν, » λέγοντες, « Θεὸν ἑωρά-

et virtutis amicam conversationem, quam et Deus esurit, et non eam præstantes valde increpat : « Esurivi, inquit, et non dedistis mihi manducare [18]. » Esurit enim omnino nostram salutem ; salus autem vita pura est et in proximum dilectio. Quemadmodum igitur dixi, seminantis typum præbuit Joannis Baptistæ præconium et baptisma. Quo soluto et subterlapso, efloruit gratiæ spica. Et propriam quidem diminutionem conspiciens Baptista, progressum autem et incrementum gratiæ illius spicæ, sincere ad eos qui se adibant clamabat : « Me oportet minui, illum autem crescere [19], » de Christo dicens, non de hoc contristatus, sed lætatus. Hujus enim corruptio et Evangelii seminatio et germinatio in unum coibant et concurrebant, hominis nempe concinnationem. Et aliunde legis coarctatio granum unum emittebat propter unitatem gentis quæ sub lege erat : « Notus enim in Judæa Deus [20], » neque ultra. Gratia vero gentium omnimodum semen congregavit et in centum et in sexaginta et in triginta bonorum ejus actuum productio multiplicata est. Ita initium Evangelii Christi est Joannis ad homines revelatio. Ideo et inquit : « Ut scriptum est in prophetis : Ecce ego mitto angelum meum ante faciem tuam qui præparabit viam tuam ante te. » Ut ex Patre venit vox ad Unigenitum directa, angelum nominans hunc qui vitam angelorum ducit Joannem, ne solummodo nativitati ex Virgine præcurrat Gabriel, sed hujus in Jordane regenerationis, qua pro me regeneratus est (mea enim est Christi regeneratio), angelus Joannes adduceretur. Sed tunc quidem immaterialis et invisibilis, quia adhuc abscondebatur incarnationis œconomia, ac nemini nisi Virgini nota erat hujus vis mysterii. Nunc autem indutus carne angelus Domini præsentiæ præcurrit, gratia angelica plenus, vocem autem sinceritate plenam emittens. Diceres tonitru scorpiones stimulum gerentes stupore percellens venenatosque serpentes terrore implens tanto ut fere sub terram descendere cupiant. Quid enim sibi vult illud, quod genimina viperarum nominati silent et austera hæc verba retinent, et stupefacti stant, quasi fulmine percussi ? Indutus igitur carne angelus, imo vero vitam angelorum ducens homo Christi Dei manifestationi præcurrit, sed non immaterialis et incorporeus, multas ob rationes. Oportebat enim coram Judæis stantem dicere et audire et tanquam digito eis indicare ac ostendere Christum manifestatum quem ignorabant. Si enim natura fuisset angelus, qui eum vidissent, id passi essent quod Manue, dicentes : « Perimus, Deum vidimus [21], » formam hanc insuetam non ferentes. Sed et quia ad baptismatis ministerium necesse erat ut ille assumeretur, necesse erat ut manibus Dominum tractaret, humilitatisque exemplar eo ipso baptismate præberetur, Domini capite inclinato, tacto et ad aquas descen-

[18] Matth. xxv, 42. [19] Joan. III, 30. [20] Psal. LXXV, 2. [21] Judic. XIII, 21.

dente. Arrogantium enim et ostentatorum Hebræorum erat illud : « Noli me tangere [11], » quod et iis Isaias [12] exprobrat dicens : « Væ iis qui dicunt : Longe a me, noli me tangere, mundus enim sum. » Omnium autem rationum solidissima hæc est : Cum deberet revelatus Deus vitam in terris degere angelos plane decentem et edocere jejunium, indesinentes preces, humi cubationem, extremam paupertatem, sinceritatem in veritate adversus potentes usque ad mortem propugnanda, peccato resistentiam, hæc autem impossibilia viderentur et impraticabilia audientibus : hanc enim viventem et divine descriptam vitæ imaginem introduxit Christus ex omnibus qui modo dicta sunt coloribus conflatam ac juxta accuratam formam depictam; quam ut imitarentur, eos qui vellent incitavit. Licet enim, dummodo velint. Una enim est natura apud omnes, et omnium horum capax est, si ei vis adhibeatur. Propter hæc omnia per hominem, non autem per angelum facta est Christi adventus manifestatio. Inhærendum igitur nostro proposito.

A κμεν, » τὸ τῆς μορφῆς μὴ φέροντες ἐξαλλον. Ἀλλ' ὅτι καὶ πρὸς λειτουργίαν τοῦ βαπτίσματος ἔδει τοῦτον παραληφθῆναι, ἔδει χειραπτηθῆναι παρ' αὐτοῦ τὸν Δεσπότην, ἔδει τοῦ τῆς ταπεινώσεως τύπου ἐξ αὐτοῦ τοῦ βαπτίσματος ὑποδειχθέντος διὰ τῆς ὑποκλίσεως τῆς Δεσποτικῆς κεφαλῆς ἁπτομένην καὶ καταβιβάζουσαν ἐπὶ τὰ ὕδατα. Τῶν γὰρ οἰημάτων τούτων καὶ ἀλαζόνων Ἑβραίων ἦν τὸ, « Μή μου ἅπτου · » ὃ καὶ ὁ Ἡσαΐας τούτων κατηγορεῖ λέγων · « Οὐαὶ οἱ λέγοντες, Πόρρω ἀπ' ἐμοῦ, μή μου ἅπτου, καθαρὸς γάρ εἰμι. » Τὸ δὲ κεφαλαιωδέστερον τῶν ἄλλων αἴτιον τοῦτό ἐστιν · Ἔπρεπε μελλενὸ ἐπιφανεὶς Θεὸς πολιτείαν ἐπὶ γῆς εἰσάγειν ἀγγέλοις πρέπουσαν ἀντικρυς καὶ διδάσκειν νηστείαν, ἀδιάλειπτον προσευχὴν, χαμευνίαν, ἰσχάτην ἀκτημοσύνην, παῤῥησίαν ὑπὲρ τῆς B ἀληθείας πρὸς τοὺς ἐν ὑπεροχῇ μέχρι θανάτου, πρὸς τὴν ἁμαρτίαν ἀντικατάστασιν, ταῦτα δὲ ἀδύνατα τοῖς ἀκούουσιν ἐδόκει καὶ ἀκατόρθωτα · τὴν ζῶσαν ταύτην εἰκόνα καὶ θεόγραφον ὁ Χριστὸς εἰσήγαγεν ἐν τῷ βίῳ, ἐκ πάντων τῶν ἀνωτέρω εἰρημένων συγκειμένην χρωμάτων, καὶ πρὸς ἀκριβῆ τὴν μόρφωσιν ἐζωγραφημένην, καὶ μεταγράφειν ἐκεῖθεν τοὺς βουλομένους; ἀνῆκεν · ἔξεστι γὰρ, ἐὰν μόνον βουληθῶσι. Μία γὰρ ἡ φύσις ἐν πᾶσι καὶ πάντων τούτων χωρητική, ἐὰν βιάζηται. Διὰ ταῦτα πάντα δι' ἀνθρώπου, καὶ οὐ δι' ἀγγέλου, ἡ φανέρωσις τῆς παρουσίας ἐγένετο τοῦ Χριστοῦ. Ἀνθεκτέον οὖν πάλιν τοῦ προκειμένου.

VI. « Ecce ego mitto angelum meum ante faciem tuam qui præparabit viam tuam ante te. » Ita major omnibus prophetis est Joannes, et tanto, quanto major est homine angelus. Maximus igitur inter prophetas et Ezechiel; atque hujus viri magnificentia exhibetur ei qui ejus librum tractat, oculisque mentis terribiles illas visiones intuetur. Hoc quidem ministro et propheta usus Dominus Sabaoth ut Judæis suam voluntatem intimet : « Fili hominis, inquit, mittam ego te ad domum Israel exacerbantis me [13]. » Joannem autem non ita advocat. Sed quomodo? « Ecce mitto angelum meum » Deinde quid? Angelus quidem nominatur : num autem eorum est qui longe sunt a Domini facie (etenim propter divinam qua gaudent familiaritatem longe distantium cohors, ut aiunt, magis proprium angelorum nomen sortita est)? Minime. Illud enim : « ante faciem tuam, » significat, prope faciem tuam; « qui præparabit viam tuam ante te : » hominum animas disponet ad tuam cognitionem, scandalorum lapides longe disjiciet, verretque eas pœnitentiæ prædicatione, abluet introductorio baptismate; et si pali quidem emergant e terra, et infructuosæ arbores inutiliter solum occupent, prope est securis, et tam prope ut jam ad radicem mittatur. Et propter hæc omnia faciles vias faciet ante præsentiam tuam.

Γ'. « Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. » Οὕτως μείζων πάντων τῶν προφητῶν ὁ Ἰωάννης, καὶ τοσοῦτο μείζων, ὅσον ἄγγελος ἀνθρώπου. Μέγιστος μὲν οὖν ἐν προφήταις καὶ Ἰεζεκιήλ· καὶ μάθοι ἄν τις τὸ τοῦ ἀνδρὸς μεγαλεῖον ἐν τῇ κατ' αὐτὸν παρακύψας βίβλῳ, καὶ νοὸς ὄμμασι τὰς φρικώδεις ἐκείνας ὁράσεις ἰδών. Τούτῳ δὴ ὁ βασιλεὺς Σαβαὼθ ὑπηρέτῃ καὶ λειτουργῷ χρώμενος εἰς τὸ γνωρίσαι τοῖς Ἰουδαίοις τὸ ἑαυτοῦ βούλημα, « Υἱὲ ἀνθρώπου, φησὶν, ἐξαποστελῶ ἐγώ σε πρὸς τὸν οἶκον Ἰσραὴλ τοῦ παραπικραίνοντος. » Τὸν Ἰωάννην δὲ οὐχ οὕτω καλεῖ. Ἀλλὰ πῶς; « Ἰδοὺ, ἀποστέλλω τὸν ἄγγελόν μου. » Εἶτα τί; Ἄγγελος μὲν ὀνομάζεται · ἔστι δὲ ἆρα τῶν ἀφισταμένων πορρωτέρω τοῦ δεσποτικοῦ προσώπου (καὶ γὰρ κατεγγὺς θείας οἰκειώσεως διισταμένων, οἷόν φασι τὸ τάγμα τὸ ἰδικώτερον τὴν ἀγγελωνυμίαν λαχών); Οὔμενουν. Τὸ γὰρ, « πρὸ προσώπου σου, » τοῦτο δηλοῖ, τὸ ἐγγὺς τοῦ προσώπου σου· « ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου, » προετοιμάσει τὰς τῶν ἀνθρώπων ψυχὰς εἰς τὴν σὴν ἐπίγνωσιν· τοὺς τῶν προσκομμάτων λίθους διαῤῥίψει μακράν· σαρώσει ταύτας τῷ τῆς μετανοίας κηρύγματι, ἐκπλυνεῖ τῷ εἰσαγωγικῷ βαπτίσματι· κἂν σκόλοπές τινες τῆς γῆς ἀνακύπτωσι καὶ ἄκαρπα δένδρα καταργῶσι τὸν τόπον, ἡ ἀξίνη ἐγγὺς, καὶ τοσοῦτον, ὡς καὶ τῆς ῥίζης ἅπτεσθαι ἤδη· καὶ διὰ τούτων πάντων λείας τὰς ὁδοὺς ποιήσει τῆς παρουσίας σου.

« Vox clamantis in deserto : Parate viam Domini. » Angelus et vocis repressio Joannis prænuntiavit conceptionem. Natus deinde qui conceptus

Z'. « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. » Ἄγγελος καὶ φωνῆς ἐποχὴ τὴν Ἰωάννου προεδήλωσε σύλληψιν. Εἶτα γεννηθεὶς ὁ

[11] Joan. xx, 17. [12] Imo Thren. iv, 15. [13] Ezech. ii, 3.

συνειλημμένος καὶ μικρὸν φανεὶς ἀπεκρύβη, καὶ ἐπ' ὅλην τριακονταετίαν πατρώζων ἦν τὰ εἰς ἀφωνίαν, οὐ κωλυομένης τῆς φύσεως ἐκ πάθους τινός, ἀλλ' ὡς μὴ ὄντος τοῦ ἀκροωμένου ἀνθρώπου· ὃ δὲ ὁμιλεῖ, τῷ Θεῷ ὁμιλεῖ, ὃς καὶ σιωπώντων ἀκούει. Οὗτος τοίνυν ἄγγελος καὶ φωνὴ ἐν παρουσίᾳ τοῦ Χριστοῦ ἀναφαίνεται· ἄγγελος, διὰ τὸν Κύριον Σαβαὼθ ἐλθόντα πληρῶσαι τὴν γῆν ὡς καὶ τὸν οὐρανὸν τῆς ἑαυτοῦ δόξης· φωνή, διὰ τὸν Λόγον τοῦ Θεοῦ τὸν πρὸς τὸν Θεὸν ὄντα καὶ Θεόν. Τοῦτο δὲ παραδραμεῖν ὑμᾶς οὐ βούλομαι ὅτι δύο προφητείας ὁ Εὐαγγελιστὴς, ὡς μίαν, παρέθηκε. Τοῦτο δέ ἐστι κατ' ἐξαίρετον συντομίας τοῦ Μάρκου. Τὸ μὲν γὰρ, « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου, » τῆς Μαλαχίου ἐστὶ προφητείας, ὃς ἑρμηνεύεται ἄγγελος· τὸ δὲ, « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, » τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου προσφορήτατα εἰρημένον· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. » Ἔρημος δ' ἂν εἴη καὶ ἡ τῆς Ἰουδαίας ἅπασα χώρα καὶ ἡ τῶν πόλεων ταύτης μητρόπολις Ἱερουσαλὴμ καὶ κατὰ τὸ ἐνεστὼς καὶ τὸ μέλλον· κατὰ τὸ ἐνεστὼς μὲν, ὅτι καρπὸς δικαιοσύνης οὐκ ἦν ἐν αὐτοῖς, γῆ δὲ ἦσαν ἄβατος καὶ ἄνυδρος. Ταύτῃ τοι καὶ ὁ Ἰωάννης τὴν ἀκαρπίαν αὐτῶν διορθούμενος ἔλεγε· « Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας. » Αἱ δὲ ψυχαὶ αὐτῶν ἐρημικαὶ ἄβατοί τε τῇ θεογνωσίᾳ καὶ ἄνυδροι ἀπὸ τῶν προφητικῶν νεφελῶν· ἐντέταλται γὰρ αὐταῖς παρὰ Θεοῦ τὸ μὴ βρέχειν ἐπ' αὐτούς. Καὶ παντελῶς τὸ τῆς προφητείας ἤργησε χάρισμα. Δαβὶδ δὲ, ᾧ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ ὁ Θεὸς ἀπεκάλυψε, τὴν ἐναλλαγὴν τῶν πραγμάτων ἐπὶ τὸ κρεῖττον (ὃ καὶ σεισμὸς παρὰ τῇ Γραφῇ ὀνομάζεται) καὶ τὴν τῆς ἀβάτου ταύτης ἐρήμου ἐξημέρωσιν καὶ διόρθωσιν προεξυμνῶν ἔψαλλεν· « Ὁ Θεὸς, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ γῇ ἐσείσθη. Καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ. Βροχὴν ἐκούσιον ἀφορίσεις, ὁ Θεὸς, τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησε· σὺ δὲ κατηρτίσω αὐτήν. » Ἐκδηλότατα οὖν τὴν τοῦ Υἱοῦ παρουσίαν καὶ τὴν τοῦ νόμου πρὸς τὴν χάριν μετάθεσιν ἡ προφητεία δηλοῖ, κατ' εὐδοκίαν τοῦ Θεοῦ τοῦ ἐν τῷ Σινᾶ τελεσιουργηθεῖσαν. Θεὸν δὲ τοῦ Σινᾶ τὸν Πατέρα ἐκάλεσε διὰ τὴν ἐκεῖσε νομοδοσίαν. Τὴν γε μὴν δεδωρημένην παρὰ τοῦ Υἱοῦ δαψίλειαν τῶν θείων δωρεῶν καὶ τὸ τῆς χάριτος Εὐαγγέλιον, βροχὴν ἐκούσιον, ἀφωρισμένην τῇ κληρονομίᾳ αὐτοῦ τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ, ὁ Δαβὶδ, ὡς ἐγὼ οἶμαι, κατονομάζει· ἡ γὰρ παλαιὰ νομοθεσία οὐ καθ' ἐκούσιον οὐδὲ κατὰ προηγουμένην εὐδοκίαν ἐκτέθειται, ἀλλὰ κατὰ συγκατάβασιν, ὥσπερ ἂν εἰ καὶ πατὴρ προσπαίζει τοῖς τέκνοις, ἀνθέλκων αὐτὰ τῶν βλαβερῶν ἀθυρμάτων καὶ τῆς μετὰ τῶν ἐξωλεστάτων συνδιατριβῆς. Τί γὰρ ἔδει τῷ Θεῷ τῆς πολλῆς κρεωμαγειρίας καὶ τῆς ἐντεῦθεν κνίσσης; ἧς τὸ ἀηδὲς καὶ τὸ δυσπρόσιτον καὶ ἄνθρωποι ἀποστέργουσιν. Ὅτι δὲ ἀκούσιος, αὐτὸς ὁ πρὸς τοῦτο συγκαταβὰς ὕστερον τὸ οἰκεῖον ἀνεκάλυψε βούλημα, « Τίς ἐξεζήτησε ταῦτα, » λέγων, « ἐκ τῶν

A fuerat et paululum visus se abscondit et ad usque triginta annos patris silentium imitatus est; non quod impediebatur quodam morbo naturæ, sed quod non erant homines qui audirent. Cum Deo autem conversabatur, qui et tacentes audit. Ille igitur angelus et illa vox in Christi præsentia revelatur. Angelus, quia Dominus Sabaoth venerat implere terram et cœlum sua gloria; vox, propter vocem Dei ad eum qui erat Deus et homo. Hoc autem vos præterire nolo, duas prophetias ut unam tradidisse prophetam; quod ex solita Marci brevitate procedit. Illud enim : « Ecce ego mitto angelum meum ante faciem tuam, » e Malachiæ prophetia sumitur, qui angelus interpretatur. Id autem : « Vox clamantis in deserto, » convenientissime ab B eloquentissimo Isaia dictum est : « Vox clamantis in deserto, Parate viam Domini. » Desertum fuerit omnis Judææ regio et ejus urbium metropolis Jerusalem et in præsenti et in futuro. Præsenti quidem tempore, quia justitiæ fructus apud eos non erat. Terra enim erant invia et inaquosa [33]. Ideo et Joannes sterilitatem eorum corrigens dicebat : « Facite fructus dignos pœnitentiæ [34]. » Animæ autem eorum desertæ et Dei cognitioni inviæ et nubibus propheticis inaquosæ. Mandavit enim illis Deus ne pluerent super eos. Atque omnino prophetiæ gratia cessavit. David cui obscura et abscondita sapientiæ suæ revelavit Deus, conversionem in melius (terræmotus enim in Scriptura nominatur) C et hujus invii deserti fecunditatem et correctionem prophetans cecinit : « Cum Deus pertransiret in deserto, terra mota est. Etenim cœli distillaverunt a facie Dei Sinai. Pluviam voluntariam segregabis. Deus, hæreditati tuæ, et infirmata est; tu vero perfecisti eam [35]. » Manifestissime igitur Filii præsentiam et legis ad gratiam transitum prophetia ostendit, secundum Dei Sinai benevolentiam perfectum. Deum autem Sinai Patrem appellavit propter legem in hoc monte datam; donatam autem a Filio abundantiam divinorum munerum et gratiæ Evangelium, pluviam voluntariam, segregatam ejus hæreditati, gentium ecclesiæ, David, ut opinor, nominavit. Vetus enim lex non secundum voluntatem, neque secundum præcipuam benevolentiam D exposita est; sed secundum accommodationem, quemadmodum pater cum filiis ludit, retrahens eos a periculosis ludis et perditorum societate. Quid enim Deo opus erat carnium mactatione et adipe inde provenienti? quam etiam ut injucundam et odibilem homines aspernantur. Quod autem id invitus fecerit, ipse qui ad id se accommodabat, propriam deinde manifestavit voluntatem. « Quis exquisivit, inquit, hæc de manibus vestris [36]? » Et David : « Hostiam et oblationem noluisti [37]. » Non modo autem propter bonorum actuum absentiam deserta Judæa nominata est, sed et propter futurum excidium et vastationem. Id enim et ipsa ve-

[33] Gen. I, 2. [34] Luc. III, 8. [35] Psal. LXVII, 8, 9, 10. [36] Isa. I, 12. [37] Psal. XXXVIII, 7.

ritas Christus prædixit : « Ecce relinquitur domus vestra deserta [30]. » Et dum esset in cruce et passione et descenderet ad inferos, terra mota est, et petræ scissæ sunt, et cœli distillaverunt lacrymas pro rore.

A χειρῶν ὑμῶν; » Καὶ ὁ Δαβὶδ, « Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. » Οὐ μόνον δὲ διὰ τὴν ἀκαρπίαν τῶν ἐναρέτων πράξεων ἔρημος ἡ Ἰουδαία ὠνομάσθη, ἀλλὰ καὶ διὰ τὴν χρόνιον καταστροφὴν καὶ ἐκπόρθησιν. Τοῦτο γὰρ καὶ ἡ αὐτοαλήθεια προεῖπε Χριστός·

« Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. » Καὶ ἐν τῷ διαβαίνειν ἐκ τοῦ τε διὰ σταυροῦ καὶ τοῦ πάθους καὶ καταβαίνειν πρὸς ᾅδην, γῆ ἐσείσθη, καὶ πέτραι διερράγησαν, καὶ οἱ οὐρανοὶ ἔσταξαν δάκρυον ἀντὶ δρόσου.

VIII. « Rectas facite semitas ejus. » Si enim rejecerint similitudinem cum genitis viperis, et qui decepit, serpentis vias omiserint, rectas semitas facient. Sic enim iis transgressiones corrigere licebit, et eos quæ in Cantico laudatur justitia amabit, et regenerationem quæ per baptismum est obtinebunt, et Patris cœlestis vere filii erunt. Si vero in priore via permanserint rursumque inveterationis et claudicationis incessum, tanquam perversi et depravati filii, serpentium more circumvolvunt, pectore et ventre incedentes, cupiditatibus et heluatione fruentes, futuram iram non effugient : furor enim illis, ut ait David, secundum similitudinem serpentis qui ab initio homicida est ; ventris autem cupiditate et cetaceos ventres supergrediuntur: domos enim viduarum comederunt, et orphanorum miseriis lætati sunt immisericordes.

Η'. « Εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Ἐὰν γὰρ τὴν πρὸς τὰς γεγεννηκυίας ἐχίδνας ὁμοιότητα διαπτύσαιεν καὶ τοῦ ἀπατήσαντος ὄφεως ἐκκλίνωσι τὰς ὁδούς, εὐθείας τὰς τρίβους ποιήσουσιν. Οὕτω γὰρ αὐτοῖς καὶ τὰ διαβήματα κατευθυνθῆναι προσέσται, καὶ ἡ ἐν τῷ Ἁγίῳ Πνεύματι εὐθύτης αὐτοὺς ἀγαπήσει, καὶ τῆς διὰ βαπτίσματος νεοποιήσεως ἐπιτεύξονται, καὶ τέκνα γνήσια τοῦ ἐπουρανίου Πατρὸς ἔσονται. Εἰ δ' ἐπὶ τῆς προτέρας μενοῦσι, καὶ αὖθις παλαιώσεως καὶ χωλάνσεως, ὡς ἀλλότριοι υἱοὶ καὶ ὡς γενεὰ σκολιὰ καὶ διεστραμμένη, ὀφιωδῶς ἑλίξουσι τὴν πορείαν, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορευόμενοι, θυμῷ καὶ γαστριμαργίᾳ χαίροντες· ἀπὸ τῆς μελλούσης ὀργῆς οὐ διαφευξοῦνται· ὁ μὲν γὰρ θυμὸς αὐτοῖς, καθὼς φησιν ὁ Δαβὶδ, κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου· τῇ δὲ κοιλιομανίᾳ καὶ κητώσι πάσας γαστέρας ὑπερπεπαίκασι. Τὰς γὰρ οἰκίας τῶν χηρῶν κατεσθίοντες ἦσαν, καὶ ταῖς τῶν ὀρφανῶν συμφοραῖς ἐντρυφῶντες οἱ ἀνελεήμονες.

IX. « Venit Joannes baptizans in deserto et prædicans baptismum pœnitentiæ in remissionem peccatorum. Et accedebant ad eum omnis Judææ regio et Jerosolymitani, et baptizabantur omnes in Jordane, confitentes peccata sua [31]. » Rursum Marcus per breviorem viam procedit, et distantia colligit et in unam vallem derivare videtur duo baptismata, et pari efficacia introductorium et perfectum ostendere. Forsan aliquis credet Evangelistam dicere Joannis baptismum peccatorum remissionem præstare. Sed non ita est, non ita. Tantæ enim fons gratiæ solus est Domini baptismus. Verba autem sic cohærent : « Venit Joannes baptizans in deserto. » Et hic distinctionem interjice, lector, tanquam baptismati Joannis solidum murum opponas illudque a Dominico baptismate sejungas. Deinde dicit : « Et prædicans baptismum pœnitentiæ in remissionem peccatorum; » quod est Christi baptisma. Et patet aliunde ; illic enim dictum est, Baptizans, id est actum baptizandi operans ; hic vero ubi remissio est peccatorum, Prædicans, ut de futuro altero baptismate, cujus præco erat, non operator. Præparatio enim erat Joannis baptisma Dominici baptismatis et ut quædam præcursio; ut non modo vox præcurreret Verbo, sed et baptismati baptisma.

Θ'. « Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Καὶ ἐξεπορεύοντο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. » Πάλιν ὁ Μάρκος τὴν ἐπιτομωτέραν βαδίζει καὶ τὰ διεστηκότα συνάπτει, καὶ εἰς μίαν μισγάγκειαν δοκεῖ μετοχετεύειν τὰ δύο βαπτίσματα, καὶ ἰσοδύναμον φαίνειν τὸ εἰσαγωγικὸν τῷ τελειωτικῷ· ἴσως γάρ τις οἰηθήσεται λέγειν τὸν εὐαγγελιστὴν ἄφεσιν ἁμαρτιῶν παρέχειν τὸ τοῦ Ἰωάννου βάπτισμα. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. Τῆς γὰρ τοιαύτης πηγαστικὸν χάριτος, μόνον τὸ Δεσποτικόν. Ἔχει δὲ οὕτως ἡ τοῦ λόγου ἀκολουθία· « Ἐγένετο ὁ Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ· » καὶ στίξον ὧδε, ὁ ἀναγινώσκων, τὴν στιγμὴν ὡς ἔρυμα κραταιὸν τῷ τοῦ Ἰωάννου ἐπιστήσας βαπτίσματι, καὶ ἀποτειχίσας τοῦ Δεσποτικοῦ· εἶτα λέγει, « Καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, » ὅ ἐστι τὸ τοῦ Χριστοῦ. Δῆλον δὲ καὶ ἄλλως, ὅτι ἐκεῖ μὲν εἴρηται τὸ βαπτίζων, τουτέστιν, ἐνεργῶν τὸ βαπτίζειν, ἐνταῦθα δὲ ὅπου ἡ τῶν ἁμαρτιῶν ἄφεσις τὸ κηρύσσων ὡς ἐπὶ μέλλοντος ἑτέρου βαπτίσματος, οὗ κῆρυξ ἦν, οὐχὶ τελεστής. Προετοιμασία γὰρ ἦν καὶ προπαρασκευὴ τὸ τοῦ Ἰωάννου βάπτισμα πρὸς τὸ Δεσποτικὸν καὶ οἷόν τις προοδοποίησις· ἵνα μὴ μόνον φωνὴ προτρέχῃ τοῦ Λόγου, ἀλλὰ καὶ βαπτίσματος βάπτισμα.

X. « Erat autem Joannes vestitus pilis cameli et zona pellicea circa lumbos ejus [32]. » Volebam bene cinctum illum et instructum viatorem paululum

Ι'. « Ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. » Ἐβουλόμην τὸν εὔζωνον τοῦτον καὶ εὐσταλῆ ὁδοιπό-

[30] Luc. XIII, 35. [31] Marc. I, 4, 5. [32] Ibid. 6.

ρον τῆς στενῆς τε καὶ τεθλιμμένης μικρὸν ἐπισχεῖν καὶ τὸ αὐτοῦ περιεργάσασθαι ἔνδυμα, καὶ τὸν ἱστουργήσαντα ἐκζητῆσαι καὶ διὰ τί τριχῶν καμήλου ἐξυφάνθη ζώου ἀκαθάρτου, καὶ οὐχὶ μᾶλλον ἐρίου προβατικοῦ, ἢ μηλωτῆς ὁλοκλήρου, οἷον ἦν καὶ τὸ τοῦ Θεσβῆθεν Ἠλιοῦ. Ἀλλ' ἐπειδὴ διακορεῖς ὁρῶμεν τοῦ λόγου γεγονότας ὑμᾶς καὶ πρὸς τὸ μῆκος τῆς διδασκαλίας ἐλιγγιάσαντας, ἐνταῦθα ὅπου τὸ ἀσκητικὸν ἔνδυμα τοῦ Ἰωάννου, τὴν ὑφὴν διαπερανοῦμεν τοῦ λόγου. Καὶ οὐχ ὑπωπτεύσαμεν εἰς νοῦν ὑμᾶς συμβαλεῖν ὡς ἐξ ἀπορίας ἀνερμήνευτον τὸ τοῦ Ἰωάννου παρεδράμομεν ἔνδυμα, μόνα τὰ τοῖς πᾶσιν εὐληπτα διαλύειν δεδυνημένοι, καὶ χαριεντιζομένους λέγειν, ὅτι Τὴν κάμηλον κατέπιες, τοὺς τῆς ἀναγωγῆς περὶ αὐτῆς μὴ προενεγκὼν τοῦ στόματος λόγους, διῦλισας δὲ τὰ κατὰ κώνωπας σμικροπρεπῆ καὶ εὐνόητα νοήματα· οὕμενουν οὕτω ταχύποπτος ἐγὼ καὶ εὐσκανδάλιστος ὡς εἰς νοῦν τοῦτο περιαγαγεῖν. Πέποιθα δὲ ὡς ἡ τοῦ Θεοῦ χάρις χαρίσαιτο ἡμῖν ἰσχὺν γνώσεως, καὶ λόγων εὔροιαν εἰς ὠφέλειαν τῆς ἀγάπης ὑμῶν, καὶ τὰς Γραφικὰς ἀπορίας ὑμῖν διαλύσομεν ὅσαι πέως διέφυγον τοὺς θεοπνεύστους Πατέρας καὶ διδασκάλους· μόνον μὴ διαλιμπάνητε πάσαις ταῖς κυριωνύμοις τῶν ἡμερῶν ἐνταῦθα ἐκκλησιαζόμενοι καὶ ἐν οἴκῳ τούτῳ τῆς τοῦ Θεοῦ σοφίας αὐλιζόμενοι καὶ τῶν θυμάτων αὐτῆς κατατρυφῶντες, καὶ τοῦ κρατῆρος ἐκπίνοντες. Καὶ γὰρ μεθ' ὑψηλοῦ τοῦ κηρύγματος ὁ ἀχρεῖος αὐτῆς δοῦλος ἐγὼ καθ' ἑκάστην Κυριακὴν συγκαλέσω ὑμᾶς ἐπὶ τὴν ἑστίασιν. Καὶ δοίη Κύριος ὁ Θεὸς ὑμᾶς σὺν ἐμοὶ δαιτυμόνας γενέσθαι τῆς οὐρανίου καὶ ἀδιαδόχου τραπέζης καὶ τῆς βασιλείας ἀξιωθῆναι τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ὑμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος τῆς μιᾶς Θεότητός τε καὶ βασιλείας, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

A in hac arcta et constricta via tardare ejusque vestimentum observare, et eum qui illud contexuerat interrogare, cur ex pilis cameli contextum erat, animalis immundi, nec potius ex lana ovina, aut integra ovina pelle, quemadmodum erat Thesbitæ Eliæ vestis. Sed quoniam videmus vos nostris verbis satiatos, et hujus prædicationis extensione fatigatos, hic ubi de ascetico Joannis vestimento agitur, sermonis ordini finem imponemus. Neque nobis suspicio est vos in mentem vobis injicere nos ex indigentia non explicatum Joannis vestimentum prætermisisse, tanquam ea tantum quæ ab omnibus facile capiuntur, interpretari possimus; neque irridentes dicere : Camelum deglutiisti, nullum ea de re institutionis verbum ore proferens, despumasti autem sordida, ut culices, et faciles cogitatu sensus; non adeo male suspicor, nec tam facile scandalizor ut id in animum inducam. Spero imo fore ut Dei gratia largiatur nobis vim cognoscendi et eloquendi facultatem in vestræ charitatis utilitatem, et Scripturæ difficultates vobis solvemus, quæ usque modo a Deo inspiratos Patres et magistros latuerunt. Tantum ne cessetis omnibus Dominicis diebus huc convenire, et in hacce sapientiæ Dei domo commorari, et ejus victimis delectari ejusque poculum bibere. Ego enim excelso præconio inutilis ejus servus singulis Dominicis ad convivium vos congregabo. Det autem Dominus vos mecum cœlestis et æternæ mensæ convivas fieri et regni cœlorum dignos esse; quod utinam omnes vos assequamini gratia et bonitate Patris et Filii et Spiritus sancti, quibus una Divinitas et unum regnum, cui convenit omnis gloria, honor et adoratio nunc et in infinita sæcula. Amen.

B

C

Germani decreta quædam synodalia vide in tomo CXIX, col. 795 sqq.

ANNO DOMINI MCCXLVIII

MANUEL II CP. PATRIARCHA

Pater Le Quien in *Orientis Christiani* tom. I, p. 280, huic Manueli decreta tribuit quæ Leunclavius Manueli Charitopulo ascribit.

ANNO DOMINI MCCLVIII.

MICHAELIS CHUMNI

THESSALONICENSIS METROPOLITÆ

DE GRADIBUS COGNATIONUM.

Vide tom. CXIX, col. 1298.

ANNO DOMINI MCCLIX.

THEODORUS DUCAS LASCARIS

—

NOTITIA.

(Ex Leonis Allatii Diatriba *De Theodoris* ap. Maium in *Bibl. nov. PP.* tom. VI, ii, p. 190.)

—

Theodori Ducæ Lascaris imperatoris non minima laus est, quod in minime pacatis reipublicæ rebus, sed plurimum turbulentis, tempus quod illi supererat ex publicis negotiis excussum studiis et scriptioni tribuebat : ideoque varia sui ingenii monumenta, quæ doctissimis quibusque admirationi sunt, posteris reliquit (1). Excusus est illius canon paracleticus in sanctissimam Virginem, quo illius opem temporibus difficillimis et calamitosissimis implorat, elegantissime scriptus post Paracleticem librum Græcorum ecclesiasticum. A Ludovico Maraccio de Græco Latine redditum dabit in suis Cæsaribus seu imperatoribus Marianis φιλοπαρθενώτατος Hippolytus Marraccius, dicti Ludovici frater. Ejusdem *de communione naturali* libros sex primus in linguam Latinam vertit Claudius Aubertus triacurianus Gallus, qui denique Calviniana ejurata hæresi, Divione catholice obiit, Basileæ apud Episcopium 1571, in 8. Exemplar Græcum Joannes Sambucus Joanni Leunclavio transmiserat. Habentur etiam manuscripti Græce in bibliotheca regia Scoriaci et in Vaticana. Incipiunt : Ἐκ πολλῶν μὲν πραγμάτων καὶ ἄλλων γνόντες οἱ ἄνθρωποι.

Ejusdem habentur ibidem manuscripta ἐγκώμια εἰς τὸν ἑαυτοῦ πατέρα, εἰς τὸν βασιλέα τῶν Ἀλαμανῶν καὶ ἄλλα. *Laudationes in patrem, in regem Alemanorum, et alia.* Item canones εἰς τὴν Θεοτόκον εὐχαὶ, καὶ ἄλλα πλεῖστα. *In Deiparam preces, et alia plurima.* Nec non Περὶ Χριστιανικῆς θεολογίας λόγοι ἑπτά. *De Christiana theologia libri septem.* Quos eosdem esse puto cum iis qui in Vaticana sunt num. 1113 ; etsi non sunt integri, deest etenim primus et pars secundi. Tertius est, ὅτι τὸ ἓν ἐστι τρία, *unum esse tria.* P. Ὥσπερ δὲ τὸ ἓν ἐστὶν ἓν, οὕτω δὴ καὶ τὸ ἓν ἐστὶ τρία. Quartus, Περὶ θεωνυμίας, *de divinis nominibus.* P. Ἐπεὶ δὲ τὸ Θεῖον μετὰ τῶν ἄλλων πολυωνύμως καὶ ὀνομάζεται. Quintus, περὶ τῆς ἁγίας Τριάδος, *de sancta Trinitate.* P. Ἔστι μὲν οὖν Θεὸς τρισυπόστατος, ἀρχὴ τῶν ὄντων τε καὶ ὑπὲρ τὸ ὄν. Sextus, κατὰ Λατίνων περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, *adversus Latinos de processione Spiritus sancti.* P. Δεῖ μὲν δὴ τὴν φύσιν τῶν ὄντων ἐν τοῖς ἰδίοις ἐπεκτείνεσθαι πράγμασιν. Septimus item : Κατὰ Λατίνων περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, *contra Latinos de processione Spiritus sancti.* P. Ἐκ τοῦ Πατρὸς καὶ Θεοῦ ἰσχὺς ἐκπορευομένη τῆς δημιουργικῆς τοῦ Υἱοῦ Θεοῦ δομήσεως τελειώσας.

(1) Theodori hujus imp. magister fuit magnus ille Nicephorus Blemmida, cujus monitoriam orationem Ὁποῖον δεῖ εἶναι τὸν βασιλέα, *qualem oporteat esse regem* (cum ejusdem paraphrasi) ad regium discipulum scriptam vulgavimus nos in secundo volumine *Scriptorum veterum.* Vitam autem resque gestas præclari hujus imperatoris scribit luculenter Ephræmius chronographus. Ibi v. 9279, dicitur Theodorus ἔδρις σοφίας παντοδαπῆς καὶ λόγων, *omnimoda sapientia doctrinisque instructus.* MAI.

Ejusdem ολιγιστικῆς ψυχῶν ὑποτυπώσεως βιβλία τρία μεθ' ἑρμηνείας, *gubernatricis animarum hypotyposeos libri tres cum expositione.* Puto tamen titulum mendosum, et quod Leonis imperatoris est, Theodoro tribui. Ejusdem ἐγκώμιον εἰς τὸν ἅγιον μάρτυρα Τρύφωνα, *laudatio in sanctum martyrem Tryphonem.* In Vaticana. Ejusdem εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, καὶ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, *in annuntiationem Deiparæ, et de incarnatione Domini nostri Jesu Christi.* P. Noῦς μέντοι γε βροτῶν, καὶ διάνοια τῷ καθ' ἡμᾶς μιγνύμενά τε καὶ χωριζόμενα. Scoriaci et in Vaticana. Ejusdem χαιρετισμὸς εἰς τὴν Θεοτόκον, κανὼν ψαλλόμενος εἰς τὴν θαυματουργοῦσαν εἰκόνα τῆς Θεοτόκου ἐν ᾠδαῖς ϛ'. Ἕτερος κανὼν ψαλλόμενος εἰς τὸν ἀκάθιστον ὕμνον τῆς Θεοτόκου, *salutatio in Deiparam, canon qui concinitur in imaginem Deiparæ miraculis conspicuam, odis octo. Canon qui canitur in acathisto.* Ejusdem *de processione Spiritus sancti contra Latinos*, περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος κατὰ Λατίνων, Scoriaci in regia. Legitur præterea ejusdem in bibliothecis Italicis χαιρετισμὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, *salutatio in sanctissimam Deiparam.* P. Χαῖρε, ἱλαστήριον ψυχῶν, παρθενομῆτορ, χαρὰν ἡ κυήσασα.

NOTITIA ALTERA.

(Cave ad an. 1255.)

—

Theodorus Lascaris, junior, *Ducas* etiam dictus, ortu Nicænus, Theodori senioris, qui capta a Latinis Constantinopoli imperii sedem Nicæam transtulerat, ex Irene filia nepos, Joannis Ducæ Irenes conjugis et Theodori successoris filius natu major, patri in imperio successit an. 1255. Rem adversus Bulgaros, Thessalos, aliosque imperii hostes fere per triennium feliciter egit, verum infirma valetudine morbisque fractus, habitum monachalem induit, et in Sydandronum monasterium, ut nos docet Dorotheus Monembasiensis (*a*) (in Magnesia id situm erat) secessit, ibique breve quod vitæ remansit, tempus consummandæ pœnitentiæ et otio pio ac litterario consecravit. Regnavit annos 3, defunctus anno 1259, ætatis 36. Princeps omnino eruditus, meliori sorte sæculoque dignus. Certe summum ejus tum in pietatem, tum in rem litterariam studium ex ipsius nummis imperiique insignibus luculenter constat, in quibus dextra crucem, sinistra volumen tenens describitur. Vid. el. et litteris non minus quam dignitate illustrem D. du Fresne *Famil. Byzant.* pag 223. Scripsit jam monachus ad Joannem episcopum Coronensem prolixum satis *tractatum adversus Latinos de processione Spiritus sancti.* Exstat ms., sed mendose exaratus, et in fine mutilus in bibliotheca coll. Gonv. et Cai Cantab. Titulum et prologum, quos in usum meum descripsit D. Whartonus, Græce hic subjungam : *Θεοδώρου μοναχοῦ τοῦ Λάσκαρι Λόγος ἀπολογητικὸς πρὸς τὸν ἐπίσκοπον Κορώνης κατὰ τῶν Ἰταλῶν, ἤγουν κατὰ τῶν Λατίνων περὶ τοῦ Πνεύματος τοῦ ἁγίου.* Ἐπειδὴ ἐρώτησιν ὑπελάβετο ἡ βασιλεία μου πρὸς σέ, ὦ ἱερώτατε ἐπίσκοπε Κορώνης, ἀπολογήσασθαι τῇ βασιλείᾳ μου, ὅπως ἡ ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη Ἐκκλησία, ἡ πρεσβυτέρα Ῥώμη δογματίζει περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος καὶ ἀπολογίαν ἔθου παρὰ τὴν βασιλείαν μου, ὅτε ἡ ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη Ἐκκλησία οὕτως σούεται [συνίεται] περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὡς οὐ μόναν ἐκ τοῦ Πατρὸς ἔχει τὴν ἐκπόρευσιν, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ, ἀπολογεῖται σοι ἡ βασιλεία μου ὅτι ἡ καθ' ἡμᾶς ἁγιωτάτη τοῦ Θεοῦ μεγάλη Ἐκκλησία, καθὼς μέλλεις γνωρίσαι ἐκ τῶν κατωτέρω ῥηθησομένων ἐγγράφων, μαρτυριῶν καὶ ῥήσεων εὐαγγελικῶν, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ μόνου ἐκπορεύεσθαι δογματίζει, ἐκ τοῦ Υἱοῦ δὲ οὐκ ἐκπορεύεσθαι μὲν φαμέν, διὰ τοῦ Υἱοῦ δὲ χορηγεῖσθαι ἡμῖν πρὸς κάθαρσιν καὶ ἁγιασμόν, καὶ πιστεύομεν, καὶ δοξάζομεν· ἃς δὴ χρήσεις ἀναλεξαμένη ἡ βασιλεία μου συντόμως, τῇ σῇ παρατίθησιν ἱερότητι. Ἄρχεται δὲ ἐκ τῆς αὐτοαληθείας αὐτῆς· καλὸν γὰρ ἐκ Θεοῦ τ' ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι· « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν. » Pergit deinceps illustrissimus auctor varia sacræ Scripturæ loca plurimaque SS. Patrum testimonia proferre, quæ quidem acute satis urgere solet. (*De aliis Ducæ scriptis vide notitiam Allatii, supra.*)

(*a*) Συνοψ. διαφορ. Ἱστορ. P. φκε'.

DE SEQUENTE OPUSCULO MONITUM.

(Mai, Bibl. nov. Patrum, VI, II, 258.)

—

Suprascriptis episcoporum Heracleæ et Tarsi commentariis, breve aliud regii auctoris longe recentius proxime subteximus, hanc præcipue ob causam, quia ejusmodi scriptum est, ut nonnisi græce exhibendum

videatur; quia nominibus scilicet præsertim compositis totum constat, quæ latine expressa non elegantiam tantummodo, verum etiam vim sæpe suam viderentur amittere aut infringere (a). Locutus est Allatius in præcedente dissertatione n. CXXXII de inedito opere Theodori junioris Ducæ Lascaris imp., id est de ejus theologiæ Christianæ libris septem; qui tamen reapse octo sunt, ut idem Allatius in opere de consensu col. 722 correctius scripsit. Dixit etiam de codice Vat. 1113, quem ego nuper observans, satis lacerum comperi et madore corruptum. Porro hujus regii theologi (qui imperavit Nicææ ab anno 1255 ad 1259) unum saltem ex octo libris edere constitui, qui præ cæteris conspicuus sanusque in codice est; et qui hanc certe utilitatem præbet, ut Pollucis Onomasticon ac Dionysium De divinis nominibus, et græca generatim lexica, permultis vocabulis locupletet, quæ grammatici curiose adnotabunt. Titulus universi operis est : Τοῦ σοφωτάτου βασιλέως κυροῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι Χριστιανικῆς θεολογίας λόγοι ὀκτώ. Quarti autem libri ille est titulus, quem in nostra editione mox proferimus.

(a) Prologum tamen Latine vertimus. EDIT. PATR.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΥΡΟΥ ΘΕΟΔΩΡΟΥ ΔΟΥΚΑ ΤΟΥ ΛΑΣΚΑΡΙ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ ΠΕΡΙ ΘΕΩΝΥΜΙΑΣ.

REGIS DOCTISSIMI

DOMINI THEODORI DUCÆ

SERMO QUARTUS DE NOMINIBUS DIVINIS.

Numen divinum cum diversis, tum non explicitis nominibus appellatur; quod quidem illius majestati et naturæ mysticæ ac celsitudini proprium est. Ea enim res ad omnia quæ sunt spectat, nec tamen eorum quæ sunt, in numero est. Oportet igitur nos de ejus nominibus pro virili parte disserere, non ad unguem vero, hoc enim fieri non potest; nec prius dicta repetenda sunt, quod fastidiosum foret; nec diversimode, sed secundum ejus præscriptum ac voluntatem. Igitur ex operibus ejus divinis Dei qualitates abstrahamus. Omne enim quod fit in mundo a Deo venit, et quidquid de Deo venit, miraculum est; omne autem mirum divino honore afficiatur necesse est. Magnum igitur Deum secundum manifestationes ejus nominabimus, non tamen e nominibus naturam monstrantes, aut ex innominato vim prædicando, sed mera nomina exponentes, id tantum agentes ut eum, cum Paulo apostolo, omnium Dominum ac nemini subjectum declaremus.

Igitur centum, imo mille aut potius innumerabilia nomina philosophiæ strenuus discipulus

A Ἐπεὶ δὲ τὸ Θεῖον μετὰ τῶν ἄλλων πολυωνύμως καὶ ἀνωνύμως ὀνομάζεται· τοῦτο γὰρ τῆς ἐκείνου μεγαλειότητος καὶ τῆς ὑπερφυοῦς κρυφιομυστίας καὶ τῆς ὑπερφεροῦς τε λαμπρότητος, ἐπειδὴ μετέχει πάντων τῶν ὄντων, καὶ οὐδὲν τῶν ὄντων ἐστίν· ἀνάγκη πᾶσα καὶ περὶ τῶν αὐτοῦ ὀνομάτων διαλαβεῖν ἡμᾶς ὅσον γε δυνατὸν, οὐ πάντη δὲ πάντων, τοῦτο γὰρ καὶ ἀδύνατον· οὐδαμῶς δὲ τῶν μηδενός, τοῦτο γὰρ ὀκνηρόν· ἀλλὰ τὸ μὲν ὡς, τὸ δ' ὡς οὔ· κατὰ τὴν ἐκείνου πρόσταξίν τε καὶ θέλησιν· διὸ καὶ τὰς ἐκ τῶν ἐνεργημάτων ἐκείνου θεοσημιῶν ἐνεργείας ἀναλαβόμενος· πᾶν γὰρ τὸ γινόμενον κατὰ κόσμον θεόθεν ἐστί· καὶ πᾶν τὸ θεόθεν, θαῦμά ἐστι· καὶ πᾶν θαῦμα θεοδόξαστον ὑπάρχει τε καὶ σεβάσμιον· τὸν μέγαν Θεὸν καὶ σεβάσμιον ἐκ τῆς τῶν ἐνεργημάτων τούτου θεοσημίας ὀνομάσομεν ὡσεὶ δύναμις, οὐ δεικνύντες ἐκ τῶν ὀνομάτων τὴν φύσιν, οὐχὶ κηρύττοντες ἐκ τοῦ ἀνωνύμου τὴν δύναμιν, ἀλλ' εἰπόντες τὰ ὀνόματα, ἔξω τῶν ὀνομάτων καταλιμπάνομεν· καὶ συστέλλομεν ἐν ταῖς λέξεσιν ἕδραν συνεκτικὴν

B τοῦ παντὸς αὐτὸν, ὡς ἀποφαινόμενοι πάντα ἐν πᾶσι, κατὰ τὸν Παῦλον, ὄντα τὸν Κύριον, καὶ οὐδὲν τῶν ὄντων ὑπάρχον.

Διὸ ἑκατοντάδας τε καὶ χιλιοντάδας, ἢ καὶ μυριάκις μυριάδων περιουσίας ὀνομασμοὺς εὕρῃ τις φι-

λομνήμων καὶ πεπαιδευμένος φιλοσοφίᾳ, εἴπερ ἐπιστατικῶς τὰ ἐν κόσμῳ ἐξερευνήσει ἐνεργήματα· ἐγὼ δὲ εἴτε μὲν ἐρευνήσας εὑρήσω, εἴτε δὲ κατὰ τὴν ἐκείνου δύναμιν ἐν ἀνοίξει τοῦ στόματός μου, κατὰ τὸν Παῦλον τὰ ὡς εἰκὸς ἐρεύξομαι εὐσεβῶς, οὐ τῷ ἀριθμῷ μεγαλύνω τὴν εὕρεσιν, οὔτε μὲν τῷ ἐλλιπεῖ δειλιάσω, καὶ τὸν ὄκνον ἄξω ἐμπόδιον, ἀλλὰ τὴν ἀγαθὴν καὶ μεσαιτάτην ὁδὸν βαδίσας, ὡς δεῖ, κατὰ τὴν ἐνοῦσάν μοι χάριν τὴν ἐξ ἐκείνου, ὡσεὶ δύναμις, ἐκ πάσης γραφικῆς πηγῆς τῆς ἐντός τε καὶ τῆς ἐκτὸς, ἢ καὶ τὰ πλείω ἐπιστήμῃ εὐσεβῶς συντιθέμενος, τὰς ῥανίδας σπόγγῳ Πνεύματος θείου ἀνιμησάμενος, κατασταλάξω διὰ γλώττης τὸ γλύκιον· καὶ ὀνοματοθετήσω τὸν ἀθεώρητον, τὸν πάντη ξένον ἀνθρωπίνῳ τῷ λογισμῷ, τὸν ἀνίδεον τῇ αἰσθήσει, τὸν ἀνενόητον φύσει, τὸν ὑπερφυῆ, τὸν ὑπέρθεον· καὶ τοῦτο πάντως εἰς τὸν αὐτοῦ δοξασμόν· ἐντεῦθεν τὴν μὲν τόλμαν ἀμβλύνας διὰ τοῦ θάρρους, τὸ δὲ θάρρος πρακινήσας τῇ προαιρέσει περὶ θεωνυμίας οὕτω βοῶ, τὸν τῆς εὐσεβείας καρπὸν τοῖς εὐσεβέσιν ὡς ἀρίστην πανδαισίαν προθέμενος. Διὰ τοῦτο μὴ τῇ λέξει μόνον ὁ ἀναγινώσκων τοῦ νοὸς ἀργήσει τὴν δύναμιν, ἀλλ' ἐρευνάτω τὸ βάθος, ἢ καὶ ἐξηγείσθω τὸ κατὰ δύναμιν· ἔχει δὲ ἡ τῶν ὀνομάτων σημασία ἑτέραν τινὰ θειοτάτην· οὐ γὰρ ἁπλῶς καὶ τυχόντως τὰ ὀνόματα ἔγκεινται, ἀλλ' ἐνεργείας ὑποδηλοῦσιν ὑποδεικτικὰς τῆς θείας μεγαλειότητος· διὰ τοῦτο φιλευσεβείᾳ πολλῇ τὸ σύνταγμα θέμενοι, πρὸς τοὺς ἐπιστήμονας καὶ φιλοθέους τὴν κρίσιν ἐπανατείναντες τὴν τοῦ Πνεύματος χάριν ἱκετικῶς προσκαλούμενοι, μετὰ θάρρους καὶ προθυμίας οὕτως ἀπαρχόμεθα.

A enumerabit, mundanas actuvitates recensendo. Equidem aut cum illius facultate aut in oris apertione, sicut Paulus, laudes meritas pronuntiabo, et impedimentis evitatis mediam, ideoque bonam viam sequar, secundum inhabitantem gratiam, et sacra Scriptura duce et scientia auspice, rorem et guttas Spiritus divini ope per linguam distillabo, et vocabo eum qui invisibilis est et intellectui humano inaccessum, a sensibus alienum, supranaturalem, vere Deum, idque unice ad ejus gloriam; et sic divinorum nominum celsitudine fisus vocem meam tollo, et pietatis fructum piis dapes lautas offero. Hanc ob causam qui legit, non solum ingenii acumen augebit, at rei profunditatem scrutetur et secundum vires exponat. Sed nominum illorum significatus aliam etiam vim habet. Non enim fortuito imposita sunt, sed qualitates divinæ majestati inhærentes indicant. Hinc opus nostrum, maxima cum pietate inchoatum, hominibus piis ac studiosis oblaturi, Spiritus sancti auxilio ac gratia rite invocatis cum fiducia hunc in modum exordimur.

Ὁ Θεός· ὁ οἰκτίρμων· ὁ τοὺς οἰκτίρμονας ἀγαπῶν· ὁ πατὴρ τῶν οἰκτιρμῶν· ὁ φιλόκαλος· ὁ φιλάγαθος· ὁ φιλόσπλαγχνος· ὁ καλός· ὁ ἀγαθός· ὁ εὔσπλαγχνος· ὁ ἐλεῶν· ὁ ἐλεοποιός· ὁ ἐλεοδοχεύς· ὁ χορηγὸς τοῦ ἐλέους· ὁ ἐλεῶν τοὺς ἀξίους· καθ' ὃν ὁ Ἔλεος· δι' ὃν ὁ Ἔλεος· δι' οὗ ὁ Ἔλεος· ἐν ᾧ ὁ Ἔλεος· ὁ δίκαιος· ὁ δικαιοδότης· ὁ δικάζων· ὁ δίκας ἄγων· ὁ καταδίκας ἐπάγων· ὁ φωτεινός· ὁ φωτοδότης· ὁ φωτοποιός· ὁ φωτάρχης· ὁ φωταυγαστής· ὁ τῶν φώτων παραγωγεύς· ὁ τηλεφανής· ὁ πρύτανις· ὁ προνομεύς· ὁ ταμίας τῶν ἀγαθῶν δωρημάτων· ὁ ἀνίκητος· ὁ νικητικός· ὁ νικοποιός· ὁ νικάρχης· ὁ νικοδέσποτος· ὁ τῆς δόξης δεσπότης· ὁ κύριος τῶν κυριευόντων· ὁ βασιλεὺς τῶν βασιλευόντων· ὁ Θεὸς τῶν νομιζομένων θεῶν· ὁ Ἔλεγχος τῶν δοκήσει· ὁ συνίστωρ τῆς ἀληθείας· ὁ κριτὴς ὁ ἀπροσωπόληπτος· τὸ βῆμα τὸ ἀδέκαστον· ὁ ἀλάθητος ὀφθαλμός· τὸ πανδερκὲς ὄμμα· ὁ ὤν· ὁ ἄναρχος· ὁ ἀναίτιος· ὁ ἀθεώρητος· ὁ ὑψιστος· ὁ ἀκατάληπτος· ὁ ἀπερίγραπτος· ὁ ἄγνωστος· ὁ ἀσαφής· ὁ σκότος ἔχων περικύκλῳ αὐτοῦ· τὸ τῆς ἀγαθωσύνης βάθος· ἡ πηγὴ τῶν δωρημάτων· ἡ αὐτοζωή· ἡ ζωή· δι' ὃν αἱ ζωαί· δι' οὗ αἱ ζωαί· εἰς ὃν τὰ πάντα· ὁ ἀμετάπτωτος φύσει· ὁ ἄτρεπτος τῇ οὐσίᾳ· ὁ ἀναλλοίωτος φύσει· ὁ αὐτάρκης· ὁ τέλειος· ὁ τελεταρχικός· ὁ ὑπερούσιος· ὁ ὑπέρθεος· ὁ ὑπεράγαθος· ὁ ὑπέρφωτος· ὁ τηλεπρεπής· ὁ ζωοφόρος· ὁ ἐντελής· ὁ πλάστης· ὁ δημιουργός· ὁ γλυκὺς δεσπότης· ὁ πωλοδομήτωρ· ὁ ὑψιμέδων· ὁ ξένιος· ὁ ἱκανός· ὁ μέγας· ὁ ἰσχυρός· ὁ ἰσχυροποιός· ὁ ἀθάνατος· ὁ τῶν ὄντων παραγωγεύς· ὁ τῆς ὕλης καὶ τοῦ εἴδους ἑνοποιός· τὸ ἀρχέγονον φάος· ἡ πηγὴ τῆς ἀγαθωσύνης· ἡ πλημμύρα τῶν δωρημάτων· ὁ ποταμὸς τῆς εὐφροσύνης· ὁ βοῦς ὁ ἀένναος τῆς εὐεργεσίας· ἡ ἀκτὶς ἡ ἐκτὸς ἀντανακλήσεως θέλγουσα· ἡ σταγὼν τῆς ἀγαλλιάσεως· τὸ πέλαγος τῆς μακροθυμίας· ὁ μακρόθυμος· ὁ πραΰς· ὁ ἀνεξίκακος· ὁ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων· ὁ πρωταίτιος· ἡ λάμψις ἡ ἄσκιος· ὁ προνοητής· ὁ ἔφορος· ὁ κυβερνήτης· ὁ λιμὴν τῶν χειμαζομένων· ἡ γαλήνη τῶν κλυδωνιζομένων· ἡ ἀναψυχὴ τῶν ὀδυνομένων· ἡ ἐπιστροφὴ τῶν ἁμαρτανόντων· ὁ ἄδυτος ἥλιος· ἡ λαμπὰς ἡ ἄσβεστος· ὁ διδοὺς φῶς τοῖς ἐν σκότει· τὸ ἀνέσπερον σέλας· ὁ γαληνός· ὁ γαληνοποιός· ἡ παγκρατὴς παλάμη· ὁ παιδαγωγὸς τῶν αἰσθήσεων· ἡ βακτηρία τῆς ἀσθενείας τῆς φύσεως· τῆς ἀρετῆς ὁ διδάσκαλος· τῆς κακίας ὁ ἔλεγχος· ὁ νομοθέτης· ὁ νομοδότης· ὁ νομοφύλαξ· ὁ σεβαστός· ὁ σεβάζων· ὁ σεβάσμιος· ἡ ὁδὸς τῆς ζωῆς· ἡ ἀνεκλάλητος θυμηδία· ὁ τῶν κρυπτῶν γνώστης· τῆς διανοίας ὁ ἔλεγχος· ὁ ἀσώτους ἀνακαλούμενος· ὁ παιδεύων καὶ μὴ θανατῶν· ὁ κατάγων εἰς ᾅδου καὶ ἀνάγων· ὁ δεσμεύων ἐν ἀσθενείᾳ· ὁ ἀπολύων ἐν δυναστείᾳ· ὁ τροπαιοφόρος· ὁ τροπαιοῦχος· ὁ διοσημίας ποιῶν· ὁ θαυμαστός· ὁ τιμῶν τοὺς ἀξίους· ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· ὁ παντεχοῦ παρών· ὁ τὰ πάντα πληρῶν· ὁ θησαυρὸς τῶν ἀγαθῶν· ὁ ζωῆς χορηγός· ἡ γέννησις τῶν ἰδεῶν· ὁ ἄποσος· ὁ ἀσχημάτιστος· ὁ ἀνίδεος· ὁ ἐγγὺς τῇ δυνάμει· ὁ πόῤῥω διὰ τὴν φύσιν· ὁ μόνος ἁγνός· ὁ ἁγνίζων· ὁ μόνος καθαρός· ὁ τοὺς καθαροὺς προσιέμενος· τὸ καθαρτικὸν πῦρ· ἡ φλὸξ ἡ ἄστεκτος· τὸ ὕδωρ τὸ καθαῖρον τοὺς μολυσμούς· τὸ ἀκρότατον ἐφετόν· ὁ παντουργός· ἡ ῥίζα πάσης ὀντότητος· τὸ ἀθεώρητον ὕψος· τὸ ἀμέτρητον βάθος· ὁ ἀναφής· ὁ πηγαστικός· ὁ λόγου παραίτιος·

ὁ τοὺς σοφοὺς ἐν σοφίᾳ δρασσόμενος· ἡ ἀρχὴ τῆς σοφίας· τῶν δογμάτων ἡ πέτρα· ὁ παντάναξ· ὁ παντόπτης· ὁ παντεργάτης· ὁ παντοδύναμος· ἡ τῶν ἀπεγνωσμένων ἐλπίς· ἡ τῶν πεπτωκότων ἀνάστασις· ὁ βοτάνας ποικίλας χρώμασιν· ὁ τὰ ὄρη στήσας βαθμῷ· ὁ παναίτιος· ὁ ἀρίζηλος· ὁ ἀριδείκετος· ὁ μεγαλεῖος· ὁ ὁριστόβουλος· ὁ ἀσύμβουλος· ὁ πηγὰς ἐχέων· ὁ λίμνας ἀναδιδούς· ὁ κυριοκράτωρ· ὁ τὸν ἄκτιστον ἔχων λόγον· ὁ κηδεμών· ὁ κοσμορύστης· ὁ ψυχοτρόφος· ὁ ψυχοτερπής· ὁ λογοτερπής· ὁ φιλολόγος· ὁ φιλολόγιος· ὁ φιλαλήθης· ὁ αὐτοφυής· ὁ πανυπέρσοφος· ὁ μωρελεήμων· ὁ πονηρομανής· ὁ ἀρκτοπόλιος· ὁ ἀνταρκτικοπολόστροφος· ὁ μεσημβρινόσκιος· ὁ ἐωανατολεύς· ὁ βλεπομενοζώδιος· ὁ μὴ ὁρωμενοζωδιοστροφεύς· ὁ νηνεμοποιός· ὁ τοὺς ἀσθενεῖς καὶ συντετριμμένους βραχίονας ἀναλούμενος· ὁ φυτεύσας παράδεισον· ὁ ἀνδρειονύκτης· ὁ δίκης ἐξεστώτης· ἡ γενικὴ πηγὴ τῶν καλῶν· ἡ ἰδικὴ πάντων πρόνοια· καὶ κοινὴ πάντων πρόνοια· ὁ μόνος ὑπάρχειν οὐσιωδῶς βασιλεύς· ὁ κατὰ πάντα πολύς· ὁ τοῖς ὑπερφυέσι βασιλικὸς θησαυρὸς δωρήμασιν· ὁ ἀῤῥήτως ξυναγαγὼν τὰ πόῤῥω τῷ ἐναντίῳ· ὁ μίξας καιροῖς ἰδίοις τὰ ἄμικτα· ὁ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ῥιπὴ τοῦ κόσμου εἰδώς· ὁ ταχτικὸς· ταγός· ὁ τῆς φερεσβίου οἰακοστρόφος· ὁ τυφωνοκωλυμίας· ὁ τρίκυμιοθραύστης· ὁ ἰώμενος· ὁ ἐπισκεπτόμενος· ὁ φαραυγής· ὁ αἰωνάρχης· ὁ χρονάρχης· ὁ μηνάρχης· ὁ ἡμεράρχης· ὁ ὡράρχης· ὁ ἀγαθεργάτης· ὁ ἀγαθεργοδότης· ὁ καινεργάτης· ὁ παραδοξοποιός· ὁ τερατουργός· ὁ ποιῶν θαυμάσια μόνος· ὁ δημιουργός· ὁ ποιμὴν ὁ καλός· ὁ ποιμενικός· ὁ φύσει βασιλεύς· ὁ ἀτυτίστος· ὁ ἀπαράλληλος· ὁ δυσάργητος· ὁ ἀόργητος· ὁ ἄφθονος· ὁ ἄχολος· ὁ πολὺς ὄντως· ὁ ἄπειρος· ὁ πλήσσων τοὺς δαίμονας· ὁ μαστίζων τοὺς ἄφρονας· ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν· ὁ ἐτάζων καρδίας καὶ νεφρούς· ὁ πειράζων τοὺς ἐκλεκτούς· ὁ δοκιμάζων τοὺς ἁγίους αὐτοῦ· ὁ ἔχων θρόνον τὸν οὐρανόν· ὁ ὑποπόδιον κεκτημένος τὴν γῆν· ὁ δόμασι μεγαλοπρεπής· ὁ πᾶσιν ὀνομαστός· ὁ εὐσυμπάθητος· ὁ περὶ τὰς ἀπειλὰς φοβερός· ὁ περὶ τὸν οἶκτον δαψιλής· ὁ ἐνέδραις ἄθικτος· τὸ ἐκδειματοῦν πῦρ· ἡ τῶν ἐν συμφοραῖς παραμυθία· ὁ ἕτοιμος δεομένοις· ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν· ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· ὁ τιθεὶς νέφει τὴν ὑπόβασιν αὐτοῦ· ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· ὁ παντεπόπτης· ὁ καινοτομῶν τὰς φύσεις· ὁ ὁβριμοεργός· ὁ ἴφθιμος· ὁ ἀστεροποιητής· ὁ ἥλιος τῆς δικαιοσύνης· ὁ πάντων προμηθούμενος· ὁ πάντων κηδόμενος· ὁ ὑπερένδοξος· ὁ εὐλογητός· ὁ σθεναρόχειρ· ὁ βριαρόχειρ· ὁ τοῖς χερουβὶμ ἀθεώρητος· ὁ τοῖς σεραφὶμ ἀπρόσιτος· ἡ δυναμοδύναμις τῶν δυνάμεων· ὁ ἀπειράκις ἄπειρος· ὁ παλαιὸς ἡμερῶν· ἡ ἑτοιμασία τῶν θρόνων· ἡ κυριότης τῶν κυριοτήτων· ὁ ἄναξ ἀνάκτων· ὁ ἀμόλυντος· ὁ ὀροφουργὸς οὐρανίας ἀψίδος· ὁ κλείων τοὺς χασματίας· ὁ πέμπων ὦστας· ὁ διαστέλλων κλείστας· ὁ ζώντων ὅρος ζωῆς· ὁ ζωῆς καὶ θανάτου γνώστης διέσεως· ὁ χύσας τὸν ἀριθμόν· ὁ εἰκονιζόμενος ἐν μονάδι· ὁ πάντων ἁρμονικός· ἡ ἁρμονία

A παντός· ὁ ἀπαλινώδητος· ὁ εὐθύδικος· ὁ εὐθυδικόφρων· ὁ μεμψίμορος· ὁ μὴ ὀνειδίζων· ὁ πρᾶος ἔλεγχος· ὁ ἀστασίαστος· ὁ ἀνεπιβούλευτος· ὁ ἀτάραχος· ὁ ἁπλοῦς· ὁ ἀτύπωτος· ἡ ἑνὰς ἡ ἑνοποιὸς ἁπάσης μονάδος· ὁ νοῦς ὁ ἀνόητος· ὁ λόγος ὁ ἄῤῥητος· ὁ κατὰ μηδὲν τῶν ὄντων ὤν· ὁ πάντων ἐξῃρημένος· ὁ ἄβατος· ὁ θεαρχικός· ὁ ἀναμορφωτὴς τῶν ἀπολισθησάντων τῆς θεοειδείας· ἡ συνετικὴ ἀγαθότης· ὁ ἀνετερείωτος· ὁ ἀγήρως· ὁ ἀγαπητός· ὁ ἐν αὔρᾳ λεπτῇ· ὁ ὑπερφανής· ὁ ἑτερώνυμος· ὁ λαμπτὴρ τῶν ψυχῶν· ὁ σοφόδωρος· ὁ ἀνίδεος· ὁ ἰδεάρχης· ὁ παντεπίσκοπος· ὁ ἀγαθάρχης· ὁ ζωογόνος· ὁ ζωοτρόφος· ὁ εὐθυβολογνώμων· ἡ βάσις τῶν ὄντων· ἡ στάσις τῶν κινουμένων· ἡ ἀρχὴ τῶν αἰώνων· τὸ μέτρον τῶν αἰώνων· ἡ χρόνων ὀντότης· ὁ

B αἰὼν τῶν ὄντων· ὁ χρόνος τῶν γινομένων· ἡ γένεσις τῶν ὀπωσοῦν γινομένων· ὁ αἰὼν τῶν αἰώνων· ὁ ὑπάρχων πρὸ τῶν αἰώνων· ὁ προών· ὁ ὑπερών· ὁ μὴ τῷ μὲν ὤν, τόδε δὲ μὴ ὤν· ὁ μὴ πῇ μὲν ὤν, πῇ δὲ μὴ ὤν· ὁ πολύσχημος· ὁ πολυειδής· ὁ πάνσχημος· ὁ πανίδεος· ὁ ἄμορφος· ὁ ἀκαλλής· τὸ τέλος πάντων· τὸ τέρας πάντων· ἡ ἀπειρία· ὁ ἀπειροδύναμος· ὁ ὑπὲρ πᾶσαν ἀπειρίαν· ὁ ἐπὶ πάντα προϊὼν καὶ μένων ἐφ' ἑαυτοῦ· ὁ ἑστώς· ὁ κινούμενος· ὁ μήτε ἑστώς· ὁ μήτε κινούμενος· ὁ μὴ ἀρχὴν ἔχων· ὁ μὴ μέσην ἔχων· ὁ μὴ τελευτὴν ἔχων· ὁ γνώστης· ὁ πάσης αἰσθήσεως ὑπεριδρυμένος· ὁ αὐτοτελής· ὁ ἐνταῖος πολλαπλασιασμός· ὁ ἴσος· ὁ πολυώνυμος· ὁ πᾶσιν ἐπέραστος· ὁ πολιός· ὁ νέος· ἡ αὐτοειρήνη·

C ὁ νοήσει αὐτεπάγγελτος· ὁ στιγμάρχης· ὁ τοῦ νῦν ἄρχων· ὁ τοῦ παρῳχηκότος δεσπότης· ὁ τοῦ ἐνεστῶτος βασιλεύς· ὁ τοῦ μέλλοντος κύριος· ὁ φθεγγαῖτιος· ὁ νικητὴς πάντων· ἡ στάσις ἁπάντων· ὁ ὑπερυπέροπλος· ὁ ἐν ἁγίοις ἀναπαυόμενος· ὁ τεκτὼν οὐρανοῦ καὶ γῆς· ὁ πάντων δομήτωρ· ὁ τὴν πραότητα ἀσπαζόμενος· ὁ συντρίβων πολέμους ἐν ἰσχυρῷ βραχίονι· ὁ ἄϋλος· ὁ ἀνίδεος· ὁ προνοητικός· ὁ ἀσώματος· ὁ ἀλάθητος· ὁ ἀπεριδριστος· ὁ ἀνεξερεύνητος· ὁ ἀνεξιχνίαστος· ὁ ἄχρονος· ὁ ἀμιγής· ἡ ταχύτης· τὸ αὐτότακτος· ὁ ὑπερφυής· ὁ βασιλεὺς τῶν ἀγγέλων· ὁ τοῖς δαίμοσι φοβερός· ὁ φρικτὸς νοηθῆναι· ὁ ἱερός· ὁ θεῖος· ὁ ἱεροτελεστής· ὁ ποδηγός· ὁ δημαγωγός· ὁ ἄνω· ὁ κάτω· ὁ μέσος· ὁ περὶ ὅλου· ὁ δοξαζόμενος· ὁ ὑμνούμενος· ὁ τοὺς

D ὕμνους δεχόμενος· ὁ χρησμοδότης· ὁ καρδιογνώστης· ὁ καρδιεταστής· ὁ χρησμοτελεστής· ὁ ψυχοσώστης· ὁ θυμοκράτωρ· ὁ ὀμφοδότης· ὁ ἄποινος· ὁ ἀκατηγόρητος· ὁ ἀτελεύτητος· ὁ μὴ ἔχων πρός τι ἀντιστροφήν· ὁ μὴ πρός τι λεγόμενος· ὁ ἀκάματος· ὁ ἀόριστος· ὁ ἀτλαντικός· ὁ ὑπεραιθέριος· ὁ ὀμβροποιός· ὁ σκηπτεργάτης· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ στερεῶν βροντήν· ὁ κτίζων πνεῦμα· ὁ ἐξαπλῶν ἀέρα· ὁ χθονιδραστής· ὁ ὥραις ἀσύγκριτος· ὁ βροντάντιπνος· ὁ ἀστραποποιός· ὁ κλωθοφόρος· ὁ ὑπὲρ τὴν εἱμαρμένην ποιῶν· ὁ τύχης ἀνώτερος· ὁ νεμέσεως αἴτιος· ὁ λάχεσι πρυτανεύων· ὁ ὢν κοινὸς πᾶσιν· ὁ ἄλλος ἐν καθεκάστοις· ἡ γέφυρα τῶν ἄνω καὶ κάτω· ὁ δεσμὸς τῶν δίχα φρονεόντων· ὁ τῶν πόῤῥω συναγτικής· ὁ

χέρας τῶν παρὰ φύσιν· ἡ διάβασις τῶν μετατιθεμένων τῷ βίῳ· ὁ γνώμων τῆς ἀληθείας· ὁ κανὼν τῆς εὐθύτητος· ἡ στάθμη ἡ ἀπαρέγκλιτος· τὸ ὕδωρ τοῦ ἐλεγμοῦ· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· ὁ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς· ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσιν· ὁ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων· ὁ ἀπτόμενος τῶν ὀρέων καὶ καπνίζοντας· ὁ διδοὺς πάσῃ σαρκὶ τροφήν· ὁ σιτοδότης· ὁ νομοδοτήσας τὸν Ἰσραήλ· ὁ ὑπέρθεος· ὁ κλῆρος τῶν φοβουμένων αὐτόν· ἡ αἰωνία ζωή· ὁ ἄσυλος θησαυρός· ὁ ἐπιστήμων· ὁ προτρέπων προφήτας· ὁ τελειῶν ἱερεῖς· ὁ ἱερωσύνην νομοθετήσας· ὁ θυσίας ἀναλαμβάνων· ὁ γινώσκων τὰ πάντα ὡς οὐδεὶς ἕν· ὁ ἀνάγων ὕδωρ ἐν ταῖς νεφέλαις· ὁ τὰς ἐπάρσεις τῆς πολυφλοίσβου συντρίβων ἐν ἑαυτῷ· ὁ περιτειχίζων τὴν θάλασσαν ψάμμῳ· ὁ θυμόδοξος· ὁ θυμοδόξαστος· ὁ κυδοφόρος· ὁ ἀκέστωρ· ὁ σωτὴρ τοῦ κόσμου· ὁ φῶς οἰκῶν· ὁ ἀπρόσιτος· ὁ γεωργὸς τῶν φρενῶν· ὁ ἀΐδιος· ὁ ἀνώλεθρος· ὁ ἀπροσκορής· ὁ ἀνενδεής· ὁ ἀνυπέρβλητος· ὁ ἀσύγκριτος· ὁ ἀσύναπτος· ὁ ἀκαταμάχητος· ὁ προνομεύς· ὁ τὰ λειτουργικὰ κτίζων πνεύματα· ὁ ἀδωροδόκητος· ὁ ἀπροσωπόληπτος· ὁ λυτρωτὴς τοῦ κόσμου· ὁ βυθὸς τῆς σοφίας· ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν· ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· ὁ μετρῶν τὸν οὐρανὸν σπιθαμῇ· ὁ δρακὶ κατέχων τὴν γῆν· ὁ ἄρτος τῆς ζωῆς· ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ὁ προμηθεύς· ὁ καταλαμπτίφρων· ὁ ἀμόλυντος· ὁ ἄσπιλος· ὁ ἀπαθής· ὁ σκεπαστής· ὁ βοηθός· ὁ ἐνοποιός· ὁ μόνος λυτρωτής· ὁ ὑπεράρχιος· ὁ ἀκίνητος πρὸς κακίαν· ὁ αἰνετός· ὁ ὑπερυφούμενος· ὁ λύχνος τοῦ φωτός· ὁ πλαστουργός· ὁ φρουρός· ὁ προστάτης· ὁ φύλαξ· ὁ συνουσιοουσιωτής· ὁ φίλιος· ὁ νικαγωγεύς· ὁ λαμπαδιανάπτης· ὁ τεινοδοκίδας· ὁ βοθυνοποιός· ὁ πιθιοδείκτης· ὁ κεντροπήκτης· ὁ σφαιρεργατής· ὁ ἡλιοκινήτωρ· ὁ μηναυγαστής· ὁ πλανήτων ὁδοποιός· ὁ ζῶν· ὁ ἀεὶ ζῶν· ὁ ποιητὴς τῶν ἀγγέλων· ὁ ζωοαφανοληγοτροπεύς· ὁ ἠλδανοχεύς (*ita cod.*)· ὁ χθονερπιτονεμετεργάτης· ὁ ἀνώνυμος· ὁ πολυώνυμος· ὁ παντώνυμος· ὁ ἔποχος (*ita cod.*) σωφροσύνης· ὁ ἀνόμοιος· ὁ ζωννύων τοῖς βασιλεῦσιν ἰσχύν· ὁ ὑπερκέραυνος· ὁ θέτιν κρίνων· ὁ ἀνδρομέδων· ὁ ὅσιος· ὁ ζηλωτής· ὁ Σαβαώθ· ὁ ἀπαραλόγιστος· ὁ μὴ ἔχων ἀναλογίαν· ὁ ἑτεροιότητοι ποιητικός· ὁ εἷς ἐν τῇ φύσει· ὁ εἷς ἐν τῇ βασιλείᾳ· ὁ εἷς ἐν τῇ δεσποτείᾳ· ὁ εἷς ἐν τῇ κυριότητι· ὁ εἷς ἐν τῇ δυνάμει· ὁ μόνος πλούσιος· ὁ μόνος ἀγαθοδότης· ὁ Ὑλύμπιος· ὁ χθόνιος· ὁ ὑφηγητὴς τῶν διόντων· ὁ κραταιός· ὁ τερπικέραυνος· ὁ νεφεληγερέτης· ὁ ὑψιβρεμέτης· ὁ ὑπέρτατα δώματα ναίων· ὁ σεισίχθων· ὁ ἀσκληπιαρχός· ὁ θαρσοποιός· ὁ μειλίχιος· ὁ προσηνής· ὁ τόμουρος· ὁ εἰρηνοποιός· ὁ εἰρηνάρχης· ὁ εἰρηνώνυμος· ἡ αὐτοπάγη· ὁ ἀμβροσιοδότης· ὁ τοῦ νέκταρος παροχεύς· ὁ κοσμήσας τὸν οὐρανόν· ὁ κατάγων ὑετούς· ὁ ταπεινοὺς ὑψῶν· ὁ συντρίβων τοὺς ἐπηρμένους· ὁ ἀνυψῶν κέρας τῶν χρηστῶν αὐτοῦ· ὁ βασιλεῖς κρατύνων· τὸ καταναλίσκον πῦρ ἁμαρτίας· τὸ ἀνύστακτον ὄμμα· ὁ τὴν ταπείνωσιν προσιέμενος· ὁ ἀντιτάσσων τοῖς ὑπερηφάνοις· ὁ καταβράσσων τοὺς ἀλαζόνας· ὁ πᾶσι χέων τὸν ἔλεον· ὁ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς βρέχων· ὁ ἀνατέλλων τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους· ὁ πάντα ποιῶν καὶ μετασκευάζων· ὁ τὰς φύσεις ἀλλοιῶν· ὁ εἰδὼς τὰ πάντα καὶ πρὸ γενέσεως· τὸ τῆς εὐσπλαγχνίας ἀνεξιχνίαστον πέλαγος· ἡ θάλασσα τῶν ἀγαθῶν· ἡ πλημμύρα τῶν καλῶν· ὁ τῶν ἐσθλῶν πρύτανις· ὁ μόνος φοβερός· ὁ ἔχων θρόνον τὸν οὐρανόν· ὁ ὑποπόδιον αὐχῶν τὴν γῆν· ὁ χαλινῶν ψάμμῳ τὴν θάλασσαν· ὁ τὴν ἀγριότητα τοῦ πόντου ἀναχαιτίζων· ὁ λειοκύμονα ταύτην ἀπεργαζόμενος· ὁ τὸ εὐπλοεῖν ταῖς νυυσὶ παρεχόμενος· ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν· ἡ μάχαιρα τῆς κακίας· ἡ ἀξίνη τῆς ἀδικίας· ἡ βομφαία τοῦ σατάν· ἡ σπάθη τῆς πονηρίας· ἡ τῆς δολιότητος θραῦσις· ὁ τὴν διαβολὴν μισῶν· ὁ ποιητὴς τῶν ὁρατῶν· ὁ πλάστης τῶν νοητῶν· ὁ παραγωγεὺς τῶν αἰσθητῶν· ὁ δημιουργὸς τῶν μὴ φαινομένων· ὁ κτίστης τῶν ἀΰλων· ὁ συνοχεὺς τῶν ἐνύλων· ὁ ἐσθλός· ἡ αὐτοαγαθότης· ὁ ἐλεήμων· ὁ ἐλεουργός· ὁ αὐτόνυκτος· ὁ οἰκτείρων· ὁ μεθ' ἡδονῆς ἐλέῳ χρῶν· ὁ τοὺς δικάζοντας δικάζων· ὁ τοὺς ἐλεοῦντας ἐλεῶν· ὁ τοὺς ἀγαπῶντας ἀγαπῶν· ὁ τῶν μελλόντων γνώστης· ὁ ἁπλώσας αἰθέρα· ὁ τὸ ἀρχέγονον διατμήξας φῶς· ὁ φωτοειδής· ὁ τῶν φώτων δοτήρ· ὁ χειρὶ κατέχων πᾶσαν ζωήν· ὁ τὸ ἔαρ κοσμήσας· ὁ τοῦ θέρους παραγωγεύς· ὁ τὸ φθινόπωρον τεκτηνάμενος· ὁ τῷ χειμῶνι ἀφορίσας τὸ ψῦχος· ὁ χειμάρρους ἀνατέλλων· ὁ ποταμοὺς ξηραίνων· ὁ κυκλοφορῶν τοὺς ἀστέρας· ὁ ἀήττητος· ὁ ἀπολέμητος· ὁ ἄψαυστος· ὁ ἀμερής· ὁ ἀμερίστως πάντα ὁρῶν· ὁ χαροποιός· ὁ θυμηδιοδότης· ὁ σοφριοδότης· ὁ νημερτής· ὁ ὕπατος· ὁ παντόφυλαξ· ὁ παντοθρέμμων· ὁ πάντα ὡς ἐν βλέπων· ὁ ἀδέκαστος· ὁ πνοοκράτωρ· ὁ ὑγειοδότης· ὁ ἀδιάβλητος· ὁ ἀπαθής· ὁ ἀνείκαστος ἐν ἀγαθότητι· ὁ αὐτονοῦς· ἡ αὐτογνῶσις· ἡ αὐτονόησις· ἡ αὐτοτελειότης· ὁ τὰ ἀσθενῆ ἐνδυναμῶν· ἡ μεγαλόβρυτος δύναμις· ὁ βροτουργός· τὸ βῆμα τὸ ἀλάθητον· ὁ ἀμεγέθης· τὸ μὴ ἰσόῤῥοπον μέγεθος· ἡ ἐνὰς ἡ ἑνοποιὸς τῶν ἑνάδων· ὁ πάντων ἐντός· ὁ νοσοφθόρος· ἡ τρυτάνη τῆς θέμιδος· ὁ χιονοβλήτης· ὁ γιγαντοῤῥοίστης· ὁ ἄαπτος· ὁ ἀπροσπέλαστος· ὁ ἀκήρατος· ἐν ᾧ ζωαί· ἡ αὐτοπνοή· δι' ὃν αἱ πνοαί· δι' οὗ αἱ πνοαί· ἐξ οὗ αἱ πνοαί· ὁ ἄπλητος· ὁ ὢν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΠΟΙΗΜΑ ΤΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΥΡΟΥ ΘΕΟΔΩΡΟΥ ΔΟΥΚΑ ΤΟΥ ΛΑΣΚΑΡΕΩΣ.

—

CANON EXHORTATORIUS

AD SANCTISSIMAM DEIPARAM,

OPUS

DOMINI THEOD. DUCÆ LASCARIS.

Ex Paraclelice Græcorum cum interpretstione nostra. Aliam versionem ediderat P. Raynaudus S. J. Opp. tom. VII, ab Hippolyto Maraccio acceptam, qui eam e Græco codice Leonis Allatii per fratrem suum Ludovicum Maraccium fieri curaverat. At omnino abludit a textu Græco Paraclelices.

—

1. *Hirmus.*

Pharaonem aurigam virga Mosis vi miraculosa diebus illis submersit. Postquam enim mare in crucis formam divisisset, Israelitas ex Ægypto migrantes, pedibusque iter facientes salvavit; qui Deo hymnum cecinerunt.

Adversitatum impetus animam meam humilem vexant; calamitatum nubes cor meum obscurant. Tu autem, Mater Dei, quæ lucem divinam atque æternam genuisti, illustra me lumine salutis.

Ex angustiis vitæ et tribulationibus ab inimicis illatis forti tuo brachio, o immaculata, liberatus, misericordiam tuam infinitam et erga me charitatem carmine celebro.

Igitur fiducia plenus in gremium tuum confugio, et apud te consolationem quærens adsum et humi prostratus, o Domina, lacrimabundus ac gemebundus precor ne me miserum spernas, tu qui Christianorum es refugium.

Absit ut magnalia tua silentio præteream. Nisi enim tu, Virgo, apud Filium tuum divinum causam meam egisses, quis me e tanta malorum voragine liberasset?

Eripe nos, servos tuos, o Deipara, e periculis. Secundum Deum enim ad te ut murum inexpugnabilem confugimus.

Respice, illustrissima Deipara, pro misericordia tua, ad miserias quibus corpus meum vexatur, et animæ doloribus medere.

α'. *Ὁ εἱρμός.*

Ἁρματηλάτην Φαραὼ ἐβύθισε τερατουργοῦσά ποτε Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾄσμα τῷ Θεῷ ἀναμέλποντα.

Τῶν λυπηρῶν ἐπαγωγαί χειμάζουσι τὴν ταπεινήν μου ψυχήν, καὶ συμφορῶν νέφη τὴν ἐμὴν κλύπτουσι καρδίαν, θεονύμφευτε, ἀλλ' ἡ φῶς τετοκυῖα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ἐξ ἀμετρήτων ἀναγκῶν καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν, καὶ συμφορῶν βίου, λυτρωθεῖς, πανάχραντε, τῇ κραταιᾷ δυνάμει σου, ἀνυμνῶ, μεγαλύνω τὴν ἄμετρόν σου συμπάθειαν, καὶ τὴν εἰς ἐμέ σου παράκλησιν.

Νῦν πεποιθὼς, ἐπὶ τὴν σὴν κατέφυγον ἀντίληψιν κραταιὰν καὶ πρὸς τὴν σκέπην ὁλοψύχως ἔδραμον, καὶ γόνυ κλίνω, Δέσποινα, καὶ θρηνῶ καὶ στενάζω, μή με παρίδῃς τὸν ἄθλιον, τῶν Χριστιανῶν καταφύγιον.

Οὐ σιωπήσω τοῦ βοᾷν τρανώτατα τὰ μεγαλεῖα τὰ σά· εἰ μὴ γὰρ σὺ, Κόρη, πάντοτε προΐστασο, ὑπὲρ ἐμοῦ πρεσβεύουσα τῷ Υἱῷ καὶ Θεῷ σου, τίς ἐκ τοσούτου με κλύδωνος καὶ δεινῶν κινδύνων ἐῤῥύσατο;

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντως μετὰ Θεὸν, εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

γ'. Ὁ εἱρμός.

Οὐρανίας ἀψίδος ὁροφουργὲ Χριστὲ καὶ Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Τροπάριον.

Ἀπορρήξας ἐκ πάντων, ὀδυνηρῶς κράζω σοι πρόφθασον, θερμὴ προστασία, καὶ σὴν βοήθειαν δός μοι τῷ δούλῳ σου, τῷ ταπεινῷ καὶ ἀθλίῳ, τῷ τὴν σὴν ἀντίληψιν ἐπιζητοῦντι θερμῶς.

Ἐθαυμάστωσας ὄντως νῦν ἐπ' ἐμοί, Δέσποινα, τὰς εὐεργεσίας σου, Κόρη, καὶ τὰ ἐλέη σου, ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω τὴν πολλὴν καὶ ἄμετρον κηδεμονίαν σου.

Καταιγίς με χειμάζει τῶν συμφορῶν, Δέσποινα, καὶ τῶν λυπηρῶν τρικυμίαι καταποντίζουσιν· ἀλλὰ προφθάσασα χεῖρά μοι δὸς βοηθείας, ἡ θερμὴ ἀντίληψις καὶ προστασία μου.

Ἀληθῆ Θεοτόκον ὁμολογῶ, Δέσποινα, σὲ τὴν τοῦ θανάτου τὸ κράτος ἐξαφανίσασαν, ὡς καὶ φυσίζωος ἐκ τῶν δεσμῶν τῶν τοῦ ᾅδου πρὸς ζωὴν ἀνήγαγες εἰς γῆν με ῥεύσαντα.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασον τῆς ψυχῆς μου τὸ ἄλγος.

δ'. Ὁ εἱρμός.

Σύ μου, Χριστὲ, Κύριός μου καὶ δύναμις, σὺ Θεὲ, σύ μου ἀγαλλίαμα, ὁ περὶ κυρίους κόλπους μὴ λιπὼν καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος, διὸ σὺν τῷ προφήτῃ Ἀββακούμ σοι κραυγάζω, Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Τροπάριον.

Καὶ ποῦ λοιπὸν ἄλλην εὑρήσω ἀντίληψιν; ποῦ προσφύγω; ποῦ δὲ καὶ σωθήσομαι; τίνα θερμὴν ἕξω βοηθὸν θλίψεσι τοῦ βίου καὶ ζάλαις, οἴμοι! κλυδωνίζομαι; Εἰς σὲ μόνην ἐλπίζω, καὶ θα�ῤῥῶ, καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου, σῶσόν με.

Τὸν ποταμὸν τὸν γλυκερὸν τοῦ ἐλέου σου, τὸν πλουσίαις δωρεαῖς δροσίσαντα τὴν παναθλίαν καὶ ταπεινὴν, πάναγνε, ψυχήν μου, τῶν συμφορῶν καὶ τῶν θλίψεων καμίνῳ φλογισθεῖσαν, μεγαλύνω, κηρύττω καὶ προστρέχω τῇ σκέπῃ σου, σῶσόν με.

Σὲ τὴν ἁγνὴν, σὲ τὴν Παρθένον καὶ ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγὴν, σκέπην κραταιὰν, ὅπλισμα σωτηρίας, μή με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπελπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ καὶ ἀντίληψις.

Πῶς ἐξειπεῖν σου κατ' ἀξίαν δυνήσομαι τοὺς ἀμέλους οἰκτιρμοὺς, ὦ Δέσποινα, τοὺς τὴν ἐμὴν πάντοτε ψυχὴν δεινῶς θλιβομένην ὡς ὕδωρ περιχυκλώσαντας; Ἀλλ' ὦ τῆς σῆς προνοίας καὶ τῆς εὐεργεσίας, ἧς ἀφρόνως ὁ τάλας ἀπώλεσα.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ

3. *Hirmus.*

Apsidis cœlestis constructor, et Ecclesiæ moderator, Christe, tu me firma in amore tuo, summum animæ desiderium, fidelium fulcrum et adminiculum, Deus misericors.

Troparium.

Ab omni malo, præsidio tuo benigno, me eripe, et auxilium fer servo tuo humili et infortunato, qui salutis spem in te uno ponit.

Miram te mihi præstitisti, Domina, Virgo, in beneficiis quæ in me contulisti; quare magnificentiam tuam laudibus atque hymnis celebrare nunquam desisto.

Tempestates, Domina, in me irruunt, et ærumnarum gurges me devorat; sed tu manum mihi auxiliatricem porrige, præsidium et adjutrix mea.

Veram te Deiparam confiteor, quæ mortis imperium abolevisti, et quæ vi tua vivifica ex inferni vinculis ad vitam hac in terra me revocasti.

Eripe nos servos tuos, o Deipara, e periculis. Secundum Deum enim ad te ut murum inexpugnabilem et adjutricem confugimus.

Respice, illustrissima Deipara, pro misericordia tua, ad miserias quibus corpus meum tribulatur, et animæ doloribus medica adsis.

4. *Hirmus.*

Christe, Domine et Deus, exsultatio mea, qui pro divina tua misericordia paupertatem meam respexisti: ergo cum Ambacum exclamo: Virtuti tuæ gloria, misericors!

Troparium.

Ubi tandem aliud inveniam refugium? quo confugiam? ubinam salvus ero? quodnam auxilium in vitæ ærumnis et tribulationibus habebo? Tibi soli confido; in te glorior; sub alas tuas confugio. Serva me!

Dulce flumen misericordiæ tuæ, quod animam meam ærumnosam ac humilem beneficiis recreavit; animam dico in malorum ac tribulationum camino purificatam; te magnifico, te carminibus celebro. Salva me!

Te Virginem sanctam, immaculatam solam habeo, murum inexpugnabilem, refugium salutis; ne te avertas a me misero, hominum desperantium spes et propugnaculum, ægrorum gaudium et consolatio.

Quomodo, o Domina, misericordias tuas pro dignitate prædicabo, quæ animam meam undique vexatam, ut aquæ insulam, circumdederunt? O sollicitudines, o beneficia, quorum ego miser jacturam feci!

Eripe nos servos tuos, o Deipara, e periculis. Secundum Deum enim ad te ut murum inexpugnabilem confugimus.

Respice, illustrissima Deipara, pro misericordia

tua, ad miserias quibus corpus meum vexatur, et animæ doloribus medere.

5. *Hirmus.*

Cur me a vultu tuo rejecisti, Lumen inaccessum? Tenebræ diræ me circumdant miserum. Sed ad me convertere, quæso, et vias meas secundum lumen mandatorum tuorum dirige.

Troparium.

Grato ex animo ad te clamo: Ave, Virgo Mater, salve, sponsa Dei; salve, refugium divinum; salve, velum et murus inaccessus; ave, præses, salvatrix eorum qui cum fide ad te confugiunt.

Qui me odio habent, tela, enses et fossas in vanum apparant, ut miserum meum corpus dilacerent et in ima terræ deprimant. Tu autem ex eorum insidiis me libera.

Quodnam grati animi donum tibi offeram pro donis quæ infinita tua magnificentia in me contulit? Age, misericordiam tuam in me ineffabilem sine me prædicare et carmine celebrare.

Libera nos servos tuos, Deipara, e periculis. Tu enim, secundum Deum, murus noster æneus et refugium exsistis.

Respice, clarissima Deipara, pro clementia tua, ad ærumnas quibus corpus meum tribulatur, et animæ doloribus remedium affer.

6. *Hirmus.*

Precationes effundo erga Dominum eique tribulationes meas aperio; ærumnis enim satiata est anima mea, et vita mea morti appropinquat, et jam precor, sicut Jonas: A malo, Domine, me delibera!

Troparium.

Calamitatum nubes animam meam miseram et cor obscuraverunt, et tenebris replent. Sed tu, Virgo, quæ lumen inaccessum genuisti, vocationis tuæ divinæ instigatione hæc longe fuga.

Te in miseriis consolatricem et morborum medicam cognovi; te mortis destructricem et vitæ fluvium inexhaustum, et in omni tribulatione promptam et efficacem novi consolatricem.

Misericordiæ tuæ abyssum et miraculorum, quæ innumera perpetras, charitatisque in me inexhaustæ fontem non sileo, Domina, imo una cum omnibus prædico et alta voce annuntio.

Vitæ ærumnæ me undique circumdederunt, ut apes alveare, o Virgo, et miseriæ tela cor meum vulnerant. Sed te auxiliatricem et liberatricem obviam habeo.

Libera nos servos tuos, o Deipara, e periculis. Secundum Deum enim ad te ut murum inexpugnabilem et præsidem confugimus.

Respice, inclytissima Deipara, pro clementia tua, ad miserias quibus corpus meum vexatur, et animæ dolenti medere.

τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

ε'. *Ὁ εἱρμος.*

Ἵνα τί με ἀπώσω ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς, τὸ ἄδυτον; καὶ ἐκάλυψέ με τὸ ἀλλότριον σκότος τὸν δείλαιον, ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου τὰς ὁδούς μου κατεύθυνον, δέομαι.

Τροπάριον.

Εὐχαρίστως βοῶ σοι, χαῖρε, Μητροπάρθενε, χαῖρε, θεόνυμφε, χαῖρε, θεία σκέπη. χαῖρε, ὅπλον καὶ τεῖχος ἀπόρθητον, χαῖρε, προστασία καὶ βοηθὴ καὶ σωτηρία τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως.

Οἱ μισοῦντες με μάτην βέλεμνα καὶ ξίφη καὶ λάκκον ἡτοίμασαν, καὶ ἐπιζητοῦσι τὸ πανάθλιον σῶμα σπαράξαι μου, καὶ καταβιβάσαι πρὸς γῆν, ἀγνὴ, ἐπιζητοῦσιν, ἀλλ' ἐκ τούτων προφθάσασα σῶσόν με.

Τί σοι δῶρον προσάξω τῆς εὐχαριστίας ἀνθ' ὧνπερ ἀπέλαυσα τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος; Τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγάλυνω σου τὴν ἄφατον πρός με συμπάθειαν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντως μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

ς'. *Ὁ εἱρμός.*

Τὴν δέησιν ἐκχέω πρὸς Κύριον καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε, καὶ δέομαι ὡς Ἰωνᾶς, Ἐκ φθορᾶς, ὦ Θεὲ, μὲ ἀνάγαγε.

Τροπάριον.

Τὰ νέφη τῶν λυπηρῶν ἐκάλυψαν τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμὸν ἐμποιοῦσί μοι, Κόρη· ἀλλ' ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον, ἀπέλασον ταῦτα μακρὰν τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου.

Παράκλησιν ἐν ταῖς θλίψεσιν οἶδα καὶ τῶν νόσων ἰατρόν σε γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς ταχινὴν καὶ ὀξεῖαν ἀντίληψιν.

Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων καὶ τὴν πηγὴν τὴν ἀένναον ὄντως τῆς πρὸς ἐμὲ συμπαθείας σου, Δέσποινα, ἀλλ' ἅπασιν ὁμολογῶ καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι.

Ἐκύκλωσαν αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον, Παρθένε, καὶ τὴν ἐμὴν κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλη τῶν θλίψεων· ἀλλ' εὕρηκά σε βοηθὸν καὶ διώκτην καὶ ῥύστην, πανάχραντε.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

ζ'. Ὁ εἱρμός.

Παῖδες Ἑβραίων ἐν καμίνῳ κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον, βοῶντες, Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας!

Τροπάριον.

Φῶς ἡ τεκοῦσα Θεοτόκε σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σὺ, φωτὸς οὖσα δοχεῖον, τὸ καθαρὸν καὶ ἄμωμον, ἵνα πόθῳ σε δοξάζω.

Σκέπη γενοῦ καὶ προστασία καὶ ἀντίληψις καὶ καύχημα, Παρθένε, γυμνωθέντι μοι νῦν ἁπάσης βοηθείας, ἀβοηθήτων δύναμις καὶ ἐλπὶς ἀπελπισμένων.

Ὅλῃ ψυχῇ καὶ διανοίᾳ καὶ καρδίᾳ σε καὶ χείλεσι δοξάζω, ἀπολαύσας τῶν σῶν μεγάλων χαρισμάτων, ἀλλ' ὦ τῆς σῆς χρηστότητος καὶ ἀπείρων σου θαυμάτων!

Βλέψον ἐλέῳ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν ἣν ἔχω, καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων καὶ πειρασμῶν με λύτρωσαι ἀμετρήτῳ σου ἐλέει.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντως μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

η'. Ὁ εἱρμός.

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα καὶ ἐν βάτῳ τόκον τῆς Ἀειπαρθένου τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Διὰ σπλάγχνα ἐλέους σου, Παρθένε, μὴ παρίδῃς σεμνὴ πονουμένον με σάλῳ βιωτικῶν κυμάτων, ἀλλὰ δίδου μοι χεῖρα βοηθείας καταπονουμένῳ κακώσεσι τοῦ βίου.

Περιστάσεις καὶ θλίψεις καὶ ἀνάγκαι εὗρόσάν με, Ἁγνή, καὶ συμφοραὶ τοῦ βίου καὶ πειρασμοί με πάντοθεν ἐκύκλωσαν, ἀλλὰ πρόστηθί μοι καὶ ἀντιλαβοῦ μου τῇ κραταιᾷ σου σκέπῃ.

Ἐν ταῖς ζάλαις ἐφεῦρόν σε λιμένα, ἐν ταῖς λύπαις χαρὰν καὶ εὐφροσύνην, καὶ ἐν ταῖς νόσοις ταχεινὴν βοήθειαν, καὶ ἐν τοῖς κινδύνοις ῥύστιν καὶ προστάτιν ἐν τοῖς πειρατηρίοις.

Χαῖρε, θρόνε πυρίμορφε Κυρίου, χαῖρε χρυσῆ λυχνία, λαμπὰς ἄσβεστε, χαῖρε τῶν παρθένων δόξα καὶ μητέρων ὡράϊσμα καὶ κλέος.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν, εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κακωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

θ'. Ὁ εἱρμός.

Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανὸς, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς ὤφθη τοῖς ἀνθρώποις ωματι·ῶς, καὶ ἡ γαστήρ σου γέγονεν εὐρυχωροτέρα

7. *Hirmus.*

Hebræorum filii in fornace flammam strenue exstinxerunt, et ignem ipsum in rorem transmutarunt, clamantes: Benedictus es, Domine Deus, in sæcula!

Troparium.

Deipara, quæ lumen procreasti, nocte me peccatorum circumfusum illumina, quæ lucis es conservatrix pura et immaculata, ut ex intimo te corde glorificem.

Præside mihi, Virgo consolatrix, qui omni auxilio destitutus sum; tu enim potentia tua egenorum auxiliatrix es et spes eorum qui jam de omnibus desperaverunt.

Ego omni ex corde ac mente et labiis te magnifico, cujus magnis donis fruor: o benignitatem tuam, o innumerabilium miraculorum quæ tu penetras, numerum indefinitum!

Respice oculo propitio miserum, in quo sum, statum, et pro infinita tua misericordia e miseriis, periculis ac tentationibus me eripe.

Erue nos, servos tuos, o Deipara, e periculis; quia secundum Deum, ad te ut murum inconcussum confugimus.

Respice, clarissima Deipara, pro misericordia tua, ad ærumnas quæ corpus meum obruunt, et animæ dolorosæ succurre.

8. *Hirmus.*

Dominum, qui in monte sancto et in rubo Moysi Virginis partum mysticum indicavit, laudate et superexaltate in sæcula.

Troparium.

Ob misericordiæ quæ habes viscera, ne me undarum maris hujus vitæ immersum deseras, sed manum mihi auxiliatricem porrige ærumnis vitæ tribulato.

Miseriæ et calamitates et rerum angustiæ, o Virgo sancta, me invaserunt; ærumnæ autem vitæ ac tentationes me undique obruerunt; tu igitur mihi cum brachio tuo forti auxiliabunda adsis.

In tempestatibus tu mihi portus, in tristitia tu gaudium et lætitia ades; in morbis tu mihi promptam fers opem, e periculis me eripis; in tentationibus tu mihi liberatrix assistis.

Ave, throne Ignite Domini: ave luminare aureum, lampas inexstincta; ave, virginum gloria, matrum illustratio!

Eripe nos, servos tuos, e periculis; qui secundum Deum ad te ut murum inconcussum et munimen confugimus.

Respice misericorditer, illustrissima Deipara, ad morbos corporis mei, et animæ dolorosæ auxilium feras.

9. *Hirmus.*

Cœlum obstupuit, terræ termini tremuerunt, quia Deus hominibus secundum carnem apparuit; venter autem tuus amplior quam ipsum cœlum est

factus. Hanc ob causam angelorum et hominum chori te magnificant.

Troparium.

Ad quam, quæso, aliam me convertam, sanctissima? quo confugiam ut salvus fiam? quo proficiscar! Quam consolationem, quam auxiliatricem reperiam? In te unam spero, de te sola glorior, et ad te cum fiducia confugio.

Nemo sane, o Sponsa Dei, magnalia tua et abyssum imperscrutabilem miraculorum tuorum enarraverit, ob quæ ardenter te venerantur et omnes ut veram Dei Genitricem adorant. In hymnis gratiarum referendarum officium implentibus misericordiam infinitam celebro, et magnam tuam virtutem et beneficia in me tua omnibus prædico et ex mente, corde, animo et voce annuntio.

Suscipe preces meas humillimas, et clamori meo aures præbe, et lacrymas vide et quæ te precor annue; omnipotens enim es ut Domini omnipotentis Mater, dummodo humilitatem meam respexeris.

Libera nos, servos tuos, o Deipara, e periculis. Secundum Deum enim ad te ut murum inexpugnabilem et antistitam confugimus.

Respice, illustrissima Dei Genitrix, pro clementia tua ad miserias, quibus corpus meum vexatur, et animæ tribulatæ doloribus remedium affer.

A τῶν οὐρανῶν· διό σε, Θεοτόκε, ἀγγέλων καὶ ἀνθρώπων ταξιαρχίαι μεγαλύνουσιν.

Τροπάριον.

Πρὸς τίνα καταφύγω ἄλλην, Ἁγνή; ποῦ προσδράμω λοιπὸν καὶ σωθήσομαι; ποῦ παρευθῶ; ποίαν δὲ ἐφεύρω καταφυγὴν, ποίαν θερμὴν ἀντίληψιν, ποίαν ἐν ταῖς θλίψεσι βοηθόν; εἰς σὲ μόνην ἐλπίζω, εἰς σὲ μόνην καυχῶμαι, καὶ ἐπὶ σὲ θαῤῥῶν κατέφυγον.

Οὐκ ἔστιν ἀριθμήσασθαι δυνατὸν, μεγαλεῖα τὰ σὰ Θεονύμφευτε, καὶ τὸν βυθὸν τὸν ἀνεξερεύνητον ἐξεπεῖν τῶν ὑπὲρ νοῦν θαυμάτων σου, τῶν τετελεσμένων διηνεκῶς τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσχυνοῦσιν ὡς ἀληθῆ Θεοῦ λοχεύτριαν.

B Ἐν ὕμνοις εὐχαρίστοις δοξολογῶ, καὶ γεραίρω τὸ ἄμετρον ἔλεος, καὶ τὴν πολλὴν δύναμίν σου πᾶσιν ὁμολογῶ, καὶ τὰς εὐεργεσίας σου ἃς ὑπερεκένωσας εἰς ἐμὲ, κηρύττω, μεγαλύνω ψυχῇ τε καὶ καρδίᾳ καὶ λογισμῷ καὶ γλώσσῃ πάντοτε.

Τὴν δέησίν μου δέξαι τὴν πενιχρὰν, καὶ κλαυθμὸν μὴ παρίδῃς, καὶ δάκρυα καὶ στεναγμὸν, ἀλλ' ἀντιλαβοῦ μου ὡς ἀγαθὴ, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς Δεσπότου Θεοῦ μήτηρ, εἰ νεύσεις ἔτι μόνον πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντως μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

C Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Theodori librum de communicatione naturali ex mss. producimus in Addendis

---

ANNO DOMINI MCCLXI

METHODIUS MONACHUS

NOTITIA

(Angelo Mai, Script. vet. tom. III, p. 246.)

Dum Ephræmii Catalogum patriarcharum Byzantinorum Latinum facerem typisque excuderem, multa mihi in Vaticanis codicibus scripta prædictorum patriarcharum occurrebant luce sæpe digna, et quæ singulorum præsulum temporumque historiam augebant, resque apprime ecclesiasticas illustrabant. Ac tantum sane numerum in manibus habeo epistolarum, sermonum, decretorum, tractatuum, synodorum, ut peculiaris ex his scriptis tomus in hac mea collectione conficiendus postea videatur. Nunc, his omnibus prætermissis, unum delegi Methodii monachi libellum ineditum, quo nullum fere vidi aptius ad Byzantinæ sedis vicissitudines varias oculis subjiciendas. Scribendi autem opusculi hæc causa fuit: Michael VIII imperator Palæologus anno Christi 1261, post recuperatum Latinis ejectis Constantinopolim, Joannem III Ducænum Lascarim, qui pupillus a patre relictus in Michaelis veluti tutela adolescebat, cumque ipso postea regnaturus erat, immani scelere excæcavit, atque ita omni spe regni proturbavit. Rei atrocitatem tulit ægerrime Arsenius patriarcha Byzantinus; eoque processit, ut imperatorem Michaelem ab ecclesiastica communione removerit: qui mox culpam suam, ut par erat, profitens, canonicam absolutionem implorabat. Quam ubi parum credulus patriarcha indignabundusque negavit, coacta episcoporum synodo dedit operam Michael, ut Arsenius

sede depelleretur, eique Germanus III substitueretur. Rem plenius cognoscere licet ex Arsenii testamento, quod Cotelerius Monum. eccl. Gr. *t. II p.* 168, *vulgavit. Germano item Josephi abbatis artificiis expulso, Josephus ipse patriarchalem sedem, adnitente Cæsare, obtinuit. Interim Byzantina Ecclesia gravi schismate aboravit, dum alii Arsenio ut inique exauctorato studerent; alii, ut fit, Josephum patriarcham novellum sectarentur. Hoc animorum fervente æstu, atque in his ecclesiasticis motibus, Methodius monachus, ut schismati (quod sane pessimum Ecclesiæ malum est) obviam iret, libellum scribendum censuit, quo demonstraret Byzantinam Ecclesiam, quanquam sæpe a præpotentia Cæsarum (de qua legendus est Lequinius* Or. Ch. *t. I, disserl. præv. cap.* 17) *contra æquissimas et sanctissimas canonum normas, pastores invita accepisset, nihilo tamen minus perpetuo cavisse, ne schisma in populo fieret; dummodo hi præsules orthodoxam fidem retinerent. In hoc scilicet vertitur totius summa opusculi; cujus notitiam seu titulum tradidit olim Allatius in Diatribe de Methodiis, p.* 383, *neque tamen ubinam id latitaret nobis indicavit: mihi vero in Vaticanis codicibus deprehensum est, et typis dignum atque utile visum. Etsi enim idem argumentum anonymus alius auctor versavit, quem e codice Barocciano anno* 1691 *vulgavit Oxonii Humphredus Hodius* (a), *Baroccianum tamen opusculum et brevius est, et ab hoc Vaticano satis diversum, ut legens comperi.*

(a) Opusculi ab Humfredo editi titulus hic est : *Anglicani novi schismatis redargutio seu tractatus ex historiis ecclesiasticis, quo ostenditur, episcopos, injuste licet depositos, orthodoxi successoris communionem nunquam refugisse.* Edit.

DE SCHISMATE VITANDO

LIBELLUS.

ΜΕΘΟΔΙΟΥ ΜΟΝΑΧΟΥ Συλλογὴ ἐκ διαφόρων συνοπτικῶν βιβλίων, ὅτι οὐ δεῖ σχίζεσθαι τοὺς λαοὺς ἀπὸ τῶν ἀρχιερέων ὀρθοδόξων ὄντων, εἰ κατά τινα ἐγκληματικὴν περίστασιν ἡ χειροτονία αὐτῶν προβῇ.

METHODII MONACHI ex diversis libris synopticis Sylloge, qua demonstratur haud oportere populos ab orthodoxis episcopis semet sejungere, quanquam ex aliqua criminosa ratione electio eorum processerit.

α'. Ἱστέον ὡς παραιτησαμένου μεγάλου Γρηγορίου τοῦ Θεολόγου τὸν θρόνον Κωνσταντινουπόλεως καὶ ἀναχωρήσαντος, Νεκτάριος πατριάρχης χειροτονήται, καὶ μετ' αὐτὸν ὁ μέγας Χρυσόστομος· τούτου ἐκβληθέντος ἀδίκως, Ἀρσάκιος ὁ τοῦ εἰρημένου Νεκταρίου ἀδελφὸς εἰς τὸν θρόνον ἀνήχθη παρὰ πᾶσαν κανονικὴν παρατήρησιν· οὐ μόνον διὰ τὴν τοῦ ἱεροῦ Χρυσοστόμου ἄδικον ἔξορίαν, ἀλλ' ὅτι, ὡς λέγεται, καὶ ζηλοτυπούμενος πρὸς τοῦ ἰδίου ἀδελφοῦ Νεκταρίου, ὤμοσεν αὐτῷ τὸν τῆς βασιλίδος θρόνον μηδέποτε καταδέξασθαι. Μετὰ τοῦτον ἀνάγεται Ἀττικὸς εἰς τὸν θρόνον, ἔτι τοῦ Χρυσοστόμου ζῶντος· εἴκοσι γὰρ οὗτος ἐπιζήσας χρόνους τῷ θρόνῳ, θνήσκει. Ἐλύθη δὲ τὰ σχίσματα τῆς Ἐκκλησίας ἔτι ζῶντος Ἀττικοῦ, τῷ συντάξαι αὐτὸν τὸν θεῖον Χρυσόστομον μετὰ τῶν ὀρθοδόξων πατριαρχῶν ἐν τοῖς ἱεροῖς διπτύχοις. Μετὰ Ἀττικὸν Σισίνιος· μετὰ τοῦτον Νεστόριος. Τούτου καθαιρεθέντος ἐν τῇ τρίτῃ συνόδῳ, Μαξιμιανὸς τῆς Κωνσταντινουπόλεως χειροτονεῖται ἐπίσκοπος. Τούτου τελευτήσαντος, ὁ ἱερὸς ἐκ Κυζίκου μετατίθεται Πρόκλος εἰς Κωνσταντινούπολιν εἰδήσει καὶ συναινέσει τοῦ τηνικαῦτα Ῥώμης ἀρχιερέως, ὡς ὁ Ζωναρᾶς ἱστορεῖ ἐν τῷ Χρονικῷ αὐτοῦ (1)· καὶ ἀλλαχοῦ δὲ φέρεται. Ὁ δὲ θεῖος Πρό-

1. Postquam magnus Gregorius Theologus Constantinopolitanam sedem abs se abdicatam dimisit, creatus est patriarcha Nectarius; et post hunc Chrysostomus; quo inique expulso, Arsacius prædicti Nectarii frater ad sedem evectus est, sane contra omnem canonicam regulam; non solum ob injustum Chrysostomi exsilium, verum etiam quia, ut traditum est, sollicito ob æmulationem fratri Nectario juraverat Arsacius, nunquam se regiæ urbis infulas fore recepturum. Arsacio successit, superstite adhuc Chrysostomo, Atticus, qui nonnisi post vicesimum episcopatus annum mortuus est. Ecclesiæ vero schisma sublatum est, cum nondum exstincto Attico divi Chrysostomi nomen in sacra Diptycha relatum fuit. Attico successit Sisinius, huic Nestorius: quo decretis tertiæ synodi deposito, Maximianus Constantinopoleos fit episcopus. Atque hoc mortuo, transfertur Cyzico Constantinopolim sanctus Proclus, sciente et comprobante qui per illud tempus erat Romæ hierarcha, ut et Zonaras in Chronico narrat, et aliunde etiam compertum est. Porro divus Proclus cum sancto Proclo Alexandrino communicabat; neque is tantummodo, verum etiam præcessor ejus Maximianus, nec non

(1) Lib. XIII, 22. Notitiæ tamen hujus partem aliunde sumit Methodius, ut ipsemet innuit; nam Zonaras de Romani pontificis suffragio nihil dicit.

Sisinius et Atticus. Nemini enim adversabantur sive Cyrillus sive reliqui patriarchæ propter vel sedis translationem, vel alienam a summo jure canonico electionem. Neque vero episcoporum horum ordinationes a quopiam repudiabantur. Qui enim id fieri poterat, prædictis summatibus consentientibus?

2. Quod vero res ita se habuerit, cum aliunde constat, tum etiam ex epistola ad Nestorium sancti Cœlestini papæ Romani palam fit, quæ incipit : « Aliquantis diebus vitæ nostræ. » Et paulo post : « Sanctæ recordationis Atticus catholicæ magister (2) fidei, et vere beato Joanni etiam ad ista successor. » Et multis interjectis : « Cur tamen ea quæ adversus hos tunc sunt acta, quæruntur, cum certum sit illinc ad nos a catholico episcopo Attico tunc commentarios esse directos? » Idem ad clerum Constantinopoleos, atque ad tunc versantes ibidem, episcopos, presbyteros diaconosque scribens contra Nestorium, sic loquitur : « Nam ut a recentioribus inchoemus, quid non animos vestros magisterium edocuit sanctæ recordationis Joannis episcopi, cujus oratio catholicam astruens fidem toto orbe diffusa est? qui nusquam per doctrinam suam defuit, quia ubicunque lectus est, prædicavit. Illius diligenti prudentiæ constantia celebrata successit. Rexit enim sanctæ recordationis episcopus Atticus Christianum populum decessoris exemplo, et sacrilegos persecutus est hæreticorum furores. » Cyrillus item in sua ad Nestorium epistola ait : « Testor, vivente adhuc beatæ recordationis Attico, scripsisse me de sancta et consubstantiali Trinitate libellum. » Sic ergo isti se gesserunt locutique sunt.

3. Quis vero ignorat, quod jam ego dicturus sum, nempe illorum qui injustissimam scelestissimamque magni Chrysostomi depositionem curaverunt, principem fuisse Alexandrinum Theophilum, proximos autem huic Severianum Gabalitanum, et Berrhoensem Acacium? Attamen hi post Chrysostomi obitum, quanquam apud Innocentium papam postulati fuerunt, tamen neque depositi sunt neque increpiti; quia pœnas propter Chrysostomum de ipsis sumendas Dei judicio papa permisit. Ipsum vero Theophilum quis a propria communione removit, qui omnium Chrysostomi calamitatum verbo operaque auctor fuit propter invidiam adversus hunc susceptam? Sane et in Patrum Vitis sic legimus: « Dixit sanctus Theophilus episcopus Alexandriæ. » Quod autem hos Ecclesia in venerabilium habeat patriarcharum atque pastorum numero, testimo-

(2) In Appendice prima ad jur. civ. Vat., p. 144, jam demonstravi, textum genuinum epistolæ hujus in codice antiquo Bobiensi habere *amator* pro *magister*. Hic tamen sequi debeo Methodii lectionem διδάσκαλος, cujusmodi est in vulgatis Græcis editionibus.

A κλο; κοινωνικὸς ἦν τῷ ἁγίῳ Πρόκλῳ τῷ Ἀλεξανδρείας· οὐ μόνον δ' οὗτος, ἀλλὰ καὶ ὁ πρὸ αὐτοῦ Μαξιμιανὸς, καὶ δὴ καὶ Σισίνιος, καὶ Ἀττικός. Πρὸς οὐδένα καὶ γὰρ διεφέροντο οὔτε Κύριλλος, οὔτε οἱ λοιποὶ πατριάρχαι ἕνεκα τῆς μεταθέσεως καὶ τῶν παρὰ τὴν κανόνων ἀκρίβειαν χειροτονιῶν. Ἀλλ' οὐδὲ αἱ τούτων χειροτονίαι ἄδεκτοί τινι ἐγεγόνεισαν· πῶς γὰρ, αὐτῶν ἐπαινουμένων;

β'. Καὶ ὅτι ἀληθὴς ὁ λόγος, δῆλον μὲν ἐξ ἄλλων, δῆλον δὲ ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς τοῦ ἁγίου Κελεστίνου, πάππα Ῥώμης, ἧς ἡ ἀρχή· « Ἐφ' ἡμέρας τινὰς τῆς ζωῆς ἡμῶν· » καὶ μετ' ὀλίγα· « Αὐτίκα ὁ τῆς ἁγίας μνήμης Ἀττικὸς, ὁ διδάσκαλος τῆς καθολικῆς πίστεως, καὶ ἀληθῶς τοῦ μακαρίου Ἰωάννου καὶ εἰς ταῦτα διάδοχος· » καὶ μετὰ πολλά· B « Ὅμως διὰ τί τὰ κατ' ἐκείνων πεπραγμένα ζητεῖται, ὁπότε δῆλόν ἐστιν ὅτι ἐκεῖθεν πρὸς ἡμᾶς παρὰ τοῦ τότε ἐπισκόπου τοῦ καθολικοῦ Ἀττικοῦ τὰ ὑπομνήματα ἀπεστάλη; » Ὁ αὐτὸς καὶ εἰς τὸν κλῆρον Κωνσταντινουπόλεως γράφων καὶ εἰς τοὺς αὐτόθι τότε διάγοντας ἐπισκόπους, πρεσβυτέρους καὶ διακόνους κατὰ Νεστορίου, τάδε φησίν· « Ἵνα γὰρ ἀπὸ τῶν Νεαρῶν ἀρξώμεθα, τί οὐκ ἐνέβαλεν ἡμῶν ταῖς ψυχαῖς; ἡ παίδευσις τοῦ τῆς ἁγίας μνήμης Ἰωάννου ἐπισκόπου; οὗ λόγος εἰς πάντα τὸν κόσμον ἐξῆχθη, οἰκοδομῶν τὴν καθολικὴν πίστιν· ὃς οὐδαμοῦ κατὰ τὴν διδασκαλίαν ἀπῆν· ὅπου γὰρ δήποτε ἀνεγνώσθη, ἐκήρυξε. Τὴν δὲ ἐκείνου ἐπιμελῆ σύνεσιν στερρότης; διαβεβοημένη διεδέξατο· ἐκυδέρνησε γὰρ ὁ τῆς ἁγίας μνήμης ἐπίσκοπος; Ἀττικὸς τὸν Χριστιανικὸν C λαὸν τῷ τοῦ προηγησαμένου ὑποδείγματι, καὶ ἐδίωξε τὰς ἱεροσύλους τῶν αἱρετικῶν μανίας. » Καὶ Κύριλλος ἐν τῇ πρὸς Νεστόριον λέγει· « Ἐπ' ἀληθείᾳ δὲ λέγω ὅτι καὶ περιόντος ἔτι τοῦ τῆς μακαρίας μνήμης Ἀττικοῦ συντέθειταί μοι βίβλος περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. » Καὶ οὗτοι μὲν ταῦτα.

γ'. Ἐκεῖνο δὲ τί; οὐκ οἶδεν ὅ τι φημί; τῶν τὴν ἀδικωτάτην καὶ παρανομωτάτην τοῦ μεγάλου Χρυσοστόμου καθαίρεσιν ἐργασαμένων πρῶτος μὲν ἦν αἴτιος ὁ Ἀλεξανδρείας Θεόφιλος· μετ' αὐτὸν δὲ ὁ Γαβάλων Σευηριανὸς, καὶ ὁ Βερρόης Ἀκάκιος. Ἀλλ' ὅμως οὗτοι μετὰ τὴν τοῦ Χρυσοστόμου κοίμησιν ἐμφανισθέντες Ἰνοκεντίῳ τῷ πάπᾳ, οὔτε καθῃρέθησαν, οὔτ' ἐπετιμήθησαν, τὴν ἀπ' αὐτῶν τοῦ Χρυσοστόμου ἐκδίκησιν τῷ Θεῷ τοῦ πάππα ἀναθε- D μένου (3). Αὐτὸν δὲ τὸν Θεόφιλον τίς ἀπεδάλετο; τὸν πάντων τῶν κατὰ τοῦ Χρυσοστόμου κακῶν αἴτιον (4) καὶ λόγῳ καὶ ἔργῳ γεγενημένον διὰ τὸν πρὸς αὐτὸν φθόνον· ὁπότε καὶ εἰς τὰ Πατερικὰ ἀναγινώσκομεν οὕτως· « Εἶπεν ὁ ἅγιος Θεόφιλος ἐπίσκοπος Ἀλεξανδρείας. » Ὅτι δὲ ἅγιοι τῇ Ἐκκλησίᾳ εἰσὶν οἱ προειρημένοι καὶ ἀρχιερεῖς καὶ ποιμένες, ἀναγινώσκομεν καὶ εἰς τὰ συναξάρια ἐκκλησιῶν οὕτως· « Τῇ ἐνδε-

(3) Ergo falsa narrare videtur Nicephorus Callistus *Hist.* XIII, 34, apud quem Innocentius Theophilum anathemate percutit. Reapse illa Innocentii epistola a Callisto relata inter spurias ponitur.

(4) Non legitur ob rasuram αἴτιον.

19. Divus certe Chrysostomus de Meletii Antiocheni episcopi sacris manibus primo quidem regenerationis sacrum lavacrum, postea diaconatus quoque accepit ordinem, quanquam probe sciebat, magnum Eustathium in exsilio inter plurimas miserias versari, rectæ fidei causa. Is etiam utrumque laudationibus exornavit, Meletium, inquam, atque Eustathium, rixarum indecentium stultarumque contentionum amatores præclare contemnens, nec non excogitatas ab hominibus appellationes contra decorum atque officium. Quippe illi Meletianos appellabant adversarios suos; hi rursus Eustathianos illos vocitabant. Quæ flagitia doctissimus quoque sacræ rei Basilius jampridem detestans, flagitiosos miserabatur. Quare et ad magnum Athanasium sic scribebat : « Antiochiæ morbus magno medico indiget : ejus enim Ecclesiæ etsi vitalia sana sunt, vultus tamen laceratur. » Idem in alia epistola ait : « Ego Meletium non ignoro : usa est enim communione ejus Ecclesia mea, et adhuc utitur, et cum Domini gratia deinceps utetur. » Et in alia : « Si omnes, omissis contentionibus, homini Dei Meletio adhærerent. » Adhuc in alia : « Illa Ecclesiæ membra esse judicamus, quæ cum homine Dei Meletio cohærent. » Et rursus : « Oportet omnes ad hominem Dei Meletium se adjungere. » Reprehensus autem a nescio quo, ita se defendit : « Ego Antiochiæ episcopum novi neminem nisi Meletium. » Neque omnino sic dixit, quod Eustathium rejiceret, sed ut eos refelleret confunderetque qui Meletium non recipiebant : simul etiam, quia is interim Ecclesiam tenebat regebatque, dum Eustathius in exsilio otiari cogebatur. Fortasse etiam his verbis dolorem Arianis inurere voluit.

20. Hoc, inquam, saltem exemplum spectare vos oporteret, neque tanto inconsiderantia repudiare sanctissimum Josephum, præclarum religionis nostræ ducem, sacrumque nostrum patriarcham. Et alium quemdam per epistolam admonens magnus Basilius, hortatur ut, omissa schismatum discordia, Meletium sequatur. Sed cur plura dicam? Nonne hic magnus Basilius presbyteratus ordinem a Meletio suscepit? Legite Socratis ecclesiasticam Historiam, itemque magni Basilii Vitam ab Amphilochio Iconiensi scriptam, ut rem cognoscatis. In Vita quoque sancti Antonii scribitur : « Fide autem admirabilis erat Antonius et prorsus orthodoxus :

τοῦ ὀρθοῦ τῆς καθ' ἡμᾶς πίστεως λόγου πανταχοῦ τούτους προβαλλομένη σεμνύνεται, καὶ νικᾷ πᾶσαν αἵρεσιν καὶ πᾶσαν κακόνοιαν τῶν ἐν προσχήματι εὐλαβείας κατατέμνειν τὸ τῶν πιστῶν σῶμα σπουδὴν τιθεμένων, ταῖς τούτων διδαχαῖς τε καὶ πράξεσιν ἀποτρεπομένη καὶ πόρρω βάλλουσα.

ιθ'. Ὁ μέντοι γε θεῖος Χρυσόστομος ταῖς Μελετίου τοῦ Ἀντιοχείας χερσὶν ἱεραῖς πρότερον μὲν τὸ τῆς παλιγγενεσίας θεῖον λουτρὸν, ὕστερον δὲ τὴν τῆς διακονίας χειροτονίαν ἱερῶς δέχεται· καὶ ταῦτα εἰδὼς τὸν μέγαν Εὐστάθιον ἐν ἐξορίᾳ πλείσταις ὅσαις κακώσεσι προσπαλαίοντα τῆς ὀρθῆς ἕνεκα πίστεως, ὃς καὶ ἀμφοτέρους ἐγκωμίοις ἐτίμησε, Μελέτιον δηλαδὴ καὶ Εὐστάθιον, τοὺς ἐρεσχελίας ἀσίμους καὶ ματαίας ἐνστάσεις χαίρειν ἐθέλοντας θεορρόνως ἀπορριψάμενος σὺν ταῖς ἐξ ἀνθρώπων ἐπωνυμίαις, ἃς σφίσιν ἔθεντο, ὡς μὴ ὄφελον· οἱ μὲν γὰρ Μελετιανοὺς τοὺς ἀντιδιατιθεμένους ὠνόμαζον· τούτους δ' αὖθις ἐκεῖνοι Εὐσταθιανοὺς ἐκάλουν· ταῦτα δὴ καὶ ὁ πολὺς τὰ θεῖα Βασίλειος πρότερον μυσαττόμενος, τοὺς πάσχοντας κατηλέει· διὸ καὶ πρὸς τὸν μέγαν ἔγραφεν Ἀθανάσιον οὕτως· « Τὰ γὰρ τῆς Ἀντιοχείας ἀῤῥωστήματα μεγάλου τινὸς ἰατροῦ δέονται· ἥτις περὶ τὰ καίρια ὑγιαίνουσα, περὶ τὰ πρόσωπα σχίζεται. » Ὁ αὐτὸς καὶ ἐν ἄλλῃ φησὶ τῶν ἐπιστολῶν· « Ἐγὼ δὲ Μελέτιον οὐκ ἀγνοῶ, ἀλλ' ἔσχεν αὐτὸν ἡ ἐμὴ Ἐκκλησία, καὶ ἔχει κοινωνικὸν, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἕξει χάριτι τοῦ Κυρίου· » καὶ ἐν ἄλλῃ· « Εἰ τὸ φιλόνεικον ἀφέμενοι πάντες προστιθεῖεν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ Μελετίῳ· » καὶ ἐν ἄλλῃ· « Μέρος Ἐκκλησίας ἐκεῖνο κρίνομεν, τὸ προσκείμενον τῷ ἀνθρώπῳ τοῦ Θεοῦ Μελετίῳ. » Ἐγκαλούμενος δὲ πρός τινος, ἀπολογεῖται καὶ φησιν· « Οὐκ οἶδα ἐπίσκοπον Ἀντιοχείας ἕτερον εἰ μὴ Μελέτιον (21). » Καὶ πάντως οὐκ ἀποβαλλόμενος τὸν Εὐστάθιον τοῦτο εἴρηκεν, ἀλλὰ προτρεπόμενος καὶ ἐντρέπων τοὺς μὴ παραδεχομένους Μελέτιον· ἅμα δὲ καὶ ὡς τούτου τὴν Ἐκκλησίαν τέως κατέχοντος καὶ ἰθύνοντος, Εὐσταθίου ἀργοῦντος ἐν ἐξορίᾳ· ἔτι δὲ ἄγχων τοὺς ἐξ Ἀρείου τῷ ῥήματι.

κ'. Ὁ δὴ, καὶ εἰ μή τι ἄλλο, ἀλλὰ κἂν τοῦτο δεῖ σκοπεῖν καὶ ὑμᾶς· καὶ μὴ ἀποπέμπεσθαι οὕτως ἀκρίτως τὸν τῆς ἡμετέρας καλῶς προϊστάμενον εὐσεβείας ἁγιώτατον Ἰωσὴφ, τὸν ἱερὸν ἡμῶν πατριάρχην. Καὶ ἄλλῳ δέ τινι παραινῶν δι' ἐπιστολῆς ὁ μέγας Βασίλειος, ἀφέμενον τὴν τῶν σχισμάτων ἔριν προστεθῆναι Μελετίῳ παρακελεύεται. Καὶ τί δεῖ πλειόνων ἡμῖν; Οὐχὶ αὐτὸς οὗτος ὁ μέγας Βασίλειος παρὰ τοῦ Μελετίου τὴν τῶν πρεσβυτέρων (22) χειροτονίαν ἐδέξατο; Ἀνάγνωτε τὴν τοῦ Σωκράτους ἐκκλησιαστικὴν Ἱστορίαν, καὶ Ἀμφιλοχίου τοῦ Ἰκονίου εἰς τὸν Βίον τοῦ μεγάλου Βασιλείου, καὶ γνῶτε· γράφει καὶ εἰς τὸν Βίον τοῦ ἁγίου Ἀντωνίου· « Τῇ

(21) Aliter mox divus Antonius, cui Hieronymus noster consonat in Epistola ad Damasum : *Non novi Vitalem, Meletium respuo, ignoro Paulinum.* Consule Catalogum episcoporum Antiochenorum in Collect. Vat. t. I, part. II, p. 15. Hæc est nimirum episcopalium schismatum natura ut veritas rectumque jus ægre dignoscatur, nec nisi sere tempore inclarescat, quod idcirco Pindarus ait *omnium rerum sapientissimum.*

(22) Imo diaconum factum a Meletio Basilium dicit Socrates lib. IV, 26, ut certe in editionibus legitur.

πίστει δὲ θαυμαστὸς ἦν ὁ Ἀντώνιος καὶ εὐσεβής· οὔτε γὰρ τοῖς Μελετιανοῖς τοῖς σχισματικοῖς ποτε ἐκοινώνησεν, εἰδὼς αὐτῶν τὴν πονηρίαν καὶ τὴν ἀποστασίαν, οὔτε Μανιχαίοις, ἢ ἄλλοις τισὶν αἱρετικοῖς ὡμίλει φιλονείκως, ἢ μόνον ἄχρι νουθεσίας. » Καὶ μετά τινα νουθετῶν τοῖς μαθηταῖς τὰ τελευταῖα ἤδη, ἐνετέλλετο αὐτοῖς μὴ ἐγγίζειν Μελετιανοῖς σχισματικοῖς· « Οἴδατε γάρ, » φησὶν, « αὐτῶν τὴν πονηρίαν καὶ βέβηλον αἵρεσιν· μήτε κοινωνίαν ἔχειν πρὸς τοὺς Ἀρειανούς· » καὶ μετά τινα, « Μνημονεύετε, » φησὶν, « ὧν ἠκούσατε παρ' ἐμοῦ παραινέσεων· καὶ μηδεμία κοινωνία ἔστω ὑμῖν πρὸς τοὺς σχισματικοὺς Μελετιανοὺς, μήθ' ὅλως πρὸς τοὺς αἱρετικοὺς Ἀρειανούς (23)· οἴδατε γάρ, » φησὶ, « πῶς κἀγὼ τούτους ἐξετρεπόμην. » Διδάχθητε καὶ παρὰ τοῦ ἁγίου Ἀντωνίου ὅτι ἔξω τῆς Ἐκκλησίας ἐστὲ ὑμεῖς οἱ σχισματικοί· καὶ οὐκ ἔστι δίκαιον δέχεσθαι παρ' ἡμῶν εἰς κοινωνίαν ὑμᾶς, ἂν μὴ γνησίως μετανοήσητε, καὶ τέκνα τῆς Ἐκκλησίας γένησθε διὰ μετανοίας, καθὼς καὶ τοῖς ἱεροῖς κανόσι δοκεῖ. Ἅμα δὲ σημειώσασθε καὶ ὅτι τοὺς Μελετιανοὺς, σχισματικοὺς ὄντας, αἱρετικοὺς ἐκάλεσεν· « Οἴδατε γάρ, » φησὶν, « αὐτῶν τὴν πονηρὰν καὶ βέβηλον αἵρεσιν. » Οὕτω καὶ ὁ Ἀπόστολος *αἱρέσεις* τὰ σχίσματα ἐν τῇ πρὸς Κορινθίους καλεῖ, κ. τ. λ. (24).

nam neque cum Meletianis schismaticis communicavit unquam, quorum noverat improbitatem et apostasiam, neque cum Manichæis, neque cum aliis quibusvis hæreticis partium amore versabatur, nisi forte aliquando commonendi causa. » Et paulo infra ait biographus : « Cum suprema monita discipulis daret, mandabat ipsis ne cum Meletianis schismaticis versarentur : Nostis enim, inquit, illorum improbitatem profanamque hæresim. Item ne cum Arianis communicarent. » Rursumque paulo post : « Mementote, inquit, quas audistis a me, admonitionum : nullaque vobis cum Meletianis schismaticis communio sit, neque omnino cum Arianis hæreticis ; scitis enim quomodo et ego ejusmodi consortia vitaverim. » A sancto ergo Antonio cognoscite extra Ecclesiam vos esse, o schismatici ; neque vos oportere a nobis recipi, nisi sincera pœnitentia tangamini, fiatisque Ecclesiæ filii per conversionem, velut sacri quoque decernunt canones. Illud etiam animadvertite, quod nempe Meletianos Antonius hæreticos appellavit dicens : « Nostis enim illorum improbam profanamque hæresim. » Sic etiam Apostolus *hæreseos* nomine schismata indigitat in Epistola ad Corinthios, etc.

(23) Idcirco cum Arianis Meletiani conjunguntur, quia Meletius ab Arianis promotus fuerat, ut ait, præter Methodium, etiam Hieronymus in Chronico. Cæteroquin si magnus Athanasius (præter Basilium) cum Meletio communicare optabat, ut ex Basilii epistolis noscimus, id prorsus Meletium ab Arianismo liberare videtur. Et quidem delusos fuisse Arianos, qui Meletium consentire secum putabant, ait auctor Catalogi episcoporum retro citatus.

(24) Hactenus Methodius visus mihi est utilis propter ea quæ ex ecclesiastica sedium orientalium historia delibavit. Reliqua erant in codice usque ad opusculi finem perpauca.

ANNO DOMINI MCCLXII

ΝΙΚΗΦΟΡΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΠΕΡΙ ΤΩΝ ΛΕΓΟΝΤΩΝ

ΟΤΙ ΧΡΗ ΚΑΙ ΜΕΤΑ ΤΟΝ ΘΑΝΑΤΟΝ ΕΥΧΕΛΑΙΟΝ ΠΟΙΕΙΝ ΕΝ ΝΕΚΡΩ.

NICEPHORI II

CP. PATRIARCHÆ *

CONTRA EOS QUI DICUNT MORTUOS SACRO OLEO UNGENDOS ESSE.

(Mai, Nova Bibl. PP., tom. IV, p. 61, in not.)

Οὐκ οἶδα ποίαν ἀβελτηρίαν καὶ ἀτασθαλίαν μεστὴν περιπίπτουσί τινες ἱερεῖς ἐν πολλοῖς τόποις, ὡς ἔμαθον παρὰ τῶν εἰδότων. Λέγουσι γὰρ, ὅτι μετὰ τὸ θανεῖν πολλοὺς, ποιοῦσι τούτοις εὐχέλαιον, καὶ

Pravæ nescio cui consuetudini et stoliditate plenæ in multis locis adhærent sacerdotes quidam, ut ab oculatis testibus audivi. Aiunt enim eos defunctis oleum sanctum admovere et corpus mortuum

* De eo Mich. Lequien, *Orient. Christ.* tom. I, 281.

inungere. O perversa doctrina! oculi omnino non videntes! Sancta enim et œcumenica synodus prima hoc fieri edixit erga eos qui anima et corpore infirmantur, secundum Apostoli præceptum : « Infirmatur quis in vobis? Inducat presbyteros Ecclesiæ, et orent super eum, ungentes eum oleo in nomine Domini. Et oratio fidei salvabit infirmum et alleviabit eum Dominus; et si in peccatis sit, remittentur ei [1]. » Vides mandatum? Disce modum et irrationabiliter agere noli. Similiter et Pater noster, Arsenium dico Constantini egregiæ urbis patriarcham, cæremoniam hanc per septem ministros fieri jussit etiamsi episcopi sint vel metropolitæ; et ideo preces ipse aliquando præstitit. Vide precum adhibitarum mentem, et disce quod ignorabas. Rursus eis dico : Ait Dominus noster : « Ubi sunt duo vel tres congregati in nomine meo, ibi sum in medio eorum [2]. » Et iterum ipse Dominus noster et Deus in Evangelio secundum Lucam cum de eo loquitur qui in latrones inciderat, ejus vulnera oleo et vino fota fuisse ait. Hæc ergo ad vivos spectant, non ad mortuos. Tu vero qui hoc facere præsumis, animi nescio qua insatiabilitate laboras. Dico igitur : Nemo hoc facere audebit; sin, ut transgressor prædictorum habebitur. Quod si mihi dicas, hoc ut opus pium erga mortuos fieri; apage! Ex eleemosynis enim et quæ a Christianis fiunt mortuorum commemorationibus fructum spiritualem apud Deum animæ percipiunt; tu autem corpus mortuum inungens et dicens : Commoretur Spiritus tuus in servo tuo ut reliquum tempus in mandatis tuis perseveret; et rursus : Leva eum ex doloris lecto et a stramento afflictionis; cum hæc profers, quod agis non intelligis. Sed finem dicendi facimus allato ex Salomone testimonio : « In viro intelligenti sermo simplex et brevis solerti et prompto auditui sufficit. »

A συναλείφουσι τὸ τεθνηκὸς σῶμα. Ὢ γνῶσις νενοθευμένη, καὶ ὀφθαλμοὶ παντελῶς οὐχ ὁρῶντες! Καὶ γὰρ τοῦτο ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ πρώτη ἐνομοθέτησεν, ἐπὶ ζῶντας νοσοῦντας ψυχῇ καὶ σώματι, τὴν ἀφορμὴν λαβόντας ὑπὸ τὸ τοῦ Ἀποστόλου ῥητόν· λέγει δέ· « Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν ἀλείφοντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. » Ὁρᾷς τὸ ῥῆμα; γνῶθι τὸν τρόπον, καὶ μὴ ἀνοήτως τὸ πρᾶγμα ποιῶν. Ὁμοίως δὲ καὶ ὁ Πατὴρ ἡμῶν, Ἀρσένιον λέγω τὸν πατριάρχην τῆς καλλιπόλεως Κωνσταντίνου, τὴν ἀκολουθίαν ταύτην ἐνομοθέτησε γίνεσθαι δι' ἑπτὰ ἱερέων, κἂν B ἐπίσκοποι ὦσι, κἂν μητροπολῖται· διὸ καὶ ἐν ἑαυτῷ τὰς εὐχὰς αὐτὸς ὁ ῥηθεὶς πεποιηκώς. Καὶ ὅρα τὸν νοῦν τῶν πεποιημένων εὐχῶν, γνῶθι ὁ μὴ εἰδώς. Καὶ πάλιν πρὸς τούτοις ἐρῶ· φησὶ γὰρ ὁ ἡμέτερος Κύριος· « Ὅπου εἰσὶ δύο ἢ τρεῖς ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ καὶ ἐγώ εἰμι. » Καὶ πάλιν αὐτὸς ὁ Κύριος ἡμῶν καὶ Θεὸς ἐν τῷ κατὰ Λουκᾶν ἁγίῳ Εὐαγγελίῳ λέγει περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστὰς καὶ τραυματισθέντος, ἐπιχέων ἔλαιον καὶ οἶνον. Καὶ ταῦτα ἐπὶ ζώντων νενομοθέτηνται, οὐχὶ ἐπὶ τεθνεώτων. Σὺ δὲ ὁ τοῦτο τολμήσας οἵος ποιεῖν, οὐκ οἶδα ποίας ἀκορέστου γνώμης νενοσηκώς. Διὸ λέγω· Μηδεὶς τολμήσει τοῦτο ποιεῖν, καὶ ὁ παραβάτης τῶν λαληθέντων κριθήσεται. Εἰ δέ γε τοῦτο φήσεις μοι, ὅτι ἐλεημοσύνης ἔργον τῷ τεθνηκότι γίνεται, εἰ τοῦτο C ποιήσεις, μὴ γένοιτο. Καὶ γὰρ ἡ ἐλεημοσύνη, καὶ αἱ μνῆμαι τῶν Χριστιανῶν, αἳ γίνονται ἀεὶ παρ' ἡμῶν, πνευματικὸν τὸν καρπὸν ἐπιδέχονται αἱ ψυχαὶ παρὰ τῷ Θεῷ· σὺ δὲ τὸ τεθνηκὸς σῶμα ἐπισφραγίζων καὶ λέγων· Τῷ Πνεύματί σου σκήνωσον ἐπὶ τὸν δοῦλόν σου, ὅπως τὸν ὑπόλοιπον χρόνον ἐν τοῖς δικαιώμασί σου πορεύηται· καὶ πάλιν· Ἔξεγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς, καὶ ἀπὸ στρωμνῆς κακώσεως· ὅταν ταῦτα ἐπιφωνεῖς, οὐ γινώσκεις τὸν νοῦν τοῦ πράγματος. Τοίνυν τῷ λόγῳ τὸ τέλος δῶμεν, καὶ τοῦ Σολομῶντος ῥητοῦ μνήμην ποιήσωμεν, ὅτι Τῷ ἔχοντι σύνεσιν αὐτάρκης καὶ εἰς λόγος πρὸς ἀκοὴν εὐθεῖαν καὶ συνετωτάτην ὑπάρχει.

[1] Jac. v, 14. [2] Matth. xviii, 20.

ANNO DOMINI MCCLXX.

CONSTANTINUS ACROPOLITA.

NOTITIA.

(Cave ad an. 1270; Fabric. Harl. t. VII.)

Constantinus Acropolita, magnus logotheta, νέος Μεταφράστης, sive *Metaphrastes junior* dictus, in aula Constantinop. vir summus, claruit, imperante Michaele Palæologo, circa an. 1270. Causam Græ-

corum adversus Latinos fovebat maxime, contra quos plures de processione Spiritus sancti tractatus reliquit. Duos in scriptis Græcorum laudatos se vidisse refert L. Allatius *De Consens. Orient. et Occident.* lib. II, cap. 15, num. XIV, col 780. Unum, cujus illud principium, Ἄνδρες Ῥωμαῖοι, alterum, cujus illud, Ἐμνήσθην καὶ ἄλλου λόγου τῶν ἀντιλεγόντων ἡμῖν. Quorum, inquit, frusta, eaque satis polita, in codicibus mss. reperiuntur. Qua occasione, quo animo logothetæ nostri commentarium una cum propriis comburendum igni obtulit Theodorus Muzalo, in eadem dignitate successor et protovestiarius plene te docebit Pachymeres lib. VII, cap. 8. Scripsit etiam Constantinus *Orationem* in sanctam martyrem Theodosiam, patria Constantinopolitanam, quæ sub Leone Isauro pro cultu sacrarum imaginum Constantinopoli passa est. Cujus hoc initium, Γυναῖκα μὲν ἀνδρείαν ποῦ τις ἂν καὶ ὅπως εὕροι ὁ σοφὸ ἠπόρησε Σολομών, καὶ μάλα γε εἰκότως ἠπόρησε. Ἱερὸ γὰρ τῆς χάριτος, etc. Hanc orationem etiam in suum indicem retulit L. Allatius *De script. Simeon.* pag. 84, qui et alibi quædam ex ea profert. *adver Hotting.* p. 200. Exstat ms. in biblioth. Vindob. cod. theol. Lambec. CXI, Nessel. CCLXXIX, num. XVII, f. 217, iterumque *cod. histor.* CXV, num. II, fol. 73, pag. 2. Confer. Lambec. *Comment.* lib. IV, pag. 63. Exstant et aliæ ejus historici argumenti orationes; nempe in *S. martyrem Neophytum.* Princ.: Παραδόξων πραγμάτων δυσπαράδεκτος ἡ διήγησις, ἀλλ' οὐ τοῖς τοῦ ἡμετέρου καὶ θείου πληρώματος, apud L. Allat. *De script. Simeon.*, pag. 105. *In S. Theodorum Tyronem.* Princ. Σὺ μὲν, ὦ ἀγαθὲ τοῦ ὑπεραγάθου δοῦλε θεοῦ. *Ibidem* pag. 109. *In S. Joannem Damascenum.* Princ.: Τῷ Ἰωάννῃ τὸν λόγον τῷ ἐκ Δαμασκοῦ τὰ ἐγκώμια, *ibidem* pag. 112. Hunc sermonem a se descriptum, Lutetiam ad J. Aubertum, in futurum novæ editionis Damasceni ornamentum (*a*), se ms. misisse testis est idem Allatius *in catal. Oper. S. Damasc.* ad calc. *Symmict.* num. 28, p. 450. Ex eo quædam profert in *Consens. de purgat.* p. 761. CAVE.

Ex orationibus Constantini Acropolitæ in sanctos, quas mss. memorant Allatius De Simeonum scriptis, p. 84, et Caveus parte altera Hist. litterariæ scriptorum eccles. ad a. C. 1270, illa in *martyrem Theodosiam*, Græce ex ms. Vaticano cum Dan. Cardoni S. J. versione exstat in Actis Sanctorum tom. VII Maii, p. 69 — 86; et altera *in S. Joannem Damascenum*, itidem e ms. Vaticano Græce cum versione J. Francisci de Rubeis, ICti Romani, tom. II Maii, pag. 731 — 760. FABR. Vindobonæ in cod. CXI, n. 17, et cod. XXXV, n. 2, est Τοῦ σοφωτάτου μεγάλου λογοθέτου κυροῦ Κωνσταντίνου τοῦ Ἀκροπολίτου *oratio in S. martyrem Theodosiam*, quæ sub imp. Leone Isauro pro cultu sacrarum imaginum passa est. De priore cod. vide Lambec. comm. IV, p. 140, ubi Kollarius verba Lambecii ex indice pag. 526 repetit. Lambec. vero, Meminit, ait, hujus Constantini Acropolitæ Joannes Cantacuzenus, Historiæ Byzantinæ lib. I, cap. 14, ubi refert, eum fuisse unum ex imp. Andronici senioris assessoribus in judicio contra nepotem ipsius, Andronicum secundum s. juniorem. Ipsa Cantacuzeni verba sunt hæc: Πρὸς τούτοις δὲ καὶ ὁ Ἀκροπολίτης ἦν Κωνσταντῖνος, μέγας λογοθέτης ὢν καὶ αὐτός. De posteriore cod. vide Lambec. VIII, pag. 789, ibique Kollar. — Paris. in bibl. publ. est in cod. MCCXII Const. Acrop. homilia in Theodosiam martyrem. — In cod. CMLXXVI, n. 14, in laudem Constantini M. et Helenæ ejus matris. — In cod. eod. in n. 13, in laudem Georgii martyris. — Mediolani in bibl. Ambros. Const. Acropol., sermones et epistolæ, teste Montfauc. in *B. biblioth. mss.* I, p. 495, A. Inter epistolas Georgii Cyprii sunt quædam ad Constantinum et Georgium Acropolitas, in cod. Vindob. Cæsareo LXXVII. V. Lambec. Comm. VIII, p. 1068 sq., 1077 sqq. HARL.

(*a*) Omissus est in editione Mich. Lequien.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΛΟΓΟΘΕΤΟΥ

ΑΚΡΟΠΟΛΙΤΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ

ΤΟΝ ΔΑΜΑΣΚΗΝΟΝ.

SAPIENTISSIMI DOMNI

CONSTANTINI LOGOTHETÆ

ACROPOLITÆ

SERMO IN S. JOANNEM DAMASCENUM.

(Ex ms. bibliothecæ Vaticanæ Interprete Joanne Francisco de Rubeis Jurisconsulto Romano. Acta SS. Bolland. ad diem 6 Mail.)

Benedic, Domine.

1. Joanni orationem! Damasceno encomia! Quo igitur pacto in ipso limine non torpebo, et priusquam ad certamen exuar non aufugiam? Ad immittendam in inexpletum sapientiæ profundum vastumque sermonum pelagus orationis naviculam impetum arripui; et quomodo non cum horrore navigationem aggrediar? ingressus vero, quomodo non subito repletus terrore, neglectis gubernaculis depositoque ulterius progrediendi conatu, non protinus ad regressionem convertar? Fateor equidem quod non satis mature consideravi magnitudinem argumenti, neque ut sic dixerim substiti, speculando quo me propositum meum proveheret. Circumdedit me fluctuum inter se collisorum æstus, et tanquam in tempestate conturbatæ menti offusa est caligo; ideoque ab ipsis carceribus, ut proverbio dicitur, me subiit pœnitentia, seu potius in ipsa navis solutione anchoram tollendo fatiscens, penitus defeci atque ambiguus substiti, incertus quomodo gubernarem aut quo mentis dirigerem intentionem. Magnum est profecto, quod faciendum suscepi: verum, sicut in maximis quandoque tempestatibus, fax opportune elata apparuit, et faustus quidam splendor pertransiit, qui illuminato mentis oculo et mentem implevit fiducia, et universum gubernandi modum indicavit, ac bonam quodammodo spem felicis in portum appulsus ostendit. Qualis vero splendor? aut quæ fax? Beati hujus divinique et mundum illustrantis luminaris ra-

Δέσποτα, εὐλόγησον.

α'. Τῷ Ἰωάννῃ τὸν λόγον! τῷ ἐκ Δαμασκοῦ τὰ ἐγκώμια! Πῶς δὲ ἆρα μὴ εὐθὺς ἀποκνήσω, καὶ πρὶν ἢ πρὸς τὸν ἆθλον ἀποδύσασθαι διαδράσω; Τῷ τῆς σοφίας ἁπλέτῳ βυθῷ, τῷ τῶν λόγων ἀχανεῖ πελάγει, τὸ τοῦ λόγου ἐπαφεῖναι παρωρμήθην ἀκάτιον· καὶ πῶς ἂν οὐ φρίκης τὸν πλοῦν εἰσίω; καὶ εἰσιὼν, πῶς οὐχὶ δειλίας παραυτὰ πληρωθείς, καὶ τῶν οἰάκων ἔνθεν ὀλιγωρήσας, καὶ τῶν πρόσω μεθέμενος, καθάπερ πρὸς τὴν ἀναγωγὴν ἀναπέσοιμι; Οὐκ ἔφθην τὸ τῆς ὑποθέσεως συννοησάμενος μέγεθος, οὐδ' ἔστην, ἵν' οὕτω φαίην, ἀποσκοπεύσων, ὅπη με προάγει τὰ τῆς προθέσεως· καὶ οἱονεί με κυμάτων ἐμβολὴ περιεκύκησεν ἀλλεπάλληλος, καὶ ὡς ἐν ζάλῃ διατετάραγμαι, καὶ τὰς φρένας σκοτοδινίᾳ συγκέχυμαι. Ἐξ οὗν ἀφετηρίας αὐτῆς, τὸ τοῦ λόγου, μετέγνωκα· μᾶλλον δὲ ἅμα τῷ ἀνελέσθαι πρὸς ἀπόπλουν ἄγκυραν, ἀπείρηκά τε, καὶ παντελῶς ἀπηγόρευκα, καὶ γέγονα ἐν ἀπόρῳ, ὅπως τε κυβερνήσαιμι καὶ κατὰ τί τῆς ψυχῆς διαθύναιμι βούλημα, τὸ μέγα δηλαδὴ τοῦθ' ὅρμημα καὶ ἐγχείρημα. Ἀλλὰ παρευθὺς ὡς ἂν ἐπὶ τῶν μεγίστων κλυδώνων πυρσὸς ἔφανε, καὶ αἰσία τις αἴγλη διῆξεν· ἡ καὶ περιαυγάσασά μοι τὸ τῆς ψυχῆς ὄμμα, τὸν νοῦν θάρσους τε ἐνέπλησε, καὶ τὴν διόλου κυβέρνησιν ὑπεσήμηνε, καί πως δὴ χρηστὴν ἐλπίδα δεξιᾶς ὑπέτεινε καθορμήσεως. Τίς δὲ ἡ αἴγλη καὶ ὁ πυρσός; Ἡ τοῦ μακαρίου τοῦδε τοῦ θείου καὶ κοσμολαμποῦς φωστῆρος, προσβολὴ καὶ ἐπίφαυσις. Ὡς γὰρ δὴ τῶν μνημονικῶν μοι ἐξανασχὼν τοῖς λογιστικοῖς ἐναπήστραψεν, ὅση τε

εὐθὺς αὐτῷ παρὰ τῷ Θεῷ παῤῥησία παρέστησε, καὶ τὴν ἐκεῖθεν ἰσχὺν διεδήλωσε· καὶ ὅπως ἐν ἀπόροις δοῦναι πόρον ἱκανός ἐστιν, ἅτε ἐγγὺς ὢν τοῦ Θεοῦ, καὶ θεῖος ὅλος γενόμενος, τοῦ ἐν ἀμηχάνοις δεικνύντος τὴν δυναστείαν ἀεὶ, καὶ τερατουργοῦντος μόνῳ νεύματι τὰ παράδοξα.

A dius atque exortus. Hic enim statim atque confirmata memoria mentem ad ratiocinandum illuminavit, manifestavit etiam quanta apud Dominum valeat gratia; simulque ostendit quomodo per invia possit mihi viam aperire Deo proximus ac veluti deificatus; Deo, inquam, qui suam in arduis implicatisque negotiis libenter ostentat potentiam, et solo nutu patrat miracula, opinionem omnem excedentia.

β'. Ἀπαίρω τὸ λοιπὸν μετ' αἰσίων, ὅ φασι, συμβόλων, καὶ σὺν λαμπροῖς ἀνάγομαι τοῖς κελεύμασι· πέποιθα καὶ γὰρ, ὡς ὁ μέγας οὗτος, περὶ οὗ τὸν λόγον πεποίημαι, καὶ ὃν νῦν ὑπόθεσιν λαμπρὰν τοῦ λόγου προβέβλημαι, τῷ λόγῳ ἢ αὐτολόγῳ, τῇ σοφίᾳ Θεοῦ καὶ αὐτοσοφίᾳ, παρεστηκὼς τῇ μακαρίᾳ τε καὶ αὐταγάθῳ Τριάδι συνὼν, ᾗ καὶ περιὼν ἀκραιφνῶς ἐλάτρευσε, καὶ ὡς ἐφικτὸν ἐμιμήσατο· οὐχ B ὅπως ἀνέξεται τὸ κατ' ἐμὴν εἰσφέροντος δύναμιν, ἀλλὰ καὶ ἐπαρήξει, καὶ χεῖρα βοηθείας ὀρέξει, καὶ τῷ λόγῳ τὴν εὐδρομίαν παρέξεται, καὶ ὁλοσχερῶς, ἵν' οὕτως εἴπω, τῆς ἐγχειρήσεώς μοι συναντιλήψεται. Ἄγε δὴ, ὦ μέγα τῆς ἀληθείας φωστὴρ, καὶ πυρσὲ θεογνωσίας, ἐπίφαινε, καὶ διίθυνέ μοι τὸν λόγον, καὶ πρὸς τὸ δέον κατεύθυνε· ἔμοιγε δ' ἐντεῦθεν ἀρκτέον ἤδη τοῦ ἐγχειρήματος, τὸν σὸν ἐπικαλεσαμένῳ Θεὸν, ὡς ἂν δὴ κἀμὲ, σῆς εἵνεκα καὶ τοῦτο δόξης, παρὰ προσδοκίαν πᾶσαν σοφίσειε, καὶ συχνοῖς σε τιμήσας ἄλλοις, καὶ τῷ ἐπ' ἐμοὶ οὐχ ἥκιστα διάρῃ τερατουργήματι. Ἀλλ' εἰ μὴ προὔλαβόν τινες τοῖς ὁμοίως σοι τὴν κατὰ Θεὸν διαπρέψασι πολιτείαν, καὶ τῆς τῶν χθονίων ὑπεραρθεῖσι ζωῆς ἔτι ὑπὲρ γῆς C οὔσι, καταλιποῦσι τὴν γῆν, καὶ ἀγγέλοις μετὰ τοῦ πηλοῦ καταστᾶσιν αὐτόχρημα, ἑτέραν ἐπιφημίσαι πατρίδα, ἄλλην τε φρατρίαν ἐναπογράψαι, καὶ ἁπλῶς ἄλλοθεν ἐκείνοις ἀνομολογῆσαι τὴν γένεσιν· αὐτὸς ἂν ἐγὼ πρῶτος ἐπὶ σοὶ ταῦθ' ἐθάῤῥησα, καὶ πατρίδα σὴν τὸν οὐράνιον ἀνεῖπον χῶρον, καὶ φυλέτας ὄντως καὶ φράτορας τοὺς θείους νόας, τὰς ὑπερτέρας φύσεις καὶ ἀνωτέρας τῆς ὕλης καὶ τῶν ἐντεῦθεν ὑψηλοτέρας παθῶν· καὶ τάχ' ἂν εὐστόχως ταῦτ' εἰπεῖν ἀπεθάῤῥησα, καὶ ἐπεφήμισα τὰ καθήκοντα. Ἐπεὶ δὲ φθάσαντες ἐπ' ἄλλοις ἄλλοι τὴν ἀρετὴν ὁμοτίμοις ταῦτά πως εἰρηκότες τυγχάνουσιν, ἑτέραν ἔγωγε βαδιοῦμαι, τὴν τετριμμένην ταύτην καὶ πρόχειρον, ἡ πρὸς τὴν τοῦ ἐγκωμιαζομένου γενεαλογίαν προάγει τὸν λόγον, κἂν τῶν ἄνωθεν καὶ πρὸ αὐτοῦ ἀρχομένη, εἰς αὐτόν τε τὸν εἰς ἔπαινον προσκείμενον D κάτεισιν.

2. Faustis ergo auspiciis solvo, et claris in altum provehor plausibus: confido etenim quod magnus hic vir, de quo sermonem instituni, quemque nunc mihi proposui in nobile orationis argumentum, subsistenti in se Verbo increatæque Dei sapientiæ adstans, et cum beata ac per seipsam bona Trinitate conversans, cui dum viveret sincere servivit ejus quoad licuit imitator, non tantum tolerabit quod pro mea tenuitate offero, verum etiam adjuvabit et auxiliarem dexteram porriget, felicemque cursum præbebit sermoni, et mecum, ut ita dicam, suscipiet conatum effectui mancipandum. Age ergo, magna fax veritatis et luminare cognitionis Dei, appare, meamque orationem rege, et quo decet flecte. Hinc meus jam incipiendus est labor: Deo tamen prius invocato, ut me, gloriæ tuæ causa, supra spem omnem, edoceat sapientiam; aliisque frequentibus in te collatis honoribus adjiciat istud, quod ostendes in me adjuvando, miraculum. Equidem licet ante me alii nonnulli iis, qui divinam sicut tu conversationem excoluerunt, et supra humanæ vitæ normam elevati terrena deseruerunt adhuc in mundo viventes, tanquam angeli cum luto compacti; licet, inquam, alii nonnulli haud præsumpsissent patriam istiusmodi hominibus aliam ascribere, aliam nuncupare civitatem, ipsosque aliunde natos profiteri, primus id de te auderem, et cœlum patriam tuam esse assererem, contribulesque ac cives tuos divinas istic mentes præstantioresque naturas, materia et perturbationibus nostris superiores; atque hoc faciens forte attingerem scopum, certe non nisi veritati congrua prædicarem. Quoniam tamen prævenientes me alii, de aliis tibi in virtutis honore similibus ita sunt locuti; per diversam ego viam progrediar, scilicet per tritam vulgo expeditamque, quæ ad ejus qui commendatur genealogiam perducit, atque a majoribus ipsumque prægressis incipiens, in ejus, quem sibi proposuit, laudes descendit.

γ'. Ἐξ ἑῴας οὖν ὁ θεολαμπὴς φωσφόρος ἀνέτειλεν, ὅθεν καὶ ὁ Σωτὴρ ἐνανθρωπήσας, ὁ νοητὸς καὶ ὑπέρχρονος ἐπέφανεν ἥλιος, κἀκεῖθεν δὴ τὰ πέρατα τοῖς αὐτοῦ θεοπνεύστοις λόγοις οἷά τισιν ἀκτῖσι κατηύγασε, καὶ τὸν τῆς πλάνης ζόφον ἀπήλασε, θεογνωσίας τε τὸ φῶς ἐξεδίσκευσε, καὶ τὴν εἰς οὐρανοὺς ἡμῖν ἀνάγουσαν ἐφανέρωσεν. Ἔδει γὰρ, καὶ καλῶς ἔδει, τοῦ Θεοῦ Λόγου ἐκ τῶν ἑῴων τοῖς ἀνθρώποις ἀναφανέντος μερῶν, καὶ πρὸς σωτηρίαν καθοδηγήσαντος (ἐπειδή πως περιτραπῆναι καὶ αὖθις ἐμελλε τὸ εὐμετάβολον τῶν ἀνθρώπων φῦλον, ὡς καὶ προκόψαι τὰ μεγάλα, καὶ τῆς εὐθείας καὶ

3. Ab Oriente exortus est hic lucifer, divino effulgens lumine, unde etiam Salvator humanam indutus carnem, veluti sol mente perceptibilis temporaque excedens apparuit, exinde terminos mundi suis divinis sermonibus veluti radiis quibusdam illustrans, et abacta erroris caligine, luminosum cognitionis divinæ orbem explicans, ac viam in cœlum tendentem manifestans nobis. Decebat enim, et plane decebat, ut cum divinum Verbum ab Orientalibus plagis apparuisset, ad viam salutis sese ducem præbens (quoniam rursus subversi oebebat hominum genus mutabilitati obnoxium, ita ut ma-

gnis licet evectum profectibus a regio tamen re- A
etoque tramite haud parum deflecteret), decebat, inquam, hunc erroris expertem theologum, quasi divinum lumen indidem consurgere, nosque successive deducere per iter, infallibilis veritatis splendoribus illustratum, per rectam scilicet verorum dogmatum confessionem, qua ad eam perveniremus sortem, quæ supra cœlos nos manet, atque ad sublimiores illas divinioresque mansiones, quas ante tempus, futuris sub tempore, universi opifex præparavit, intendens ut ad easdem pertingeret lubrica et versatilis natura humana. Quomodo autem a recto tramite cito aberraverit, et ad perniciem festinaverit per intemperantiam, suo in loco mea explicavit narratio; seu potius, quando B
istuc pervenerit, deplorabit; nostramque ut par est lugens infirmitatem, gravem et assiduum contra nos Satanæ incursum lamentabitur : nunc vero redeundum nobis in materiam est, et quæ beati concernunt originem, quæque ipsam præcedunt, jam sunt enarranda.

4. Ab Oriente ergo, ut supra dixi, magnus hic vir et plane cœlestis apparuit : in vicinioribus paradiso plagis et voluptatis horto propinquioribus divina hæc planta germinavit : ex auroræ cubili surrexit nobilis iste inter Orientis, addam etiam et Occidentis, Boreæque et Noti atque universi mediterranei incolas; ut qui neminem non antecessit vera ingenitaque nobilitate. Quomodo autem et unde, significabo. Natus est Damasci, celebri C
supra modum civitate, quam inter primas urbes numerari nescio quis non audiverit; quique ea visa non ante rem aliam omnem, dignam auditu velit de ea narrationem instituere, descriptionemque contexere, iis etiam, qui ipsam prius nunquam viderint, admirabilem. Quid enim in hac urbe invenies, quod non suscipias? situmne? et qualis talem nacta est positionem? quam sic venustant flumina, prata ornant, montes muniunt, condecorant planities; quæ pecoribus referta atque ubertim ea alens et hinc affluentiam habens rerum, optima est nutrix juventutis : quam is, de quo loquimur, pacem ipsam diserte nominavit. Sed D
quamvis ea talis esset, totque afflueret bonis, et propter ista sic etiam ab illo laudaretur, nulla tamen re alia permisit deinceps gloriari ipsam natus in ea, qui alios, ex aliis natos locis, antecellens et supra modum celebris factus effecit ut a se solo celebraretur, tanquam parvarum et obscurarum urbium alias una foret. Cognomentum enim ab ea sortitus Joannes, continuo egregium quid visus est; domesticisque ac peregrinis incomparabilis demonstratus, atque hinc longe lateque celeberrimus, effecit ut nunquam laudari posset ipse, quin

βασιλικῆς ἐξολισθῆσαι μακρὰν), ἐκεῖθέν ποθεν καὶ τὸν ἀσφαλῆ τουτονὶ θεολόγον φωστῆρά τινα θεσπέσιον ἀνασχεῖν, καὶ διαδεῖξαι τὴν ἁπλανῆ ταῖς τῆς ἀληθείας φωταυγείαις ἡμῖν κατὰ Θεὸν δηλαδὴ πορείαν, εἶτ' οὖν ὀρθὴν τῶν ἀληθινῶν δογμάτων ὁμολογίαν, ᾗ πρὸς τὴν ἄνω λῆξιν ἐπανάγειν ἡμᾶς ἔχει, τὰς οὐρανίους καὶ θειοτέρας δῆπου μονάς, ἃς πρὸ τοῦ χρόνου τοῖς ὑπὸ χρόνον ὁ τῶν ὅλων δημιουργὸς κατεσκεύασεν, ἐφ' οἷς καὶ ἡμελλε προσκόψειν τὸ εὐόλισθον τῶν ἀνθρώπων φῦλον καὶ εὐπερίτρεπτον. Ὅπως τε τοῦ ὀρθοῦ παρεσφάλη κατὰ βραχὺ, καὶ πρὸς τὴν ἀπώλειαν ἀκρατῶς καὶ πάλιν ὑπήγετο, λόγος κατὰ καιρὸν διηγήσεται, ἢ μᾶλλον ἐκεῖσέ πη γενόμενος ἀπυκλαύσεται, καὶ τὴν ἡμετέραν ὡς εἰκὸς θρηνήσει ἀσθένειαν· οὐχ ἥκιστα δ' ἂν καὶ τὴν βαρεῖαν καθ' ἡμῶν ἀεὶ τοῦ Σατὰν ἐπίθεσιν ἀποδύραιτο· νυνὶ δὲ καὶ αὖθις ἐπανιτέον, καὶ τὰ τῆς γενέσεως, τά τε πρὸ τῆς γενέσεως διηγητέον τοῦ μάκαρος.

δ'. Ἀπὸ Θαιμὰν (1), ὡς ἔφθην εἰπὼν, ὁ μέγας οὗτος ἀνεφάνη καὶ οὐράνιος, ἀληθῶς ἄνθρωπος· ἐκ τῶν ἐγγυτέρων παραδείσου καὶ τῇ θείᾳ πλησιαιτέρων Ἐδὲμ τὸ θεῖον ἐβλάστησε τόδε φυτόν· ἐκ τῶν ἑῴων ἀνέσχε μερῶν ὁ εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν, προσθείην δ' ἂν καὶ τῶν ἐκ δυσμῶν, καὶ βορρᾶ καὶ νότου καὶ μεσογείου πάσης· τίνα καὶ γὰρ τῇ κατ' ἀλήθειαν εὐγενείᾳ οὐχ ὑπερῆλασεν; Ὡς ἂν δὲ καὶ ὅθεν παραδηλώσαιμι. Ἐκ τῆς περιωνύμου γέγονε Δαμασκοῦ, ἣν οὐκ οἶδ' ὅστις οὐκ ἐν ταῖς πρώταις τυγχάνειν ἠκουσε πόλεων, καὶ ἣν πᾶς τις ἰδὼν οὐκ ἔστιν ὅπως οὐ πρὸ παντὸς ἂν ἄλλου ἀξιάκουστον ποιοῖτο διήγημα, κἂν τοῖς μὴ πεφθακόσι θεάσασθαι θαυμάσιον περιλάλημα. Τί καὶ γάρ τις τῆς πόλεως οὐ θαυμάσειε; τὴν θέσιν; καὶ ποία τοιαύτης ἔτυχε θέσεως; ἣν ποταμοὶ κοσμοῦσι, καὶ λειμῶνες καθωραΐζουσιν, ὄρη τε ἀσφαλίζουσι, καὶ πεδιάδες καλλύνουσιν· ἡ πλήθουσα θρεμμάτων, ὡς ἀφθόνως ἐκτρέφουσα, κἀντεῦθεν ἀνενδεῶς ἔχουσα, καὶ ἀγαθὴ κουροτρόφος καθέστηκεν, ὁποίαν τε τὴν εἰρήνην αὐτὴν ὁ φάμενος ἐγνωμάτευσεν (2). Ἀλλὰ καίπερ τοιαύτην οὖσαν αὐτὴν, καὶ τοσούτοις εὐθηνοῦσαν τοῖς ἀγαθοῖς, καὶ οὕτω μέχρι γε καὶ αὐτοῦ, ἐκ τῶν τοιούτων περιαδομένην ἁπανταχῆ, ἐξ οὐδέ τινος ἄλλου σεμνύνεσθαι παρακεχωρήκει (ὁ ἐξ αὐτῆς [3]) γενόμενος· ἀλλ' ὡς ἄν τινα τῶν φαύλων τε καὶ ἀσήμων τοὺς ἐξ ἑτέρων γενομένους ὑπερβαλὼν καὶ περιώνυμος καταστὰς, ἐξ αὐτοῦ καὶ μόνου περιθρυλλεῖσθαι πεποίηκε. Τὴν γάρ τοι κλῆσιν ἐξ αὐτῆς εἰληχὼς, τάχα γε ὡς ἐξαίρετόν τι χρῆμα φανεὶς, καὶ πρός τε οἰκείους πρός τ' ἀλλοτρίους ἀναδειχθεὶς ἀπαράμιλλος, κἀντεῦθεν δὲ γεγονὼς περιδόητος, οὐκ ἔστιν ὅπη τὸ κατ' αὐτὴν οὐχὶ καὶ ταύτην περι-

(1) Themanitis regio Arabiæ hic antonomastice pro toto Oriente, adeoque et pro Syria accipitur, in qua Damascus Joannis patria.

(2) Si recte sensum capio, ipse Joannes intelligitur : sed velim discere quo operum suorum loco ita Damascum appellet.

(3) Hoc modo supplendum censui, expuncto εἰς αὖθις quod sc. in ms. legebatur ἐξ οὐδέ τινος εἰς αὖθις ἄλλου.

λαλεῖσθαι προὐξένησε, καὶ πρὸς τοῦτον οἷον ἀντονομάζεσθαι, ἢ κἀκ τούτου ἐπονομάζεσθαι. Ἅμα γάρ τις καὶ ἀκούσειεν, ἐξότε ὁ οὗτος γέγονε, Δαμασκὸν τὸν πολὺν καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα Ἰωάννην ὥσπερ συνήκουσε· μέγιστόν τε εὐθὺς ἐξ ἀμφοτέρων αἰσθόμενος φαντάζεται μετ' ἐκπλήξεως, κἀντεῦθεν ἀνασπεμπάζων τῷ λογισμῷ οὐ μετρίου τοῦ θάμβους ἐμπίπλαται.

ε'. Ἀλλ' εἰς ἑαυτοὺς ἐντεῦθεν οἱ γεγεννηκότες μεθέλκονται, καί πως δὴ μὴ παριδεῖν ἀνιστορῆσαι τὰ κατ' αὐτοὺς ἐκβιάζονται· οὐδὲ γὰρ οὐχ οὕτω ταῦτα μικρὰ, ὡς παραδρομῆς ἀξιωθῆναι καὶ παραλείψεως, ἀλλὰ καὶ λίαν περιφανῆ τε καὶ ἀξιάγαστα, καὶ συγγραφῆς ἀκριβοῦς καὶ μνήμης ἀλληλοδιαδόχου δεόμενα· τά τε γὰρ κατὰ κόσμον, καὶ οἷς ἐπικεχήνασιν ἄνθρωποι, καὶ διάσημοι καὶ περίβλεπτοι, καὶ κατὰ Θεὸν οὐχ ἧττον περιφανεῖς καὶ θαυμάσιοι. Ἄνωθεν γὰρ καὶ ἐκ προγόνων τὴν εἰς Χριστὸν πίστιν οἱονεί τινα κλῆρον ἐκ διαδοχῆς ἕλκοντες, τῷ πρὸς αὐτὴν ζήλῳ μακρῷ τοῖς πρὸ αὐτῶν ὑπερήλασαν· καὶ γὰρ τοῖς μέχρις αὐτῶν, καθά τις ἡ πίστις συγκρυπτομένη σπινθὴρ, πυρσὸς ἐν αὐτοῖς τε καὶ ἐξ αὐτῶν ἀνήφθη, ἐμφανὴς καὶ διάδηλος. Ὡς γὰρ δὴ κρίμασιν ἀκαταλήπτοις Θεοῦ τὰ ἑῷα μικροῦ πάντα τῆς τῶν Ῥωμαίων ἀρχῆς κατέδραμόν τε καὶ ἐληΐσαντο, καὶ τὰς ἐκεῖσε πόλεις οἱ τῆς δούλης Ἄγαρ ἀπόγονοι παρεστήσαντο, καὶ ἡ ῥάβδος τῶν ἁμαρτωλῶν κατὰ τοῦ κλήρου τῶν δικαίων ἀφεθεῖσα ἢ πάντως γε τῶν καλῶς ἐγνωκότων Θεὸν καὶ μόνῳ λατρευόντων αὐτῷ τὰ πάντα σχεδὸν κατηλόησεν, ἢ μᾶλλον ὡσεὶ χνοῦν ἀπελίκμησεν· ὑπὸ τοῖς ἀσεβέσι, φεῦ συμφορᾶς! καὶ ἡ καλὴ γέγονε Δαμασκός. Τῶν οὖν ἐν αὐτῇ πάντων, τῶν μὲν μικρὸν ἀντισχόντων, τῶν δὲ ἐκ πρώτης τὴν εὐσέβειαν ἀπομοσαμένων, ἐνίων δὲ καὶ τηρησάντων (πάνυ δὲ τούτων βραχέων) τὸ σέβας διὰ τέλους ἀμόλυντον, καὶ οἱ τοῦ μεγάλου τούτου τῆς εὐσεβείας διδασκάλου καὶ κήρυκος πρόγονοι, στερρῶς τε ὑπὲρ τῆς εὐσεβείας ἀντέστησαν, καὶ διὰ βίου τὴν πίστιν ἐφύλαξαν, καὶ καθαροὶ καθαρὰν τοῖς ἐξ αὐτῶν ἐνεπίστευσαν, καὶ οἱ ἀπ' αὐτῶν ὡσαύτως καὶ μετ' αὐτοὺς κατὰ διαδοχὴν ποιοῦντες ἐτύγχανον, καὶ οἷον ὀχετὸς ἦσαν ῥεύματος καθαροῦ διὰ βορβόρου τῶν ἀσεβῶν ῥέοντες, καὶ δι' ὕλυος ὡς περὶ τῶν ἐν τοῖς βαρβάροις ἐναγισμάτων διῆσαν, τῇ τῶν ἀρετῶν οὑτωσί πως εἰπεῖν πυκνότητι διηθούμενοι.

ς'. Οὕτω μὲν οὖν ἐκ διαδοχῆς οἱ τοῦ ἁγίου γεννήτορες εὐσεβεῖς καὶ τὸν κατ' ἀρετὴν βίον ἐπιφανεῖς. Μὴ γὰρ δὴ δεξώμεθά τινας, ἑτεροῖα περὶ αὐτῶν ἱστορηκότας, ἀπερισκέπτως, οἶμαι, τὰ κατ' αὐτοὺς ἀκηκοότας, καὶ τὰ τῆς ἀληθείας καὶ τῶν ἁγίων προγόνων μὴ διηκριβωκότας (καὶ γὰρ ἀληθῶς ἅγιοι, μέσον ἀσεβῶν εἰλικρινῆ τὴν πίστιν τηρήσαντες, τῶν ἁγίων τε φυτοσπόρων), τοῦ ἁγιωτάτου τοῦδε καὶ θειοτάτου καταψευδομένους ἀνδρὸς, καὶ οἷον ὑπὲρ αὐτοῦ τοὺς ἐξ ὧν προελήλυθε στηλιτεύοντας· ἀλλ' εὐσεβεῖς μὲν οἱ γεννάρχαι τῷ μάκαρι, ὡς ἡ ἀληθὴς ἀνέκαθεν ἱστορία παρέδωκεν· εὐσεβεῖς δ' οἱ

A etiam ejus patria laudaretur, et quasi pro ipso nominaretur aut cognominaretur ex ipso. Ex illo sane tempore quo natus ibi Joannes est, simul ac nominari aliquis audit Damascum, divinis humanisque rebus insignem, etiam ipsius nomen audit, et utrinque grande quidpiam atque admirabile sibi repræsentans, suamque cogitationem supra se reflectens ratiocinando, stupore prorsus ineffabili completur.

5. Verum nos hinc ad se genitores trahunt, et ne res suas taciti prætereamus cogunt : non enim ita parvæ hæ sunt, ut transcursu atque omissione censeri possint dignæ; sed valde conspicuæ ac mirabiles accuratam scriptionem memoriamque ordi-
B natam merentur : fortunæ siquidem bonis, et his quibus homines inhiant commodis præclare fulti, nihilo minus insignes fuerunt divinis animi dotibus. Jam pridem enim fidem in Christum, velut hæreditatem quamdam a majoribus per manus traditam tenentes, longe auteiverunt decessores suos, quodam zeli impetu ulterius elati. Scilicet ad ipsorum usque ætatem fides, in hominibus parvæ adinstar scintillæ delitescens, in ipsis atque ex ipsis accensa est ad modum facis luculentæ. Cum enim occultis Dei judiciis omnes fere Orientis partes, Romano imperio subditas, posteri ancillæ Agar suis excursionibus vastarent ac depopularentur, etiam subjugarent civitates plerasque, et
C virga peccatorum contra justorum sortem immissa, eorum qui recte Deum noverant eique soli serviebant omnia diriperet, vel potius excuteret velut pulverem; pulchra quoque Damascus (heu calamitas!) sub impiorum illorum potestatem devenit. Ex omnibus itaque illius incolis, aliquibus nonnihil reluctantibus, quibusdam Dei cultum ab initio ejurantibus, nonnullis vero (qui valde pauci erant) impollutam usque ad finem servantibus religionem, majores magni hujus magistri atque præconis fidei intrepide constanterque pro eadem sese opposuerunt, et tota vita sua custodiverunt illam, puri puram suis tradentes posteris; quod eorum quoque descendentes successive faciendo,
D erant veluti rivus mundissimi fluenti; et lutum impietatis permeantes profanationes barbaricas veluti limum transibant; virtutum, ut sic dixerim, densitate eos impermistos transmittente.

6. Hoc igitur pacto, veluti per successionem, hujus beati viri parentes vita omnino religiosa et præstanti virtute emicuerunt. Nec enim recipiendos putamus eos qui diversa quædam de ipsis narrarunt, eo quod res eorum indiscriminatim audiverint, ut existimo, neque de exquirenda accuratius veritate auditorum solliciti fuerint. Sancti namque atque ex sanctis prognati fuisse credi debent, qui in medio impiorum constituti fidem intemeratam servare potuerunt. Sanctissimo igitur ac divinissimo viro calumniam impingunt, et veluti ex ipsius odio illos, a quibus processit, su-

gillant : quandoquidem vir beatus et majores habuerit sanctos, et parentes quoad vixerunt sectatores pietatis ; idque cum publicas essent dignitates nacti, et multa apud Persas potentia præditi, utpote cum præfectis eorum dominantes et curam urbis partientes, universa ferme Damasco sub patris Mansuris ditione constituta. Sub barbaris namque, sicut jam dixi, geniti majores sese aptaverant tempori : et licet a vera religione non recederent, appellationibus tamen nominum et amictuum speciebus, barbari (ut sic dixerim) et Persæ fuerant facti.

7. Vocabatur itaque pater ejus Mansur, Persico vocabulo, et in maximo apud Persas honore positus circumfluebat divitiis, atque indutus gloria ambiebatur a frequenti comitatu. Indigentibus interim suppeditabat pecunias, ferebat injuriam patientibus opem et redimebat captivos ab exsecrabili Persarum superstitione simul et a gehenna, ipsos alioqui manente, vindicans in futurum. Non autem hoc faciebat perfunctorie, vel sicut sors tulerat, eorum peragebat negotium, satis habens redemisse eos atque de cætero neglectos dimittens : sed maxima circa eos utebatur providentia, iterumque et iterum iis assistens, omnes insimul ac seorsim singulos curabat. Imprimis namque eorum contegebat nuditatem, et imbecillitatem corporum diligenti competentis victus ratione fovebat, congruo deinde numero dierum ipsis velut dominis suis intendens, et quidquid ad eorum commodum pertineret studiose complens : postquam ab ærumnis suæ captivitatis exemptos sufficienterque recreatos videbat ad pristinam rediisse valetudinem, jubebat benevole, utrum mallent, edicere, manere cum ipso vel redire ad propria. Quicunque igitur ad reditum in patriam propendebat, sufficientia sibi sumebat viatica et inter felicis itineris vota dimittebatur : quibus vero nihil erat potius quam cum eo versari in suburbanis agris quos possidebat plurimos, iis sufficientem largeque abundantem ibidem subministrabat victum, delicias eisdem exhibens nullo ipsorum labore quæsitas. Talis erat vita genitorum Joannis, talis virtus eorum : sic vacantes Deo ac puro ejus famulatui, annos suos cum omni honestate emetiebantur, semper illum habentes præ oculis, et sua omnia ipsi consecrantes, cui totum ferebant acceptum, et propter quem fortunas omnes promptissime communicabant poscentibus.

8. Quid autem bonus remunerator Deus? Magna extremis reservans temporibus, magnum quid largius eis fuit. Etenim diuturna laborantes sterilitate et sobolem jam diu desperantes, parentes effecit, et quidem masculæ prolis parentes, talisque filii quem simul cum Gratiis natum quis dixerit, eo quod non solum illos a præteritæ infecun-

(4) Videtur auctor, veluti ex sui temporis usu, honorationi Persarum appellatione Saracenos dignari, ut qui jam inde ab anno 628, extincto Chosroe et filiis ejus, imperium Orientis ereptum Persis tenuerunt.

πατέρες, καὶ ἀρετῆς διὰ πάσης ἀντιποιούμενοι βιοτῆς, καὶ ταῦτα δημοσίων ἀρχῶν ἐπειλημμένοι, καὶ τὰ μεγάλα παρὰ Πέρσαις δυνάμενοι, ἅτε καὶ παραδυναστεύοντες τῷ Περσάρχῃ καὶ τὰς ὑπὲρ τοῦ κοινοῦ φροντίδας συμμεριζόμενοι, πᾶσάν τε σχεδὸν εἶχε τὴν Δαμασκὸν ὁ πατὴρ Μανσοὺρ ὑπ' αὐτόν. Ὑπὸ γὰρ τοῖς βαρβάροις, ὡς ἔφθην εἰπὼν, γεγονότες οἱ πρόγονοι, καὶ χρόνους αὐτοῖς συναμείψαντες, εἰ καὶ μὴ τὴν θρησκείαν μεταπεπτώκεσαν· ἀλλ' οὖν ἐν κλήσεσιν ὀνομάτων, ἐν ἀναβολῶν σχήμασιν ἐβαρβάρισαν, ἵν' οὕτως εἴποιμι, καὶ ἐπέρσισαν.

ζ'. Ἐκαλεῖτο γοῦν Μανσοὺρ ὁ πατὴρ Περσικώτερον, καὶ πλεῖστα παρὰ Πέρσαις (4) ἐτιμᾶτο· πλούτῳ τε περιερρεῖτο, καὶ δόξαν ἐνεδιδύσκετο, καὶ ὑπὸ συχνῶν πάνυ περιεβέβλητο, δεομένοις ἐπαρκῶν, ἀδικουμένοις βοηθῶν, αἰχμαλώτους ὠνούμενος, καὶ τῆς ἀναγοῦς θρησκείας Περσῶν καὶ σύναμα τῆς περιμενούσης ἔνθα γεέννης ῥυόμενος. Οὐκ ἄλλως δὲ ἐξωνεῖτο, καὶ ὡς ἔτυχεν ἐποιεῖτο τὰ κατ' αὐτούς, ἀπαμελήτους ἔπειτα ταριεὶς καὶ περὶ ἐλαχίστου τιθέμενος, ἀλλὰ σὺν πάνυ γε πολλῇ τῇ προνοίᾳ εἰσαῦθίς τε αὐτοῖς ἐφιστάμενος, καὶ ἀθρόους ὁμοῦ πάντας καὶ ἰδίᾳ καὶ καθ' ἕνα ἐπισκεπτόμενος. Τὰ πρῶτα καὶ γὰρ τὴν τῆς αἰχμαλωσίας ἐκείνης περιέστελλε γύμνωσιν, καὶ τῷ τῆς διαίτης ἐπιμελεῖ ἀνελάμβανεν· ἱκαναῖς δ' ἡμέραις οἱονεί τισι δεσπόταις προσανέχων αὐτοῖς, καὶ πᾶν ὅπερ εἰς θεραπείαν συντεῖνον ᾔδει διὰ σπουδῆς ποιούμενος ἐκπληροῦν, ἐπειδὰν ᾔδει καὶ ἔβλεπε, τῆς ἐκ τῆς λεηλασίας τέλεον τληπαθείας ἀπαλλαγέντας καὶ ἱκανῶς ἀναῤῥωσθέντας, πρός τε τὴν ἑαυτοῦ ἕκαστον ἐπανεληλυθότας ὑγίειαν, τὸ πρὸς βούλησιν ἐξαγορεύειν δεξιαῖς ἀνέπειθεν ἐρωτήσεσιν. Ὅς οὖν ᾔρεῖτο συνεῖναι συνῆν· ὃς δὲ τὴν πρὸς τοὺς οἰκείους προὐθυμεῖτο δῆπουθεν στείλασθαι, ἐφόδιά τε ἐλάμβανεν αὐτάρκως, καὶ εὐχαῖς εὐοδίοις συνεξέπεμπετο· ἔστι δὲ καὶ οἷς πρὸ παντὸς ἄλλου τοῦτοί στέρξασιν ἐν προαστείοις, ἐν ἀγροῖς (πλεῖστοι γὰρ αὐτῷ προσόντες ἐτύγχανον) ἄνετον τὴν δίαιταν ἐδίδου καὶ ἄφθονον, καὶ τρυφὴν ἐκεῖσε παρεῖχεν ἀμοχθον καὶ ἀνήροτον. Τοιοῦτος τῶν γεγεννηκότων ὁ βίος, τοιαύτη ἐκείνων ἡ ἀρετή· οὕτω τε τῷ Θεῷ λατρεύοντες καθαρῶς τὴν ζωὴν καλῶς ἐξεμέτρησαν, Θεὸν ἀεὶ πρὸ ὀφθαλμῶν ἔχοντες, καὶ Θεῷ τὰ κατ' αὐτοὺς ἀναρτῶντες, καὶ τούτῳ πᾶν ἀνατιθέντες, καὶ δι' αὐτὸν προχείρως ἄγαν τὰ προσόντα τοῖς βουλομένοις παρέχοντες.

η'. Τί γοῦν ὁ ἀγαθὸς μισθαποδότης Θεός; Μεγάλα ἐπ' ἐσχάτων ταμιεύων, μεγάλῳ κάνταῦθα τούτους δεδώρηται. Καὶ γὰρ τέθεικε πατέρας, μακροὺς ἤδη χρόνους τὴν ἀπαιδίαν δυστυχοῦντας, καὶ τὴν τέκνωσιν τὸ παντελὲς ἀπελπίσαντας· καὶ πατέρα ἄῤῥενός τε παιδὸς, καὶ αὐτόθεν εὐθὺς συγγεννηθέντος (εἶπεν ἄν τις) ταῖς Χάρισιν· οὐχ ὅτι γοῦν τῆς προτέρας

ἐπὶ τῇ στειρώσει λύπης ἀφαιρεῖται, ἀλλὰ καὶ πλείστης ἥδη τῆς εὐθυμίας ἐμπέπλησι, τῇ τοῦ γεγεννημένου ἐξ αὐτῆς προόδου καλλονῇ τε καὶ ὡραιότητι, τὸ τοῦ ἤθους ἐς νέωτα κόσμιόν τε καὶ χαρίεν δοὺς αὐτοῖς προφοιβάζεσθαι. Ἐκ τοιούτων ὁ μέγας οὗτος γεγέννηται, ἐκ τοιαύτης ὁ θεῖος καρπὸς τῆς ῥίζης τετελεσφόρηται, ἐκ τοσούτων τὴν ἀρετὴν ὁ ταύτην ἀπαράμιλλος προελήλυθεν. Ἐπειδὴ δὲ καὶ προελήλυθε, παραυτὰ τῷ βαπτίσματι καθαγνίζεται. Ὦ ζήλου γονέων! ὦ πίστεως ἀκραιφνοῦς! ὦ διαπύρου φίλτρου πρὸς Κύριον! Οὐκ ἔτρεσαν τὸν ἀσεβῆ δεσπότην, οὐ τοὺς ἐν τέλει καὶ συνάρχους ἔπτηξαν, οὐ δήμου ἀλογίαν, οὐκ ἔθνους ἀπόνοιαν ἐδείλίασαν· οὐ δόξης ἐφρόντισαν, οὐ χρημάτων, οὐκ ὄλβου πολυειδοῦς, οὐδενὸς ἁπλῶς τῶν τοῖς πολλοῖς περὶ πολλοῦ τυγχανόντων τούτοις ἀμωσγέπως ἐμέλησεν· ἀλλὰ τῶν πάντων ἡ στέρησις ὡς οὐδὲν ὑπερεωράτο, καὶ μόνος ὁ τοῦ Θεοῦ πόθος προετιμᾶτο, καὶ λαμπρῶς προετίθετο. Οὐδὲν οὖν ὅπερ ὑπέθραξαν ἀναβολήν τινα καὶ ὑπέρθεσιν ἐμπεποίηκεν· ἀλλ' ἐξ αὐτῆς αὐτὸν ἡγίασαν τῆς γενέσεως ἀναφανδόν, οὐχ ὡς οἱ πρὸ αὐτῶν λάθρα τοῦτο διεργασάμενοι, ἔμοιγε δοκεῖν, καὶ ἄνωθεν εἰς τοῦτο κατεπειγόμενοι. Ὃν γὰρ προέγνωκεν ὁ Θεὸς, καὶ πρὸς τὸν τῆς ἑαυτοῦ πόρρωθεν ἀφώρισεν Ἐκκλησίας καταρτισμὸν, οὐκ ἠνέσχετ' ἂν δὴ αὐτίκα τῷ προελθεῖν καθαγνισθῆναι, καὶ ἅμα τῷ ἀναπνεῦσαι ἀναγεννηθῆναί τε καὶ ἀναπλασθῆναι τὴν κρείττω τε καὶ θειοτέραν ἀναγέννησιν καὶ ἀνάπλασιν.

θ'. Ἀλλ' ἐπειδὴ τὴν βρεφικὴν παραμείψας, ὡραῖος ὢν ἐτύγχανε καὶ παιδεύσεως, οὐκ ἀπεῖδον οἱ σεμνοὶ γεννήτορες καὶ θεσπέσιοι εἰς παιδοτρίβας σωματικοὺς, ὡς ἂν ὁ παῖς αὐτοῖς εὐφυῶς ἀσκήσειε τόξον μεταχειρίζεσθαι, καὶ καθάπαξ περὶ μάχας καὶ πολέμους εὐδοκιμεῖν· ἀλλ' οὐδὲ τοὺς ἐπὶ τοῖς γυμνικοῖς γυμνάσοντας ἀγῶσιν ἐζήτησαν, ὡς ἂν δὴ πυγμὴν παιδοτριβηθείη διαγωνίζεσθαι, κούφως τε θέειν τὸν δίαυλον, καὶ δισκεύειν εὐχερῶς, καὶ δόλιχον ἅλλεσθαι, ἢ καὶ πάλῃ τοὺς εἰς χεῖρας ἰόντας δεξιῶς καταβάλλειν καὶ νικηφόρος ἀνίστασθαι· ἀλλ' ἐζητεῖτο παιδευτὴς ἀξιόχρεως, ὃς ἂν εἰδείη ῥυθμίσασθαι ψυχὴν, κοσμῆσαι σῶμα, καὶ Θεῷ παραστῆσαι, καὶ ἁπλῶς ἀντὶ χθονίου καταστῆσαι ἀγγελικόν τινα καὶ οὐράνιον. Ἐζητεῖτο μὲν ἄξιος παιδευτής· ἀλλ' οὔ μενοῦν οὐχ εὑρίσκετο· ἦν γὰρ καὶ παντελῶς ἄπορον ἐν βαρβάροις τὸν Ἕλληνα διηκριβωκότα λόγον εὑρεῖν, καὶ μέσον ἀσεβῶν ἀνδρὶ κατὰ Θεὸν ζῶντι περιτυχεῖν, καὶ ἱκανῷ γε πρὸς ἐπὶ τοῦτοις ἦθος ἀνθρώπου πρὸς τὸ κρεῖττον καὶ θειότερον ἀγαγεῖν. Ἦν οὖν ὁ πατὴρ ἐν ἀπορίᾳ (τούτῳ γὰρ μᾶλλον ἢ περὶ τοῦδε φροντὶς ἐνέκειτο), καὶ οὕτω πάντοθεν ἀνεζήτει, ἅτε ἐπὶ πάσης ἰσχύων τῆς ἀρχῆς μεγάλα Περσῶν, καὶ πανταχόθι ταύτης περιφοιτῶν, καὶ τὸν τοιοῦτον ἀνιχνεύων ὅθεν ἂν καὶ θηράσαιτο. Θεὸς δὲ ἄρα, ὁ διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομῶν καὶ λόγοις ἀπορρήτοις διεξάγων τὰ καθ' ἡμᾶς ἄνωθεν, καὶ τὰ περὶ τούτου σοφῶς διετίθει, καὶ πόρρωθεν συνήλαυνε τὸν κατὰ πρόθεσιν, καὶ μακρόθεν προσῆγε τὸν κατὰ βού-

ditatis mœstitia liberavit, verum etiam jucunditate quam maxima implevit, insignem ab ipsius uteri egressu formam vultus atque elegantiam præferens, unde eis dabatur occasio, augurandi bene de ea qua adultior complendus esset, morum gratia ac venustate. Ita genitus, lustralibus mox undis per baptismum purgatur. O fides genitorum! o sincerus zelus! o amor fervens erga Dominum! Non timuerunt impium præsidem, non magistratus aut eorum ministros formidarunt, non irrationabilem vulgi dementiam, non gentis vecordiam exhorruerunt: non gloriæ, non pecuniarum, non multiplicis in speciem beatitudinis rationem habuerunt, nullum denique earum rerum respectum, quæ apud plerosque in magno sunt pretio: sed bonorum omnium privatio contemnebatur, ut nihili damnum: et solum placendi Deo desiderium cunctis rebus præferebatur. Nullam igitur consiliis suis moram dilationemve interponentes, sanctificaverunt puerum statim ac natus fuit; non sicuti alii ante ipsos clanculum id facientes, sed propalam, idque superno (ut mihi quidem videtur) instinctu moti. Quem enim Deus prænoverat atque a longo temporum intervallo ad suæ Ecclesiæ reparationem destinaverat, non tolerasset non statim ut prodiit sanctificari, et simul atque spirare cœpit non regenerari præstantiori quodam generationis modo.

9. Postquam infantilem prætergressus ætatem Joannes, institutioni cœpit maturus videri, honesti ejus admirandique parentes non rexpexerunt ad corporalium exercitationum magistros, quorum cura filius suus scite tractaret arcum et bellicæ gloriæ conquirendæ aptaretur, decertare inter pugiles discens, aut stadium levi pede percurrere, disco ludere, saltare agiliter, conserere manus, adversarium supplantare atque prosternere: sed quærebatur pædagogus idoneus, qui sciret animum excolere, ornare corpus, et utrumque admovere Deo, atque ex terreno homine angelicum quiddam et cœleste formare. Magister quærebatur vere profuturus, sed qualem inveniendi spes nulla apparebat: prorsus enim difficile erat reperire aliquem inter barbaros Græci peritum sermonis, et in medio impiorum nancisci virum, qui secundum Deum vivens sufficeret homini ad meliora perducendo. Pater igitur (quem acrius hæc torquebat cura) hærebat ambiguus, et omnes imperii Persici, in quo poterat plurimum, partes lustrans, indagabat num alicubi ejusmodi hominem venari posset. Deus interim, qui sæpe ex contrariis contraria procurat et res humanas rationibus occultis ab alto temperat, etiam negotium istud disponebat sapienter, atque jam pridem e longinquis mundi partibus accersebat virum, juxta intentionem mentis ejus: arte enim quadam recessus in speciem contrarii usus, providerat quo modo ei [illegible]

tur id quod tantopere desiderabat: quisnam autem fuerit hic modus, audite.

10. Posteri ancillæ Agar, qui liberæ Saræ nomen sibi nescio quo jure usurpaverunt, quique servi exsistentes, tanquam servæ filii et servilia cogitare soliti, semper circa dominos pravæ mentis, et animi erga heros improbi apparuerunt, non satis habuerunt in Romano imperio occupasse pleraque Orientis loca, et dominorum sceptra vehementer imminuisse, sed reliquis etiam partibus inhiantes, consilium iniverunt insulares atque maritimas urbes et regiones invadere. Classe igitur delati percurrebant littoreas civitates, et incolarum accolarumque multos vivos capiebant, quorum alios quidem perimebant gladio, quam plurimos vero subjiciendos pretio crudelissime distrahebant. Posquam autem (heu calamitatem!) malis tantis ex animi sententia patratis, redierunt ad sua, cum immensa quam adduxerant turba, quia vendere omnes non poterant (nam plurimi cum essent, magno tamen pretio taxabantur), simul universos decreverunt jugulandos. Fortassis autem hoc consilii sumebant, quia eos magistro suo exsecrabilissimo Mahometh malebant sacrificare, contra fas quidem naturæ acturi, aliquam tamen etiam in hoc rationem sequentes: siquidem ille diaboli ab initio homicidæ discipulus imitatorque dum viveret, lætabatur cædibus permisitque occidere, aut potius præcepto inter posteros inviolabili demandavit; quemadmodum aliud quoque scelus omne incunctanter docuit perpetrare.

11. Igitur ad cædem et sacrificium adducebantur myriades integræ, interque eos velut unus de vulgo æstimabatur quidam, ad eadem cum cæteris ferenda damnatus, qui unus dici poterat pretiosus mundi thesaurus et dignum terrarum orbis ornamentum, ille, inquam, qui secundum Deum se ornaverat Cosmas, vir et externa sapientia insignis, et ea quæ domestica est nobis incomparabilis: qui cum a mundo recessisset, inter homines ex Dei consilio viventes conscriptus, non solum cum ipsis cito venit in vitæ morumque societatem, eorumque virtutes perfecte æquavit; verum etiam longo ipsos præcelluit intervallo, propositus cunctis ut conversationis perfectioris idea atque irreprehensibilis regula. At non hoc uno fuit contentus, neque satis habuit tantum seipsum dirigere ac propriam vitam juxta Dei voluntatem componere; sed vitæ communis homines circumiens, eosdem curare et ad Deum studuit promovere: ut, si fieri posset, abduceret eos ab indulgentiori et affectibus mancipata ac brutali conversatione, atque ad honestum et ornatum vivendi genus traduceret, quale revera hominem condecet. Denique suo egrediens monasterio, et ab Italia (unde erat oriundus) recedens atque ulteriores regiones ex ordine pertransiens, et per viam cunctos instruens ad saniorem vitæ formam, cum pervenisset ubi piratæ facturi erant

A λησιν, καὶ τρόποις διωκονόμει παραχωρήσεως ἐπευδοκῆσαι τουτῳ τὰ πρὸς ἔφεσιν· καὶ οἷος ὁ τρόπος, ἀκούσατε.

ι'. Οἱ τῆς δούλης Ἄγαρ ἀπόγονοι, καὶ τὴν ἐκ τῆς ἐλευθέρας Σάρρας οὐκ οἶδ' ὅπως (ἐπωνυμίαν) σφετερισάμενοι, δοῦλοί τε ὄντες ὡς ἐκ δούλων τυγχάνοντες καὶ τὰ τῶν δούλων φρονεῖν ἔχοντες, καὶ αἰεί πως περὶ τοὺς κυρίους δύσνοι πεφηνότες καὶ πρὸς τοὺς δεσπότας κακοί, οὐκ ἀρκετὸν ἐνόμισαν τῆς ἡμετέρας τῶν Ῥωμαίων ἀρχῆς τῶν πρὸς ἕω τὰ πλεῖστα κατασχόντες, καὶ τὰ τῶν δεσποτῶν οὐ μετρίως σκῆπτρα μειώσαντες· ἀλλ' ἤδη καὶ κατὰ τῶν λοιπῶν μερῶν ἐμελέτησαν, τῶν ἐναλίων καὶ παραλίων κατεπιχειρῆσαι πόλεων καὶ κωμῶν ἐβουλεύσαντο. Νεναυστοληκότες οὖν κατέτρεχον τὰ B παράλια, καὶ πολλοὺς μὲν ἐζώγρουν, συχνοὺς δὲ ξίφους ἔργον ἐτίθουν, πλείστους δὲ καὶ ἀπεμπόλουν τιμιουλκοῦντες ἀσυμπαθέστατα. Ἐπεὶ δέ ποτε, βαβαὶ συμφορᾶς ἐκείνης! τὰ δεινὰ ταῦτα κατὰ θυμὸν ἐκτελέσαντες, καὶ νόστου μνησάμενοι, πλείστους ὅτι τοὺς ξυλληφθέντας ἀνήγαγον, πάντας ἀποδόσθαι μὴ ἔχοντες, πολλῶν τε ὄντων καὶ πολλοῦ τιμωμένων, σφαγῇ συλλήβδην παραδοῦναι βεβούλευνται· τάχα γε τῷ σφετέρῳ αὐτῶν διδασκάλῳ, τῷ ἐναγεστάτῳ Μωάμεθ, προσαγηοχέναι προελόμενοι θύματα· καὶ εἰκότως ἄρα, εἰ καὶ παρὰ τὸ εἰκὸς τῆς φύσεως ἐβουλεύσαντο· τοῦ γὰρ ἀνθρωποκτόνου Σατὰν μύστης ὢν ἐκεῖνος καὶ μιμητής, φόνοις τε περιὼν ἐγαννύσκετο, καὶ τὸ φονεύειν ἐνδέδωκεν, ἢ μᾶλλον, ὥς τι C τῶν ἀμεταθέτων ἐντέταλται, ὥσπερ δὴ καὶ πᾶν ἕτερον ἐναγὲς ἀπαραβάτως δεδίδαχεν ἐκτελεῖν.

ια'. Ἀπῆγον οὖν μυριοστὰς ὅλας, ἐφ' ᾧ γε σφαγιάσαι καὶ θυσίαν θεῖναι τῷ Σατανᾷ· ἀλλὰ συνῆν ἐκείνοις, καὶ τῶν πολλῶν εἷς ἐνενόμιστο καὶ τὰ αὐτὰ συγκαταδεδίκαστο, κόσμου θησαυρὸς ἀξιόχρεως καὶ οἰκουμένης ἄξιον ἀληθῶς ἐγκαλλώπισμα, ἐκεῖνος οὗτος ὁ κατὰ Θεὸν ἑαυτὸν κεσμήσας Κωσμᾶς, ἀνὴρ τὴν ἐκτὸς σοφίαν πολὺς καὶ τὴν ἐντὸς καὶ ἡμετέραν ἀξύμβλητος· ὃς ἀποκεχωρηκὼς κόσμου καὶ συγκαταλεγεὶς ἀνδράσι ζῶσι κατὰ Θεὸν ἐν μετρίῳ πάνυ τῷ χρόνῳ οὐχ ὅτι γε σφίσι συνημιλλήθη καὶ ἀκριβῶς τὴν ἀρετὴν ἐξισώθη, ἀλλὰ πολλῷ τινι τῷ μέτρῳ καὶ ὑπερβέβληκε, καὶ τύπος οἷον τοῦ κατ' ἀρετὴν D ἐγκατέστη βίου καὶ κανὼν ἀπαρέγκλητος. Ἀλλ' οὐκ ἠγάπησε τούτῳ, οὐδ' ἀρκετὸν ἐνόμισε τὸ μόνον ἑαυτὸν ῥυθμίσαι καὶ ζῆν ἀπευθῦναι κατὰ Θεόν· ἀλλ' ἤδη καὶ τοὺς ἐν βίῳ περινοστῶν ἐπισκέπτεσθαι ἤθελεν, ὡς ἄν, εἰ οἷόν τε, τῆς ἐμπαθεστέρας πάντας καὶ κτηνώδους ζωῆς ἀπαλλάξειε, καὶ πρὸς εὐπρέπειαν μεταγάγοι, τὴν ὡς ἀληθῶς ἀνθρώπῳ καθήκουσαν. Ἀμέλει τοι καὶ τῆς μονῆς ἀπάρας, καὶ τῆς τῶν Ἰταλῶν ἐξορμήσας, ὅθεν ποθὲν καὶ γεγένητο, καὶ τὰ ἐφεξῆς ἅπαντα διιών, τάχα δὲ καὶ πρὸς τὸ κρεῖττον μεταγαγών, ὅπηπερ οἱ πειραταὶ ἐπεισφρῆσαι ἤμελλον (χριμάτων ἀκαταληψίας Θεοῦ) πρόβλαβε γεγονώς, καὶ ξυνεζλήπται. Συναπήγετο γοῦν συσφαγῆναι συνεκλεγείς· ἀλλ' οὐκ ἐτάραττε τουτονὶ θάνατος, οὐχ ἡ ἐπ' ἀλλοδαπῆς, τό γε δὴ τοῖς πᾶσιν

ἀπευκταιότατον, τελευτή· ἐνὶ δὲ καὶ μόνῳ πάνυ λίαν λελύπητο, καὶ δι' ἓν ἐπαθαίνετο, καὶ ὑπὲρ τὸ δέον (εἴ γε δέον εἰπεῖν) ἐδυσχέραινέ τε καὶ ἐχαλέπαινε (φιλαγάθως πάντως, οὐ φιλοτίμως), ἀλλ' εἶχεν ἐν ἀποῤῥήτῳ, πρὸς ὃν οὐκ ἔχων εἰπεῖν.

A exsrensionem, ex incomprehensibili Dei judicio in eorum incidit manus, et captus fuit. Simul itaque abductus, nunc inter jugulatos assistebat; non tamen eum conturbabat mors præsens, eamque perægre subeundi necessitas, quæ solet imprimis formidanda videri: sed una re solum valde tristabatur et commovebatur, ac pene ultra quam decebat ferebat moleste (probitatis tamen potius quam ambitionis studio sese affligens, id ipsum autem in pectoris arcano fovebat, quia cui aperiret non habebat.

ιβ'. Ὡς δὲ δὴ καὶ συναπήγοντο τὴν ἐπὶ θανάτῳ οἱ συγκατάσχετοι, καὶ τοῖς ἐκείνου ποσὶν ἄλλος ἄλλον προσλαμβάνειν ἔσπευδον ἐπικυλινδούμενοι, καὶ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας δυσωποῦντες ἕκαστος συχνὰ τῶν ποδῶν κατέῤῥαινον δάκρυα, ἰδόντες οἱ βάρβαροι τὴν πρὸς ἐκεῖνον πάντων ἐκείνων αἰδῶ, καὶ ἅμα τὴν διάπυρον αἴτησιν ἥτις ἀδιάπτωτον ὥσπερ τὴν ἐλπίδα σφῶν ὑπενέφαινε, σεμνὸν καὶ ἄλλως τὸ εἶδος ἐρῶντες, κἂν τοῦ ἤθους κατανοοῦντες σεβάσμιον· τίς τε εἴη προήχθησαν ἐρέσθαι, καὶ ὅθεν ἰσχήκει τὴν γένεσιν, καὶ ὅτι γε τούτῳ τὸ ἐπιτήδευμα, κλῆσίν τε πρὸς τούτοις, καὶ ὑπὲρ τίνος (καὶ αὐτὸς τοῖς ἄλλοις ἐπίσης [ἔχων] τὸ ἐξ ἀνθρώπων γενέσθαι) οὕτως ἀπὸ ψυχῆς ποιούμενος φαίνεται, τὸν μονάδα βίον ἅπαξ ἑλόμενος (ἐκ γὰρ τῆς ἀναβολῆς συνιέντες εἶχον τὴν πολιτείαν) καὶ βιωτικὸν ἅπαν ἀπεστραφὼς, μόνης δὲ τῆς ἐκεῖθεν λήξεως ἐφιέμενος, κἀκεῖ γενέσθαι περὶ πλείστου πάνυ τιθέμενος· οὐδὲ γὰρ οὐδ' ἐλάνθανε τοὺς ἀλιτηρίους ἐκείνους, ὁποία κατὰ εὐσεβῶν ἡ πρόθεσις μοναστῶν, καὶ ὅ τι γε σφίσι τὸ διὰ παντὸς σκοπούμενον καὶ ζητούμενον, ὑπὸ χεῖρά τε πολλοὺς πολλάκις συλλαβόντας, καὶ τότε δὴ συχνοὺς πάνυ κατασχόντας, καὶ παιδιᾶς χάριν (τάχα δὲ καὶ τῶν ἡμετέρων εἰρωνείας) τὰ κατ' αὐτοὺς ἀνετάζοντας. Καὶ ὃς δὴ βαθὺ στενάξας καὶ μύχιον· Καὶ ἄλλως μὲν ἐχρῆν ἀπαραμύθητα λυπεῖσθαι, τοὺς ὁμοεθνεῖς τούτους βλέποντι καὶ ὁμόφρονας βοσκημάτων δίκην ἀπαγομένους πρὸς τὴν σφαγήν· καὶ ὑμᾶς τῇ ἀπωλείᾳ σφῶν ἐπιχαίροντας, ἀνθρώπους ὄντας καὶ ἡμῖν ἐξίσης Θεοῦ τυγχάνοντας πλάσματα· εἰ καὶ τὴν θρησκείαν ἀντιδιῄρησθε, ὑποβολαῖς ὄντως τοῦ ἀρχεκάκου σατὰν, ὃς πάλαι μὲν ἡμᾶς ἀπατήσας, τοῦ Θεοῦ τε διέστηκε, καὶ τῆς θείας τρυφῆς ἐξωστράκισε, καὶ εἰς τὸν κλυθμῶνος τόνδε χῶρον κατῴκισεν· οὐ παύεται δὲ καὶ νῦν εἰσέτι, φύσει ἡ πονηρὰ καὶ χαιρέκακος, καὶ ἀλλήλων διασκηνῶν καὶ ἀπομακρύνων Θεοῦ ταῖς πολυπλόκοις αὐτοῦ μαγγανείαις καὶ τοῖς δεινοῖς ἄγαν σοφίσμασιν. Ἀλλ' ἔστι μοι πρὸς τούτοις καὶ ἕτερον, λίαν ἀποκναῖον καὶ ἀνιῶν ἀπαράκλητα· διὰ πάσης καὶ γὰρ παιδείας ἐληλυθὼς, καὶ σοφίας ἐς ἄκρον ἐληλακὼς, μέρος τε αὐτῆς μηδὲν λελοιπὼς ἀνεξέταστον, οὐδενί πως ἄχρι δὴ καὶ τῆς τήμερον τοῦ τοιούτου θησαυροῦ μεταδέδωκα, καὶ δέδοικα ἐπ' ἐσχάτων ὁ μέλεος τὸ παρὰ τοῦ ἐμπεπιστευκότος κατάκριμα

B

C

D

12. Cum ergo concaptivi ejus per viam supplici rapiebantur ad mortem, videre erat illos confertim ad pedes ejus provolvi, eosque humectare lacrymis et ut saluti singulorum consuleret pro se orare unumquemque. Quorum erga ipsum reverentiam precandique instantiam, indicem fiduciæ ac spei immobilis, quam in ipso repositam habebant, considerantes barbari, et cæteroqui gravem specie ac moribus venerabilem conspicientes, cœperunt interrogare eum, quis esset, unde natus, quod ei studium, quod nomen foret; et qua de causa (cum ipse quoque similem aliis haberet originem ex hominibus) ita præter naturam agere videretur, monastica vita in perpetuum electa (ex amictu namque agnoscebant ejus professionem), ut a sæcularibus rebus aversus, solam quæ in religiosorum claustris est quietem desideraret, illic esse quam maximi faciens. Neque enim nefarios illos latebat monachorum institutum, et quem scopum considerationibus ac meditationibus suis haberent propositum; ut qui eorum multos sæpe fecerant captivos, et tunc eorum plures tenebant; curiositatis gratia, forte etiam nostra ridendi studio, res illorum soliti explorare. Ille vero, profundo arcanoque suspirio edito, Me quidem, inquit, oportebat inconsolabiter tristari, intuentem contribules hosce et unanimes meos, pecudum more ad lanienam protractos, vos autem eorum pernicie gaudentes, cum sitis homines et æquali nobiscum sorte creaturæ Dei, quanquam religione dissideatis a nobis, opera auctoris malorum diaboli, qui jam pridem genus humanum decipiens ipsum sejunxit a Deo et a paradisi deliciis exterminavit, atque in hanc luctus regionem transtulit; non autem desistit etiam nunc ejus pessima indoles ac malis gaudens ab invicem nos disjungere fallacibus suis præstigiis, et dolosis illusionibus magis magisque elongare a Deo. Verumtamen aliud quiddam est, multo dignum mœrore, quod me affligit inconsolabiliter, videlicet quod disciplinarum omnium emensus stadium et sapientiæ fastigium consecutus, nullam ejus partem dimittendo quam non sim perscrutatus, nemini ad hunc usque diem de hoc thesauro communicavi; et ab eo, qui hæc mihi tradidit, metuo socordiæ ad extremum damnari.

ιγ'. Ἀκούει τὸν λόγον ὁ τοῦ Ἰωάννου πατὴρ· συμπαρωμάρτει καὶ γὰρ, ἐφ' ᾧ γε ἐκθέσθαι τοὺς κατασχέτους πάνυ δεξιῶς συνωθῶν, καὶ ὅτι συχνοὺς ὑφαιρούμενος. Ἐγγιστά που τοίνυν ἐκείνου γενόμενος, ἠρέμα καὶ σὺν αἰδοῖ ἐπανήρετο· Ἀληθῶς ἄρα

13. Audiit hunc sermonem pater Joannis: sequebatur enim, dextere satagens, ut ex iis qui detinebantur differrentur multi, nec paucos exitio subtrahens. Quam proxime itaque accedens ad eum, sensim et reverenter interrogavit, dicens:

Verene, ut dixisti, tantum in te bonum occultatum est? Ille autem, effusis ad hæc lacrymis eodemque animi sensu motus, eadem iterum affirmavit, et quæcunque noverat distinctiori enumeratione percurrens, singula distinctius diffusiusque explicabat. Dicebat ergo quomodo numerorum rationes et cohærentiarum proprietates pulchre calleret; et plani ac solidi perimetros ac diametros atque figuras edoctum sese, etiam laudatissimam astrologicæ compositionis scientiam tenere, ac veluti constitutum in cœlo dimensum esse motus corporum æthereorum; sapientiæ quoque sublimioris sacris initiatum se; quodque (ut uno dicam verbo) possideret aliquid inter humana pretiosissimum, bonum profecto, quale nunquam huc aut venit aut veniet, sicut quidam e veteribus sapientibus dixit. Et tamen in neminem incidi, inquit, quocum hæc possem communicare. Ad quæ ille: Scito quod ego implebo desiderium animi tui, neque abire te sinam tali laborantem egestate et confectum dolore, partim quia pro tibi creditis examen formidans, pœnam times, partim quia periculum est ne ignotus hinc exeas, et in oblivionis profundo occulteris, eo quod nullos post te relinquas filios, acquisitos per magisterium, qui longe præstantiores ad futuram memoriam quam naturales esse videntur, et, sicut audio, diutius vivunt quam geniti secundum carnem. Sunt enim mihi filii, forma præstantes, filii maturi, filii capaces disciplinarum quas enumerasti, velut receptacula purissima et amplissimi alvei, sed adhuc inanes, defectu talia largientis et quasi per rivum infundentis. Hos ego tibi adoptandos tradam: tuum erit eas quas dixisti disciplinas ipsis tradendo eosdem quodammodo regenerare.

14. Hæc cum dixisset, festinanter abit ad Persarum principem, quæ sibi cum Cosma intercessissent denuntians, eumque petit dari sibi, et cujus rei gratia id petat, manifestat. Ut vero assensum ejus obtinuit (multa enim apud ipsum gratia et auctoritate valebat), non minori gaudio quam Cosmas perfusus, domum eum perducit. Quomodo autem inter varia humanitatis officia ipsum exceperit, et quam jucunde complexus fuerit, longiori verborum circuitu prolixius explicare superfluum puto. Cæterum cum super omnes domesticos eum constituisset, et sicut alterum se coli a cunctis jussisset, tradens ei filios suos, ipsius quasi filios efficit. Isti erant, Joannes, splendidum nostræ orationis argumentum; et ille qui ante ipsum, defectu prolis naturalis, fuerat adoptatus a Mansure, admirabilis, inquam, suoque ut nomine sic et moribus Cosmas; de quo quid velut in transitu dixerim? quandoquidem si quis res ejus susceperit ex proposito recensendas, vix eas prout dignum est exsequeretur. Accepit ergo puerorum sibi commissorum par divinus pædotriba, tanquam pullorum generosorum domitor, exercendum ad

A τοι, καὶ ὡς ἔφησθα, τοσοῦτον ἐγκατακέκρυπται ἀγαθὸν, καὶ οὕτω χρῆμα τοῦ παντὸς ἄξιον ἐναπόκειται; Καὶ ὃς δακρύσας καὶ τὴν ψυχὴν αὐτὴν πεπονθὼς, τὰ αὐτὰ καὶ αὖθις εἰρήκει· πλατύτερόν τι διεξῇει τὰ τῆς παιδεύσεως, καὶ τὰ ἐξακριβωθέντα παραγεγυμνώκει λεπτότερον. Φησὶ γοῦν ὡς λόγους τε ἀριθμῶν, καὶ ἀναλογίας ἁρμονιῶν καλῶς ἄγαν ἠκριβωκὼς, τῶν ἐπιπέδων καὶ στερρῶν περιμέτρους καὶ διαμέτρους, καὶ σχήματα, καὶ αὐτῆς γε τῆς πολυθρυλλήτου τῶν ἀστέρων συντάξεως τὴν πολυύμνητον ἐπιστήμην συνειλοχὼς, καὶ ὡς ἐν οὐρανῷ γεγονὼς καὶ τῶν αἰθερίων σωμάτων τὴν κίνησιν ἀναμετρησάμενος, τά τε τῆς ὑπερτέρας σοφίας μυηθεὶς ὄργια, καὶ (ὡς ἔπος εἰπεῖν) τὸ τιμιώτατον
B τῶν ἐν ἀνθρώποις κτῆμα κτησάμενος, λόγους δηλαδὴ καὶ σοφίαν (χρῆμα, ὦ οὗτος, οἷον οὔτε ἦκεν ἐνθάδε, οὔτε μὴν ἥξει τῶν χρόνων ποτὲ, ὡς καὶ τῶν πάλαι τις σοφῶν ἰσχυρίσατο) οὐδενὶ τυχὼν ὅτῳ τούτου μετέδωκα. Καὶ ὃς· Ἀλλ' ἐγώ τοι, τοῦτ' ἴσθι, ἐκπλήσω τὸ καταθύμιον, καὶ οὐχ οὕτως ἀπελθεῖν ἐάσω καταδεᾶ καὶ περίλυπον, τοῦτο μὲν, οἷς τὴν ὑπὲρ τοῦ ἐμπεπιστευμένου δίκην ὑποπτεύεις, καὶ τὴν εὐθύνην ἐπιλογίζῃ καὶ δέδιας, τοῦτο δ', οἷς ἀνώνυμος οἴχεσθαι κινδυνεύεις καὶ λήθης ἐναποκρυβῆναι βυθοῖς, μὴ παῖδας ἄτε καταλελοιπὼς τῷ βίῳ διὰ παιδεύσεως, πολλῷ τινι τῶν ἐκ σαρκὸς πρὸς τὴν ἐσαῦθις μνήμην κρείττονας πεφηνότας, καὶ μονιμωτέρους, ὡς ἀκούσας ἔχω, μακρῷ τῶν ἐξ αἵματος. Εἰσὶ γάρ
C μοι παῖδες, παῖδες ὡραῖοι, παῖδες καλοὶ, παῖδες παιδευμάτων οἵων ἀπηριθμήσω καθαρὰ πάνυ δοχεῖα καὶ εὐρεῖαι δήπου δεξαμεναὶ, κενοὶ δὲ εἰσέτι, χήτει τοῦ τῶν τοιούτων μεταδώσοντος καὶ οἷον ὀχετηγήσοντος, καθεστήκατον. Τούτους, γίνωσκε, τοῦ λοιποῦ παῖδας ἔγωγε θήσω σοι· σοὶ δ' ἂν τὸ ἐντεῦθεν εἴη ὅσοις τε καὶ οἷοις εἰρήκεις ἀναγεννῆσαι παιδεύμασι.

ιδ'. Ταῦτ' εἰπὼν, σπουδῇ παρὰ τὸν Περσάρχην ἄπεισι, καὶ τὰ κατὰ τὸν Κοσμᾶν ἀπαγγέλλει, καὶ αἰτεῖται, καὶ ὅτου γε χάριν διασαφεῖ. Ὡς δὲ δὴ καὶ εἵληφε τὸ ἐνδόσιμον (πάνυ γὰρ ἠῦχει πολὺ παρ' αὐτῷ τὸ αἰδέσιμον), οὐχ ἧττον αὐτὸς χαίρων ἢ χαίροντα ἐκεῖνον οἰκαδε ἀπάγει λαβών. Ὅπως μὲν οὖν ἐφιλοφρονήσατο, καὶ οἷοις τὴν πρώτην ἐδεξιώσατο, περιττὸν ἴσως μακρηγορεῖν. Πλὴν ἀλλ' ἐπὶ πᾶσι τοῖς
D αὐτοῦ καταστήσας, καὶ ἄλλον ἑαυτὸν ἅπασιν ἐπιτεταχως, τοὺς αὐτοῦ παῖδας ἐγχειρίζει, παῖδας αὐτοὺς εἰσποιήσας αὐτῷ. Οὗτοι, Ἰωάννης, ἡ λαμπρὰ τῶν ἡμετέρων λόγων ὑπόθεσις, καὶ ὁ πρὸ αὐτοῦ τεθεὶς εἰς υἱὸν γνησίου στερήσει γεννήματος, ὁ θαυμάσιος κλῆσίν τε καὶ τρόπον Κοσμᾶς· περὶ οὗ νῦ περ ἂν καὶ φαίην, οὕτως ἐκ παρέργου εἰδώς; ὡς εἰ καὶ προὔργου τις τὰ κατὰ τοῦτον ποιήσαιτο, μόλις ἂν τῶν πρὸς ἀξίαν ἐφίκοιτο. Πλὴν ἀλλ' ἐγχειρίζεται τὴν ἱερὰν ξυνωρίδα ὁ θεῖος ἐκεῖνος παιδοτρίβης ἢ γυμναστὴς, ἥδιστα δ' ἂν φαίην, καὶ ἱερὸς μοσχοδάμνης, ὅπως ἂν πρὸς τὴν τῆς οἰκουμένης δήπουθεν νέωσιν, καὶ τὴν τῶν θείων δογμάτων διασπορὰν ἐγγυμνάσειε. Περὶ μὲν δὴ τοῦ θείου λέγειν Κοσμᾷ τό γε νῦν εἶναι ἀναβολῇ παραπέμπω καὶ

ὑπερτίθεμαι· ἃς γὰρ περὶ τοῦ ἑνὸς πρὸς ἀξίαν λέγειν οὐκ ἔχω, τί ποτ' ἂν γενοίμην καὶ τοῖς τοῦ ἑτέρου φιλοχωρήσας; ὅλως τε καὶ τῆς παροιμίας ἀκηκοὼς πρὸς δύο μὴ ἀποδύεσθαι, τὰ κατὰ τοῦτον παρίημι· δυσχεραίνων μὲν οἷς οὐκ ἐξισχύω ἅμα καὶ ἀμφοῖν ἐπιβαλέσθαι, καὶ τῶν κατ' αὐτοὺς ἀμφιλαφῶς δράξασθαι, καὶ ἑνὶ τούτῳ λόγῳ τὰ ἑκατέρου διεξιέναι πλεονεκτήματα, ἢ μᾶλλον τὰ θεῖα τούτων ἔργα καὶ κατορθώματα· οὐκ ἔχων δ' ὅ τι καὶ δράσαιμι, πρὸς τὰ τοῦ Ἰωάννου καὶ πάλιν ἐπάνειμι, ἀγωνιῶν τε καὶ πνευστιῶν, καὶ ὅλος τῷ ἱδρῶτι διάβροχος, ὡσάν τις τῶν διωδευκότων μακρὰν, καὶ μακροτέραν ἀφορώντων τὴν εἰς τὸ ἔμπροσθεν.

A universi orbis culturam et ecclesiasticorum dogmatum sementem. Ego autem de eximio Cosma in præsentiarum dicere omitto, differens eum et in aliud tempus rejiciens. Qui enim de uno pro dignitate dicere non valeo, qualisnam exsisterem, in alterius actionibus ad placitum immoratus? cum cæteroquin proverbium audierim, Adversum duos ne exuitor. Ea igitur quæ ad Cosmam spectant prætereo; ægro quidem animo ferens quod simul ambobus nequeam intendere, et res ab eis gestas utraque (ut dicitur) manu complecti, unaque oratione enarrare prærogativas utriusque, aut potius divina opera actaque egregia. Cum itaque ad id agendum sim impotens, revertor ad Joannem, animo ad defectionem usque laborans, atque anhelitum ægre ducens, et totus sudore madidus, velut eorum aliquis qui longam emensi viam, longiorem ante conspectum habent.

ιε'. Ἀλλ' ἐπεὶ τοίνυν ὁ Ἰωάννης ἀξίου τοῦ παιδευτοῦ, τοῦ Θεοῦ καλῶς προνοησαμένου, τετύχηκεν, ὕδωρ, ὅ φασι, καταπρανοῦς τῷ τῆς φορᾶς ἀκατασχέτῳ διεδείχθη, ἢ πῦρ ἐν καλάμῃ τῷ τῶν μαθημάτων δραστικῷ τε καὶ περιληπτικῷ, ἢ εἴ τι ἂν εἴη ἄλλο τῶν ὀξέως ἀπτομένων ἢ προβαινόντων, καὶ σχεδὸν ὑπερεκπιπτόντων τὴν αἴσθησιν· μᾶλλον δὲ καὶ τὰ τῆς παροιμίας νενίκηκε, καὶ ὑπερβαλλόντως τὰ καθ' ὑπερβολὴν λεγόμενα παρελήλυθεν, ἅπινθ' ὁμοῦ παρελθὼν τὰ ταχύτατα, παραδραμὼν καὶ πτηνῶν αὐτῶν τὴν ὠκύτητα, καὶ χαμερπῆ τινα καὶ δυσκίνητα φαίνεσθαι ἀφεὶς, συγκρινόμενα· ἀλλ' ὃ δή μοι ἔπεισιν ἐπὶ τούτοις ἐρῶ. Ἐρῶ γοῦν ὡς ὅσην τὴν ταχύτητα ὁ νοῦς αὐτόθεν αὐχεῖ, μᾶλλον δ' ὁπόσην τὴν ἀεικινησίαν πλουτεῖ, ὡς ἀπ' ἄκρων ἀθρόον εἰς ἄκρα διικνεῖσθαι, καὶ εἰς αὐτὸν ἐκ τῶν τῇδε καὶ κάτωθεν ἀνατρέχειν τὸν οὐρανὸν, καὶ ὑπὲρ ἐκείνου δ' ἐνίοτε γίνεσθαι, τοσαύτην ὁ αὐτόχρημα νοῦς Ἰωάννης, ὥσπερ μὴ ἐπιπροσθούμενος σώματι μηδὲ σαρκὶ παραποδιζόμενος, περὶ τὰς τῶν μαθημάτων ἀναλήψεις εὐδρομίαν ηὗχει καὶ συντονίαν, ἀπροσπταίστως, ἀπαραποδίστως, ἀθρόον ὁμοῦ διὼν σύμπαντα καὶ εἰς βάθος τῶν νοημάτων κατανοῶν ἕκαστον. Καί μοι δοκεῖν οὐκ ἀπεικότως ἂν εἰ τοῦτον Πλάτων τεθέατο, τὴν μάθησιν ἀνάμνησιν ἐδογμάτισε, καὶ ἴσως ἂν ἐδέχθη καὶ πιθανώτερος ἔδοξε· παρῆκε δ' ἂν ἐπὶ τούτῳ τὰ φαῦλα καὶ μικρὰ παραδείγματα, τοῦ ἐλαίου δηλαδὴ τὸ ἄψοφόν τε καὶ εὔδρομον, καὶ ἄλλ' ἄττα τούτοις παρόμοια, παιδαρίων μικροφυΐαν πάνυ μικροφυῶς παριστάνοντα.

B 15. Postquam ergo Joannes dignum se præceptorem, Deo id procurante, nactus est; aquæ, ut dicitur, per declive fluenti apparuit similis irrevocabili impetu et celeri comprehensione disciplinarum; aut sicut ignis in stipula, aut si quid est aliud eorum, quæ progredientia celeriter, ad metam suam pertingunt celerrime, oculorumque aciem ferme prævertunt. Qui etiam superavit ea quæ in exemplum velocitatis populari sermone usurpantur, et quæ hyperbolice adducuntur antecessit, omnes insimul artes citissime emensus, ipsasque prævertens volucres, atque efficiens, ut collatæ secum, animalia quædam tardigrada aut humi repentia possent videri. Dixerim ergo quod quanta celeritate gloriatur spiritus, quantaque pollet agilitate, ut ab extremis ad extrema subito impetu transeat, et in cœlum ipsum ab inferioribus hisce partibus recurrens, interdum super illud constituatur; tanta etiam Joannes, qui erat veluti purus spiritus, non obtenebratus corpore neque implicitus vinculis carnis, gloriari poterat cursus felicitate contentioneque circa liberalium artium disciplinam, nusquam labens, nusquam offendens, sed omnia continuo impetu pertransiens, et usque ad profundum quarumcunque notitiarum mente pervadens. Non incongrue igitur, si hunc vidisset Plato, doctrinam esse reminiscentiam definivisset, et fortasse meruisset probari, magis verosimile quid loqui visus, quam si proposuisset quædam ignobilia parvaque exempla, puta silentem ac fa- C cilem olei fluentis cursum, et reliqua his similia, infantulorum tenue ingenium valde exiliter exprimentia. D

ις'. Τήν τε καὶ γὰρ ἐγκύκλιον παίδευσιν ἅπασαν ἀχρόνως σχεδὸν ἠκριβώσατο· ἐν ἀκαρεῖ γὰρ καὶ μετρίῳ πάνυ τῷ χρόνῳ πρὸς Ἑλληνισμόν τε τὴν γλῶτταν ἐρρύθμισε, καὶ συχνὴν ἱστορίαν ἐνθένδε συνειλήχως τὰς φρένας πεπύκνωτο· μύθους δὲ καὶ λόγους πλασμάτων ἀναλεξάμενος, φλυαρίας μὲν Ἑλληνικῆς κατεγνώκει, προσφυῶς δ' ἐντεῦθεν ἀλληγορεῖν θαυμασίως ἄγαν ἐξήσκηται, ἔνθεν δὲ καὶ πρὸς ὑποδοχὴν εὐτρεπὴς μειζόνων γεγένηται, ὑψηλοτέρων, λέγω, μαθημάτων καὶ καταλήψεων. Τοίνυν καὶ

16. Universum namque orbem litterarium fere sine temporis spatio absolvit, et quasi momentaneo, certe perquam brevi temporis impendio ad Græci sermonis usum conformavit linguam; multamque cognitionem hinc adeptus, ea mentem instruxit: lectis vero fabulis figmentisque, Græcas quidem nugas damnavit, in allegorica tamen locutione apparuit vel exinde mirabiliter exercitatus, atque ad susceptionem majorum idoneus, ad sublimiorum dico disciplinarum speculationumque

comprehensionem. In divisione itaque earum partium, quas ignem spirans facultas complectitur, perbene versatus, inspectis orationum ideis ac methodis, collegit ex iis obiter multiplicem inventionum copiam affluentiamque, velut mercator sedulus, qui ad alium tendens locum in quo magnum sperat lucrum facere, sicubi per viam quid offenderit: neutiquam contemnendum, non recusat ejus causa tantillum ibi commorari. Ita ergo etiam Joannes, rhetoricam rhetoricæque methodos quoquo modo mercatus, continuo ad philosophiam accurrit. Et primum quidem hujus primordia, rationalem scilicet facultatem exacte perdiscit, figuras resolutionesque syllogismorum explorat, propositionum affluentiam et promptum usum colligit; atque enuntiativæ orationis naturam speculatus, demonstrationem aggreditur, velut ratiocinii regulam et perpendicularem normam veritatis, aut potius ut scalam quamdam introducentem ad naturalium rerum investigationem, quæque ad contemplationem evehit mentem, ad sublimiorem scilicet aliam præstantioremque supernaturalium rerum indaginem. Loquacitatem vero quæ cum ipsa et post ipsam discitur (ita namque veterum non nemo dialecticam nominavit, quæ primam philosophiæ partem mire excolit et omnium artium est ministra, earumque tradit ac declarat principia et axiomata : ad omne siquidem quod perquiratur aut accidat opportunas etiam ipsa vias aperit), dialecticam, dico, facultatem ecquis diligentius quam ille, aut sicut ille perdidicit? quis tanta perspicacitate ingenii in ea versatus est? Nullus sane cum eo disceptavit, quin e vestigio cœpti pœnitens se ipsum condemnarit temeritatis. Expeditius enim aliquis Cretæ Labyrinthum, aut Cædam Lacedæmoniorum effugisset, quam elenchorum ipsius evasisset retia, si semel iis esset irretitus.

17. Ast quando ad investiganda naturalium rerum arcana processit, Stagiritæ discipulis superior apparuit : non enim solum videbatur naturæ peritus arbiter, verum optimus explorator rationum, juxta quas naturæ rerum fuerint ordinatæ. Quare ipsius Aristotelis, et omnium quotquot ante et post illum de natura deque naturalibus rebus disseruerunt examinator sedulus, aut etiam explanator tutissimus habitus est. Animæ vero immortalitatem non ambigue ex ambiguis illius argumentis credidit; neque ex altiloquis, ut non dicam fabulosis commentis Platonis, erronea quædam circa illam sophismata fuit amplexus, per incorporationes quasdam et transformationes totam de

διαιρέσει τῶν τῆς πυριπνόου (5) κεφαλαίων ἐγγυμνασάμενος, λόγων τε ἰδέας καὶ μεθόδους διασκεψάμενος, κἀντεῦθεν συχνὴν εὐπορίαν καὶ ἄφθονον εὕρεσιν παροδικῶς συλλεξάμενος, ὥσπερ ἄν τις μεγαλέμπορος ἄλλοθί που τὸν σκοπὸν ἔχων καὶ τὸ μέγα ἐκεῖθεν κέρδος ἀπεκδεχόμενος, μεταξύ που τῆς πορείας τῶν τινι μὴ εὐκαταφρονήτων περιτυχὼν, βραχύ τι διατρίψας προσεπικερδᾶναι μὴ κατοκνήσειεν· ὡς δὲ καὶ οὗτος ῥητορικὴν καὶ τὰς τῆς ῥητορικῆς μεθόδους ἀμηγέπως ἐμπορευσάμενος, τὸ τάχος πρὸς φιλοσοφίαν ἀπέδραμε. Καὶ πρῶτα μὲν τὰ προτέλεια ταύτης τὴν λογικὴν πραγματείαν ἐξακριβοῦται, σχήματά τε καὶ ἀναλύσεις συλλογισμῶν σκέπτεται, καὶ προτάσεων χορηγίαν συλλέγει· καὶ καθάπαξ τὸν ἀποφαντικὸν λόγον ἐκμελετήσας τὴν ἀπόδειξιν ἐγχειρίζεται, κανόνα λόγων καὶ στάθμην ἀληθείας, ἤ καὶ ἀναγωγόν τινα πρὸς τὰ φυσικὰ κλίμακα· ἄττα δὴ πρὸς θεωρίαν μεταβιβάζει, ὑψηλοτέραν ἄλλην καὶ κρείττονα, τὴν τῶν ὑπὲρ φύσιν λέγω καὶ θειοτέρων ἐξέτασιν. Τὴν δὲ δὴ σὺν ταύτῃ καὶ μετ' αὐτὴν, τὴν ἀδολεσχίαν λέγω (οὕτω γάρ τις τῶν πάλαι τὴν διαλεκτικὴν κατωνόμασεν, ἣ φιλοσοφίαν τὴν πρώτην ὑποκρίνεται δεξιώτατα, τὴν ἁπάσας τέχναις καὶ ἐπιστήμαις πρεσβεύουσαν, καὶ τὰς ἀρχάς τε παρέχουσαν, καὶ διασαφοῦσαν τὰ ἀξιώματα), τὴν οὖν ἐκείνην ἄντικρυς εἰκονίζουσαν (πρὸς γὰρ ἅπαν τὸ ζητούμενον ἢ προβαλλόμενον εὐχερῶς καὶ αὐτὴ τοὺς λόγους ἐπάγει, εὐλόγους ἅμα καὶ ἁρμόζοντας κεκτημένη πρὸς ἕκαστον) τίς ὑπὲρ ἐκείνον ἢ κατ' ἐκεῖνον ἠκρίβωσε, καὶ οὕτωσὶ μετ' ἀγχινοίας ἐχρήσατο; Οὐδεὶς ἂν εἰς λόγους ἐλθὼν ἐκείνῳ, μὴ παραυτὰ μετέγνω, καὶ τῆς προπετείας ἑαυτὸν κατεμέμψατο. Εὐχερέστερον ἄν τις τὸν ἐν Κρήτῃ λαβύρινθον, ἢ τὸν παρὰ Λακεδαιμονίοις Καιάδαν (6) ἐξέφυγεν, ἢ τὰς ἐκείνου τῶν λόγων ἄρκυς διέδρασεν, εἴ γέ οἱ τοιούτου ποτὲ καὶ ἐδέησεν.

ιζ'. Ἀλλ' ἐπειδὴ περὶ φύσεως ἐξετάζειν ἤδη προὴγετο, ὑπὲρ τῶν ἐκ Σταγείρας ἐδείκνυτο· οὐ γὰρ δὴ μόνον δεξιός τις τῆς φύσεως ἐπιγνώμων ἐφαίνετο, ἀλλὰ καὶ τῶν λόγων ἀκριβωτὴς ἄριστος καθ' οὓς οὕτω πως τετάχαται τὰ τῆς φύσεως· ἔνθεν καὶ αὐτοῦ τε Ἀριστοτέλους καὶ τῶν ὅσοι πρὸ ἐκείνου καὶ μετ' ἐκεῖνον περί τε φύσεως καὶ φυσικῶν διεσκέψαντο, ἀκριβὴς ἄγαν ἀνεδείχθη διαιτητὴς, κἀπὶ τὸ ἀληθὲς διορθωτὴς ἀσφαλέστατος. Τὴν δὲ τῆς ψυχῆς ἀθανασίαν οὐκ ἀμφιβόλως ἐξ ἀμφιβόλων τῶν ἐκείνου λόγων ὑπείληφεν· ἀλλ' οὐδ' ἐκ τῶν τοῦ Πλάτωνος ὑψηγοριῶν, ἐῶ δ' εἰπεῖν μυθολογιῶν, σεσοφισμένα τε καὶ πεπλανημένα περὶ ψυχῆς δοξάσας, μετενσωματώσεις τινὰς ἢ μεταμφιάσεις ταύτης τὸ σύνολον

(5) Τὴν πυριπνοον hic pro *rhetorica* usurpari, ut quæ animos dicendo inflammet, patet ex sequentibus; ne quis autem de hujus lectionis sinceritate scrupulus cuiquam incideret, operæ pretium censuit Possinus noster ipsum archetypon codicem inspicere.

(6) Notus passim Cretensium labyrinthus, Lacedæmoniorum Cædas non item. Fuit autem hæc, ut ex Strabone, Thucydide et Pausania colligitur, « custodia publica, in quam malefici conjiciebantur; » addit Strabo, apud Persas sic dictum « æ'ificium plenum cineribus, » et alibi memini legisse me quidpiam de supplicio per cineres, cui destinatus illis ex improviso involvebatur suffocandus, quod forte occasionem præbere possit suspicandi, ex καίω *uro*, et ᾅδης *infernus* etymologiam petendam esse. Ms. Vatic. καάδαν habet.

παρεδέξατο· ἀλλ' ἀληθῶς καὶ ἀναμφηρίστως ἀθάνατον ἐπιγνοὺς, ἀθάνατα πρὸς τοῦ δεδημιουργηκότος ἢ δοξασθήσεσθαι ἢ κολασθήσεσθαι, ὅπως ἄρα τῇ σαρκὶ συμβιώσειε, καὶ κατεῖληφε καὶ δεδίδαχε· καὶ γινομένην εὐθὺς, ἑνί τε καὶ ἅπαξ ἐπέπειστο συνδεῖσθαι παχυλῷ σώματι, ὃ καὶ αὖθις ἀναλήψεται, πλὴν λεπτότερον καὶ θειότερον. Ἀλλ' ἐντεῦθεν ὁδῷ προϊὼν, καὶ τοῖς ὑψηλοτέροις προσβαίνει μαθήμασιν, ὡς θεωρεῖν λόγους τε καὶ ἀναλογίας, ἁρμονίας τε συζητεῖν, καὶ ἀνερευνᾶν σχήματα καὶ κινήσεις ἄστέρων, καὶ συνόδους πλανήτων ἐξακριβοῦν, σχηματισμοὺς (ἐφ' οἷς δὴ καὶ ὡς ἀληθῶς τις ἀπόγειος καὶ ἀντικρυς οὐράνιος; ἄνθρωπος ἀναπέφανται) Εὐκλείδας ὑπεραντίσας, Πτολεμαίους ὑπερβαλὼν, τοὺς πρὸ τούτων Χαλδαίους παῖδας ὥσπερ ἀποφήνας καὶ τὴν ἐπιστήμην ἡμιτελεῖς.

A anima doctrinam suscipiens : sed vere atque indubitanter intelligens ipsam esse immortalem, a conditore Deo etiam in æternum aut glorificatum aut punitum iri, juxta vitam in corpore actam, et cognovit et docuit; persuasumque habuit, statim atque creata foret, semel eam colligari uni materiali corpori, quod rursus esset assumptura subtilius divinius que. Hinc vero progrediens ad sublimiores disciplinas, accessit ad speculandas astrorum rationes proportionesque, eorumque inter se congruentias conquirendas et investigandas figuras : propter quorum notitiam terrigena quispiam possit, velut ex opposito, dici homo cœlestis. Properavit etiam ad planetarum progressus figurationesque eorum et transfigurationes varias indagandas, Euclidas in hoc genere antecellens, Ptolemæos exsuperans, et qui illis antiquiores fuere Chaldæos, quasi pueros semiperfectos scientia fuisse demonstrans.

B

ιη'. Ἀλλ' ὃ μικροῦ τε παρέδραμε. Τοῖς γὰρ ἠσικοῖς ἐντυχὼν τῶν παλαιτέρων συντάγμασιν, ὅσα ὁ ἐκ Σταγείρας, ὁπόσα ὁ ἐκ Χαιρωνείας (7), καί γε ὁ σεμνότητι παρ' Ἕλλησι διαβόητος Πλάτων συνέθετο, οὐκ ἀπερισκέπτως τοῖς δεδομένοις ἑαυτὸν ἐμπαρέσχετο· ἀλλ' ἐξ ἅμα πάντων, ἃ μὲν ἐνέκρινε ταῖς τῆς καρδίας πλαξὶν ἐνεχάραξεν, ἃ δ' ἐλληνικῆς διέκρινεν ἐμπαθείας ἢ προσπαθείας, ἀρίστως ἀποκρίνας, ἐκθύμως ἀπέστερξεν. Ἀμέλει τοι καὶ τὴν Πλάτωνος κοινογαμίαν, εἰ δὲ βούλει, τὴν Κράτητος (8) ὡς κυνώδη βιοτὴν ἐπιλογισάμενος κἀκ ψυχῆς αὐτῆς ἐποῦσιν, ἐς Κυνόσαργες (9), τό τε ἐκείνων εἰπεῖν, C ἀπεπέμψατο· τόν τε Ἀριστοτέλη τοῦ γάμου μὴ κακίσας, ἀλλ' ὑπερφρονήσας, ὑπέρτερά τε φρονήσας καὶ ἐνθεώτερα, τὸν ἄσπιλον αἱρεῖται βίον καὶ κρείττονα. Ἐπειδὴ γὰρ καὶ γέγονε κρείττονος τῆς ἡλικίας καὶ πρὸς γάμους πρός τε τῶν γεγεννηκότων αὐτῶν ἐβιάζετο, καὶ πρός τ' ἄλλων συχνῶν ἐν τέλει ὄντα καὶ μεγάλων ἐφείλκετο, καθάπερ τις ἀπαθὴς φύσις καὶ πάντα πρὸς τὰ τῇδε ἀπόστροφος, ἀκλινὴς ἄγαν ἦν καὶ ἀνένδοτος, ἄλλοθί που τὸν σκοπὸν ἔχων καὶ ἀλλαχοῦ μεταθεῖναι διανοούμενος τὸ πολίτευμα· ὅπη γε καὶ Παῦλος ὁ μέγας εἶχε τὴν πρόθεσιν, Ἰωάννης τε καὶ Ἰωάννης, ὅ τε σκιρτήσας πρὸ τῆς γεννήσεως καὶ τὸν Δεσπότην προσκυνήσας μὴ θεασάμενος, καὶ ὁ ἐπὶ τῷ τοῦ Κυρίου στήθει ἀνακεισῶν κἀκεῖθεν τὰ τῆς θεολογίας ἁρυσάμενος νάματα.

18. Verum illud parum abfuit quin me præteriret. Cum in veterum commentarios de morali philosophia incidisset, quos Stagirita et Chæronensis ac gravitate morum apud Græcos commendatissimus Plato composuit; non semetipsum omnibus incircumspecte tradidit, quæ ab iis memoriæ fuerunt tradita, sed inter ea optime discernens, quæ bona judicabat imprimebat cordis tabulis, quæ vero ad licentiam videndi gentilem et cupiditatum illecebras putavit pertinere omnino respuit. Sic communionem uxorum, a Platone adinventam, et a Cratete institutam communis vitæ societatem, caninam reputans atque ex animo detestans, sectatores ipsorum in malam crucem amandabat : Aristotelis vero de conjugio opinionem non improbans, sed excelsius ea aliquid sapiens, sublimioraque et diviniora cogitans, incontaminatam longeque præstantiorem conjugali vitam prælegit. Ut enim provectioris evasit ætatis, compellebatur quidem a genitoribus ipsis ad nuptias, atque ab aliis, et his quidem multis positisque in dignitate, eodem pertrahebatur : sed veluti impassibilis quædam natura, a terrenis rebus omnino aversus, ad eas inflecti recusabat obstinate, utpote alibi suum habens scopum, eoque studium suum transferre cogitans, quo magnus Paulus suum intendit propositum, unusque et alter Joannes, is scilicet qui in utero matris ante nativitatem exsilivit, et quem necdum viderat Dominum adoravit; et ille qui supra ejusdem Domini pectus recubuit, hauriens inde theologiæ fontem.

ιθ'. Καὶ δὴ λοιπὸν οὕτως ἑαυτὸν ἐρρύθμισε, τάς τε D τῆς ψυχῆς δυνάμεις ἐκόσμησε, καὶ τῷ νῷ καλῶς καθυπέταξεν, ὡς θείαν ὄντως ἁρμονίαν ἐμφαίνεσθαι τούτῳ, καὶ ἀγγελικὴν ὡς ἀληθῶς σεμνοπρέπειαν. Ὅθεν δὴ καὶ οὐ μόνον τοῖς γεννήτορσιν ἐράσμιος ὁμοῦ καὶ τίμιος ἦν, ἀλλὰ καὶ πᾶσιν ἄλλοις, καὶ αὐ-

19. Deinceps autem taliter concinnavit seipsum animique potentias ita adornavit ac mentis imperio subordinavit, ut in eo reipsa apparerent divina quædam harmonia et decor morum angelicus gravitasque : quapropter non solum erat charus atque amabilis genitoribus, sed et aliis omnibus ip-

(7) Plutarchum intellige, Chæroneiæ in Bœotia natum.

(8) Crates Thebanus, Diogenis Cynici discipulus, qui nihil possidere sapientem voluit.

(9) *Ad canem album*, verbatim diceretur : erat autem Κυνόσαργες Athenis dictum gymnasium, in quo procul a pudice natis remoti, exercebantur nothi ac spurii.

sisque heterodoxis multum venerabilis. Postquam vero pater ex hac vita egressus transiit ad aliam, suffectus statim filius paternam assumpsit dignitatem, atque inter proceres fuit ascriptus. Invitus tamen. A pueris enim et ab initio cogitaverat semetipsum Deo consecrare eique soli vivere, Samuelis exemplum non solum sequens, sed etiam in hoc fortasse superans, eo quod ex seipso hoc elegit, non autem a parentibus, sicut ipse, promissus Deo et exhibitus fuit. Verumtamen supposuit humeros curæ civilium rerum, qui spiritualibus adhærebat ex animo. Sed oh ! quam dextre, quam prudenter et consulte creditum sibi munus administrabat ! Diffundebatur ergo per omnium ora admiratio ejus, sed præcipue ab ipso urbis præfecto honorabatur, post quem erat immediate primus ac velut collega dignitatis. Atque hinc ordimur majora dicere, exantlatos nempe in causa Dei labores quæque pro veritate sustinuit certamina admiratione quam maxima digna.

20. Sed quando huc devenit oratio, ageaum nostras lamentemur calamitates, et humanam lugentes imbecillitatem, faciamus spectabile inveteratum adversus nos odium auctoris malorum, atque de iis quæ ab ipso passi sumus et patimur, ut par est, conqueramur. Bene eatenus habebant se nostra, et res Christiana florebat, prævalente ubique orthodoxa fide, omniaque universim optimo erant in statu, adeo ut cœlestis quædam, ut sic dixerim, regio videretur esse orbis terrarum, quia rebus nostris præsens aderat Deus, seque adversus contraria nobis præbebat curatorem. Verum malignis ac fascinantibus oculis aspexit nos, qui jam pridem nobis invidit Satan, atque | (ut gentiles loquuntur) gravi Saturnalique aspectu nos intuitus est. Modum igitur acer ille atque ad malefaciendum industrius adinvenit, quo non solum repelleremur a gubernatione et visitatione divina, sed ipsum Deum nobis efficeremus inimicum, et ad summam contra nos iracundiam concitaremus. Quoniam autem plerumque consuevit impetum in homines non facere nisi per medium, quemadmodum olim in protoplastos per serpentem, rursus quemdam sibi invenit pravum moribus, varium mente, refertum improbitate, conglomeratis fraudulentiis contortisque in orbem commotis serpentem, iracundiæ vero impetu et intolerandi furoris vehementia belluam, ac congrua sui nominis appellatione leonem, Leonem, inquam, ex Isauris apostatam, qui primum domino suo imperatorique acceptus, potentiam ejus atque imperium supplantavit, non generosa quadam strenuitate usus (ne quis hoc putet), sed dolis et fraudibus : vafrities siquidem haud raro peragit magna quædam, et

τοῖς δὲ τοῖς ἑτεροδόξοις σφόδρα λίαν αἰδέσιμος. Τοίνυν καὶ τελευτᾷ τὸν βίον ὁ πατὴρ, καὶ πρὸς τὰ ἐκεῖσε μεθίσταται. Ἐγκρίνεται δ' οὗτος εὐθὺς, καὶ τὴν πατρικὴν ἀξίαν ἀναλαμβάνει, καὶ τοῖς λογάσι συγκαταλέγεται· ἄκων μέν· ἀλλὰ γὰρ ἐκ παίδων καὶ ἐξ ἀρχῆς εἰς νοῦν ἔστρεφεν ἑαυτὸν τῷ Θεῷ καθοσιῶσαι καὶ δοτὸς; αὐτῷ χρηματίσαι, πρὸς τὸν μέγαν ὄντως καὶ οὗτος ἀπευθυνόμενος Σαμουήλ· ὅτι δ' αὐτόθεν αὐτὸς τοῦθ' εἵλετο, καὶ μὴ πρὸς τῶν γεννητόρων ὑποσχεθεὶς δέδοτο, τάχα γε καὶ ὑπερτιθέμενος. Πλὴν ἀλλὰ τὴν τῶν πολιτικῶν ἐπωμίσατο φροντίδα ὁ τῶν πνευματικῶν ἁπτὴξ ἀντεχόμενος. Τί γοῦν; ὡς δεξιῶς, ὡς νουνεχῶς, ὡς εὐεπηβόλως τὰ ἐγκεχειρισμένα διῳκονόμει ! Καὶ πρὸς μὲν ἁπάντων ἄλλων περιελαλεῖτο καὶ ἐθαυμάζετο, πρὸς δὲ τοῦ κρατοῦντος αὐτοῦ τὰ πρῶτά τε ἐτιμᾶτο, καὶ μετ' αὐτὸν ἦν εὐθὺς, καὶ σύναρχος ἐνενόμιστο. Ἑνὸν ἰδοὺ λέγειν τὰ μείζω καὶ τιμιώτερα, τὰ κατὰ Θεὸν τούτου παλαίσματα, καὶ τὰ ὑπὲρ τῆς ἀληθείας ἀξιάγαστα ἀγωνίσματα.

κ'. Ἀλλ' ἐπείπερ ἐνθαδὶ τοῦ λόγου γεγένημαι, ἄγε δὴ τὰ ἡμέτερα θρηνήσω πάθη, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἀποκλαύσωμαι, τήν τε παλαιὰν πρὸς ἡμᾶς τοῦ ἀρχεκάκου θριαμβεύσω δυσμένειαν, καὶ ὡς εἰκὸς ἀποδύρωμαι ὑπὲρ ὧν πρὸς αὐτοῦ πεπόνθαμέν τε καὶ πάσχομεν. Εἶχε μὲν τέως εὖ τὰ ἡμέτερα, καὶ τὰ τῶν Χριστιανῶν ἤνθει· τὰ γὰρ τῆς ὀρθοδοξίας ἐκράτει, καὶ τὸ πᾶν ἁπλῶς καλῶς εἶχε, καὶ κοσμίως ὡς ἀληθῶς ἐσταλτο, καὶ ἵν' οὕτω φαίην, οὐράνιός τις χῶρος τόπος ἦν ὁ περίγειος, καὶ θεὸς τοῖς ἡμετέροις ἐπεχωρίαζε, καὶ τῶν καθ' ἡμᾶς ὡς εἰπεῖν ἐπετρόπευεν. Ἀλλ' ἐπεὶδε βάσκανον ὁ ἀνωθεν καὶ ἐξ ἀρχῆς φθονερῶς ἡμῖν ἐποφθαλμίζων σατὴν, καὶ (ὃ φασιν οἱ ἐκτὸς) τελχινῶδες καὶ κρόνιον ἐνιτένισε· τρόπον οὖν ἀνευρίσκει ὁποῖος ἐκεῖνος ῥᾳδιουργῆσαι δεινὸς, καὶ πρὸς τὸ κακὸν πολυμήχανος· ᾧ γε οὐχ ὅπως ἂν κατοστρακισθῶμεν τῆς θείας ἐπισκοπῆς τε καὶ κυβερνήσεως, ἀλλ' ἐκπολεμήσωμεν καὶ Θεὸν, καὶ τὰ ἔσχατα καθ' ἡμῶν ὀργισθῆναι διαρθίσωμεν. Ἐπεὶ δ' ὡς τὰ πολλὰ διὰ μέσου προσβάλλειν ἡμῖν εἰώθειν (ὡς καὶ ἐπὶ κατὰ πρωτοπλάστων πάλαι διὰ τοῦ ὄφεως), εὑρίσκει καὶ αὖθις τὸν σκολιὸν τοὺς τρόπους, τὸν ποικίλον τὴν γνώμην, τὸν πονηρίας ἀνάπλεων, τὸν ἄντικρυς ὄφιν τοῖς σκαιωρήμασι, τὸν συνεσπειραμένον τε καὶ περιεστραμμένον τοῖς σκέμμασιν, ἢ μᾶλλον τὸν ἀνήμερον φερωνύμως; θῆρα, τὸν αὐτόχρημα λέοντα, τὸν ἄστεκτον τὴν ὁρμὴν, τὸν ἀνύποιστον τὴν ὀργὴν, τὸν τὴν κακίαν ἀφόρητον. Λέων οὗτος ὁ ἐξ Ἰσαύρων, ὁ ἀποστάτης τὰ μὲν πρῶτα τοῦ δεσπότου καὶ βασιλέως γενόμενος (10), καὶ τὸ κράτος αὐτοῦ καὶ τὴν ἀρχὴν ὑφελόμενος, οὐκ ἀνδρίᾳ (μὴ οἰηθείη τις τοῦτό ποτε), μηχαναῖς δὲ καὶ δόλοις ὑποσπασάμενος· οὐ μικρὰ γὰρ πολλάκις καὶ πανοῦργος ἤνυσε τρόπος, καὶ τὰ

(10) Theodosius Adramyttenus hic esset intelligendus, qui Anastasio deposito suffectus an. 715 Leoni cessit imperium : verum non a Theodosio, sed ab Anastasio præfecturam Orientis assecutus erat Leo ; Theodosium vero nunquam agnovit imperatorem, sed mox ut electum audivit contra eum fœdus cum Artabasso Armeniæ prætore iniit. Factus autem imperator non statim, ut infra dici videtur, sed anno regni sui nono primum cœpit insanire contra sanctas imagines.

μέγιστα ἔστιν ὅτε ἦθος ἐπίκλοπον ἐξετέλεσε, καὶ ἃ γενναία ποτὲ χεὶρ σὺν μακρῷ τῷ πόνῳ οὐκ ἴσχυσε παραστήσασθαι, ἐκ τοῦ ῥᾴστου δόλος κατέστρεψεν. Οὔκουν δὴ θαυμαστὸν εἰ καὶ οὗτος κατὰ τοῦ εὐσεβοῦς μεμελετηκὼς αὐτοκράτορος καὶ ἐπαναστάσει ἐπικεχειρηκώς, τάχα γε τῆς ἀγαθότητος αὐτοῦ καταστοχασάμενος (δι' ἣν καὶ πρὸς τὴν βασιλείαν ἐνεκρίθη ὁ πάντ' ἐκεῖνος καλὸς Θεοδόσιος) τοῦ κατὰ βούλησιν οὐκ ἀπέτυχεν· εἰσὶ γὰρ οἳ φασιν ὡς καὶ ἐκ μαντείας καὶ ἀπορρήτοτέρων μυήσεων καὶ τελετῶν ἀθέσμων ἐκ πολλοῦ πρὸς τοῦτοι διηρέθιστο. Πλὴν ἀλλ' ὁ μὲν τῶν σκήπτρων ἀφέμενος, καὶ ὑποχωρήσας τῶν βασιλείων (ὡς μὴ ὤφελον) τοῖς τῆς Ἐκκλησίας φέρων ἑαυτὸν ἐγκατέλεξεν· ὁ δ' ἐπεὶ τοῦ κράτους ἐπελήφθη, κατὰ τῶν θείων, φεῦ! εἰκόνων λελύττηκε, ταυτὸν δ' εἰπεῖν καὶ κατ' αὐτοῦ τοῦ Θεοῦ, οὐκ ἀνασχόμενος μὴ τὰ ὑπεσχημένα τοῖς μάντεσιν ἐκπλῆσαι, καὶ τὸ χρέος σφίσιν ἀποτίσαι τῆς τῶν προφοιβασμάτων ἐκβάσεως.

κα'. Ἐγείρει τοίνυν μέγαν κατὰ Θεοῦ πόλεμον, ἀχρειοῦνται τὰ τεμένη καὶ τοὺς νεὼς διεγείρεται, τά τε θεῖα καὶ τίμια ἐκτυπώματα διαξέειν τε καὶ ἀπαλείφειν ἐπαίρεται, καὶ ἁπλῶς ἀμορφοῖ ἢ μᾶλλον καταστρέφει τὴν Ἐκκλησίαν Θεοῦ, ἣν αὐτὸς ἐνανθρωπήσας ἐθεμελίωσε, καὶ θεόπνευστοι τούτου περιεστοίχισαν κήρυκες, μάρτυρές τε θεῖοι τοῖς αἵμασι φοινίξαντες κατηγλάϊσαν, καὶ θεοφόροι Πατέρες πρὸς ἀσφάλειαν διωρόφωσαν (τί πολλὰ λέγειν;) ἣν αὐτὸς ὁ Θεὸς καὶ Πατὴρ παλαμηφορεῖ, τῷ τοῦ Υἱοῦ καὶ Λόγου ἐξωνησάμενος αἵματι, τό τε θεῖον Πνεῦμα συνέχει, Πνεῦμα τὸ Πατρὸς καὶ Λόγου μονογενοῦς, Πνεῦμα τὸ ἐκ Πατρὸς ἀῤῥήτως ἐκπορευόμενον, ὡς ὑπὲρ λόγον καὶ ὁ Λόγος τοῦ αὐτοῦ γεννᾶται Πατρός. Κατὰ τοιαύτης Ἐκκλησίας, ὦ τόλμης παραβόλου! ὦ θράσους ἀλογίστου! ὁμόσε ὁ ἀλιτήριος ἐκεῖνος κεχώρηκε, τοσούτου κατετόλμηκε πράγματος· ἀλλά, φεῦ κριμάτων Θεοῦ! εἰς πέρας τὸ πρὸς βούλησιν ἤγαγε, καὶ τὸ κατὰ θυμὸν ἐξετέλεσε. Τοιοῦτόν τι καὶ γὰρ τὸ ἡμέτερον, ἀνέμου πεδίον, ὅ φασιν, ἢ κάλαμος πρὸς αὔραν στρεφόμενος καὶ μεταστρεφόμενος, λύγος τε ἄγαν λεπτὸς καὶ ἀκρόῤῥιζος, πρὸς ὅστις ἂν καὶ τύχοι βιαζόμενος, ἀγόμενός τε καὶ μεταγόμενος. Οὐ κατηγορῶ πάντων, τῶν πλειόνων δὲ καταφέρομαι συνήγορος ἐπικαίρως, καὶ τοῦ τῶν παλαιτέρων προσλαμβάνων ἀπόφθεγμα. Εἶδον γὰρ, εἶδον, ὡς μὴ ὤφελον, τοιαῦτα κἀγὼ, καὶ ὁμοίοις καιροῖς, βαβαὶ τῆς συμφορᾶς! περιέτυχον· τοιαύτῃ τε σκοτομήνῃ ἐγκύρσας, μεγάλα προσκέκρουκα, καὶ ἀνίατα μικροῦ τετραυμάτισμαι (11). Ἀλλ' ἐμὲ μὲν

grandia patrat fraudulentia; quæque manus robusta diuturno labore non valuit edomare, quandoque facillime expugnat astutia. Non igitur mirum, si etiam ipse, contra pium Cæsarem impia meditatus eumque rebellando aggressus, ac forte ipsa illa ejus bonitate confisus, propter quam ad imperium evectus fuerat, non est frustratus suæ voluntatis proposito. Sunt autem qui dicant occultioribus sortilegiis divinationibusque superstitiosis ac nefariis præstigiis jam pridem ad hoc fuisse invitatum. Et ille quidem, præclarus scilicet Theodosius, abdicato sceptro imperium dimittens (quod utinam non contigisset!) ecclesiasticis ministeriis semetipsum dedicavit; Leo vero postquam accepit regnum, furere, eheu! adversus sacras imagines cœpit, sive, quod eodem recidit, adversus Deum, ne non adimplevisse diceretur quod vatibus suis promiserat, sed debitum fideliter persolvisse quod sub conditione eventus successuri contraxerat.

21. Magnum igitur bellum contra Deum excitat, inutilia faciens templa et loca sacra subvertens, simulque ad divinas imagines abolendas et comburendas tota vi consurgens, deformem omnino reddit, potius dixerim, subruit Dei Ecclesiam, quam ipse assumpta humanitate fundavit, quam præcones ejus divinitus afflati circummunierunt, quam martyres cruore suo purpuratam illustraverunt, quam sancti Patres tanquam turribus ad securitatem comparatis vallarunt, quam denique Deus ipse et Pater in palma manus suæ gerit, Filii et Verbi sui sanguine redemptam, et divinus Spiritus ex Patre indicibiliter procedens, sicut et Verbum modo quodam a nulla ratione comprehendendo ex eodem Patre generatur. Contra hanc Ecclesiam, o grandem audaciam! o temerariam præsumptionem! perniciosus ille pedem extulit; et tantum facinus molitus, o Dei judicia! ad finem quod volebat perduxit, quidquid animo volutarat adimplens. Erant ergo res nostræ quasi campus, ut ajunt, ventorum, vel arundo ad auram versa inversaque, aut virgultum tenue levibus ac brevibus innixum radicibus, et quocunque libuerit cuivis ductile et flecti facile. Equidem non omnes accuso, sed potius plerisque advocatum me opportunum offero, sicut unus ex antiquioribus dixit. Vidi etenim, vidi (quod utinam non vidissem!) etiam ego talia et in similia tempora, pro dolor! incidi, atque in noctem hujusmodi tenebris obvolutam incurrens graviter offendi, immedicabilibus pene vul-

(11) Videtur infelix schismaticus dolere, vel quod non satis constans fuerit in tuendo schismate sub imperio Michaelis, qui unionem cum Ecclesia Romana fecerat, eique se opponentes removebat ab officiis, sicut et hunc Constantinum, « quem educarat apud se informarique optimis artibus curarat, privavit propterea loco gratiæ, quem prius habuerat et a sua familiaritate removit, » uti scribit Pachymeres part. I, l. VI, c. 27. Si tamen ille sic castigatus vel modicum remisit de pertinacia, Michaele sesquianno post mortuo, rediit ad vomitum an. 1282, sub Andronico, a quo denique

factus est logotheta circa annum 1294. Vel (quod potius crediderim) dolet ob eam divisionem, qua sub Andronico schismatici ipsi divisi fuerunt in Josephitas et Arsenianos, quorum hi severius, isti benignius agi volebant cum iis qui unioni Romanæ (quam utrique detestabantur) renuntiarant; de quibus idem Pachymeres parte II, lib. I, cap. 21 et 22. Sed et alia deinceps schismata plura exstiterunt Constantinopoli, per justam Dei retributionem, ut nec unionem haberent inter se qui nolebant habere cum Romana Ecclesia.

neribus confossus, Sed oro ut animorum et corporum curator Deus medeatur mihi, istorumque verberum livores aboleat benignus medicus nostræque infirmitatis misericors reparator. Sed agedum ad propria revertatur oratio et superioribus rursum insistat.

A ὁ τῶν ψυχῶν ἰατρὸς καὶ τῶν σωμάτων ἰάσαιτο, καὶ τὰς τῶν μωλώπων ἐκείνων οὐλὰς ἀπαλείψειεν ὁ φιλάνθρωπος ἀκέστωρ, καὶ τῆς ἡμετέρας ἀσθενείας οἰκτίρμων θεραπευτής. Ὁ δὲ λόγος, ἄγε, τῶν προτέρων ἐχέσθω, καὶ ἐπειλήφθω αὖθις τῶν ἄνωθεν.

22. Subversi fuimus a malo, malum in res humanas divinasque usurpante imperium : qui vero hæc restaurans ad pristinam reduceret integritatem inveniebatur nemo, omnia autem ad impossibilitatem desperationemque extremam reciderant : nam magnus Joannes, qui tam densam impietatis dominatricis noctem poterat illuminare, absens in Perside vivebat Damasci ; et qui vere noster erat rerumque nostrarum etiam exinde provisor circumspectissimus, in aliena commorabatur regione. Quid ergo ? an suæ istic studens utilitati, res quæ hic erant, publicas neglexit ? Minime vero. Sicut enim loci alicujus indigena et amator in alieno constitutus solo, ibique negotiis suis curandis intendens, sicubi intellexerit res patriæ præter animi sui votum agi, etiam e longinquo iisdem consulit studiose, non sine conturbatione atque anxietate propria : sic quoque vir hic divinus, animo quidem consternatus est statim atque id contigit et internis motibus conturbatus, tamen Domini sui hæreditatem anxie curans, consuluit populo Christiano, et frequentium epistolarum scriptione curavit ubique omnibus notum facere errorem, manifestare corruptelam. et in demisso ad animarum perniciem hamo occultatam escam sub conspectum adducere. Forte etiam præsens intervenire voluit iis quæ hic agebantur, et nostris calamitatibus coram opitulari, ipsum Cæsarem redarguendo juxta consuetum sibi zelum, multa loquendi libertate prædituni ; zelum, inquam, igneum pro Deo, Eliæ instar ; et posita juxta Psalmistam [1] iniquitate ejus in conspectu ejus, coercere impetum multitudinis imperitæ, et quatenus posset ipsam erudire. Verumtamen absens (ubi autem et quomodo diximus supra) istiusmodi propositum non poterat facile exsecutioni mandare ; aliis ergo modis debitum Deo obsequium persolvere cupiens, quaquaversum suas direxit epistolas, quibus monebat ritus priores capessere et patriis legibus ac religionibus inhærere. Has autem epistolas ad eos qui hic degebant mittens multas ac fere innumerabiles (quamvis eas conarentur occultas habere qui recipiebant) non potuit evitare, quo minus venirent in notitiam imperatoris, ejusque furorem adversus sapientem scribam suscitarent et contra generosum palæstritam incenderent, suaderentque fraudulentis dolis eum adoriri : quod quemodo actum sit, licet breviter explicare cœperimus, nunc iterum dicemus distinctius.

B

C

D

κβ'. Ἀνετράπη μὲν ὑπὸ τοῦ κακοῦ κακῶς βασιλεύσαντος τὰ θεῖά τε καὶ ἡμέτερα· ὁ δ' ἀναστήσων ἦν οὐδείς· πάντα δ' ἐν ἀμηχάνῳ καθειστήκει, καὶ ἐν ἀπόρῳ τὰ τοῦ πράγματος κατηντήκει, καὶ τὰ τῆς διορθώσεως ἁπαξαπλῶς ἀπηγορεύετο. Ὁ γὰρ τῆς ἀσεβείας φωστὴρ, ὁ μέγας Ἰωάννης, ἐν Δαμασκῷ καὶ Περσίδι διῆγε, καὶ ἐπ' ἀλλοδαπῆς ἐτύγχανεν ὢν ὁ ἡμέδαπος ἀληθῶς, καὶ τῶν ἡμετέρων κἀκεῖθεν κηδεμὼν προμηθέστατος. Ἀλλὰ τί γοῦν; τὸ καθ' αὑτὸν ἐκεῖ στέρξας, τῶν τῇδε καὶ κοινῶν κατημέλησε; Πολλοῦ γε καὶ δεῖ. Ὡς γάρ τις αὐτόχθων τε καὶ φιλόπατρις, ἐπ' ἀλλοτρίας γενόμενος, καὶ τῶν ἰδίων αὖθις φροντίζων, εἴ πως δὴ τὰ ἐν τῇ πατρίδι μὴ ὡς βουλητὸν ἔχειν ἀκούσειε (κἂν παρὰ τὴν καρδίαν πάθοι, καὶ σκέψει τῶν λογισμῶν ἐνδοίη), κἀκ τῆς ἀλλοδαπῆς τε καὶ πρόρρωθεν περὶ τῶν ἐν τοῖς ἰδίοις ἂν διασκέψατο· ὡς δὲ καὶ ὁ θεῖος οὗτος ἀνὴρ βάλλεται τὴν καρδίαν αὐτίκα τῷ συμβάντι, παθαίνεται τὴν ψυχὴν, κήδεται τοῦ θείου λάχους, προνοεῖται τοῦ Χριστωνύμου λαοῦ, καὶ συχνοῖς πάνυ τοῖς γράμμασι πᾶσι πανταχῇ τὰ τῆς πλάνης ἀναγνωρίζει, καὶ τὰ τῆς λύμης διασαφεῖ, τό γε ἐγκεκρυμμένον δέλεαρ τῷ καθιεμένῳ κατὰ τῶν ψυχῶν ἀγκίστρῳ πᾶσιν ὑπ' ὄψιν ἄγει καὶ διάδηλον τίθησι. Τάχα δ' ἂν καὶ τοῖς ἐνθαδὶ προὐτεθύμητο, ὡς καὶ παράνομον διελέγξαι βασιλέα, κατὰ τὸν πολὺν τὴν παῤῥησίαν καὶ τὸν ὑπὲρ Θεοῦ ζῆλον ἐμπύρινον Ἠλίου· καὶ παραστήσας τούτῳ, κατὰ τὸν Ψαλμῳδὸν, τὴν ἀνομίαν αὐτοῦ κατὰ πρόσωπον, λαόν τε ἀσύνετον νουθετῆσαι, καὶ ὡς ἐνὸν παιδαγωγῆσαι καὶ διορθώσασθαι. Ἀλλ' ἀπὼν (ὅπη δὲ καὶ ὅπως προδεδηλώκαμεν) οὐκ εὐμεταχείριστον εἶχε τὸ κατὰ πρόθεσιν. Τούτου γοῦν ἕνεκα τρόποις ἄλλοις ἀποπλῆσαι Θεῷ τὰ τῆς ὀφειλῆς διεσπούδακεν· ἀμέλει καὶ γραφὰς ἁπανταχῇ πέπομφεν, ἀντιποιεῖσθαί τε τῶν προτέρων ἐπιταττούσας ἠθῶν, καὶ τῶν πατρικῶν θεσμῶν καὶ θείων ἐξέχεσθαι· ἃ δὴ καὶ πάνυ πολλὰς τοῖς ἐνταῦθα διέσπειρεν, ἀφειδῶς πάνυ καταπυκνώσας, καὶ δαψιλῶς ἄγαν διασκορπίσας τοσαύτας. Καὶ γὰρ, ὡς καὶ κρυπτόντων τῶν ἀναλαμβανόντων, καὶ διὰ πολλοῦ τὸ λαθεῖν τιθεμένων, (συμβαίνει) γνωσθῆναί τε τῷ βασιλεῖ καὶ κατὰ τοῦ σοφοῦ γραμματέως ἐκμῆναι, καὶ κατὰ τοῦ γενναίου ἀλείπτου διανάψαι, καὶ δολεροῖς ἀναπεῖσαι κατεπιχειρῆσαι τοῖς τρόποις· ὁποῖον δήπερ ἐκεῖνον, εἰ καὶ διὰ βραχέων, δεδηλωκότες πεφθάκαμεν.

23. Erat is, ut dixi, Leo Isauricus, belluinus ille quidem et iracundiæ modum nullum ponens, non tamen usque adeo leoninus, ut palam auferet

κγ'. Θηριώδης μὲν γὰρ, καὶ τὴν ὀργὴν ἀκατάσχετος, ἀλλ' οὐχὶ καὶ τἆλλα λεοντώδης κἀκ τοῦ φανεροῦ τὴν μάχην κατατολμῶν, ὁ Ἴσαυρος ὢν ἐτύγχανε

[1] Psal. LXXXIX 8.

Λέων· ὀλόπεχο, δὲ κεύθων ἦν τρόπους, καὶ ὡς ἀληθῶς ὑπὸ λεοντῇ τῇ βασιλικῇ καὶ φρικαλέᾳ στολῇ τὴν δολερόν τε καὶ ἄτιμον ἀλωπεχῆν περιέστελλε. Αὐτῇ γοῦν κατὰ τοῦ ἁγίου, εἰ οἷόν τε διαχρήσασθαι ἐκμανείς, ἢ μᾶλλον διασπάσαι, καὶ ὠμότατα τὴν γένυν ἐμβάψαι τῷ αἵματι, καὶ θηρὸς δίκην τὸν πρᾶον καταβροχθίσασθαι· οὐκ ἔχων δ' ὅ τι καὶ δράσειεν, ἐπὶ τὴν συνήθη κακουργίαν χωρεῖ. Καὶ γοῦν συνάγει τοὺς ὑπογραμματεῖς, πάντας τε γραμματεῖς, καὶ Φαρισαϊκῶς κατὰ τῆς ἀληθείας τραχηλιάσαντας, εἴπέ τις ἂν ἐκείνους, καὶ τῆς κακίας ἀκριβεστάτους γραφεῖς· καὶ δὴ σὺν τοῖς ἁλιμοῖς ἐκείνοις σκέπτεται βουλευταῖς, καὶ κατὰ τῆς χάριτος Υἱοῦ Θεοῦ καὶ Χριστοῦ Κυρίου βουλεύεται, ὡς Ἡρῴδης ἄλλος καὶ αὐτὸς ἐκμανείς· πλὴν ἕνα καὶ τέλειον σφαδάζει τοῦτον διαχειρίσασθαι, πλείστους ἄλλους περιδὼν νηπιώδεις ἅτε κρίνας καὶ ἀτελεῖς. Ἕνα καὶ γὰρ τοῦτον πάντων ἐκείνων ἀλείπτην ἐγνώκει, καὶ πρὸς ἑνὸς ᾔδει τὴν μάχην δέσαντι παράταχτον ἐσχηκώς. Μανθάνει μέντοι παρὰ πάντων ἐπίσης τὸ κατὰ πάντων περὶ λόγους αὐτοῦ κράτος, τὴν ἐν λόγοις διαῤῥήδην ἀνωμολογηκότων ἰσχὺν, καὶ τὴν πρὸς τὸν ἄνδρα διὰ λόγου πάλην κοινῇ ἀπειρηκότων φωνῇ· καὶ μηδ' ἂν ποτε ἐκ τοῦ φανεροῦ κατισχύσειν διισχυρισαμένων τὰ ἐκείνου ἀναλῦσαι συγγράμματα, πανταχῇ τε διασπαρέντα, καὶ πολλῆς ὅτι τῆς πειθοῦς (οὐ γὰρ ἀληθείας ἤθελον λέγειν) πλήρη τυγχάνοντα.

A prodire ad pugnam; sed vulpini moris multum quoque habens, sub regia ac leonina et terribili specie vulpinam vilemque et fraudulentam occultabat mentem. Furit ergo contra sanctum, occidere eum, si possit, aut verius laniare cupiens cruentasque maxillas sanguine ejus tingere, et mansuetissimum virum ferino more quam crudelissime devorare: sed non inveniens quomodo id perficeret, ad familiarem sibi vafritiem convertitur. Coactis undequaque subnotariis notariisque, Pharisaice contra veritatem insurgere audentibus, quos aliquis haud inepte dixerit iniquitatis expertissimos scribas; cum perditis illis consiliariis, contra gratiam Filii Dei et Christum Domini deliberationem instituit, tanquam Herodes alter etiam ipse insaniens: multosque despiciens, veluti parvulos atque imbelles, angitur animo, ut unum illum, virum utique perfectum, interficiat. Unum siquidem illum noverat cæterorum omnium esse instructorem ad luctam, et cum uno sibi congrediendum sciebat ad pugnam paratissimo. Intelligebat enim ex concordi omnium relatione vim atque potentiam sermonum ejus contra universos, qui palam omnes confitebantur, quod non auderent cum homine congredi disputando, desperabant autem quod ejus scripta possent abolere, utpote jam ubique dispersa, multumque persuasionis (nec enim volebant dicere veritatis) habentia.

κδ'. Τότε δὴ λοιπὸν τύραννος, ὡς πάντων ἀπειρήκει, ἐν ἑαυτοῦ γίνεται, καὶ τοῖς οἰκείοις ἐπιτρέπει λογισμοῖς τὰ τῆς σκέψεως· καὶ ἀθρεῖτε πορισμωτάτης πρὸς τὸ κακὸν φύσεως ἐπινόημα ὡς ἀληθῶς εὕρεμα. Προστάττει ζητῆσαι τῶν ἐπιστολῶν αὐτοῦ μίαν, καὶ διὰ πλείστου ὡς εὑρεθῆναι ποιήσασθαι, ἰδίαν δὲ αὐτῷ διαχαραχθεῖσαν χερσίν. Καὶ γοῦν οἱ ἀνθρώπῳ ἐκείνοι καὶ μὴ Θεῷ ἀρέσκειν διὰ σπουδῆς ἔχοντες, ὧν καὶ τὰ ὀστᾶ διεσκόρπισεν ὁ Θεὸς, καὶ ὧν μετ' ἦχου τὸ μνημόσυνον ὤλετο, ἐζητήκασιν, εὑρήκασι, δρομαῖοι προσενηνόχασιν. Ὁ δ' ὥσπερ ἑρμαίου λαβόμενος, τῶν τινι ταῦτα δεξιῶν. Εἴ γε, φησὶ, δυνηθείης ἀπομιμήσασθαι τὴν ἰδίαν τῆς τοῦ ἐν τῇ Δαμάσκῳ Ἰωάννου γραφῆς (Ἰωάννου λέγω τοῦ τοῦ Μανσοὺρ, ὃν δεινὸν κἀκεῖθεν ἦσθα τῶν ἡμετέρων ἐχθρὸν καὶ πολέμιον) καὶ τὸν τῶν γραμμάτων τύπον ἐξακριβώσασθαι, μεγάλην εἰσομαί σοι τὴν χάριν, καὶ μεγίστων ἀξιώσω τῶν ἀμοιβῶν. Ἀκούει τῶν λόγων ὁ δεξιὸς τὴν κακίαν ὑπογραφεὺς, καὶ ὑπισχνεῖται τὴν μεταχείρισιν, καὶ οὕτω πως εὐστόχως ἐκπληροῖ τὸ πρὸς βούλησιν, ὡς οὐχ ὅτι πρὸς ἄλλους διαλαβεῖν, ἀλλὰ καὶ αὐτῷ γε τῷ ἀγχινουστάτῳ καὶ πρὸς παντὸς οὐτινοσοῦν ὀξυτάτῳ κατάληψιν τὰ τῆς σκαιωρίας ἀμωσγέπως ἀγνοηθῆναι, καὶ τὰ τῆς κακουργίας παραδραμεῖν· καὶ τοσοῦτον, ὡς τὰ μὲν χαρακτῆρος ἀμφισβητεῖν καὶ τῶν γραμμάτων ὡς ἰδίων ἀντιποιεῖσθαι, τὰ δ' ἐμπεριειλημμένα σφίσιν ὡς οὐκ ἴδια παρακρούεσθαι. Καὶ γὰρ πέπλασται τῷ δεινῷ τυράννῳ ἐπιστολῆς ἔκδοσις, δῆθεν ἐκ τοῦ Ἰωάννου πρὸς Αὔγουστον, καὶ συντέθειται ᾧ εὐφυεῖ

B

C

24. Tunc tyrannus aliis diffusus omnibus atque in seipsum conversus, cognitionem propriis committit cogitationibus, et ingenii ad malum vaferrimi machinamentum vere diabolicum reperit. Imperat epistolarum Joannis unam aliquam requiri, studio quantocunque adhibito, sed epistolam autographam: ministri vero ejus, qui non Deo sed homini placere nitebantur, quorum ossa dispersit Deus et quorum memoria cum sonitu periit, perquisiverunt, invenerunt, cursimque attulerunt ad eum, tanquam ad magnum quoddam inexspectatumque lucrum gaudentem: qui accersito ad se viro cuidam industrio, Si characterem, inquit, Joannis apud Damascum degentis, Joannis dico filii Mansur, quem gravem infestumque rerum nostrarum hostem etiam inde patimur, sicuti nosti, potueris imitari ejusque simillimum exemplar conficere, magnam a me inibis gratiam et grandi præmio remuneraberis. Audit hæc dexter ad nequitiam scriba, et falsificandam Joannis manum pollicetur, deinde quod erat pollicitus tam scite explet ad imperatoris voluntatem, ut non solum alios latere suppositio posset, sed etiam ipsummet Joannem, licet ad cujusvis rei comprehensionem acerrimum, sic fingere valeret fraus occulta et maleficus astus, ut, quod ad characteris proprii formam attinet, litteras pro suis deberet agnoscere, quæ vero iis continebantur ut non sua repudiare. Conficta siquidem fuit epistola, velut ab ipso ad Augustum scripta, sicut solers ille scriptor acceperat in mandatis,

secundum propositi in autographo characteris si militudinem et diabolicam tam scribentis quam jubentis industriam; et ad Persarum præfectum missa : cum hac vero missa est etiam alia de Joanne. Quæ autem ab hoc, velut ad Cæsarem missa epistola, suggerebantur, hæc erant quoad sensum; neque enim verba referre ipsa possim, partim oblitus eorum, quæ non credebam memoriam nostram mereri, partim dedignatus tam exsecrabilem imposturam. Sensus ergo talis quadamtenus erat.

A γραμματεῖ πρὸς ἰδέαν, ὡς ἐπετάχθη, γραφῆς, πρὸς γραμμάτων ὁμοίωσιν, πρὸς δαιμονίαν ἀκρίβειαν κατ' ἀμφότερα, καὶ ἀπέσταλται τῷ Περσάρχῃ, καὶ ἑτέρα περὶ αὐτοῦ συνεπέσταλται. Ἅ τοίνυν τῆς ὡς ἐκ τοῦ Ἰωάννου πρὸς τὸν βασιλέα ἐπιστολῆς τὰ δηλούμενα ἦν, ταῦτά γε ἦν· πλὴν οὐκ ἐπὶ λέξεως εἴποιμι, ἐπιλέλησμαι γάρ· ἐπεί πως (12) οὐδ' ἐδικαίωσά μοι ἐναποθέσθαι τῷ μνήμονι, ἀπαξιώσας ὁμοῦ καὶ τοῦ πλάσματος καὶ τοῦ σκευωρήματος βδελυξάμενος. Εἶχον δὲ ἄρα οὐτωσί πως αὐτά.

25. Servile collum etiam e longinquo submitto tibi, Cæsar, tuorumque pedum extremitates amplector. Equidem, ut a Christo denominationem habens, tibi, ut Christianorum ubique degentium præsidi manifestare debeo, quæ pertinent ad impiissimos Saracenos; quemadmodum scilicet ea se nunc habeant, et qualia ipsis acciderint, quoque malorum processerint furiosi illi. Sciat igitur majestas tua, ipsos omnino destitui militaribus copiis (divisi enim inter se sunt, mutuoque ab invicem atteruntur conflictu) atque adeo superatu faciles esse cuicunque volenti : meam insuper patriam, urbem antiquam et claram, quæ a fundamentis multo jam tempore subruta jacet, et in miseriarum plenitudinem dejecta est, nullo pariter negotio subjugabilem apparere. Ne cunctetis igitur, ter maxime imperator, sed præsens assistens solum te videndum præbe, atque ad ea quæ hic geruntur improvisus accede : brevi enim ac sine certamine Damascum, famæ celebritate notissimam, sub tuam rediges potestatem, et magna gloria acquisita redibis : me siquidem in multis adjutorem reperies, utpote potentem in Perside et rerum summam quocunque libuerit ducentem ac traducentem. Et hæc quidem aut hujusmodi alia figmento isto continebantur : quæ vero ab imperatore ad Persarum præfectum addebatur epistola in hunc fere modum conscripta erat.

κε'. Δούλειον αὐχένα καὶ πόρρωθεν ὑποκλίνω σοι, βασιλεῦ, καὶ σοὶ τοὺς ὡραίους προσπτύσσομαι πόδας, ὁ ἀπὸ Χριστοῦ παρωνομασμένος ἐγὼ τῷ τῶν Χριστωνύμων ὁπηδήποτ' ἂν καὶ εὑρίσκοιντο διάγοντες ἄρχοντι, καὶ διασαφῶ τὰ τῶν ἀσεβεστάτων Ἀγαρηνῶν, ὅπως τε τὰ νῦν ἔχουσι, καὶ ὁποῖα δήπου τὰ κατὰ τούτους συμπέπτωκε, καὶ οἱ κακῶν οἱ δυσμενεῖς ἐληλάκασιν. Ἴστω σου τὸ κράτος τὰ τῆς στρατιᾶς παντελῶς ἐξηπορηκότας (πρός τε γὰρ ἀλλήλους διῄρηνται (13), καὶ ὑπ' ἀλλήλων ἐκδαπανῶνται), ἔνθεν καὶ εὐεπιχειρήτους ᾧπερ ἂν καὶ εἴη βουλομένῳ τυγχάνοντας· προσεπιτούτοις δὲ καὶ τὴν ἐμὴν πατρίδα, τὴν ἀρχαίαν πόλιν καὶ περιώνυμον, ἀτημέλητον ἐκ μακροῦ τε οὖσαν καὶ ἐς τὸ παντελὲς ἤδη καταβληθεῖσαν καὶ εὐάλωτον πεφηνυῖαν καὶ λίαν εὐεπιχείρητον. Μὴ γοῦν ἐπιπλέον ἀναβαλοῦ, τρισμέγιστε βασιλεῦ· ἀλλ' ἐπίστηθι, ἐπιφάνηθι μόνον, παραγενοῦ τοῖς τῇδε· διὰ βραχέος γὰρ καὶ ἀκονιτὶ τὴν Δαμασκὸν παραστήσῃ τὴν πολυθρύλλητον, καὶ μέγα κλέος ἐπαναζεύξεις ἀράμενος· εὑρήσεις γὰρ ἐμὲ οὐκ ἐπὶ μικροῖς πάντως συνέριθον, μεγάλα ἐπὶ τῇ Περσίδι πάσῃ δυνάμενον, καὶ τὸ πᾶν ὅπη τε καὶ ὅπως μοι βουλητὸν καὶ ἄγοντα καὶ μετάγοντα. Καὶ ταῦτα μὲν ἡ τοιαῦτα δὴ τὰ τοῦ πλάσματος· ἃ δὲ ἐκ τοῦ βασιλέως πρὸς τὸν Περσάρχην διεσήμαινεν ἐπιστόλιον ταῦτά γε ἦν τοιαῦτ' ἄττα κἀκεῖνα τὴν ἔκθεσιν ἔχοντα.

26. Admodum inclyte ac nobiliter nate et præpotens Persarum præfecte, bene valeas, et quæ ad tuam attinent potentiam ac dignitatem ce lant prospere, meæque dominationi denuntieris plena felicitate frui, atque de magnitudine nostra idem intelligas. Nosti quam ego sim in fœderibus et pactis conventis nulli obnoxius mutabilitati : tempus enim, magnus (ut quidam dixit) magister rerum, nihil non detegit atque revelat. Tuorum interim subditorum quidam, improbitate gaudens, inimicus pacis, et hostis virtutis, convellere nititur fœdera inter nos jam olim sancita, et jusju-

κς'. Μεγακλεὲς, ὑψιγενὲς, κρατάρχα Περσῶν, εἰῆς ὑγιείας ἔχων καλῶς. Τὰ τῆς ἐξουσίας εὖ σοι διέποιτο, κάμοῦ τῷ κράτει παντοίας τῆς εὐθυμίας ἐπαπολαύων ἀγγέλοιο εὖ ἔχοντα· καὶ τὰ κατὰ τὴν ἐμὴν μάθοις μεγαλειότητα. Οἶσθα οἷος ἐγὼ τὰς σπονδὰς ἀσφαλῆς καὶ οἷος τὰς συμβάσεις ἀμεταμέλητος· ὁ γάρ τοι χρόνος μέγας (ὥς τις ἔφη) πάντων διδάσκαλος, καὶ οὐδὲν ὅπερ οὐκ ἀνακαλύπτειν ἔχει, καὶ παρεγυμνοῦν εἰς ἀλήθειαν. Τῶν μέντοι τις ὑπὸ σοὶ, χαιρέκακος ὄντως καὶ τῆς εἰρήνης πολέμιος καὶ τῷ ἀγαθῷ δυσμενὴς, συγχέαι τὰς ἀνέκαθεν ἡμῖν πειρᾶται σπονδὰς, καὶ τοὺς ὅρκους παραλῦσαι διερε-

(12) Videtur præsumere, quod textus epistolæ in Vita expressæ sit originalis, hoc autem ex illa Vita adeo non intelligitur, ut potius contrarium dici existimem.

(13) Anno Christi 730, motæ a Leone persecutionis quarto, Masalmas, Saracenici exercitus veteranus et plurimis victoriis illustris ductor, « in Turcorum terras expeditionem suscepit, conserto-que prælio plures utrinque cecidere, Masalmas autem in fugam actus est. » Et rursum anno 732, « in Turciam exercitum induxit : cumque jam Caspias portas attigisset, metu correptus retro concessit, » sicuti scribit Theophanes ad annos Leonis 13 et 15, , quæ sane non male conveniunt cum chronologia alibi a nobis deducta.

θίζει οὕσπερ ἀλλήλοις ἐκ μακροῦ συνεθέμεθα (14), καὶ κατεπιχειρῆσαί σου τῆς χώρας παραβιάζεται, ἐφ' ᾧ καὶ οὐ μικρὰ συνάρασθαί μοι κατεπαγγέλλεται. Ἀλλ' ἔγωγε, φιλίας οὐδὲν ἀκραιφνοῦς λογιζόμενος ἰσοστάσιον, περιφρονῶ τοὺς λόγους, καὶ τὰς τούτου ξυμβουλὰς ἀπαναίνομαι. Πόσον γὰρ ἂν καὶ εἴη μοι τὸ ἐντεῦθεν κέρδος, ὑπὲρ τοῦ τῶν συνθηκῶν ἀλογήσαιμι, καὶ τὸν φίλιον παροργίσαιμι; Ὅστις καὶ ὢν καὶ τυγχάνει ὁ ταῦτά γε μεταχειριζόμενος, ὃ φασιν, αὐτὸς δείξει· τὸ γὰρ δὴ πρός με γράμμα σαφῶς γνωριεῖ, ἰδίαν αὐτῷ χεροῖν συντεθέν. Ταῦτα τὰ τοῦ βασιλέως ἀρχικὰ καὶ κοινωφελῆ βουλεύματα καὶ διανοήματα· ταῦτα ἡ ἀλουργὶς αὐτὸν ἐξεπαίδευσεν· οὕτω τὰ τῆς περιόπτου καὶ τιμιωτάτης ἀξίας διάσημα σύμβολα καὶ περίβλεπτα μήτε πανούργως ἀνίει μηδοτιοῦν ἀνέχεσθαι φθέγγεσθαι, μήτε δολερῶς τὸ παράπαν μεταχειρίζεσθαι.

κζ'. Ἀλλ' ἐπειδὴ καὶ ἀνελάβετο τὰς γραφὰς ὁ βάρβαρος ἐκεῖνος τύραννος, καὶ τὰ ἐν αὐταῖς ἀνελέξατο, οὐδὲν (15) .... ἀλλ' ἦ βάρβαρος εὐθὺς ὤν, ἀπερίσκεπτος τὴν ὁρμὴν καὶ τὸ ὅλον φάναι παράβολος, αὐτίκα τὸ ἐπελθεῖν ἀληθῆ τὰ δεδηλωμένα παραδεξάμενος. Ὡς γὰρ δὴ καὶ μετακαλέσαιτο τὸν Ἰωάννην, καὶ εἰ τὰς ἐπιστολὰς ἐγχειρίσειε, τίνα τε ταῦτ' ἔστιν, ἔροιτο, ὁ δ' ἐκ τοῦ εὐθέως μὲν οὐκ εἶχεν ἀνανεῦσαι, μηδὲ τὰ τοῦ γράμματος ἀπομόσασθαι (τοιοῦτος καὶ γὰρ ἐτύγχανεν ὢν ἀκριβὴς ἄγαν, οὐ προπετὴς καὶ τὴν συναρπαγὴν διαφυγγάνων ἐφ' ἅπαντι), συνειδέναι δὲ αὐτῷ τοιόνδε τι μετακεχειρισμένῳ θαῤῥαλέως ἀπέφασκε· μὴ δοὺς ἀναβολὴ τὰ τῆς σκέψεως, μὴ καιρὸν ἐφεὶς ἐξετάσεως, ὡς ἂν ἐπὶ τῶν ὁμολογουμένως κατακρίτων καὶ πάσαις καταδεδικασμένων, τὴν τιμωρίαν ἀνηλεῶς ἀποφαίνεται. Καὶ γοῦν τὴν τῆς δεξιᾶς ἀφαίρεσιν ὁ τέως δεξιὸς τὰ πάνθ' ὑπηρέτης καταδεδίκασται, οὐχ ἧττον εὐλόγως ἢ φιλανθρώπως, ὡς ὁ ἀπηνὴς καὶ τὰ πάντα παράλογος ᾤετο· τὴν γάρ τοι καθυπηρετήσασαν ἐστερηκὼς καὶ τὴν τοῦ ἔργου κατατολμήσασαν ἀποκεκοφὼς, οὔτ' αὐτὸν ἐκεῖνον τοιαῦτ' ἀφῆκεν εἰσέτι διαπράττεσθαι δύνασθαι, οὔθ' ἕτερόν ποτε κατεπιχειρῆσαι τῶν ὁμοίων ἐς ὕστερον.

κη'. Οὐ μέντοι γε μέχρι τούτου σταίη τὰ τῆς ὀργῆς, οὐδ' εἰς τόδε τὸ δεινὸν λήξειεν· ἀλλὰ τοῦτο μὲν εἰς χλευασμὸν τοῦ ἐαλωκότος ὅθεν ἐπὶ τοιούτου, τοῦτο δὲ καὶ τῶν ἑτέρων σωφρονισμὸν, τοῖς ὁμοίοις ὡς ἂν γε μὴ περιπέσοιεν, ἅμα δὲ καὶ ἐξ ἄκρας ὀργῆς τε καὶ μίσους ἐπιγενομένου ἀνθ' ἧς τέως στοργῆς τε καὶ εὐμενείας ἐκέκτητο πρὸς αὐτὸν (οὕτω καὶ γὰρ εἰώθαμεν ἄνθρωποι, οὓς πρὸ μικροῦ ποθοῦντες ἥμεν, εἴ γέ τι μικρὸν ἀμηγέπου προσκρούσειαν

A randum dissolvere quo nos ad invicem pridem obstrinximus, urgendo ut regionem tuam subjugare coner, atque auxilium ad hoc non modicum mihi se laturum pollicendo. Verum ego sinceræ amicitiæ nihil comparabile esse existimans, hujusmodi suggestiones atque consilia abominor · quod enim tam magnum lucrum mihi posset alicunde emergere, propter quod fœdus violem et amicum provocem ad iracundiam? Cæterum quis talium machinator sit, ipse (quod aiunt) prodet : idlenim manifestum facit epistola, ipsius propria exarata manu. Hæc nempe sunt imperatorio apice digna et in commune utilia cogitata ; sic eum sua docuit purpura ; ita sublimis illius honoratissimæque dignitatis insignia non patiebantur valre dissimulantem aut omnino reticere quidpiam, aut agere fraudulenter.

27. Postquam tales scripturas accepit barbarus iisque contenta perlustravit oculis, inhumanus jam antea cum esset et inconsiderato impetu ferri in iracundiam solitus præcepsque ad quidlibet effutiendum ; vera esse mox credidit quæ significabantur sibi. Accersitum ergo Joannem cum interrogasset, utrum ipse eas scripsisset epistolas et quid hæc sibi vellent ; cumque ille, ut in re improvisa non auderet suam esse scripturam abnuere (erat enim perquam circumspectus in verbis cautusque, ne qua in iis sibi obreperet falsitas), fidenter tamen inficiaretur, se talis ullius facinoris habere conscientiam, vel quidpiam ejusmodi tractavisse, tyrannus neque moram disquisitioni indulgens, neque tempus examini, tanquam in re proprii oris confessione comperta et undequaque certissima, decernit supplicium. Ita ad dexteræ manus abscissionem dexter per omnia minister damnatur ; idque (ut crudelis ille ac prorsus irrationalis existimabat) non minus merito quam clementer : dexteræ siquidem ministerio privatum, et, qua facinus fuerat ausus, parte multatum, impotentem reddebat ad simile quidpiam moliendum patrandumve deinceps.

28. Non tamen hic stetit effrænis iracundiæ impetus ; sed addidit aliud, partim ad contumeliam ejus qui fuerat in delicto comprehensus, partim ad aliorum ne in talia unquam prolaberentur exemplum, eodem etiam facto suæ obsecutus gravissimæ iræ odioque, succedenti in locum prioris amoris ac benevolentiæ. Sic enim ferme comparati sumus, ut quibus paulo ante afficiebamur tenerius, si quid offenderint quoquo modo, magis

(14) Hyperbolice id accipiendum, sive cum respectu ad tractatus pridem initos, sed sæpius violatos, per irruptiones iteratas Saracenorum in Romanum imperium. Nam idem Theophanes testatur, quod prædictus Masalmas, anno Leonis 10 « Cæsaream Cappadociæ armis aggressus, eam occupavit » et rursum anno 14 « Romanam ditionem armis infestavit, atque in Cappadocia Charsiani castrum sibi dolo subjecit » et rursum anno 16 « Mavias filius Isam bellum Romaniæ intulit, penetrataque cum armato milite Paphlagonia, multa captivorum præda ditatus in patriam rediit ; » atque ita deinceps singulis fere annis, quandiu vixit Leo, modo Mavias, modo Suliman, filii ejusdem Isam, provincias has aut illas ingressi leguntur ; dum ille orthodoxis imaginum cultoribus vexandis intendit.

(15) Videtur versus vel saltem verba aliquot excidisse.

etiam aversemur : et quod heri impensius amabamus, hodie, si tegula intercidat, ut proverbio dicitur, oderimus ac reprobemus. His ergo de causis rescissam dextram jubet præfectus tolli in altum ac medio foro suspendi ad spectaculum omnium. Nec mora, suspenditur dextera, dextera utique Domini, dextera præstantiori glorificanda virtute, dextera quæ confregit inimicos, auctores scilicet ac repertores imposturæ, quæ et magnitudine suæ gloriæ contrivit adversarios : adversarii autem erant innovatores divinarum ac patriarum traditionum, improbitatis pugiles generosi, eorumque instructores dæmones, qui nos jam inde a principio oderant. Detriumphatur dextera etiam a remotissimis partibus virtutem operata, quæ novum simul ac veterem Israelem, hunc tempore, illum revelatione perfectiori ac cognitione divinitori sic dictum, contra inimicos vehementer corroboravit. Porro statim atque in omnium conspectum dextera illa venit, omnes simul et crediderunt culpam et pœnam agnoverunt, noti et ignoti, domestici et alieni, bene ac male affecti (quamvis promptum esset suspicari aliquem viro per omnia honesto ac probo inimicum), quasi a natura sit insitum seu potius a consuetudine prava inolitum plerisque, mala etiam de optimis facile credere. Aliqui enim aut potius plerique, eos a quibus nec in minimo quidem læsi sunt, hoc ipso quod vel tantillum præcellant, oderunt et aversantur, contra creatorem eorum Deum agentes impudenter, ipsiusque magnificentiam ægris oculis intuentes.

σειαν, τὰ μέγιστ' αἴφνης ὀπεχθανόμεθα· καὶ οἱ τῇ A
χθὲς ἐρωτικῶς περὶ τόδε τι διακείμενοι, τήμερον
ὀστράκου, τὸ τοῦ λόγου, μεταπεσόντος, μισοῦμέν τε
καὶ κακίζομεν)· τούτων μὲν οὖν χάριν καὶ διὰ
ταῦτα ἐπ' ἀγορᾶς μέσης τὴν ἐκκοπεῖσαν αἰωρηθῆναι
διακελεύεται. Τοιγάρ τοι καὶ πρὸς θέαν πάντων ἡ
δεξιὰ κρέμαται, δεξιὰ ὡς ἀληθῶς Κυρίου, δεξιὰ
δεδοξασμένη ἐν ἰσχύϊ, τῇ θειοτέρᾳ δηλονότι καὶ
κρείττονι, δεξιὰ ἡ θραύσασα ἐχθροὺς, τοὺς προστά-
τας δηλαδὴ καὶ εὑρετὰς τῆς εὑρέσεως, καὶ τῷ πλή-
θει τῆς δόξης τοὺς ὑπεναντίους συντρίψασα· (τίς ἡ
δόξα, ἡ παρὰ Θεοῦ σύναρσις;) ὑπεναντίοι δὲ ἄρα
οἱ κενοτόμοι ἐκεῖνοι τῶν θείων καὶ πατρικῶν παρα-
δόσεων, οἱ γενναῖοι τῆς κακίας ὑπασπισταὶ, καὶ οἱ
ἀλεῖπται τουτωνὶ δαίμονες, οἱ ἀρχῆθεν ἡμῖν δυσμε-
νεῖς καὶ πολέμιοι. Τεθριάμβευται δεξιὰ, ἡ ποιήσασα B
κάκ τῶν ἀπωτάτω καὶ πόρρωθεν δύναμιν, καὶ τὸν
πρόσφατον ὁμοῦ καὶ πρεσβύτατον Ἰσραὴλ, τὸ μὲν
τῷ χρόνῳ, τὸ δ' ἀποκαλύψει τελεωτέρᾳ καὶ ἐπιγνώ-
σει θειοτέρᾳ καὶ κρείττονι, τὰ μεγάλα κατ' ἐχθρῶν
ἐνισχύσασα. Ἀλλ' ἐπεὶ γοῦν εἰς θέαν ἦκε πᾶσι, καὶ
πάντες τὴν καταδίκην καὶ τὴν τιμωρίαν ἐπέγνωσαν,
συνήθεις, ἀγνῶτες, οἰκεῖοι, ἀλλότριοι, ἐπιτήδειοι,
δυσμενεῖς, εἴγε καὶ ὑπολειπτέον εἶναί τινα τὸν
ἐχθραίνοντα τῷ τὰ πάντα καλῷ, τῷ πρὸς πάντας
χρηστῷ. Πεφυκὸς δὲ ἄρα ξυμβαίνει· καὶ γὰρ τῇ
ἡμετέρᾳ τουτοῖ φύσει, μᾶλλον δὲ καὶ εἴωθεν ὡς τὰ
πολλὰ ἐπιγίνεσθαι. Ἔνιοι καὶ γὰρ, μᾶλλον δ' ἵν'
οὕτω φαίην οἱ πλείους, καὶ τοῖς μὴ ἠδικηκόσιν οὐδὲν,
εἴγε μόνον ἐκεῖνοι σφῶν ὑπερφέροιεν, τούτου δὲ C
μόνου καὶ οὐκ ἄλλου μισοῦσι, καὶ ἐκθύμως αὐτοὺς
ἀποστρέφονται, πρὸς τὸν πλάστην ὄντως ἀπαναισχυντοῦντες Θεὸν, καὶ τὴν φιλοτιμίαν τούτου μὴ
στέγοντες.

29. Ut ut sit, per omnium ora divulgata fuit et culpa et pœna, ita volente Deo, per quem denuo facienda erant magna et antiquis illis non absimilia miracula; si non mediante Moyse, Josue, Elia, aut aliquo prophetarum ac divinorum istorum virorum, certe immediate, per non indignum si quis alius, neque invitum. Referantur igitur et conferantur inter se, et præponantur etiam hodierna veteribus. Postquam detumuerat furor barbari, mittens aliquem Joannes reposcit manum, prælexendo doloris vehementiam, et cruciatus acerbitatem supplicationi alias non excusabili; allegandoque rationem verosimilem, quod nunquam mitigandus esset pœnæ sensus, quandiu suspensa manus maneret. Nec pluribus opus fuit ad cicurandum ferinum tyranni animum, et eum qui implacabilis videbatur componendum. Ita enim sese habet homo, iracundiæ succumbens fera efficitur ex homine, sumpta autem ut voluit vindicta mansuescit, et ex fera rursus transformatur in hominem. Indulgetur ergo Joanni, ut dexteram recipiat; mox autem et recepta fuit, et admota parti unde fuerat abscissa, est eidem adunata. Quid vero hic justius admirabitur aliquis? vel potius quomodo exæquabit sermone rei factæ dignitatem? Utrum deinde obstupescet prius, an fidem Joannis, an vero potentiam

κθ'. Πλὴν ἀλλὰ πᾶσι καὶ τὰ τῆς καταδίκης, καὶ
τὰ τῆς χλεύης ἐπέγνωσται, προνοίᾳ πάντως Θεοῦ,
παρ' οὗ δὴ τὰ μεγάλα καὶ κατὰ τὰ πρὶν ἐκεῖνα
θαυματοποιηθῆναι καὶ αὖθις αὖ ἤμελλεν· εἰ δὲ μὴ
δι' ἀξίου τοῦ μέσου Μωσέως, ἢ Ἰησοῦ, ἢ μὴν Ἠλιοῦ,
ἢ τῶν τινος ἑτέρου προφητῶν καὶ θείων ἀνδρῶν,
ἀμέσως δὲ ἐπ' ἀξίῳ ἑτερός τις ᾧ γε ἂν καὶ εἴη βου-
λομένῳ. Καὶ λεγέτω καὶ συναγέτω τὸ ὑπερβάλλον,
καὶ ὑπερτιθέτω καὶ τῶν νῦν ὁμοῦ καὶ τῶν πώποτε.
Ὡς γὰρ δὴ τῷ βαρβάρῳ λήξειαν οἱ θυμοὶ, πέμψας
ὁ Ἰωάννης, αἰτεῖται τὴν χεῖρα, τὸ περιαλγὲς δῆθεν
σχηματισάμενος, καὶ τὸ τῆς ὀδύνης εἰς δυσωπήσιν D
ἀφόρητον προβαλλόμενος, λόγους τε εὐλόγους προφα-
σισάμενος, ὡς ἕς τ' ἂν ἡ χεὶρ ἀπῃωρημένη τε εἴη
τὰ τοῦ ἄλγους; οὐχὶ λωφήσειεν. Ἐπὶ τούτοις καὶ
ἱλαρύνει τὸν ἄγριον, καὶ τὸν ἀμείλικτον μειλίσσει.
Τοιοῦτόν τι καὶ γὰρ ἄνθρωπος· ὀργίζεται συμπεσὼν
οὕτω, καὶ θηρίον ἐξ ἀνθρώπου καθίσταται· ἡμεροῦ-
ται τὸ κατ' ὄρεξιν ἐκπλήσας, καὶ εἰς ἄνθρωπον ἐκ
θηρίου πάλιν μεταπεποίηται. Τοίνυν δὴ καὶ ἐνδίδοται
τούτῳ τῆς δεξιᾶς ἡ ἀνάληψις· παραυτὰ γοῦν καὶ
ἀνείληπται, καὶ ὅθεν ἐκκέκοπτο καὶ ἐπιτέθειται,
καὶ περιήρμοσται. Ἀλλὰ τί γέ τις ἐντεῦθεν ἂν καὶ
θαυμάσειε; μᾶλλον δὲ, πῶς; ὁ λόγος πρὸς ἀξίαν δι-
ηγήσαιτο τὰ τοῦ πράγματος; Πότερα γὰρ τοῦ ἀνδρὸς
τὴν πίστιν ἀγάσεται, ἢ τὴν τῆς Παναγίου δύναμιν

ἐκπλαγήσεται τῆς ἀειπαρθένου καὶ Θεομήτορος; Ποῖόν τε τούτων τοῦ ἑτέρου προθεὶς, ἐνθεώτερον θιασεύσειεν; ἢ ὁπηνόστι καὶ ἄμφω συλλήψοιτο, καὶ δι' ἄμφω περικροτήσειε, καὶ ὡς εἰκὸς ἄμφω ἐνθεάσειε;

λ'. Τὸ γάρ τοι εὐκτήριον εἰσιὼν, καὶ τῆς σεπτῆς ἐμπροσθεν εἰκόνος τῆς Δεσποίνης καὶ Θεομήτορος καταβαλὼν ἑαυτὸν, καὶ ἐφ' ἱκανὸν τῷ ἐδάφει προσφὺς, μετὰ δὲ καὶ συχνὰ ταῖς κατὰ γῆς ὁλοψύχοις καταφοραῖς προσαρράξας τὴν κεφαλὴν, τὴν ἐκκοπεῖσαν ἀνανεύσας ὑπέδειξε· καὶ ὡς ἐκείνῃ αὐτῇ παρούσῃ τῇ Παναγίᾳ ἐπεφώνησέ τε καὶ τὴν θεραπείαν ἐζήτησε, δάκρυα θερμὰ καταχέων, καὶ ὅτου χάριν ὑποσταίη τὴν τιμωρίαν ὑπομιμνήσκων. Ὑπὲρ τῆς σῆς, λέγων, εἰκόνος, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, τῶν εὐηρεστηκότων τε διαφόρως αὐτῷ, πρὸς τοῦ τῆς ἀληθείας ἐχθροῦ τὰ τοῦ δράματος ἐσκαιώρηται, καὶ τὰ τῆς σκηνῆς καθυποκέκριταί μου καὶ πεπλαστούργηται· ὅθεν δὴ καὶ μετὰ θάρρους ἀντιβολῶ, ἐπάκουσόν μου, καὶ τὴν χεῖρα σώαν αὖθις κατάστησον· ἵνα σοι τὰ τῆς θαυματουργίας καλλιγραφήσω παράδοξα, καὶ μελῳδήσω καὶ ἀναμέλψωμαι τὴν πολλὴν πρὸς Θεὸν παῤῥησίαν σου, καὶ τὴν διηνεκῆ πρὸς αὐτὸν ἡμῶν ἔντευξιν. Μαρτυροῦμαί τε διαπρυσίως ἅπασι πανταχῇ τὴν ἀλήθειαν, ὑπὲρ ἧς πέπονθα, καὶ δι' ἣν τὴν δεξιὰν κεκολόβωμαι. Ναὶ, τοῦ εὐσπλάγχνου καὶ τοῦ συμπαθοῦς μῆτερ συμπαθὴς καὶ φιλεύσπλαγχνε· ναὶ, τοῦ παντοδυνάμου θεοῦ γεννήτρια, ὃς μόνῃ βουλήσει τὸ πᾶν τόδε παρήγαγε, καὶ τὸν κόσμον διιθύνει τῷ νεύματι· ἔπιδε ἵλεων πρὸς σοῦ τὸ ἱκετήριον, πρόσδεξαι τὴν δέησιν, καὶ εἰς πέρας ἄγαγέ μοι τὴν αἴτησιν.

λα'. Ταῦτα δὲ καὶ πλέω τούτων εἰπὼν, μικρόν τι τῶν ὀδυνῶν ἀνεθεὶς, ὕπνωσε· καὶ (ὦ θαυμασίων Θεοῦ! ὦ μητρὸς παῤῥησίας! ὦ πόσην ταύτην ἡ Πάναγνος πρὸς τὸν Υἱὸν πλουτεῖ καὶ Θεὸν, οἵαν τε ἐκεῖθεν ἔχει τὴν δύναμιν!) ἐπιφαίνεται τούτῳ καθεύδοντι, καὶ ὡς ἐγρηγορότι ζῶσα ὥσπερ ἡ εἰκὼν διαλέγεται. Σώαν γοῦν ποιεῖσθαι τὴν δεξιὰν ὑπισχνεῖται· Πλὴν τὰ τῆς ἐγγύης, φησὶ, μέμνησο· καὶ τοὐντεῦθεν τῇ χειρὶ χρῆσαι πρὸς ἃ δὴ καὶ εἴρηκας. Κόσμησον ὡς ἐνὸν τὴν Ἐκκλησίαν Χριστοῦ, δι' ἣν κενώσας ἑαυτὸν τέλειος Θεὸς ὢν καὶ τέλειος ἄνθρωπος ἐξ ἐμοῦ τε καὶ δι' ἐμοῦ . . . . αὐτὸ σὺ καλῶς ἂν ἐκφήνειας, ὡς καὶ τἄλλα δὴ τῶν ἀπορῥήτων ὑποθυμοσύνῃ τοῦ σοφίσοντος Πνεύματος· σέμνυνον τὴν Ἐκκλησίαν, ὑπὲρ ἧς τὸ ἑαυτοῦ αἷμα ἐξέχεεν ὁ ἐπὶ τῶν Χερουβὶμ ἐπιβεβηκὼς, καὶ ὃν τὰ Σεραφὶμ πέφρικε, καὶ ᾧ πᾶσα σὺν δέει ἀγγέλων καὶ ἀρχαγγέλων παρέστηκε δύναμις. Καὶ ὃς, Ἐγὼ μὲν οὐδέν τι προθυμίας ἐλλείποιμι· σὺ δ' ἄλλ' ἀντιλαμβάνου μου, Δέσποινα· ὑπὲρ τὴν ἐμὴν γὰρ ὁμολογῶ τοὐπίταγμα δύναμιν, ὑπὲρ τὴν ἐμὴν ἰσχὺν τὸ ἐγχείρημα. Ἐπὶ τούτοις διύπνισται, ἐπὶ τούτοις σώαν τὴν δεξιὰν εὗρηκεν. Οὐ γοῦν εἶχεν ὅ τι καὶ γένοιτο, τοῦτο μὲν εὐφραινόμενος, καὶ ἄλλος ἐξ ἄλλου τῇ τερατουργίᾳ γινόμενος. Ἐκεῖ τις ἂν καλῶς ἐπήνεγκε τὸ τοῦ Ψαλμῳδοῦ, τὸ « Ἐσπέρας ὠλόλυσθη κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. » Ἀνθ' ὧν γὰρ ἐσπέρας ὠλόλυζον,

A semper virginis Deiparæ Mariæ? Quodnam horum denique majoribus præconiis efferet, aut quomodo utrumque simul comprehendet, utrumque ut par est celebrabit?

30. Oratorium namque domesticum ingressus Joannes, cum ante venerandam imaginem Deiparæ angelorumque reginæ prostravisset sese, et pavimento adhærens crebris capitis allisionibus intimum animi sensum esset testatus, rescissam protendit dexteram et velut a præsenti medelam magno clamore deposcens, ac profusis cum lacrymis irrogati sibi supplicii causam commemorans, Propter tuam, inquit, imaginem ac Filii tui, et eorum, qui multifariam ei placuerunt, icones, inimici veritatis B hoc drama subornarunt, et totam hanc scenam contra me composuerunt : itaque fidenter peto, ut me exaudias, et manum salvam mihi reddas, ut valeam miraculi tanti laudem ascribere tibi, ac celebrare magnificeque extollere gratiam, qua vales apud Deum, et assiduam tuam deprecationem pro nobis. Testabor autem omnibus manifeste ipsam pro qua passus sum veritatem, et propter quam truncata mihi dextera fuit. Eia, pii ac misericordis Domini mater pia atque misericors : eia, omnipotentis Dei genitrix, ejus, in quam, Dei, qui sola voluntate cuncta produxit et nutu regit universum mundum : et quoniam propitiabilis est supplicatio tua, orationem meam excipe et petitioni meæ largire effectum. C

31. Hæc atque his plura cum dixisset, dolore nonnihil se remittente obdormivit : et (o mirabilem Deum! o potentiam apud eumdem! et apud Filium auctoritatem!) apparet dormienti Sanctissima, ac velut vigilanti non secus ac si viveret ex imagine colloquens, sanam quidem dexteram ei se facturam pollicetur; Verum, inquit, tu vicissim recordare sponsionis : et ad ea quæ dixisti imposterum manu eadem utere. Exorna ut poteris Ecclesiam Christi, propter quam semetipsum exinanivit, cumque perfectus esset Deus, perfectus etiam homo ex me atque per me apparuit : quod D vide ut pulchre exponas, uti et cætera ineffabilia mysteria ex suggestione Spiritus, sapientiam tibi præbituri. Exorna Ecclesiam propter quam sanguinem suum fudit, qui super Cherubim ambulat, quem tremunt Seraphim, cui virtus universa angelorum atque archangelorum multo cum metu assistit. Ad hæc Joannes : Nihil equidem, quod in me erit prætermittam : sed tu, Domina, succurre mihi : fateor enim supra vires meas esse, quod imperas quodque ego conabor. Tunc evigilans salvam sibi dexteram suam esse invenit, nec habuit mentem in potestate, partim quidem præ gaudio, partim ex admiratione, et ex alio in alium affectum propter miraculi magnitudinem distractus est. Atque hic opportune quis istud Psalmistæ usurpaverit : « Ad

vesperam demorabitur fletus, et ad matutinum lætitia [9].) Ea enim pro quibus familiares atque vicini omnis conditionis et ætatis ejularant, gemuerant, suspiraverant vesperi, mox atque illuxit agebant contraria omnia, exsultantes, gratulantes, jubilantes communi cunctis gaudio cum præter exspectationem viderent dexteram salvam, adhærentem brachio, atque ad quidlibet habilem.

32. Neque porro intra parietes domesticos hic plausus, vel penes solos familiares hæsit notitia rei gestæ : sed longe lateque procurrit fama ; quidam etiam festinaverunt præfecto suo nuntiare (ex Agarenis hi erant, erga nos semper malevoli propter detestabilem suam sectam) quod salvus sit Joannes, ac membris integer gaudeat gratuleturque sibi, et veluti laureatus quidam pæana concinat, palamque exsultet. Ille vero continuo accersens sanctum, quid sibi factum esset jubet veraciter explicare, extrema quæque comminatus, nisi ut acta erant omnia loqueretur. Divinus autem Joannes, tanquam seipso jam melior, ut qui ad meliora vocabatur a Deo et exhinc majora suscepturus erat, nihil veritus, non iram quam paulo ante expertus fuerat, non furorem ejus intolerabilem, non terribiliorem sententiam, libera voce et animo confidenti, Ne existimes, inquit, quod vel donis vel dolis evaserim pœnam, aut alio aliquo modo me eidem subtraxerim ; multo minus quod humana arte vel pharmacorum virtute sectionem curaverim : sed omnino crede quod et passus sum quidquid jussisti, et a solo Deo medelam sim consecutus, membrorumque integritatem salvam quemadmodum potes intueri. Atque hæc dicens ambas manus extendit, atque in altera demonstravit circumductam lineam, quæ perquam manifestam faciebat sectionem factam, et restaurationem secutam.

33. Ad hæc obstupefactus barbarus, Vere, inquit, innocens eras, Joannes ; et nos quidem fraus decepit, tu vero contra omnem justitiam damnatus ac passus es : sed deinceps majoribus apud me honoribus extolleris, et supra cæteros constitutus subditis meis universis eris illustrior. Joannes vero in terram se prosternens, et lacrymis calentibus profluens, Absit, inquit, ut amplius in mundo maneam, a solo Deo extractus ex iis ærumnis, quas proferre solet hæc terrestris habitatio, seu potius pratum noxarum, sicut externorum sapientum nonnemo dixit, vel, ut consueto nobis vocabulo utar, vallis lacrymarum. At præfectus, Nunquam ego tibi, Joannes, concedam. Hic autem, Caput, inquit, si velis, aufer : nam paratus sum mille potius, si possibile sit, mortes obire, quam ex eo quod nunc cœpi proposito excidere. Ille tamen manebat immotus, nec minus Joannes suam urgebat petitionem, a sententia neutiquam revocabilis. Grave ergo inter utrumque

[9] Psal. xxix, 6.

A ὥμωζον, ὠλοφύροντο πρόσπολοί τε καὶ περίοικοι, ἡλικία καὶ τύχη διάφορος, πρωΐας εὐθὺς ἀντεπῆει γεγηθέναι τε καὶ σκιρτᾶν, καὶ λαμπρῶς ὁμοῦ πάντας ἀγάλλεσθαι, ὑγιᾶ παρὰ προσδοκίαν ἅπασαν κατιδόντας καὶ ἐμπεφυκυῖαν αὖθις τὴν χεῖρα, καὶ ἐνεργὸν πρὸς ὅ γε αὐτῷ βουλητόν.

λβ'. Οὐ μέχρι δὲ τῶν κατ' οἶκον κρότος, οὐδ' εἰς τοὺς οἰκείους ὁ λόγος διέμεινεν· ἀλλὰ διέδραμεν ἡ φήμη κἀν τοῖς κυκλόσε κἀν τοῖς πόρρωθι· τοίνυν καὶ φθάνουσί τινες τῷ σφετέρῳ προσαγγείλαντες ἄρχοντι (τῶν Ἀγαρηνῶν ἦσαν οὗτοι, τῶν δυσμενῶν ἡμῖν καὶ πολεμίων ἐκ τοῦ ἐναγεστάτου θρησκεύματος) ὅτι τε σῶς ὁ Ἰωάννης μένει, καὶ τὰ μέλη ἀδιαλώβητος, καὶ ὅτι χαίρει, καὶ ὅτι περικροτεῖ, καί
B τις στεφανίτης καθαπερεὶ παιανίζει, καὶ λαμπρῶς γέγηθε. Καὶ ὃς παραυτὰ τὸν ἅγιον μεταστέλλεται· καὶ τὰ κατ' αὐτὸν ἐξειπεῖν διακελεύεται πρὸς ἀλήθειαν, τὰ ἔσχατα ἐπαπειλησάμενος, εἰ μὴ ἂν ὡς ἐσχήκεσαν παραστήσειε. Καὶ γοῦν ὁ θεῖος Ἰωάννης, κρείττων ὥσπερ αὐτοῦ γεγονὼς, ὅτι πως ἤδη καὶ πρὸς κρείττονα μετεκαλεῖτο πρὸς τοῦ Θεοῦ, καὶ πρὸς μείζονα τοὐντεῦθεν ἀνελαμβάνετο, μηδὲν ὑποτρέσας, μὴ τὴν πρὸ βραχέος ὀργὴν, μὴ τὸν ἄστεκτον ἐκεῖνον θυμὸν, μὴ τὴν φρικαλέαν ἀπόφασιν, πεπαῤῥησιασμένῃ γλώττῃ καὶ ἀπτοήτῳ τῆς ψυχῆς παραστήματι, Μὴ οἶου με, φησὶ, δώροις τισὶν ἢ δόλοις τὴν τιμωρίαν ὑπαλύξαι, ἢ ἄλλῳ τῳ τῶν ἁπάντων τρόπῳ διεκφυγεῖν, μήτε μὴν ἀνθρώπου τέχνῃ καὶ φαρμάκων ἐπιθέσει τὴν διαρτίαν ἀπολαβεῖν· ἀλλ' ἴσθι σα-
C φῶς καὶ πεπονθότα ὅ γε δὴ καὶ προστέταχας καὶ πρὸς Θεοῦ μόνου τὴν ἴασιν ἐσχηκότα, καὶ ὥσπερ δὴ καὶ ὁρᾷς ἔχεις, ἀνελλιπῆ γεγονότα τὴν ὁλομέλειαν. Ἐκτείνας ἐπὶ τοῖσδε τῷ χειρὶ, καὶ τὴν ἐπὶ θάτερα περικυκλοῦσαν δείξας γραμμὴν, ἣ τήν τε διακοπὴν καὶ τὴν μετὰ τοῦτο ἐφαρμογὴν, πάνυ καθαρῶς ὑπεδείκνυεν.

λγ'. Ἐφ' οἷς καὶ καταπλαγέντα τὸν βάρβαρον, Ὄντως ἀνεύθυνος ἦσθα, φάναι· καὶ δόλος μὲν ἡμᾶς ἐξηπάτησε, παρὰ δὲ πάντα δίκαιον λόγον αὐτὸς, Ἰωάννη, καὶ κατεδικάσθης καὶ πέπονθας. Ἀλλ' ἴσθι μειζόνων ἀξιωθησόμενος πρὸς ἐμοῦ τὸ μετὰ τοῦτο τιμῶν, ὑπὲρ τοὺς ἄλλους τε ταξόμενος, καὶ τῶν ὑπ' ἐμοὶ τοῦ λοιποῦ καταστησόμενος ἁπάντων περιφανέστατος. Ὁ δὲ πρηνὴς αὐτίκα πεσὼν, δάκρυά τε
D θερμὰ καταχέων, Μή μοι γένοιτο καὶ εἰσέτι τῷ κόσμῳ περιπολεῖν, ὑπὸ Θεοῦ μόνου ῥυσθέντι ὧν ἐπιφέρειν εἰώθειν ὁ περίγειος οὗτος τόπος δεινῶν, ὁ τῆς ἄτης λειμὼν (ὡς τῶν τις θυραίων σοφῶν ἐγνωμάτευσεν) ἢ καθ' ἡμᾶς ἐρεῖν, ἡ κοιλὰς τοῦ κλαυθμῶνος. Ὁ δ' ὑπολαβὼν, Ἀλλ' οὐκ ἐνδώσω σοι, Ἰωάννη, τοῦτό ποτε. Καὶ ὅς· Ἄφελέ μοι καὶ τῆς κεφαλῆς, εἰ βούλει· καὶ γὰρ, εἰ οἷόν τε, μυρίους ἕτοιμός εἰμι θανάτους ἀποθανεῖν, ἢ τὸ ἀπὸ τοῦδε τοῦ κατὰ βούλησιν ἐκπεσεῖν. Κἀκεῖνος αὖθις ἀκλινὴς διέμενε καὶ ἀνένδοτος· ὡς δὲ καὶ οὗτος τὴν αἴτησιν ἰσχυρὸς, καὶ τὴν πρόθεσιν ἀμετάθετος. Καρτερὸς γοῦν ὥσπερ

συνέστη σφίσιν ἀγών, καὶ ἰσχυρά τις ἐκείνοιν διαμάχη συμπέπτωκεν· ἑκάτερος γὰρ θατέρῳ μηδ' ἂν πῶς ποτε ὑπεῖξαι ἀπισχυρίζετο, καὶ ὅλῃ ἀντέπιπτεν ἰσχύϊ, καὶ ἐκθύμως ἐπὶ τῷδε διηγωνίζετο. Ἀλλὰ νενίκηκεν Ἰωάννης τῇ συνάρσει τοῦ κρείττονος· ἥττηται δ' ὁ παλαμναῖος ἐκεῖνος καὶ βάρβαρος τύραννος, καὶ συνήττηνται οἱ ἀόρατοι ἀλείπταί τε καὶ συνασπισταὶ, οἱ τοῖς ἀγαθοῖς ἡμῶν ἀεὶ βασκαίνοντες ἔργοις τε καὶ βουλεύμασι δαίμονες.

λδ'. Τί γοῦν καὶ ποιεῖ, ἐπείπερ, Ὅ τι ἂν σοι καὶ εἴη βουλομένῳ, ἄγε δὴ ἐκπέρανον, ἤκουσε; πῶς τε τὰ κατ' αὐτὸν διατίθεται; Ὁ πιστὸς μὲν οἰκονόμος καὶ φρόνιμος, ἐξότε καὶ οἰκονομεῖν ἀνεδέξατο, τότε δὲ συνεφαπτομένου Θεοῦ καὶ συνετώτερα βουλευσάμενος, ἅπαντα μὲν τὸν πλοῦτον τοῖς δεομένοις διένειμεν, ἀγροὺς δὲ καὶ τὴν κτῆσιν ἄλλην τοῖς προσήκουσιν ἀπεκλήρωσεν· ἐπεὶ δὲ σοφῶς τὰ κατ' αὐτὸν διέθετο, εἰλωτικὴν ἀναβολὴν περιθέμενος, πρὸς τὴν ἀγαθὴν ἀπαίρει πορείαν, τὸ μὲν φαινόμενον πενιχρὸς, πρὸς δὲ τὴν τοῦ ἐριτίμου μαργαρίτου ἐξώνησιν πλοῦτον βαρὺν τὴν ἀρετὴν ἐπαγόμενος. Καὶ γοῦν τὴν Ἱερουσαλὴμ καταλαμβάνει, ἵνα τε τὸ σωτήριον ἐξετελέσθη μυστήριον, κἀκεῖσε σεπτῶς τῷ Θεῷ καὶ Δεσπότῃ τὴν προσκύνησιν ἀφοσιωσάμενος, παρὰ τὴν τοῦ μεγάλου Σάβα μονὴν ἄπεισι, Σάβα τοῦ τὴν ἀρετὴν περιβοήτου καὶ τὴν κατὰ Θεὸν πολιτείαν περιθρυλλήτου, Σάβα τοῦ λαμπρότητι βίου τὴν ὑφ' ἥλιον καταυγάσαντος, ὃν εἴπερ τις ἂν φαίη τύπον τοῦ μοναδικοῦ βίου ἄνωθεν τοῖς ἐν γῇ καταπεμφθῆναι, εὖ οἶδα, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. Παρὰ γοῦν τὴν ἐκείνου φοιτᾷ· λαύρας τὰς τοιαύτας μονὰς καλεῖν εἰώθασιν οἱ πολλοί. Ὡς οὖν παρ' αὐτῇ γένοιτο, καὶ τῷ τῶν ἐν αὐτῇ προεστῶτι εἰς ὄψιν ἔλθοι, πεσὼν πρὸ τῶν ἐκείνου ποδῶν, τῷ παρὰ τῷ Εὐαγγελίῳ ἑαυτὸν ἀπολωλότι προβάτῳ προσείκαζεν, ἁφαρπάσαι τε τοῦ νοητοῦ κατεδυσώπει θηρὸς, καὶ τῇ ἰδίᾳ ἐνσηκάσαι μάνδρᾳ πάνυ λιπαρῶς καθικέτευε, μηδὲ τοὺς ὀφθαλμοὺς εἰς οὐρανοὺς ἄραι τολμῶν, ὡς ὁ τῷ Σωτῆρι παραβολικῶς ἐπεισκυκληθεὶς τελώνης, καὶ πρὸς μετανοίας σχεδιασθεὶς ὄντως ὑπογραμμὸν, καὶ ἀτρεπτοῦς τύπον ἐξαγορεύσεως· καὶ ταῦτά γέ τις, ὁ ἐξ ὀνύχων ἀπαλῶν καθαρὸς καὶ ἀπὸ γενέσεως. Ὦ καρδίας συντετριμμένης! ὦ πνεύματος τεταπεινωμένου! ὦ ψυχῆς Θεὸν ὁρώσης, Θεὸν φανταζομένης ἀεί! ὦ ψυχῆς τὴν ἀνείκαστον Θεοῦ δόξαν ἀναπολούσης διὰ παντὸς, καὶ μόνα τὰ ἐκείνου διανοουμένης διηνεκῶς, καὶ ἀμέσως ἀμέσῳ νοῒ συναπτομένης τῷ πρώτῳ νῷ καὶ νῦν ἐνσωμάτων καὶ ἀσωμάτων δημιουργῷ! Ὦ ψυχῆς ἐς τηλικοῦτον διαρθείσης ἐξ ἀρετῆς, καὶ εἰς τοσοῦτον ὑποπιπτούσης ἐκ ταπεινώσεως, καὶ ὡς τὸ μηδὲν ἑαυτὴν ἀχρειούσης, θριαμβευούσης τε καὶ στηλιτευούσης ὥσπερ ἐξαμαρτοῦσαν ἀνήκεστα!

λε'. Πλὴν ἀλλὰ τῇ τοῦ μεγάλου Σάβα μονῇ ὁ μέγας Ἰωάννης προσεληλύθει, ὁ ὅσον οὐδέπω συχνοὺς ὑπερβαλέσθαι μέλλων καὶ τῶν μεγάλων εἰς ἀρετήν. Καὶ γοῦν ὁ τῷ τότε τῆς μονῆς προστατῶν τοὺς προὔχοντας τῶν μοναχῶν μεταπέμπεται· καὶ πρῶτα μὲν τῷ πρὸ τῶν ἄλλων καὶ εἰσιόντι καὶ στάντι τὴν τοῦ νεή-

certamen ac veluti colluctatio pertinax fuit, cum unus alterum niteretur viribus omnibus superare, totoque robore velut irruere, planeque ex animo ad hoc incumberet. Sed victoria penes Joannem, utpote causa meliorem, stetit : victus est autem sanguinarius ille barbarusque tyrannus, et cum eo invisibiles luctatores atque adjutores ipsius dæmones, qui bonis nostris operibus atque consiliis perpetuo invident.

34. Quid ergo fecit aut quomodo res disposuit, postquam audivit, Quidquid placuerit, age, exsequere? Fidelis ille et prudens dispensator, jam inde ab eo tempore quo sui ipse juris potuit res proprias ordinare, tunc autem adjuvante ipsum Deo utiliora etiam consilia capiens, pecuniam quidem omnem distribuit pauperibus, agros vero et reliquas possessiones inter propinquos divisit. Cum autem sic omnia prudenter ordinasset, servilem indutus habitum, in bonam sese viam dedit, externa quidem specie pauper, sed ad emendam pretiosam margaritam multas opes, virtutem scilicet, secum efferens. Ingreditur ergo Hierosolymam, ut ibidem salutis nostræ mysterium susciperet; Deoque ac Domino suo reverenter adorato sanctificatus, ad magni Sabæ monasterium abit. Sabæ inquam illius, virtute celeberrimi et conversatione nominatissimi : Sabæ, totam quæ sub sole est terram vitæ suæ claritate illustrantis, quam quidem ejus vitam aliquis dixerit in exemplum monasticæ professionis de cœlo missam esse hominibus super terra commorantibus, cumque hoc dixerit, nihil præter veritatem dixerit certo scio. Ut autem ad illius monasterium (lauras plerique solent istiusmodi loca nominare) atque inconspectum abbatis venit, ad ejus pedes procidens, similem sese exhibuit oviilli in evangelio perditæ, supplicans ut spirituale ostium apprehendere sibi liceret, et in illius proprium ovile recipi; interim vero nec oculos audebat levare in cœlum, sicut ille in parabolis a Salvatore memoratus publicanus, propositusque in exemplum pœnitentiæ atque sinceræ confessionis; idque cum a teneris, uti dicitur, unguiculis ipsaque nativitate puras fuerit. O cor contritum! o spiritum humiliatum! o animam Deum videntem, Deum semper cogitantem! o animam divinæ gloriæ semper intentam, eaque sola spectantem quæ illuc conducunt, mentique illi primæ ac mentium corporearum æque ac incorporearum opifici immediatius inhærentem! o animam tam excelsa virtute evectam, tam profunda humilitate depressam, ut se quasi inutilem ad omnia existimans de seipsa triumpharit, seque ut gravissimorum peccatorum ream traduxerit!

35. Ergo in magni Sabæ lauram magnus Joannes receptus est, quasi qui necdum multos eosque in virtute præstantes superasset. Monasterii autem præfectus monachorum præcipuos accersit : ac primo quidem ei, qui ante alios ingressus astabat, curam injungit novitii, quem ei monstrabat, ge-

rendam. Ille vero tanquam attonitus, uti vultu ipso monstrabat, ministerium hoc recusavit suscipere, postquam se utcunque collegisset, hoc solum effatus : Tibi nunc, Pater, videor inobediens esse, nihil tale, sicut nosti unquam passus, ex quo me tibi regendum commisi, sed neque alias idem commissurus : nunc autem causam intellige et ignosce. Ego a longo jam tempore novi celeberrimum hunc virum : ejus enim laudes manifesta vulgavit fama, tanquam facundia et vita clarissimi : quapropter vereor ejus curam suscipere, Pater reverende, imparem eidem me judicans. Ad alium deinde se convertit abbas, et hic similiter sese excusat; indeque ad tertium, qui æque toto nisu resilit : prout etiam alii aliique fecerunt, quos abbas appellabat, æque eos inveniens impersuasibiles ex formidine prænotata. Ut enim verbo absolvam, omnes illi venerabiles senes, licet a plurimis annis monasticam vitam professi, ejusque officia omnia perspecta habentes, in hoc conspirabant, ut magisterium sibi propositum declinarent.

36. Post omnes denique vir ille divinus, tanquam istos despiciens, accersivit alium, ætate provectiorem, fortassis et virtute, simplicitate vero morum Abrahamium senem, multum etiam Jacobi præferentem sinceritate sua, vereque antiqui moris hominem. Huic institutionem Joannis commendat, huic præcipit ipsum deducere per viam Nazarenæ secundum Deum conversationis. Cum ergo ille Joannem perquam libenter accepisset, manu prehensum in suam deducens cellulam, ipse quidem revertebatur gaudens velut grande lucrum adeptus, Joannes vero ineffabili repletus erat lætitia ac si ipsum paradisum ingrederetur. Nam et huic beato dabatur præceptum : sed præceptum haudquaquam ex levioribus, quale imperfecto alicui proponeretur. Siquidem mandabat senex voluntati propriæ omnino nihil indulgere, neque facere quidpiam quo per se inclinabatur; sed ea solum quæ imperarentur conatu omni ad finem perducere perfecteque implere : Deum assidue habere præ oculis, et cum eo versari continuo ac pro delictis deprecari, crebro genua flectendo et ferventes lacrymas effundendo. Nihil enim, fili, inquiebat, sic acceptum habet aut pluris facit Dominus quam spiritum humiliatum et cor contritum. Atque hæc quidem ipso in limine præcipiens ac veluti fundamentum jaciens, ostendebat quasi primordia quædam : quæ autem ad animam transformandam in melius atque perfectius coaptandam faciunt, nec non ad potentiarum ejus perpurgationem evectionemque, quæ demum oratio possit digne exsequi? Incipit autem a cognitivis facultatibus, ut appetitivas etiam animalesque poten-

(16) Quæ hæc pars tertia hominis? Corpus, nisi fallor, ad quod spectant quinque sensus externi, subjecti appetitui ac voluntati, quam concipio velut alteram hominis partem, sitam in anima partim, partim in corpore : cui denique superstet ratio sive intellectus, totus spiritualis, eoque pars prima et dignissima hominis.

A λυδος ἐφορείαν, δείξας αὐτὸν, ἀνατίθησι. Καὶ ὃς καθάπερ εἴ τις ἔκπληκτος, ὡς δεδήλωκεν ἐκ τοῦ σχήματος, τὴν λειτουργίαν ἀπαγορεύει, τοῦτο μόνον εἰπὼν, ὀψέ ποτε ἀνειληφὼς ἑαυτὸν μόλις· Σοὶ, Πάτερ, νῦν ἀνήκοος ἀναφαίνομαι, ἐξότου τοι καὶ ἐνεχείρισα ἐμαυτὸν, μήπω γε, ὡς οἶσθα, τοιοῦτ' πεπονθὼς, ἀλλὰ μηδ' εἰς αὖθις εἶθε ποτέ· τὸ δ' αἴτιον τοῦτό γε, οὐκ ἄλλο, καὶ σύγγνωθι. Ἐκ μακροῦ τὸν ἄνδρα περιβόητον ἔγνωκα· ἡ γάρ μοι φήμη τὰ κατ' αὐτὸν ἀκριβέστατα διετράνωσε, καὶ λόγῳ τε καὶ βίῳ τῶν περιφανεστάτων παρίστησεν, ἐφ' ᾧ καὶ δέδοικα τὴν ἐπιστασίαν, ὑπὲρ ἐμὲ κρίνων. Ἤτερ θεσπίσιε. Ἐπὶ τὸν μετ' ἐκεῖνον τρέπει τὸν λόγον· κἀκεῖνος τῷ πρὸ αὐτοῦ συνάδει τὴν ἀπαγόρευσιν. Ἐπὶ τὸν ἕτερον, καὶ οὐδ' οὗτος συντίθεται· ἐπὶ τὸν μετ' αὐτὸν, καὶ
B ὅλῳ κἀκεῖνος ὑποχωρεῖ τῷ ποδί· ἐπ' ἄλλον οὖν μετ' ἄλλον ἐστρέφετο, καὶ ὁμοίως τὴν ἐκ τῆς δειλίας ἀπείθειαν περιετύγχανε· συνελόντι γὰρ φάναι, ὁμογνωμονήσαντες ὁμοῦ πάντες οἱ γηραλέοι ἐκεῖνοι καὶ σεβάσμιοι ἄνθρωποι, καὶ τὸν μονάδα βίον ἀνηρημένοι ἐξ ἄγαν μακρῶν τῶν ἐνιαυτῶν, τήν τε πολιτείαν ὑπερηρμένοι, καὶ ἀκριβεῖς τῆς μοναχικῆς ἐπιστήμονες, τὴν τῆς προστασίας παραίτησιν ὡμοφώνησαν.

λς'. Μεταστέλλεται μετ' αὐτοὺς ὁ θεῖος ἐκεῖνος ἀνὴρ, πάντας ὥσπερ ἐκείνους περιιδὼν, ἕτερον τὴν ἡλικίαν προήκοντα, τάχα δὲ καὶ τὴν ἀρετὴν ὑπερβαίνοντα, τῇ δὲ τοῦ ἤθους ἁπλότητι Ἀβραμιαῖον ἀντικρὺς γέροντα, πολὺ κατὰ τὸν Ἰακὼβ αὐχοῦντα τὸ ἄπλαστον, καὶ ἀρχαῖον ὡς ἀληθῶς ἄνθρωπον.
C Τούτῳ τὴν ἡγεμονίαν ἐπιτρέπει, τούτῳ τὴν ὁδηγίαν τῆς Ναζωραϊκῆς καὶ κατὰ Θεὸν πολιτείας ἀνατιθεῖ. Καὶ ὃς εὐθύμως ἄγαν τῆς χειρὸς τὸν Ἰωάννην λαβόμενος, ἄπεισι παρὰ τὸν οἰκίσκον τὸν ἴδιον· ὁ μὲν καθά τινος ἐρμαίου τυχὼν, ἐπαναστρέφας περιχαρὴς, ὁ δ' ὥσπερ ἑαυτὸν τὸν παράδεισον εἰσιὼν, ἡδονῆς ἀῤῥήτου πλησθείς. Καὶ δὴ τῷ μακαρίῳ δίδοται ἐντολὴ, καὶ ἡ ἐντολὴ οὐχ ὡς πρὸς ἀτελῆ τῶν ἐλαφροτέρων τις ἦν. Ἐπισκήπτει γὰρ ὁ γέρων τῷ ἰδίῳ
D μηδόλως στέργειν βουλήματι, μηδ' ἐκτελεῖν τι τοπαράπαν αὐθέκαστον· ἀλλ' ὅσπερ ἂν προσταγείη μόνον, καὶ τοῦτο ἰσχὺς ὅση πέρατι διδόναι καὶ καλῷ; ἐκπληροῦν, ἀεί τε τὸν Θεὸν ἔχειν πρὸ ὀφθαλμῶν, καὶ Θεῷ διηνεκῶς ἐντυγχάνειν, καὶ ὑπὲρ τῶν ἁμπλακημάτων ἐκλιπαρεῖν, συγνὰ γονυπετοῦντα καὶ δάκρυα θερμὰ καταχέοντα. Οὐδὲν γὰρ, ἔφασκε, τέκνον, οὕτω προσίεται, καὶ περὶ πλείονος τίθεται, ὡς πνεῦμα τεταπεινωμένον καὶ καρδίαν συντετριμμένην ὁ Κύριος. Καὶ ταῦτα μὲν ἐξ αὐτῆς ὑπετίθει, καὶ οἷόν τι βάθρον ὑπέβαλεν, ἢ καί τινα προτέλεια παρεδείκνυεν· ἃ δὲ μεταποιεῖν κρειττόνως οἶδε ψυχὴν, καὶ πρὸς τελεωτέραν συμβάλλεται μεταῤῥύθμισιν, τῶν αὐτῆς τε δυνάμεων κάθαρσιν καὶ ἀνάβασιν, τίς ἂν παραστῆσαι λόγος ἐξίκοιτο; Ἀπὸ μὲν γὰρ τῶν γνωστικῶν ἄρχεται, ὡς ἂν δὴ καὶ τὰς ὀρεκτικάς τε καὶ ζωτικὰς, καὶ σὺν ταύταις τὰς ὑπ' αὐτὰς, τὰς τῆς τρίτης λέγω μοίρας καὶ χείρονος (16), μεταθείη

πρὸς τὸ κρεῖττον, καὶ μεταβάλοι πρὸς τὸ θειότερον.

λζ'. Ἀλλὰ μὴ θαυμάσῃ τις ὅπως ἄρα καὶ ἐπαιδαγώγει τὸν τέλειον, καὶ τὸν ἄκρον κατήρτιζεν· εἰ γὰρ καὶ μέγας αὐτόθεν ὁ Ἰωάννης ἐτύγχανεν ὤν, σοφίᾳ πεπυκνωμένος, καὶ ἀρετῇ κεκοσμημένος, καὶ ὑψηλὸς ἀμφοῖν καὶ θεσπέσιος· ἀλλ' ἔστι τις καὶ ἐπίδοσις τοῦ καλοῦ, καὶ τοῦ τελείου πέφυκε τελειώτερον, καὶ τοῦ διασήμου περιφανέστερον. Οὐκ ἀπεικὸς δὲ καὶ τὸν ἁπλοϊκὸν γέροντα, τῶν πρὸ τοῦ μὴ συνέντα, ὡς μὴ ἀκριβωσάμενόν πως ἢ καὶ παντελῶς ἀλογήσαντα, ὡς τῶν τινα παιδοτριβεῖν ἀτελῶν, καὶ κατὰ μικρὸν οἷον ἐνάγειν πρὸς τελειότητα. Κολάζει τοίνυν τὴν αἴσθησιν, μήθ' ὁρᾷν περιέργως, μήτ' ἀκούειν ἐνηδόνως, ὅτι μὴ περὶ Θεοῦ καὶ τῶν θείων ἐγκελευσάμενος, μηδὲ λιχνεύεσθαί πως περὶ τὴν γεῦσιν ὥστε δὴ καθηδύνεσθαι· ἀλλ' ὅσον γε ἀποζῆν τρέφεσθαι, μεμνημένον τῆς παραβάσεως, καὶ τῆς ἐκεῖθεν διὰ τὴν λιχνείαν τῶν καλλίστων ἐκπτώσεως, τῆς ἀκράτου δήπουθεν ἐκείνης τρυφῆς, καὶ τῆς ἀφράστου γε ἡδονῆς· πρὸς δὲ τάσιν χειρὸς συστέλλειν παράλογον, καὶ ἀφῆς κατέχειν τὸ ἄνετον, εἰς νοῦν διηνεκῶς ἄγοντα τὸ ἐκ τοῦ τολμηρῶς ἅψασθαι τῶν προπατόρων ὀλίσθημα· ἀνθέων τε καὶ μύρων ὀδμὰς ἀποπέμπεσθαι, μονονοὺ διαπαντὸς τῶν ἐν Ἐδὲμ ὀσφραινόμενον, κἀκείνων ἐπιτυχεῖν ἐφιέμενον.

λη'. Καὶ ταυτὶ μὲν περὶ αἰσθήσεως καὶ αἰσθητηρίων ὁ σεμνὸς ἐκεῖνος γέρων καὶ πρακτικῆς φιλοσοφίας ἐπηβολώτατος τῷ τὰ πάντα μὲν εὐηκόῳ, κἀκ τούτου ἀμαθίας ἄκρας ὑποκριτῇ, τῇ δ' ἀληθείᾳ θεωρίας ὁμοῦ τελείας καὶ πράξεως ἐπιμελητῇ, σοφώτατα ἐπέσκηψε μαθητῇ· περὶ δὲ φανταστικοῦ τε καὶ φαντασίας τοῦ παθητικοῦ δῆτα νοῦς ὁποῖα; Ὡς λίαν θαυμαστὰ, καὶ μόνης τῆς τοῦ μεγάλου γλώττης δεόμενα, τοῦ πρακτικωτάτου καὶ θεωρητικωτάτου, καὶ τῇ κατ' ἄμφω φιλοσοφίᾳ λαμπρῶς ὑπερβαλόντος καὶ τοὺς νῦν ὁμοῦ καὶ τοὺς πώποτε· Μηδέν τι συνόλως τῶν γηΐνων καὶ ὑλωδῶν παρηγγύησεν ἀναματτεσθαι· εἴ τι δέ πως καὶ ἐναπολέλειπταί οἱ ἀναπολούμενον, ἀποβαλεῖν τὸ τάχος καὶ διακρούσασθαι (τοῦτο γὰρ τῆς τῶν χθονιωτέρων φαντασίας καὶ πάθος καὶ σύστασις, καὶ τῆς κατ' αὐτὴν ἐνεργείας τοῦτ' αὖθις διάλυσις)· μόνα δὲ φαντάζεσθαι τὰ ὑπὲρ ἡμᾶς, κἀκεῖνα ὄντως ὄντα δοξάζειν ὡς ἀδιάπτωτα, κἀκείνων ἐξαρτᾶν τὴν διάνοιαν, κἀκείνων ἐπιστηρίζεσθαι· ἵν' ὅπως ἐκ τοῦ δυνάμει νοῦν πεφηνέναι ἐνεργείᾳ ταύτῃ νοῦν ἀποφήνειε· τὸν δ' αὖ ἐνεργείᾳ νοῦν ἐνεργέστερον μακρῷ καὶ θειότερον, ὡς τὸν νοητὸν, ἀμέσως ἀντιλαμβάνεσθαι, μηδέ τινι τῶν ὑποδεεστέρων δυνάμεων κατασπώμενον, τὰς δ' ὑπ' αὐτῷ πάσας ἀνάγοντα, καὶ πρὸς ἑαυτὸν ἕλκοντα, καὶ δι' αὐτοῦ καὶ σὺν αὐτῷ πρὸς Θεὸν μεταφέροντα.

λθ'. Καὶ ταῦτα μὲν ὁ καλὸς γέρων ὑπέθηκε νου-

tias, quæque his subjectæ sunt spectantque ad tertiam deterioremque hominis partem, parti subjiciat meliori atque ad diviniora transferat.

37. Atque hic fortasse mirabitur aliquis, quomodo perfectum jam virum docere præsumpserit senex, et jam summum perficere adhuc magis; etenim per seipsum magnus erat Joannes utpote plenus sapientia, ornatus virtute et utrinque venerabilis quam qui maxime. Verumtamen adjici semper aliquid potest ad bonum, et perfecto perfectius, præclaro præclarius invenitur. Non igitur incongruum fuit quod simplex hic senex, ignarus præteritorum (ut qui ea nec scrutatus erat fortasse nec scire curaverat) instituerit eum, velut ex imperfectioribus aliquem, paulatim ad virtutis perfectionem inducendo. Castigat itaque sensus ejus, ut assuescat neque superfluum videre quidpiam, nec deliciosum audire, nisi Dei vel rerum divinarum causa, neque gulæ aliquid indulgere per gustum voluptatis ergo: sed solum comedere quod ad tuendam vitam sit satis, memorem antiquæ transgressionis, et quomodo per gulam maximis bonis olim exciderimus, cogitantem etiam sinceras alterius vitæ delicias ineffabilesque voluptates. Vetabat quoque vel manum extendere inconsiderate vel aliquid molle contingere, præ oculis habentem ruinam protoplastorum ex audaciori contactu natam. Florum deinde atque unguentorum odores jubebat ablegare, sola mente semper olfacientem paradisi fragrantiam, atque hac frui unice cupientem.

38. Et hæc quidem circa sensus eorumque organa venerabilis ille senex et philosophiæ practicæ scientissimus docebat discipulum ad omnia obsequentissimum, et dum summam ignorantiam simulat, actionis æque ac speculationis perfectionem sedula meditatione consecutum sapientissime docebat. Quæ autem circa phantasiam phantasiæque obnoxias animi passiones præcipiebat, qualia demum erant? Vere admiranda, quæque ut explicari possint, egeant ipsa magni illius viri lingua, utpote in praxi ac theoria summi, in eaque quæ ex his duobus exsurgit philosophia præcellentis manifeste cunctis, qui eo tempore aut etiam aliquando exstiterunt. Imperabat scilicet, terrenarum atque materialium rerum nulli omnino adverteret animum, siquid vero ejusmodi reliquum ei esset, id continuo enectum ejiceret atque exturbaret (in hoc enim consistit passio phantasiæ, circa res magis terrenas versantis, et hoc virtutem eidem adversantem dissolvit), sola autem ea cogitando volveret, quæ supra nos sunt et quæ vere subsistunt, ut quæ excidere nequeant, magni faceret: ad ea sola mentem attolleret, ad ea omnia jubebat: ut qui per virtutem factus esse spiritus videbatur, ipsam quoque operationem spiritualem monstraret, animumque ad perfectionem evectum immediate susciperet, efficaciorem multo atque diviniorem, utpote intellectualem, neque ulli interiorum facultatum obnoxium, sed has omnes elevantem atque trahentem ad se, et per se ac secum transferentem ad Deum.

39. Talia venerandus ille senex prudenter atque

cordate suggerebat injungebatque suo per gratiam filio, licet sapientia cano et prudentia seni, qui alioqui etiam a puero virtutem sibi veluti collactaneam et ubique familiarem habuerat. Insuper, ne se omnino aliquid esse putaret seque propter eloquentiæ cultum extolleret, vetabat illius ullam sive magnam sive parvam rationem habere, sed foras excludere simul ac semel quidquid didicerat externum atque ipsam etiam memoriam quantum posset eliminare jubebat: neque solum non permittebat aliquid numerose componere, vel encomiis historiisve scribendis vacare, sed neque epistolam mittere notorum alicui. Scio equidem hæc spiritualia parvi facienda ab imperitis, quasi qui de mysteriis disciplinæ arcanæ loquor apud nondum initiatos; eo quod non sint apti ad cognoscendum, quantam habeat voluptatem, quantumque faciat animum dilatari perfecta expressio cogitationum suarum et conceptuum mentis accurata manifestatio. Sed quid dicerent illi, quando audirent quod etiam præscribatur silentium et omnimoda linguæ compressio imperetur, ita ut nec gry proferre discipulus audeat, nisi cum a magistro jussus ex divinis libris aliquid legerit ad Deum propitiandum confitendumque?

40. Quid vero innocens ille et Deo tota mente affixus, cujus cor rectitudinem semper dilexit, quomodo in istis se habet? Num labascit, tantum pondus præceptorum dedignans? aut sublevari petit, ne scilicet in principio prægravatus succumbat? Longe istud a Joanne. Libenter cuncta in humeros suscipit, et viam hanc quæ ducit ad Deum generose ingreditur, seu potius ad vitæ monasticæ stadium alacriter percurrendum exnitur, et non solum ad quintuplum, sed ad decies millecuplum certamen inungitur. Sed forte suscepit generose, quod non tulit fortiter; aut ingressus intrepide, non certavit constanter? Absit hoc omnino, absit. Non tamen velut victor aliquis in Olympiacis, Nemeis, vel Isthmicis viliter coronatus apparuit, aut ut unus eorum qui in Panathenæis prævaluerunt corona oleagina magnifice revinctus comas, aut pineam quatiens, eoque vehementer intumescens, vel sacris quibusdam pomis (profanis potius dixerim) gloriosus, ridentibus quidem illum sapientioribus, pueris vero applaudentibus et succinentibus in scena theatris; aut sicuti sors tulerit inunctus et brevi admodum tempore laudatus, idque solis forsitan promiscuæ conditionis turbis ac vili plebecula: sed exiit cœlitus coronatus, angelis et angelicis hominibus cum admiratione circumstipantibus, spectaculum vere factus, uti loquitur Paulus [a], et angelis et hominibus, visibilemque atque invisibilem naturam obstupefaciens.

[a] 1 Cor. IV, 9.

νεχῶς καὶ ἐπίσκηψεν ἐμβριθῶς τῷ κατὰ χάριν υἱῷ, τῷ πολιῷ μὲν τὴν σοφίαν καὶ πρεσβύτῃ τὴν φρόνησιν· εἰ καὶ ἄλλως ἐκ παιδὸς σύντροφον εἶχε τὴν ἀρετὴν καὶ δι' ὅλου συνδίαιτον. Προσεπιτοῦτοις, μή τί πως οἴεσθαι τοπαράπαν τυγχάνειν, ἢ γοῦν τινος ἐκ τῆς τῶν λόγων ὑπερφέρειν παιδεύσεως, μέγα τε ἢ μικρὸν μὴ φρονεῖν ἐπὶ λόγοις τὸ σύνολον, ἀλλ' ἀποθέσθαι καθάπαξ λόγον τὸν θύραθεν, καὶ πάντα τρόπον ἀποπέμπεσθαι τοῦτον τῆς μνήμης· καὶ οὐχ ὅπως λόγους πλατυκῶς [πλαστικῶς] συντιθέναι, καὶ ἐγκωμίοις ἢ καὶ ἱστορίαις ἐπιχειρεῖν, ἀλλ' οὐδὲ τῶν συνήθων ἐπιστέλλειν τινί. Οἶδα μὲν οὖν ὡς μικρὰ ταῦτα νομισθεῖεν τοῖς ἀμυήτοις τὰ λογικὰ καὶ τὰ τῆς παιδείας ἀτελέστοις οὕτωσί πως ἐρεῖν ὄργια, ἔνθεν καὶ οὐκ ἱκανοῖς διαγνῶναι οἷόν τινα τὴν ἡδονὴν ἔχει καὶ ὁποῖον τῆς καρδίας ἐμποιεῖ πλατυσμὸν ἡ τῶν διανοημάτων εὔστοχος ἔκφανσις καὶ τῶν νοημάτων ἀκριβὴς ἀνακάλυψις· ἀλλὰ τί ἂν οἱ τοιοῦτοι καὶ φαῖεν ἀκούσαντες, ὡς καὶ σιωπὴν ἐπισκήψει, καὶ τελέαν τῆς γλώττης κατοχὴν ἐπιτάξειεν, ὡς μηδὲ γρῦ, τὸ τοῦ λόγου, τολμᾷν φθέγγεσθαι, ἐκτὸς εἰ μὴ πρὸς αὐτὸν προστατόμενος τῶν θειοτέρων ἀναλέγοιτό τινα βίβλων πρὸς ἐξιλασμὸν Θεοῦ καὶ ἀνθομολόγησιν;

μ'. Τί τοίνυν ὁ πραΰς; τί τοίνυν ὁ ἄκακος καὶ τῷ Θεῷ διόλου κολλώμενος, οὗπερ εὐθύτητας ἠγάπησεν ἡ καρδία, πῶς ἐπὶ τουτοισὶ διατίθεται; Μῶν ὀκλάζει τῷ τοσούτῳ βάρει δυσανασχετήσας τῶν ἐντολῶν; ἢ μὴν ἐπελαφρίσαι ζητεῖ, ὡς ἂν μὴ ἐκ πρώτης βαρηθεὶς ἀναπέσῃ; Πολλοῦ γε καὶ δεῖ· εὐθύμως γὰρ τὰς ἐντολὰς ἐπωμίζεται, καὶ γενναίως τὴν πρὸς Θεὸν ταύτην ἄγουσαν εἴσεισιν, εὐθαρσῶς δὲ μᾶλλον εἰπεῖν πρὸς τὸ τῆς μοναδικῆς στάδιον ἀποδύεται, καὶ οὐχ ὅτι γε εἰς πένταθλον ἐπαλείφεται, ἀλλ' ἀληθῶς εἰπεῖν εἰς μυριάθλον (17). Ἆρ' οὖν ὑποδέχεται μὲν θαρσαλέως, οὐ φέρει δὲ καρτερῶς· ἢ εἴσεισι μὲν ἀπτοήτως, οὐ στερρῶς δὲ ἐπαγωνίζεται; Οὐκ ἔστι τοῦτο εἰπεῖν, οὐκ ἔστιν. Ἀμέλει τοι καὶ οὐκ ὡς Ὀλυμπιάσιν, ἢ ἐν Νεμέᾳ, ἢ Ἰσθμοῖ νενικηκὼς στεφανίτης μικροπρεπὴς ἀναδείκνυται, ἢ καὶ τῶν τις κεκρατηκότων τὰ Παναθήναια στεφάνῳ τάχα τῷ ἐκ κοτίνης μέγα κομῶν ἢ ἀνασοβῶν τὸν ἐκ πίτυος καὶ τὰ μέγιστα ἐπιβρενθυόμενος, ἢ γοῦν ἱεροῖς τισι μήλοις, μᾶλλον δ' ἀνιέροις, περιθρυλλούμενος, ὑπὸ μὲν νουνεχεστέρων οὐχ ἧττον ἐμπαιζόμενος ἢ θριαμβευόμενος, ὑπὸ δὲ παιδισκαρίων περιβοώμενος, καὶ τοῖς ἐκ τῆς σκηνῆς συριττόμενος ἢ καὶ τῷ ἐκ τῆς μοίρας ἀληλιμμένος, καὶ βραχὺ τῷ χρόνῳ περιλαλούμενος, μόνος γε τάχα τοῖς τῆς χυδαίας τύχης καὶ σύρφακος· ἀλλ' ἔξεισι στεφανίτης οὐράνιος, ἀγγέλοις τε καὶ ἰσαγγέλοις ἀνδράσι περιστοιχιζόμενός τε καὶ θαυμαζόμενος, θέατρον ἀληθῶς καὶ ἀγγέλοις καὶ ἀνθρώποις, κατὰ τὸν μακάριον Παῦλον, γενόμενος· ἐκπλήττων δηλονότι καὶ τὴν ὁρατὴν φύσιν καὶ τὴν ἀόρατον.

(17) Festus: « Pentathlum antiqui quinquertium dixerunt: id autem genus exercitationis ex his quinque artibus constabat, jactu disci, cursu, saltu, jaculatione, luctatione. »

μα'. Ἀλλ' ἐπεὶ γοῦν ἐπὶ πᾶσιν οὕτωσὶ τέλειον ὁ ἐμβριθὴς ἐκεῖνος ἐπιστάτης διέγνωκε, τὴν ταπείνωσιν ὑψηλὸν, τὴν ὑπακοὴν εὔεικτον, τῆς ἀρετῆς ἐργάτην ἀκαταγώνιστον, καὶ καθάπαξ τοῖς ὅλοις ἀνυδεκτόν· ἄλλον τρόπον ἀποπειράσασθαι ἔσχεπται, καὶ ἑτέρως δοκιμάσαι τοῦτον βεβούλευται, ἵνα πως εἰδείη, κἂν τοῖς γνωστοῖς καὶ συνήθεσιν ὅπως ἂν τὸ μέτριον τηρῆσαι δυνηθείη καὶ ἄτυφον. Ὅτι τοίνυν συχνὰς σπυρίδας συναγαγὼν, τὰς μὲν ἐγχειρίζει, τὰς δ' ἐπωμίζει, Εἰς Δαμασκὸν πάσας, εἰπὼν, ἔκθου, μετακόμισον, καὶ τοσούτου γε ἑκάστην ἀποκήρυξον, ὑπερεκτιμᾷ δὲ τὰ εὐτελῆ ἐξεπίτηδες, δοκιμάζων κἂν τούτῳ τὴν μαθητὴν, καὶ πρὸς τελείαν γυμνάζων τοῦτον ὑπακοήν. Τί τοίνυν ὁ τὴν ἀρετὴν ἄκρος, τὴν δ' ὑπακοὴν ἀπαράμιλλος; Ἆρ' ἀναβάλλεται; μῶν ἀποδυσπετεῖ; ἤ τινα γοῦν δυσαρεστίας ἔμφασιν ὑποδείκνυται, ὥς τις ἂν οὐχ ὅτι τῶν κατ' αὐτὸν μεγίστων τὰ θεῖα καὶ μεγάλων τἀνθρώπινα, ἀλλὰ καὶ τῶν θατέρῳ ὁποτέρῳ γε τούτων καὶ φαίης ἐπιφανῶν; Καὶ πῶς; Ὡς ἐπ' εὐεργεσίᾳ καλούμενος, προθύμως ἄγαν ἐξῆει, καὶ σὺν σπουδῇ τῆς ὁδοιπορίας ἥψατο, ὡς ἂν εἰ πρὸς λαμπρὰν ἀπήγετο τὴν ἀνάδειξιν, καὶ εἰς θρίαμβον μετεκαλεῖτο παγκόσμιον. Ἐπειδὴ δὲ καὶ εἰσῆλθε τὴν Δαμασκὸν, πενιχρὸς, πιναρὸς, μηδενὸς ἐκ τῆς ἀναβολῆς ἄξιος, ὁ τέως πλείστου τοῖς πᾶσι καὶ τιμώμενος καὶ περιβλεπόμενος, καὶ παρὰ τὴν ἀγορὰν γένοιτο, ἐγκαλλωπίσματι καθαπερεὶ περιτιθέμενος τὰς σπυρίδας, ἀπεμπολεῖν τε ἀνεβόησε, καὶ ὅσου γε ἀποδίδωσιν ἑκάστην προσεπεδήλωσεν· ἦν δὲ, ὡς ἐκ τοῦ συνήθους πᾶς τις ἂν τῶν ἐγχωρίων ἐπέκρινε, πλεῖον τὸ τίμημα καθ' ὑπερβολὴν ἀπιτῶν χλεύης τοῖς πρατυχοῦσιν ἀφορμὴ καὶ γέλωτος γίνεται. Ὁ μὲν οὖν, Τί ληρεῖς, ἔφασκεν, ἄνθρωπε; ὁ δὲ, Παραπαίεις, καὶ τὰς φρένας ἐγκέκοψαι· ἄλλος δ' ἄλλο τι ἐπετώθαζεν ἄλλοθεν· ἔνιοι δέ οἱ καὶ κονδύλους ἐνέτεινον, καὶ κατὰ κόρρης ἐνέπαιζον, εἰωθὸς ὂν τοῖς ἀγοραίοις τοῦτο καὶ ξύγκλυσι· τῶν εὐηθεστέρων κατειρωνεύεσθαι, καταμωκᾶσθαί τε τῶν παρατετραμένων τὸ φρόνημα, καὶ τῶν οὕτω λεγομένων κρονολήρων, τῶν παρασεσαλευμένων δηλαδὴ κατεπαίρεσθαι, τῷ τε τῆς ψυχῆς ἀλογωτέρῳ ἐπιδιαχεῖσθαί σφισι, καὶ οὐχ ὅτι γε μυσὶ καὶ νεύροις ἐκλύεσθαι καὶ ἄτακτά πως ἐπικαγχάζειν, ὡς ἀπονίζειν καὶ δάκρυα· ἀλλ' ἐπαφιέναι τούτοις καὶ χεῖρας, καὶ ῥαπίζειν ἀνέτως, καὶ ἁπλῶς τὴν ἀποτυχίαν διαπαίζειν τῆς φύσεως; ἤ τὴν τῆς διοργανώσεως, εἴγε δὴ καὶ τοῦτο τύχοι συμπεσὸν, ἀμβλωσιν.

μβ'. Ἐφ' ἱκανὸν μὲν οὖν ὁ σπουδαιότατος ἐνεπαίζετο, καὶ ὁ τὰ πάντα κόσμιος ἔνθεν κἀκεῖθεν διωθεῖτό τε καὶ ἀπωθεῖτο καὶ παραλόγως ὠστίζετο, μᾶλλον δ' αὐτὸς τὸν ἀόρατον ἐμάστιζε δυσμενῆ· ὁ μὲν γὰρ τοῦ Δεσπότου τραχηλιάσας ἐλεεινῶς πέπτωκεν· ὁ δ' οὕτωσὶ μετριάσας καὶ εἰς τοσόνδε ταπεινώσας αὐτὸν εἰς οὐρανοὺς αὐτοὺς πέφθακε, θαῦμα καὶ αὐτοῖς ἀγγέλοις γενόμενος. Ἀλλ' ὀψὲ δήποτε τῶν πάλαι τις οἰκετῶν, ἐνιδὼν τούτῳ περιεργότερον, καὶ τὰς ὄψεις ἐρείσας ἐπιμονώτερον, τοῦτον ἐκεῖνον

41. Cum ergo gravis ille magister cognovit Joannem humilitate sublimem, obedientia morigerum, virtutis exercitatione infatigabilem, omnique ex parte probatum, adinvenit modum alium quo eum tentaret: aliter enim adhuc probandum censuit, ut videret, utrum et quomodo etiam inter notos familiaresque posset eamdem modestiæ mediocritatem tenere. Sportulas itaque multas colligens, easque partim humeris ejus imponens, partim in manus tradens, Damascum ferre omnes jussit: Tanto, inquiens, venales offeres, — idque aucto immodice rerum tam vilium pretio, ut vel sic experiretur discipulum suum atque ad consummatam obedientiam exerceret. Quid porro Joannes, virtute summus, obedientia incomparabilis? An cunctatus est vel affectus tædio, aut aliquod displicentiæ signum ostendit, ut alius forsan faceret minus quam ille in rebus divinis humanisque magnus, aut etiam alterutris duntaxat illustris? Quomodo autem? Tanquam vocatus ad beneficium recipiendum exivit quam promptissime, et magno cum studio in viam se dedit, velut si mitteretur ad illustrem sui ostentationem atque ad triumphum pulcherrimum invitaretur. Ingressus vero Damascum, pauper, obsoletus et, quantum ex habitu dignosci poterat, omnino contemptibilis, qui pridem ab omnibus honorabatur et circumspiciebatur, mox ut forum intravit, sportis tanquam ornamento insigni circumcinctus, convocavit turbam, et quanti venderet singulas indicavit: erat autem, quemadmodum incolarum quilibet judicabant, præter morem exorbitans pretium, cujus petitio advenientibus omnibus risus et cachinni occasionem præbebat. Igitur, Quid deliras? o homo, inquiebat unus; alius, Nugaris et mente captus videris; tertius aliud quidpiam ei objiciebat; nec deerant qui colaphos ei infligerent, aut in faciem cæderent; quemadmodum fieri assolet in promiscua fori plebe, ut rideantur stolidi, et cerebro læsi ludibrio habeantur. Ita contra jam pridem stultos atque deliros insurgitur passim; et judicii imbecillitas, naturali nervorum musculorumque dissolutioni imputanda, tribuitur ipsis sæpe cum risu tam effuso, ut lacrymæ ab oculis exprimantur: quin etiam contingit ut talibus injiciantur manus, raptenturque inclementer, et ludibrium de se præbeat naturalis organizationis infelicitas, vel cæcutientium oculorum caligo, si hæc quoque eis acciderit.

42. Ludificabatur ergo satis diu vir gravissimus, et qui per omnia decorus erat, impellebatur hinc inde ac repellebatur, et præter rationem cædebatur, seu potius cædebat ipse hostem invisibilem: hic enim contra Dominum extollendo cervicem miserabiliter corruit, ipse vero sic modeste humiliterque se gerens, usque in cœlum extollebatur, factus etiam angelis admirabilis. Tandem vero antiquorum ejus famulorum quispiam, curiosius cum intuitus, et oculos in eumdem constanter de-

figens, cognovit ipsum esse, cujus famulitio fuerat ascriptus. Mox autem in mentem recurrerunt opes et gloria viri pristina, fors etiam benignitas ac mansuetudo erga famulos obversabatur animo; eumque egere reapse suspicabatur, et ei, qui in adversam, ut ajunt, fortunam impegerat, bene velle incipiebat. Bonus ergo ille famulus, bona etiam cogitans (solent enim dominis suis, ut dicitur, servi esse similes) indiscriminatim numeravit, quantum pro sportis exigebatur : et veluti de contractu sibi gratulatus, a negotio importuno eum subtraxit, qui ut procul a curis sæcularibus viveret, negotia omnia abdicaverat. Sic qui antea plurimis stipabatur equitibus, nunc solus Damasco egrediens, retro unde venerat rediit : neque enim regressus fuisset, nisi mandato expleto, quamvis contigisset ei immorari diutius : et potius circuisset tota vita sua inter ludibria exprobrantium, quod viles reculas tam charo exponeret, quam Patris sui spiritualis præceptum non esset executus : rediit autem tropæis gravis, quæ superbo hosti generose obluctando detraxerat.

43. Sed excipit nos aliud, non dixerim de peccato tropæum, verum ex parva quadam occasione ingens facinus. Beato viro vicini habitabant fratres duo, fraterna inter se charitate conjuncti; nec enim minus sibi conjungebantur spiritus eorum ex propositi similitudine quam corpora ex natura. Horum alter sublatus e vivis alterum pene mortuum reliquit : nam is calamitate ista prorsus victus, non admittebat consolatores, non recipiebat hortatores; sed cuicunque rationi aures penitus occluserat. Post alios ergo plures, ad eum quoque accessit illa compassione plenissima anima, Joannes, vultu hilaris, sermone suavis, et utroque venerabilis, conabaturque mœrorem eximere. Quid autem non excogitavit quo ejus animum ad se revocaret? quid non contulit ex sacris Scripturis quo passionem consolando leniret? Omnem, uti dicitur, lapidem movit; sed nihilo plus proficiebat, quam statuæ colloquens vel adamantem terens. Tandem tamen (nam etiam gutta cadens assidue petram excavat) rediit utcunque ad sese monachus, sibique ac sensui restitutus, Siquidem, inquit, consolari me velis, age, compone melos aliquod, quod memetipsum succinendo dolores infortunii mei leniam, qui in animam meam incurrentes, intellectum conturbant, et cor meum quodammodo depascuntur.

44. Cui Joannes, Et qua, inquit, ratione fieri poterit, ut Patris mandatum transgrediar, absolute jubentis abstinere a quocunque ejusmodi cogitatu vel opere? Levis, respondet alter, hæc inobedientiæ culpa, respectu utilitatis e converso provenientis : animam enim mœrentem consolaberis, seu potius retinebis deficientem, ac pene jam egressam

ἔγνωκεν εἶναι, οὗ τέως τοῖς προσπίπτουσι συντέτακτο. Παραυτὰ γοῦν καὶ πλούτου ἀνεμιμνήσκετο, καὶ δόξαν ἀνελογίζετο, τάχα δ' ἂν καὶ τὴν πρὸς τὸ εἰλωτικὸν εὐμένειαν· αὐτοῦ καὶ γαλήνιον παρεισεκύκλει τῷ λογισμῷ, καὶ χρῆναι πάντως ἐπελογίζετο καὶ ἐναντία γε, ὅ φασι, περιτυχόντι τῷ δαίμονι εὐνοεῖν. Χρηστὰ γοῦν οὕτως ὁ χρηστὸς ἐκεῖνος τοῖς τρόποις οἰκέτης ἐννοηθεὶς (εἴωθε καὶ γὰρ τοῖς ἄρχουσιν, ὡς φασι, συνεξομοιοῦσθαι τὸ ὑποχείριον) ἀδιακρίτως ὁπόσον ἐπὶ ταῖς σπυρίσιν ἀπητεῖτο καταβαλόμενος, καὶ ἐπευχαριστήσας ὥσπερ τοῦ συναλλάγματος, μόλις ἀπήλλαξε πραγμάτων τὸν ὑπὲρ τοῦ ἀπραγμόνως ζῆσαι πλεῖστα πάνυ τῶν πραγμάτων ἀποβαλόμενον. Καὶ γοῦν ὁ πρὸ τοῦ πλείστοις ὅτι τοῖς ἱππόταις παραπεμπόμενος, μονώτατος τὴν Δάμασκον ἐξιὼν, παλίνορσος βαδίζων ἀνέζευξεν· οὐδὲ γὰρ ἂν ἐπανῆλθε μὴ τὸ κατ' ἐντολὴν ἐκπλήσας, κἂν οὕτω γε τυχὸν εἰς μακρὸν ἄγαν ὑπερημέρησε· θᾶττον γὰρ ἂν περιιὼν καὶ παιζόμενος οὑτωσὶ πολλοῦ τὰ φαυλότατα ἐκτιθέμενος τὴν ζωὴν ἐξεμέτρησεν, ἢ τοῦ πνευματικοῦ Πατρὸς ἀτελῆ παρῆκε τὴν ἐντολήν· πλὴν ἀλλ' ἐπανῆκε τροπαιοφόρος καὶ ὑπέροφρυν γενναίως καταπαλαίσας ἀντίπαλον.

μγ'. Ἀλλ' ἐκδέχεται ἡμᾶς ἕτερον, οὐκ ἂν εἴποιμι ἀποπτώματος τρόπαιον, ἀλλ' ἐκ μικροῦ τινος τοῦ συμβάματος μέγα λίαν ἀρίστευμα. Μοναχώ τινε τῷ μακαρίῳ μὲν ἀγχιθύρῳ ἐτυγχανέτην ὄντε, ἀδελφὼ δὲ ἥστην ἀλλήλοιν, καὶ ἐφρονείτην ἀδελφικά· οὐχ ἧττον γὰρ ἐκ προαιρέσεως συνηπτέσθην τῷ πνεύματι ἢ τοῖς σώμασιν ἀπὸ φύσεως. Τούτων ἕτερος ἐξ ἀνθρώπων γενόμενος, μικροῦ νεκρὸν κατέλιπε θάτερον· τῇ γὰρ συμφορᾷ κατάκρας ἐκεῖνος ἐαλωκὼς παρακλήτορας οὐ προσίετο, παραινέτας οὐ παρεδέχετο, καθάπαξ δὲ πρὸς πάντα λόγον τὴν ἀκοὴν ἀπεκέκλειστο. Ἀλλὰ πρόσεισι τούτῳ μετὰ συχνοὺς ἄλλους καὶ ἡ συμπαθεστάτη ψυχὴ, ὁ γλυκὺς Ἰωάννης, ὁ καὶ τὴν ὄψιν ἡδὺς, καὶ τὸν λόγον πραΰς, καὶ ἐπιεικῶς αἰδέσιμος κατ' ἀμφότερα, καὶ δὴ ἐπειρᾶτο τῆς ἀκηδίας ἀναλαμβάνειν, τί μὲν μὴ ἀνευρίσκων παρ' ἑαυτοῦ ἱκανὸν παρακαλέσαι ψυχήν; τί δὲ μὴ παρὰ τῶν Γραφῶν ἐπισυνείρων πρὸς τὸ κατασχεῖν τὸ πάθος παραμυθήσασθαι; Πάντα κάλων, ὅ φασιν, ἐπὶ τὸ ἀνύσαι κεκίνηκεν· ἀλλ' ἦν ὥσπερ ἀνδριάντι προσομιλῶν ἢ περιξέων ἀδάμαντα. Ἀνανήφει μόγις ὁ μοναχὸς (κοιλαίνει γὰρ ἐνδελεχὴς καὶ πέτραν ῥανὶς), καὶ ἐν ἑαυτῷ γίνεται, καὶ εἰς συναίσθησιν ἔρχεται· καὶ γοῦν, Εἴ με βούλει παρακληθῆναι, φησὶ, καὶ εὐθυμότερον ἐθέλεις θεάσασθαι, ἄγε σύνθες τι, καὶ μελῴδησον, ᾧπερ ἂν ἐμαυτὸν κατεπάδων τὰ ἐκ τῆς συμφορᾶς πάθη κοιμίζοιμι, ἄττα μοι τὴν ψυχὴν ἐκβαίνει, καὶ δεινῶς ταράττει τὸν λογισμὸν, καὶ τὴν καρδίαν ὥσπερ καταβαρδάπτει μου.

μδ'. Καὶ ὅς, Καὶ πῶς ἂν τὴν πατρικὴν ἐντολὴν περιίδοιμι, ἁπαξαπλῶς ἐπισκήψασαν ἀποστρέφεσθαι ἅπαν γε τοιοῦτον καὶ μελέτημα καὶ ἐνέργημα; Ὁ δὲ, Μικρὸν ἴσθι τὸ τῆς παρακοῆς ταύτης ἁμπλάκημα πρὸς τὸ ἐκ τῆς ὑπακοῆς τῆσδε κατόρθωμα· ψυχὴν οὐκ ὀδυνωμένην παρακαλέσεις, ἢ μᾶλλον ἐκλείπουσαν ἐφέξεις, καὶ μικροῦ δεῖν ἀποιχομένην

συντηρήσεις, ἢ καὶ ἐπανασώσεις τῷ σώματι. Ὁ δὲ Ἰωάννης καὶ αὖθις ἀνένευε, καὶ αὖθις αὐτὴν ἐντολὴν προεβάλλετο· ὁ δὲ πολὺς καὶ πάλιν ἐνέκειτο, καὶ φορτικώτερος ὑπετίθετο, λιπαρῶν, ἀναγκάζων, μειλίσσων, ἐκβιαζόμενος, τί μὲν οὐ λέγων, τί δὲ μὴ πράττων τῶν ὅσα δυσωπεῖν οἶδεν ἄνθρωπον; ἀκριβεστάτην ἐν ἑαυτῷ τὴν τῶν Λιτῶν (18) εἰκόνα διετύπου· καὶ ὁποίας ὁ προσωποποιήσας ταύτας ἐνέγραψε, τοιαύτας ἐκεῖνος ἀντικρυς ἐξεικόνιζεν· εἰ πέ τις ἂν, εἰ παρέτυχεν, ὡς ἄριστος ὄντως τῶν τῆς ῥαψῳδίας οὗτος ὑποκριτής. Ὁ δ' ἀκαμπὴς καὶ οὕτως ἦν, καὶ ἀνένδοτος διέμενεν εἰς τὸ παντελὲς, τῆς ἐντολῆς ἀεὶ μεμνημένος καὶ προτείνων διαπαντὸς εἰς παραίτησιν, καὶ μὴ ἄν γε τῷ τρόπῳ ἀπισχυριζόμενος ἀθετῆσαι, ὡς ἐνθένδε τὴν σωτηρίαν ἀπεκδεχόμενος. Καὶ ὃς, ἔκφρων μὲν ἄλλως τῷ πάθει γενόμενος, ἐπὶ δὲ τῷ ζητουμένῳ καὶ λίαν ἐμφρόνως διασκεπτόμενος, νουνεχῶς ἁπάντων καὶ δεμιλῶν συνετώτατα, Ὑφέξεις, φαίη, τῆς ἐμῆς ἀκηδίας ἐν καιρῷ κρίσεως τὸ κατάκριμα· οἶσθα δὲ ὁπόσα τοὺς ἀκηδιῶντας οἱ Πατέρες καταδικάζουσιν· οὐδὲν γὰρ τῶν ὅσα πλάζεται παρ' ἀνθρώποις ἱκανὸν τυγχάνει μοι πρὸς παράκλησιν, οὐκ ἔντευξις, οὐχ ὑποθήκη, οὐ προστάττων πατὴρ, οὐ παραμυθούμενος ἐπιτήδειος, οὐ φίλος ὁρώμενος, οὐ συγγενὴς ἐφιστάμενος, συνελὼν εἰπω τῶν ἁπάντων οὐδέν· πάντα γὰρ ἐξίσης ἀπέστραμμαι, πάλαι μὲν ἀποταξάμενος, νυνὶ δ' ἀληθῶς βδελυξάμενος. Ἄγε γοῦν, Πάτερ σεβάσμιε, διὰ λόγου μοι προσενέγκαι φάρμακον τῇ δεμιωτάτῃ σου γραφίδι· ἔμπλαστρόν τινα θεραπευτικὴν ἐπισκεύασον, ἥτις ἀνακαλέσεται πρὸς ὑγίειαν, καί μοι τὴν ψυχὴν παρακαθέξει τῷ σώματι, λειποθυμοῦντι, καὶ μικροῦ δεῖν ἐν ῥισὶν αὐτὴν φέροντι, καὶ ὥσπερ ἐξαποπνέοντι. Ἴσθι γὰρ, ἴσθι ὡς ἐν ἀπορρήτῳ τὰ τοῦ πράγματος κείσεται, καὶ οὐδοπωσοῦν ποτε φωραθεὶς τῷ γέροντι· διὰ γὰρ φροντίδος ἂν ἔχοιμι, καὶ προορώμενος ἀεὶ, περικαλύπτοιμι τὸ συντεθὲν καὶ συστέλλοιμι.

μ'. Πείθει τούτοις τὸν συμπαθῆ, μειλίσσει τὸν οἰκοθεν εὐειπτον, ἐφέλκεται πρὸς ὃ καὶ βεβούληται τοῖς πᾶσι τό γε εἰς αὐτὸν ἦκον εὐέντευκτόν τε καὶ εὐμετάφορον. Συντίθησι τοίνυν τροπάριον (19), οὕτω γὰρ ταχθὲν ἐκείνῳ τὰ τοιάδε καλεῖν, οὐκ ἄλλως δέον εἰπεῖν· τροπάριον, οὐ πολύστιχον μὲν, πολυδύναμον δὲ· ὃ δὴ καὶ ἐμμελέστατα μελῳδεῖ, τὴν πρώτην ὄντως ἁρμονίαν ἁρμοσάμενος· (βούλει πυθέσθαι) καὶ ὅ, Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον. Οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα

conservabis vel etiam corpori suo restitues. Abnuebat nihilominus Joannes et iterum prætendebat datum sibi præceptum; nec instabat minus alter, graviterque incumbebat supplicando, cogendo, blandiendo, nihil non faciendo, quo persuaderi homini posse credebat genuinam ipsarummet Litaniarum seu precum imaginem in se exprimens qualescunque repræsentavit jis qui primus deas fecit, tales assimilavit, ut dici po set tanquam ipsemet optimus poenitatis imitator. Verum ad hæc etiam obfirmatus Joannes persistebat immotus, semper memor præcepti, ipsumque in excusationem prætendens, quod nulla ratione posset infringere, quia per illud salvandum se sperabat. Sed alter, et jam ante mentis impos præ dolore, et tunc in unum quod quærebat toto incumbens ingenio, prudenter omnino ac sapienter, Reddenda tibi erit, inquit, in die judicii ratio hujus mei mœroris : scis autem quomodo condemnentur a Patribus, qui mœrentes afficiunt injuria. Quidquid hactenus adhiberi ab hominibus potuit, nihil ad solatium meum valuit, non deprecatio, non pollicitatio, non præcipiens pater, non familiaris consolans, non amicus invisens, non cognatus præsens, ut uno dicam verbo, nihil omnino : omnia enim æqualiter aversor, quæ et jam pridem dimisi et nunc plane abominor. Eia ergo, Pater reverende, stylo tuo elegantissimo applica mihi sermonis pharmacum, velut emplastrum quoddam salutare, quo sanitatem recipiam et anima retineatur in corpore jam deficiente, ipsamque, ut ita dixerim, in naribus habente, tantumque non exspirante. Scias autem, et certo scias, fore ut res tota occulta maneat, neque unquam ad notitiam senis deferatur : hoc enim mihi curæ imprimis erit, semper provisuro, ut quod compositum fuerit occultum et arcanum habeam.

45. His vincit hominem misericordem, demulcet sua natura flexibilem, et ad quod vult, trahit per se ducibilem. Componit ergo Joannes troparium, sic enim istiusmodi solent nec aliter debent appellari : troparium paucorum versuum, sed multæ energiæ plenum, quod etiam suavissime canit, secundum harmoniæ vere primæ tenorem : estque (si lubet audire) hujusmodi : Humana omnia vanitas, quæ post mortem non exsistunt. Non permanent opes, non comitatur gloria, subsequens enim mors omnia ista fecit evanescere. Quapropter immortali

(18) Litas, id est, preces primus in dearum numerum rejulit Homerus, cujus etiam poemata distinguuntur in *Rhapsodias*, quas Latine *libros* dicimus.

(19) De *troparii*s, quæ Latine *versiculos* vocare possis, ita scribit Zonaras ad Canonem anastasimum Damasceni, Τροπάρια λέγονται, ὡς πρὸς τοὺς εἱρμοὺς τρεπόμενα, καὶ τὴν ἀναφορὰν τοῦ μέλους πρὸς ἐκείνους ποιούμενα, ἢ καὶ ὡς τρέποντα τὴν φωνὴν τῶν ᾀδόντων πρὸς τὸ μέλος καὶ τὸν ῥυθμὸν τῶν εἱρμῶν· εἰ μὴ γὰρ πρὸς ἐκείνους ὁ τῶν αὐτὰ ψαλλόντων φθόγγος εὐθύνοιτο, οὐκ εὔρυθμον ἔσται τὸ μέλος οὐδὲ ἐναρμόνιον, οὐδὲ μέλος λέγοιτο, ἀλλ' ἀπηχὲς καὶ ἀνάρμοστον καὶ ἄῤῥυθμον φώνημα· « Troparia dicuntur quia se convertunt ad tracum, et cantus mutationem ad illud faciunt, seu vertunt quodammodo ad tonum modulationemque tractuum : nisi enim cum illis concordet tonus, ipsa troparia canentium non dicentur esse melos, sed confusus, incompositus et inconcinnus clamor ».

jam Christo clamemus : Requiem dona translatis hinc illuc, ubi omnium salus est. O quantæ sapientiæ plenæ sunt hæ paucæ syllabæ! paucæ, inquam, syllabæ respectu amplissimi quem continent sensus : qualem philosophiæ latitudinem, hoc definitu ac memoratu facile dictum! Universim ostendit, planeque demonstrat, et absolute concludit, nihili faciendam vitam, nihili præsentia hæc æstimanda esse. Similia dixisset etiam is, qui omnium sapientissimus declaratus est Salomon, et dixisset ei, quam cœlitus adeptus est, sapientiæ consona : dicta autem, ut admiranda, fuissent usum proverbii sortita, non tamen prorsus consona verbis ejus vitæque dixisset, motus reverentia doni exinde, sicut ipse testatur, procedentis, ut taceam passionum omnium humanarum, potius dixerim irrationabilium compressionem. Beatus hic certe et vere perfectus homo fuit, qui sibi omnino conscius erat, collateralem Deo sapientiam non quidem petiisse palam, sed vere accepisse, etsi non propalaret quomodo eam receperit, utpote jactantiam oris usquequaque declinans; quam id tamen verum esset sermone simul et opere declarans. Prorsus enim aversus a mundo et omni affectu irrationali superior, atque, ut verbo absolvam, æque faciendo ac speculando philosophari edoctus, omnia simul contemnebat et nihili faciebat omnia : quippe qui temporalia et terrena cuncta potius non esse quam esse credebat; atque illius præcipui boni duntaxat cupiditate flagrabat, quod supra nos est atque ineffabile, et per quod universa quæ sunt suam habent vel accipiunt essentiam.

46. Sed, o repentinum casum! aut potius, euge præclaram beati nostri exinde probationem! qua manifestius debebat monstrari, quam subditus et quam promptus esset ad Patris sui spiritualis mandatum, quantamque obedientiam ei deferret. Canenti præter exspectationem supervenit senex, verba audit, rem intelligit, indignatur ut contemptus. Ingreditur ergo ira tumens et plenus furore ac veluti meram bilem spirans : neque intueri eum voluit, sed plane aversans serioque repellens, vix demum verbo, eoque acerbitate pleno, dignatur mœrentem : Ita, o miser, præcepti oblitus es? Hæccine promisisti? Hæccine elegisti, quando renuntians mundo, cogente nemine accessisti ad nos? Non meministi, quot quantisque rejicientibus te, eo forsitan quod morum tuorum pravitatem intractabilitatemque introspicerent, solus ego te (quod utinam non fecissem!) susceperim in discipulum, mea te instructione dignatus? non sane in spes ejusmodi ac talem finem : non profecto, per ipsam vitæ monasticæ regulam : non, per ordinem illum pulcherrimum, quem a principio observarunt, qui vere solitudinem elegerunt : non, per speciosissimam clarissimamque nigredinem habitus, venerabili Pachomio de cœlis monstrati : sed ut te prout oportet corrigerem, et omnem qua inflaris

πάντα ἐξηφάνισε. Διὸ Χριστῷ τῷ ἀθανάτῳ βοήσωμεν· Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν ἡ σωτηρία. Ὢ πόσης τοῦτο γέμει φιλοσοφίας τὸ βραχυσύλλαβον! βραχυσύλλαβον γὰρ, πρὸς ἣν παριστάνει πλατυκῶς ἔννοιαν· ὦ πόσην σοφίας αὐχεῖ μεγαλόνοιαν τὸ εὐόριστον τοῦτο καὶ εὐμνημόνευτον! Γενικῶς ἀποφαίνεται, ὁλικῶς ὑποδείκνυσι, σεμνῶς ἀναγκάζει μηδὲν ἡγεῖσθαι τὸν βίον, μηδὲν τὰ παρόντα λογίζεσθαι. Εἶπέ που τῶν αὐτοῦ λόγων καὶ Σολομὼν παραπλήσια, ὁ πάντων μετὰ πάντων μεμαρτυρημένος σοφώτατος· καὶ εἶπε μὲν ἄξια τῆς ἄνωθεν ἐσχήκει σοφίας, καὶ ἐγνωμοδότησεν ὡς θαυμάσια· ἀλλ' οὔμενουν διαπαντὸς συνῳδὰ τοῖς λόγοις καὶ τὰ τῆς διαγωγῆς ἐπεδείξατο· αἰδοῖ γὰρ τῆς ἐκεῖθεν ὡς αὐτὸς ἐκεῖνος μεμαρτύρηκε δωρεᾶς, παρίημι λέγειν παθῶν ἀνθρωπίνων ἢ μᾶλλον ἀλογωτέρων κατάσχεσιν. Ὁ δέ γε μακάριος οὗτος καὶ τέλειος ἀληθῶς ἄνθρωπος, ὅτι καὶ διὰ πάντων ὁμολογῶν διετέλεσεν ἑαυτῷ, ὁ τὴν πάρεδρον Θεῷ σοφίαν οὐκ αἰτήσας μὲν φανερῶς, εἰληφὼς δ' ἀληθῶς, εἰ καὶ μὴ ἐξεῖπεν, ὡς εἴληφε, πάντη πως ἐκκλίνων προλεσθαι μεγαλορρημοσύνην τοῦ στόματος, καὶ λόγοις ὅπως ἀληθείας ἔχει καὶ στάσεως ἐγνωμάτευσε, καὶ ἔργοις αὐτοῖς διεχλεύασε, καθάπαξ τοῦτον ἀποστραφεὶς, καὶ παντὸς ἀλογωτέρου πάθους ἀνώτερος φυλαχθείς· ἁπλῶς τε εἰπεῖν κατάλληλα τῇ θεωρίᾳ τὰ περὶ τὴν πρᾶξιν ἐφιλοσόφησεν, ἅπανθ' ὁμοῦ περιφρονήσας καὶ τοῦ μηδενὸς ἀξιώσας, ὡς οὐκ ὂν μᾶλλον ἢ ὂν λογισάμενος ἅπαν ὁμοῦ χθόνιόν τε καὶ χρόνιον, οὐδὲ μόνου καὶ κυρίως ὄντος τοῦ ὑπὲρ ἡμᾶς ἐκείνου καὶ ἀπορρήτου, παρ' οὗ πᾶν ἐσχήκει ἢ λαμβάνει τὴν ὄντωσιν, διάπυρον τὴν ἔφεσιν ἐσχηκώς.

μς'. Ἀλλ' ὦ περιπτώματος αἰφνιδίου! ἢ μᾶλλον εὖγε τῆς ἐνθένδε λαμπρᾶς δοκιμασίας τοῦ μάκαρος! δι' ἧς ἔτι μᾶλλον ἐμφανίσαι τὸ εὐπειθὲς ἡμελλε καὶ εὐήκοον ὁπόσον εἰς τὸν πνευματικὸν ηὔχει Πατέρα, καὶ οἷαν ἐκέκτητο τὴν ὑποταγήν. Ἐφίσταταί οἱ παρὰ προσδοκίαν μελῳδοῦντι ὁ γέρων, ἀκούει τῶν λόγων, συνίησι τοῦ ἔργου, ἐκβαίνεται περιφρονηθείς. Εἴσεισι γοῦν γέμων θυμοῦ καὶ πλήρης ὀρτῆς, χόλον ὥσπερ ἀποπνέων, καὶ μηδ' ἐνιδεῖν ὅλως ἐθέλων, ἀλλὰ τελέως ἀποστρεφόμενος, κἀκ ψυχῆς τοῦτον ἀποποιούμενος· ὀψὲ δέ ποτε καὶ μόγις λόγου καὶ λόγου μεστοῦ πικρίας ἠξίωσεν· Οὕτως, ἄθλιε, τῆς ἐντολῆς ἐπελάθου; Ταῦθ' ὑπέσχου; Ταῦτα προείλου ὅτε τοῦ κόσμου ἀποκεχώρηκας, καὶ παρ' ἡμᾶς ἀναγκάσαντος μηδενὸς γέγονας; Οὐκ οἶσθα ἐφ' ὅτῳ σε προσείληφα, δεῖλαιε; Οὐ μέμνησαι πόσων σε καὶ εἰῶν οὐ προσδεχομένων, τὸ τοῦ τρόπου τάχα κατοπτευσάντων σκαιὸν καὶ δυσάγωγον, μόνος ἐγὼ προσηκάμην, ὡς εἶθε μὴ ὤφελον, καὶ μαθητείας ἠξίωσα, οὐκ ἐπὶ τοιαύταις ταῖς ἐλπίσιν, οὐκ ἐπὶ τοιούτῳ, οὐ μὰ τοὺς τῶν μοναχῶν ἱερωτάτους θεσμοὺς, οὐ μὰ τὴν συντηρηθεῖσαν ἀρχῆθεν εὐταξίαν, τοῖς πρὸς ἀλήθειαν τὸν μονάδα βίον ἀνελομένοις, καὶ τὴν κατὰ Θεὸν πολιτείαν ἀσπασομένοις, οὐ μὰ τὴν ὁραθεῖσαν ἄνωθεν Παχωμίῳ τῷ θεσπεσίῳ (20)

(20) S. Pachomii prolixa et antiquissima Acta damus 14 Maii, ubi num. 15 refertur regula,

φαιδροτάτην ταύτην καὶ λαμπροτάτην μελανειμόνησιν· ἀλλ' ἴν' ὡς δέον σε καταρτίσαιμι, καί σε φυσιοῦσαν καθυποτάξας ἅπασαν οἴησιν, ἀπροσκόπτως τὴν πρὸς σωτηρίαν διαβαίνειν καθοδηγήσαιμι. Νῦν δ' ἀλλ' ἔλαθον ἐμαυτὸν ἀποσμήχων Αἰθίοπα, ἢ καρκίνον βαδίζειν ὀρθὰ μεταμανθάνειν ἐκδιαζόμενος, ἢ ξύλον σκαμβὸν ἀπευθῦναι πειρώμενος, ἢ εἴ τί γε ἄλλο τῶν αὐτόθεν δυσμεταβλήτων, καὶ ἀπὸ φύσεως μεταποιῆσαι κατεπειγόμενος. Ἔνθεν ἂν καὶ εἰς παραβολὴν γενοίμην, καὶ ἡ παροιμία καθηκόντως ἐπιῤῥηθείη μοι, ἣν κατὰ τῶν ἀφρόνως τι καὶ μάτην μεταχειριζομένων ἐπιφέρειν οἴδασιν οἱ πολλοί· καὶ γὰρ ἀνηνύτοις ἐπιχεχείρηκα, καὶ ἐπὶ ματαίοις ἐσπούδακα, καὶ ἀληθῶς κεφ' ὑδάτων γράφειν τεθέληκα. Ἀλλ' ἔξελθε τὸ τάχος, ἀπ' ἐμοῦ γενοῦ, καὶ τῆς σῆς ὀπίσω πονηρᾶς διανοίας πορεύθητι.

μζ'. Ὁ δ' ἀπαράκλητα ἰθρήνει πεσών, καὶ τὴν αἰτίαν τε ἐξηγόρευε, καὶ πλείστα ὑπὲρ συγγνώμης ἐδέετο. Ὁ δ' αὖ γέρων σοβαρὸς ἵστατο, σκληρούς κατατείνων τοὺς λόγους, μᾶλλον δὲ μακρούς ἐπισυνείρων τοὺς χλευασμούς· τέλος τῆς χειρὸς τόνδε λαβόμενος, Οὐδὲν τὸ ἀπὸ τοῦδε σοί τε κἀμοὶ κοινὸν, ἔφησεν, ἄνθρωπε· ὅπη γοῦν σοι καὶ βουλητὸν, ἄπιθι. Ἔξεισι ἐπὶ τούτοις. Ἀλλὰ τίς ἂν ἐντεῦθεν ἐκφράσειε τὰ δάκρυα, τὸν κοπετὸν, τὴν κατήφειαν, τὸ τῆς ψυχῆς πάθος, τὴν τοῦ σώματος τῆξιν, τὸ ἀφόρητον πένθος, τὸ ἀπαράκλητον ἄλγος; Οὐχ οὕτω πάλαι πέπονθεν ὁ Ἀδὰμ τῆς Ἐδὲμ ἐξωσθείς, ὥς γε οὗτος ὁ μὴ ματαίᾳ κατ' ἐκεῖνον ἐλπίδι κλαπείς, ἀλλὰ συμπαθείᾳ τῇ πρὸς τὸν ἀδελφὸν ὑπαχθείς, καὶ τῆς τοῦ πατρὸς ἑστίας ὑπὲρ φιλαδελφίας ἀπελαθείς. Ἀλλὰ μόλις εἰς νοῦν ἔπεισιν (εὑρετικὸν γὰρ ἡ ἀνάγκη, καί πως δὴ τὸ βιαζόμενον πολυμήχανον) ὡς, εἰ τοὺς προὔχοντας τῶν μοναχῶν προσιὼν καταδυσωπήσειε, καὶ πρέσβεσι σφίσιν ἀποχρήσαιτο πρὸς τὸν γέροντα, ἱκέτας τε αἰδεσίμους προβάλοιτο, ἴλεων αὖθις ἂν ἑαυτῷ θείη, καὶ τῆς προτέρας μαθητείας καταξιωθείη, καὶ τῆς ἐντεῦθεν σωτηρίας οὐκ ἀστοχήσειε.

μη'. Τοῦτο δὴ καὶ ποιεῖ· καὶ ἀπίασιν οἱ σεμνοὶ καὶ θεσπέσιοι γέροντες, ὡς ἂν δὴ τὸν παιδευτὴν τῷ μαθητῇ καταλλάξειαν, καὶ τὸν υἱὸν ἐπαναγάγοιεν τῷ πατρί. Ἀλλ' εὑρήκεσαν καὶ ἀδάμαντος ἐκεῖνον σκληρότερον· οὐδὲν γὰρ ὅ τι καὶ παρεδέχετο, οὐδενί πως διεμαλίσσετο. Ὡς δὲ σφοδρῶς ἐνέκειντο, καὶ βαρυτάταις αὐτὸν ὑπὲρ τῆς ἀσυμπαθείας ταῖς ἐπιτιμίαις ἀπεδείκνυον ἐνεχόμενον καὶ μείζοσιν ἢπερ ἐκ τῆς παρηκοΐας [παρακοῆς] ἐκεῖνον (ἐξὸν γὰρ, ἔφασκον, [δευτέρᾳ] ἐντολῇ τὸ τοῦ μαθητοῦ διορθώσασθαι πταῖμα ἐσχάτης ἁμαρτίας, μήτε μὴν μετανοοῦντα προσίεσθαι, μήτε τὴν ὑπὲρ τοῦ ἐπικλήματος εὐθύνην παραγυμνοῦν), οὗτος ὑπολαβὼν, Ἀλλ' εἰ παριδεῖν ἐθέλει τὴν τῆς πρώτης παράβασιν ἐντολῆς, τῆς δευτέρας δεῦρο δὴ γενέσθω ταύτης ἐκπληρωτής. Ὅλην τὴν λαῦραν περιελθέτω, καὶ τὰ τῶν οἰκιδίων, ἃ δὴ καλοῦμεν σωτήρια (21), σαρωσάτω τὰ λύματα.

A tui æstimationem sumigens, per viam salutis sine offendiculo transeundam deducerem. Nunc autem deceptum me video lavando Æthiopem, et cancrum docendo recti gressus rationem, ac lignum tortum erigendo, aut si quid aliud difficile mutatur, contra naturam tentando. Quapropter in derisum factus sum, quadratque in me proverbium, quo plerique utuntur contra eos qui aliquid imprudenter ac stulte aggressi sunt : etenim cœpi facere, quæ perfici non poterant, et super aquas scribere volui. Nunc ergo exi statim, discede a me, vade post perversam cogitationem tuam.

47. Joannes vero prostratus humi flebat inconsolabiliter, causam exponens multumque pro venia exoranda supplicans. Econtra senex stabat rigidus, B increpantia verba in longum protrahens, seu potius prolixas invectivas colligens : denique manu eum apprehendens, Nihil, inquit, ex nunc tibi ac mihi commune sit, o homo ; quo voles abito. Egreditur ergo : verum quis valeat explicare ejus lacrymas, planctum, gemitum, afflictionem animi, emaciationem corporis, doloris intolerabilis et inconsolabilis tristitiæ acerbitatem? Non sic olim e paradiso ejectus Adam luxit, quemadmodum hic, non vana ut ille spe deceptus, sed affectu fraternæ commiserationis supplantatus, et charitatis causa domo paterna expulsus. Ut vero aliquantulum in se rediit (industria autem res est necessitas, et quisquis C vim patitur, multum contra molitur), Quid si, inquit apud se, primoribus monachorum supplex fiam, iisque ut legatis ad senem deprecatoribus utar, ut me priori disciplinæ dignetur, neque repellat a salute, quam inde exspecto?

48. Dictum, factum. Abeunt venerandi illi et sancti senes, ut discipulum magistro reconcilient, filium reducant ad patrem. Sed adamante reperiunt duriorem illum, nihil enim suscipiebat neque se patiebatur emolliri. Cum tamen instarent vehementius, ostenderentque quod graviores pro sua inclementia daturus esset pœnas, quam pro inobedientia alter, Licebat enim, inquiebant, iterato præcepto corrigere in discipulo quantumcunque gravis D delicti lapsum ; neque convenit non admittere pœnitentem, ac ne satisfactionem quidem quam pro culpa vellet explicare ; reposuit ille : Si primi præcepti transgressionem dissimulare me vult, age, secundum adimpleat. Circumeat lauram totam et latrinarum sordes expurget. Hoc audito illi averterunt vultus, discesserunt que pudore prægravati, cum ex una quidem parte considerarent viri vene-

eidem præscripta ab angelo, in qua fit mentio melotes albæ, lebitonis seu superpellicii linei, et cuculli : cujus licet non explicetur color, nigrum tamen hunc fuisse facile quivis credet

(21) Ad verbum, *ædicularum*, quas *sellas* appellamus, ita, ad hujusmodi necessitatem honestiori vocabulo explicandam, variæ apud nos gentes utuntur voce *sedis* ; Suidas autem, quæ hic neutraliter σωτήρια, feminine scribit σωτηρίας, vulque dici ut σέλλας, σελλάδας, ἕδρας.

rabilis honestatem, ex altera vero obscœnitatem sordium cogitarent.

49. Quid porro Joannes? Vidit revertentes illos (ex quo enim ingressi erant, lætum aliquid ab iis se auditurum præstolans, ferventi ad Deum deprecationi instabat) et accedeus interrogat, quid velit Pater, et quid pro defecto fieri jubeat. At illi primo non audebant rem eloqui, reverebantur enim virum ob generis in eo claritatem, nec minus ob virtutis excellentiam. Ut ergo vidit nihil se interrogando proficere, ad eorum sese prosternens pedes, magna voce, Edicite, inquit, Patres, quid velit Pater meus : ecce enim paratum me ad mandatum explendum et quidquid voluerit exsecutioni mandandum. Tunc rem, ut erat, exposuerunt, avertentes vultum et prout decebat erubescentes. Ast o cor contritum! o spiritum humiliatum! propter quæ non solum non despexit illum Deum aut salute qualicunque dignatus est, sed omnino magnifice et splendide eumdem excepit, admirandis omnino præmiis ipsum cumulans. Etenim vix audierat verbum, cum mox apprehensis manu scopis et cophinum humero suscipiens abivit, velut qui animo, Deum ubique præsentem vidente, et statim mandatum capessente, non secus quam de antiquo Israelis populo confitebatur David, hæc Psalmi verba opportune concineret, Avertit ab oneribus dorsum ejus[3], a gravioribus utique et magis pudendis sarcinis; et manus ejus in cophino servierunt. Ferens igitur necessaria ad sordium exportationem instrumenta, non scopis solum, sed etiam manibus easdem in cophinum collegit.

50. Audiit hæc senex, statimque emollitus, in occursum ejus velociter egreditur, colloque infusus deosculatur frequenter, alloquitur dulciter, et dicta retractans appellat filium obedientiæ, divinumque hominem nuncupat; seipsum vero beatum prædicat, partim quia præfectus fuerat tantæ virtutis viro, tam magno, tam perfecto, tam incomparabili; partim quod submotis aliis ejusmodi munus ipse esset sortitus. Denique amplexibus ejus hinc unque satiatus, ingreditur cellam, læva quidem manu dexteram ejus tenens, dextero vero brachio dorsum ejus circumdans; atque ex eo tempore illo utitur, non ut magister discipulo, neque ut filio pater, sed tanquam nobiliorum naturarum uni cum verecundia accedebat, vehementer ipsum honorans, et sicut conveniebat colens.

51. Quoniam vero non expediebat lucernam abscondi sub modio (neque enim parva hæc calamitas erat fideli populo, profundis in tenebris oberranti, et graviter valde prolabenti), nec æquum erat omnino obstrui fontem (dum plebs Christiana

[3] Psal. LXXX, 7.

A Τοῦθ' ὡς ἤκουσαν, ἀπεστράφησαν τὰς ὄψεις· καὶ οὐχ ἧττον μετ' αἰσχύνης ἢ βάρους ἀπῆεσαν, τό τε τοῦ ἀνδρὸς σεμνὸν καὶ περίδοξον ἀναλογιζόμενοι, καὶ τὸ τῶν ῥυπασμάτων ἄγος διενθυμούμενοι.

μθ'. Ἀλλὰ τί περ ὁ Ἰωάννης; Ὁρᾷ τούτους ὑποστρέψαντας (ἦν γὰρ, ἐξ ὅτε καὶ εἰσῆεσαν, πυθέσθαι τι χρηστὸν ἐκδεχόμενος, καὶ θερμῶς ὑπὲρ τοῦδε τὸν Θεὸν δυσωπῶν)· τοίνυν καὶ προσιὼν εὐθὺς ἐρωτᾷ, τί τε ὁ Πατὴρ ἐθέλει, καὶ ὅ τι γε ὑπὲρ τοῦ ἀμπλακήματος διαπράξασθαι βούλεται. Οἱ δὲ τὴν μὲν πρώτην ἐξειπεῖν οὐκ ἠνείχοντο· ἠσχύνοντο γὰρ τὸν ἄνδρα τῆς τε ἐκ τοῦ γένους περιφανείας καὶ τῆς ἐξ ἀρετῆς οὐχ ἧττον σεμνότητος. Ὡς δ' οὐκ ἀνίει ἀνερωτῶν, πρὸ τῶν ποδῶν τε πεσὼν, Ἐξείπατέ μοι, B Πατέρες. ἐβόα, ἐξείπατε τί περ ὁ ἐμὸς θέλει Πατήρ· ἕτοιμος γὰρ ἐκπληρῶσαι τούτῳ τὸ θελητὸν, καὶ εἰς πέρας ἀγαγεῖν τὸ πρὸς βούλησιν. Μόγις δὴ τότε τὰ τῆς ἐπιτιμίας ὡς εἶχεν ἐξαγορεύουσι, τὰς ὄψεις ἀποστραφέντες, καὶ τὰ εἰκότα ἐρυθριάσαντες. Ἀλλ' ὦ καρδίας ἐκείνης συντετριμμένης! ὦ τεταπεινωμένου πνεύματος! οἷς καὶ οὐχ ὅτι γε Θεὸς τοῦτον οὐκ ἐξουδένωσεν ἡ σωτηρίας ψιλῆς κατηξίωσεν, ἀλλὰ καὶ λαμπρὸς ἄγαν προσήκατο, καὶ μεγαλοπρεπῶς προσεδέξατο, καὶ θαυμαστοῖς οἷοις ἠμείψατο γέρασιν. Οὐκ ἔφθη γὰρ ἀκούσας, καὶ λαβὼν μετὰ χεῖρας τὸ πτύον καὶ ἐπωμισάμενος κόφινον, ὡσὰν δὴ καὶ ἐπὶ τῷ διαπαντὸς τούτῳ Θεὸν ὁρῶντι καὶ αὐτόχρημα καταστάντι νοῖ, οὐχ ἧττον αὖθις ἢ ἐπὶ τῷ πάλαι Ἰσραὴλ ἀνθομολογοῦτο Δαβὶδ καὶ εὐκαιρότατα ψαλμῳδοίη, ὡς Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ, C μοχθηροτέρων τε καὶ αἰσχροτέρων δηλαδὴ βασταγμάτων, καὶ ὡς αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν. Διαγκαλισάμενος οὖν τὰ πρὸς ἐκφόρησιν ὄργανα, τῷ πτύῳ δὲ μόνῳ, ἀλλὰ καὶ χερσὶν αὐταῖς διεχειρίζετο τὰ μολύσματα, καὶ πληρῶν τὸν κόφινον ἀνετίθετο.

ν'. Τοῦτ' ἀκουσθὲν ὁ γέρων μειλίσσεται, καὶ δρομαῖος ἐφίσταται, καὶ περιφὺς τῷ τραχήλῳ, περιεπτύσσετο συχνὰ, προσωμίλει ἡδέα· παλινῳδίαν τε ἄγων, τέκνον ὑπακοῆς ἀπεκάλει, καὶ θεῖον κατωνόμαζεν ἄνθρωπον· πλεῖστά τε ἑαυτὸν ἐμακάριζεν, οἷς ὅτι τοιούτῳ τὴν ἀρετὴν ἐπεστάτησεν, οὕτω μεγάλῳ, οὕτω τελείῳ, οὕτω τοῖς ὅλοις ἀπαραμίλλῳ, καὶ οἷς δὴ τοὺς λοιποὺς παραγκωνισάμενος, τὴν ἡγεμονίαν αὐτοῖς ἐκληρώσατο. Ἐπεὶ δ' αὐτάρκως ἔσχε τῶν ἀσπασμῶν, εἴσεισι τὴν οἰκίαν, τῇ λαιᾷ μὲν τῆς δεξιᾶς D ἐχόμενος, θατέρᾳ δὲ τῶν νώτων αὐτὸν διαγκαλιζόμενος, καὶ τὸ ἐξ ἐκείνου οὔθ' ὡς μαθητῇ παιδευτῆς, οὔθ' ὡς πατὴρ τέκνῳ χρώμενος ἦν, ὥ; τινι δὲ τῶν κρειττόνων φύσεων προσανεῖχε καὶ δι' αἰδοῦς ἦγε, καὶ τὰ μεγάλα ἐτίμα, καὶ ὡς εἰκὸς ἐσεβάζετο.

να'. Ἐπεὶ δ' οὐκ ἐχρῆν ἐπιπλέον τὸν λύχνον ὑποκεκρύφθαι τὸν μέδιμνον (οὐδὲ γὰρ οὐδὲ μετρία πως ἐντεῦθεν ἦν ἡ ζημία τῷ εὐσεβεῖ καὶ θείῳ σχοινίσματι, ὡς ἐν βαθεῖ τῷ σκότῳ πλανωμένῳ καὶ δεινὰ πάνυ προσπταίοντι) μήτε μὴν διαπαντὸς τὴν πηγὴν

ἀνεκόπτεσθαι δίκαιον ἐτύγχανεν ὄν, τοῦ λαοῦ δίψει θείων λειποψυχοῦντος ῥημάτων, καὶ τὰ ἔσχατα μικροῦ πνέοντός τε καὶ κινδυνεύοντος, πῶς καὶ τίνα τρόπον ὅ τε λύχνος παῤῥησιάζεται, καὶ τὸ ἄφθονον τῆς θείας ταύτης ἀναστομοῦται ῥεῦμα πηγῆς, τό τε Χριστώνυμον καταρδεύει λάχος, καὶ τὸ θεῖον ἀναζωπυρεῖ πλήρωμα, Θεῷ τῷ σοφῷ τῶν ἡμετέρων προνοητῇ, καὶ τὰ κατὰ τοῦτο διῳκονόμηται. Θεὸς γὰρ αὖθις παῤῥησιάζεται, πλὴν οὐχ ὡς τῷ Ἀβραὰμ ἐν τῇ σκηνῇ κατὰ πάροδον ἐπιφαίνεται, οὐδ' ὡς τῷ ἐγγόνῳ Ἰακὼβ διὰ πάλης τε καὶ νίκης διασημαίνεται, πάλης ἐκείνης, ἣ τὸ μέγα προδιετύπου τῆς κοινῆς ἡμῶν σωτηρίας μυστήριον· τὴν κένωσίν φημι καὶ τὴν πρόσληψιν, καὶ τὴν τοῦ προσληφθέντος ἐξ αὐτῆς προσλήψεως θέωσιν. Τοῦτο γὰρ οἶμαι τὸ τὸν Ἰσραὴλ ἐκνικηθῆναι προϋπέφαινε, τὸ τὴν ἡμετέραν ἐπ' ἐσχάτων φύσιν, τὴν τέως ἰσχυρὰν τὴν ἁμαρτίαν καὶ ἀκατάθετον, ξυμπλακῆναι Θεῷ, εἴτουν προσληφθῆναι καὶ τοσοῦτον ἐξ οὗπερ ἦν πεσεῖν, εἴτουν μεταπεσεῖν, ὡς οὐχ ὅτι γε ἁγιασθῆναι (ἀλλ' ὦ φρικτοῦ μυστηρίου! ὦ τεραστίου καὶ νοῦν καταπλήττοντος, καὶ λόγον συστέλλοντος!) καὶ θεωθῆναι, καὶ ὑπὸ πάσης προσκυνηθῆναι τῆς κτίσεως. Πλὴν οὐχ οὕτω γε Θεὸς καὶ αὖθις παῤῥησιάζεται (ταῦτα γὰρ ἄλλου τύπου, καὶ οἰκονομίας μείζονος προχαράγματα) νυνὶ δὲ διὰ τῆς αὐτοῦ πανάγνου μητρὸς, τῆς θείας καὶ ἀχειροτεύκτου σκηνῆς, ἐξ ἧς προελθὼν κατηγωνίσατο τὸν ἐχθρὸν, διαγγέλλει τὸ βουλητόν. Ἐπειδὴ γὰρ ἐξ αὐτῆς τε καὶ δι' αὐτῆς ἐνανθρωπήσας τῇ κοινῇ τῶν ἀνθρώπων προσωμίλησε φύσει, διὰ ταύτης καὶ νῦν αὖθις, ἣν ἀγγέλων καὶ ἀρχαγγέλων καὶ πασῶν δυνάμεων προτετίμηκε, καὶ ὁμιλεῖ καὶ διασαφεῖ τὰ πρὸς βούλησιν.

νβ'. Μιᾷ γοῦν τῶν νυκτῶν ἐπιφαίνεται τῷ πρεσβύτῃ ἡ πάναγνος αὐτὴ Θεοτόκος, καὶ, Τί, φησὶ, τοῦτο ποιεῖς; ἵνα τί τε πηγὴν ἀναῤῥάττεις θείων πολυχεύμονα λόγων, καὶ φωστῆρα περικαλύπτεις καὶ, συσκιάζεις τὸ φῶς, καὶ νύκτα μεσημβρίας ποιεῖς; Ἄφες τὸν Ἰωάννην κοσμῆσαι λόγοις τὴν Ἐκκλησίαν Θεοῦ. Ἄφες στηρίξαι ταύτην τοῖς ὀρθοῖς δόγμασιν. Ἄφες ἀναλῦσαι τὰ τῶν σοφιστῶν τῆς κακίας περίεργα καὶ γριφώδη προβλήματα. Ἄφες διελέγξαι τὰς ἀπάτας τούτων καὶ τὰ σοφίσματα. Περίπλεως οὖν τρόμου καὶ φρίκης ὁ μοναχὸς ἀφυπνίζεται, καὶ τὸν Ἰωάννην μετακαλεῖται, καὶ, Ὦ, φησὶν, ἄνθρωπε τοῦ Θεοῦ, ἄγε τὸ ἀπὸ τοῦδε τὴν θοθεῖσάν σοι χάριν πρὸς τοῦ κρείττονος παῤῥησίασον, ἐν ἰσχύϊ τὴν φωνὴν ὕψωσον, φθέγξαι ῥήματα θεῖα, καὶ σύνθες λόγους σοφίας πλήρεις τῆς ἄνωθεν· ὦπταί μοι γὰρ ἡ τοῦ ἡμετέρου σώτειρα γένους, ἡ πάναγνος Μαριὰμ, οἵᾳ τε πρὸ τοῦ διεκώλυον χαλεπαίνουσα, καὶ ἀνεῖναι τοῦ λοιποῦ σφοδρῶς κατεπείγουσα. Τοίνυν μοι καὶ τῆς εἰσέτι κατασχέσεως σύγγνωθι· σύγγνωθι τῆς ἀφελείας τῷ γέροντι. Καὶ ὁ μὴ μέγα φρονήσας, μηδέ τι παρηλλαγμένον ὅλως ἐπιθειξάμενος, ἀλλ' ἐπὶ ταυτοῦ μένων, καὶ τὴν σύντροφον διατηρῶν μετριότητα, τήν τε ἀντισυγχώρησιν ἅμα καὶ τὴν εὐχὴν ἀπῄτει πρὸς τὴν ἐγχείρησιν.

νγ'. Τίνα δὲ ἄρα τοὐντεῦθεν ἐξέθετο, καὶ ὁποῖά

A verborum divinorum siti fatiscit, et extreme palpitans ægre spiritum ducit) age videmus qua ratione producta lucerna sit, et fluente copiosi fontis hujus reserato irrigata hæreditas Christianorum, et divina plenitudo restaurata, Deo rebus nostris sapienter providente, et circa id satagente. Iterum enim libere egit Deus : non tamen sicuti Abrahamo tanquam in transitu apparuit intra tabernaculum neque sicuti nepoti ejus Jacobo per luctam et pugnam se manifestavit, illam, inquam, luctam, quæ communis nostræ salutis magnum præfigurabat mysterium, exinanitionem scilicet et susceptionem, atque ejus qui susceptus fuerat ex ipsa susceptione deificationem. In quo sane natura nostra, ut existimo, extremis hisce temporibus visa est Israelem superavisse, quod eatenus incommutabiliter ac firmiter peccato inhærens, congressa cum Deo sit atque ab eo assumpta, atque ex eo ipso per quod labi ac relabi debuerat, non solum sanctificata, (o tremendum mysterium! o prodigium obstupescere faciens animam rationemque transcendens!) sed etiam deificata et ab omnibus creaturis adorata. Non tamen, ut dixi, ad eumdem modum nunc libere egit (istæ enim figuræ erant alterius rei altioris que providentiæ), nunc autem per suam purissimam matrem, illud scilicet divinum et non manufactum tabernaculum, ex quo prodiens inimicum superaverat, voluntatem suam significavit. Quoniam enim ex ipsa et per ipsam factus homo cum hominibus dignatus est conversari ; per eamdem, quam supra angelos archangelosque et omnes virtutes honoravit, locutus est et manifestavit quæ volebat.

52. Ergo nocte quadam apparuit seni Deipara et, Cur, inquit, hoc facis ? Quare obstruis fontem, divinis sermonibus copiose scatentem, et luminare abscondis, ac lucem obumbrans, noctem effingis in meridie ? Permitte Joannem exornare verbis Ecclesiam Dei ; permitte ut rectis eam dogmatibus stabiliat, permitte ut dissolvat perplexas intricatasque pessimorum sophistarum objectiones, permitte ut eorum sophismata et fraudes redarguat. Ad hæc timore ac tremore impletus monachus expergiscitur. Joannem advocat, et, Eia, inquit, vir Dei, data tibi ad meliora gratia libere ex nunc utere, exalta in fortitudine vocem, loquere verba divina, et compone sermones delapsa ex alto sapientia plenos : apparuit enim mihi generis nostri salvatrix, intemerata virgo Maria, succensens mihi quia te impedivi, severeque injungens, ut tuo te arbitrio sinam agere. Ignosce igitur quod te cohibuerim, ignosce senili simplicitati. Econtra Joannes, non elatus animo, neque ullam omnino in se mutationem ostendens, sed in eodem statu permanens, atque familiarem sibi modestiam retinens, ipse potius ignosci sibi petiit, et pro se ut oraret ad rem aggrediendam supplicavit.

53. Qualia vero exinde composuerit et quæ scri-

pserit, longi temporis prolixique sermonis opus foret exponere : igitur neque omnia neque ordine suo dicam, sed pauca admodum, quæ mihi in mentem venient, indicabo : partim ut iis, qui ipsa jam antea noverunt, memoriam renovem ; partim ut nota faciam iis, qui eorum cognitionem necdum sunt assecuti. Exornavit ego primum concinnis suis melodiis præclaram Salvatoris resurrectionem, idque non simpliciter sed multifarie ac diversimode, inventione variarum cantionum, alternaque earumdem inter se mirabiliter connexarum vicissitudine. Sed et pro reliquis festis, quibus religiosa plebs congregatur, unum aliquod sibi proponens eorum mysteriorum, quæ Dominus ac redemptor noster homo factus complevit, plurima eaque pulcherrima composuit. Deinde etiam sanctorum memorias similiter honestavit, ita ut tantum non omnes ad similem zelum evehat, atque ad ipsam eorum imitationem disponat ; facit enim ad exemplum martyrum generosos, quicunque ad concinendos martyrum hymnos accesserint, et ad omne, quod terrenum vel carnale est, sic affectos, quemadmodum ii qui istis superiores sancte vixerunt, quandocunque laudatorias de iis componit odas qui vitam sic egerunt : eosque suis glorificans cantibus alios ex aliis, canentes dico et audientes, simul omnes ad meliora ac diviniora transfert. Illa porro, quæ aliter diffuse exposuit, quis valeat sigillatim numerare ?

54. Cæterum ut hæc aliaque dimittam, quomodo præteribo encomiasticos sermones, quibus venerandæ festivitates circumsonant, quique ad diviniorem vere melioremque choream invitant ? quomodo transiliam fontem scientiæ inde emanantis, ut non saltem in transitu exinde hauriam ? ut ad reliquæ festivitatis cursum robustior evadam, quando me deficere in stadio sensero ac desperare coronam. Cum enim illius memini, evagantem foras mentem continuo revoco ; cum ejus memini, vere magis rationalis videor, ipsa ratione prudentius uti valens ; cum ejus memini, repente invenior esse solidus præ aliis cunctis theologis et multo illis intelligentior. Oh quot mysteriorum notitiam brevi temporis spatio mihi sentio infundi ! ad quantam evehor magnanimitatem ! Calco humana, scindo aerem humidiorem hunc et circumfusum terræ, quin et alterum puriorem transcendo, et tantum non procurro ultra æthera atque ad tertium cœlum pertingo, et quæ non licet loqui, effari doceor, plenus enthusiasmo multumque meipso melior ; parum enim abest quin illius causa in cœlum ascendam totusque divinus fiam et plane spiritualis, atque intelligendi facultate æqualis angelo factus videor. Disco quæ ad immateriales substantias pertinent, et quomodo novenarius chorus ad trinarium reducatur, prout ordinatus est, cognosco et admiror : insonant mihi ineffabiles eorum doxologiæ, et pene compellor una cum iis diversimode canere atque laudare

γε συνεγράψατο, μακροῦ πάντως τοῦ χρόνου καὶ τοῦ λόγου δεόμενα · οὐχ ἅπαντα μὲν κατὰ ῥυθμὸν εἴποιμεν, ὀλίγα δὲ λίαν, καὶ ὅσα νῦν ἡμῖν εἰς μνήμην ἥκει δηλώσομεν, τοῦτο μὲν τοὺς φθάσαντας ἐπελθεῖν ἀναμιμνήσκοντες, τοῦτο δὲ καὶ τοῖς μήπω περιτυχοῦσι γνωρίζοντες. Κοσμεῖ μὲν οὖν τὰ πρῶτα τοῖς στιχηροῖς αὐτοῦ μελῳδήμασι τὴν τοῦ Σωτῆρος φαιδρὰν ἐξανάστασιν · καὶ οὐχ ἁπλῶς οὕτω κοσμεῖ, πολυειδῶς δὲ καὶ ποικίλως, μελῶν τε διαφόροις εὑρέσεσι καὶ θαυμαστῶς οἵως ἐναλλαττομέναις ἐγγύτησι· κἀν ταῖς λοιπαῖς δὲ τῶν πανηγύρεων, ἐφ' αἷς ὁ εὐσεβὴς λεὼς ἐνθεάζομεν, ἔν τι πάντως προτιθέντες τῶν ὅσαπερ ὁ Δεσπότης καὶ Ῥύστης ἐνανθρωπήσας διατετέλεκε, καὶ τὰ εἰκότα ἐπαγαλλόμενοι, κάλλιστά τε καὶ πλεῖστα ξυνέθετο. Πρὸς δὲ καὶ μνήμας ἁγίων τοῖς ὁμοίοις λαμπρῶς κατεκόσμησε · μόνον οὖν οὐκ ἐπαίρει πάντας πρὸς ζῆλον τὸν ὅμοιον, καὶ ὑπαλείφει πρὸς τὴν αὐτὴν μίμησιν · καὶ γάρ πως ἀνδρείους τίθησι κατὰ μάρτυρας, εἴ τῳ ἂν τύχοι τῶν μαρτύρων συνείρων τὸν ὑμνητήριον · καὶ πρὸς ἅπαν δὲ προσπαθεῖ σαρκικόν τε καὶ γήϊνον, κατὰ τοὺς ὁσίως καὶ ὑπὲρ τὰ τῇδε βιώσαντας, εἴ τινι πάλιν τῶν οὑτωσὶ ζησάντων τοὺς αἰνετηρίους εἴη συνθέμενος · καὶ καθωραΐσας τοῖς ᾄσμασιν, ἄλλους ἁπλῶς ἐξ ἄλλων τούς τ' ᾄδοντας, τούς τ' ἀκροωμένους, μεταποιεῖ, καὶ σύναμα πάντας πρὸς τὸ κρεῖττον καὶ θειότερον μεταστοιχειοῖ. Ἃ δ' εἰς πλάτος ἄλλως ἐξέθετο, τί, ἂν κατὰ μέρος ἀπαριθμήσαιτο ;

νδ'. Ἐάσω τἄλλα. (Ἀλλὰ πῶς) παρήσω τοὺς ἐγκωμιαστικοὺς τοὺς τὰς σεβασμίους ἑορτὰς περικροτοῦντας, οἳ δὴ πρὸς χορείαν μετακαλοῦνται θειοτέραν ὄντως καὶ κρείττονα ; τὴν δὲ πηγὴν πῶς ἆρα παραδραμοῦμαι τῆς γνώσεως ; ἢ πῶς οὐχὶ καὶ ἐκ παρόδου ταύτης ἀρύσομαι ; ἵνα πως πρὸς τὸν ἑφεξῆς δρόμον ἀκμαιότερος γένωμαι, λειποψυχῶν ἰδοὺ ἀπογινώσκω τὸν δίαυλον, καὶ ἀπαγορεύων τὸν στέφανον. Ἀλλὰ γὰρ ἐμνήσθην ἐκείνης, καὶ νοῦν παραυτὰ τὸν θύραθεν συναγήοχα · ἐμνήσθην ἐκείνης, καὶ τῷ ὄντι λογικώτερος ἀναδέδειγμαι, χρῆσθαι συνετώτερον τῷ λόγῳ δυνάμενος · ἐμνήσθην ἐκείνης, καὶ, τὸ μεῖζον πάντων, ἀσφαλὴς θεολόγος παρευθὺς εὕρημαι, καὶ νοερώτερος δή πως γεγένημαι. Ὢ πόσων ἐν ἀκαρεῖ μυστηρίων ἠξιώθην ! ὡ εἰς οἵαν κατήντηκα μεγαλόνοιαν · ὑπερπηδῶ τὰ ἀνθρώπινα, διασχίζω τὸν ἀέρα τουτονὶ τὸν ὑγρότερον καὶ περίγειον, ὑπερβαίνω τῶν καθαρωτέρων, ὑπὲρ τὸν αἰθέρα θέω μικροῦ, καὶ εἰς τρίτον οὐρανὸν φθάνω, καὶ ἃ οὐκ ἔξὸν λαλῆσαι γλώσσῃ μυοῦμαι, καὶ ἐνθουσιασμοῦ πληροῦμαι, καὶ μακρῷ κρειττων ἐμαυτοῦ γίνομαι · μόνον γὰρ οὐκ ἐν οὐρανῷ διὰ ταύτης ἀνέρχομαι, καὶ θεῖος ὅλος καθίσταμαι, καὶ νοῦς ἀντικρυς χρηματίζω, καὶ ἰσάγγελος τὴν κατάληψιν ἀναδείκνυμαι. Μανθάνω τὰ τῶν ἀΰλων ὡς παρῆκται δυνάμεων · τὸν ἐννεαδικὸν δ' ἀκόσμων, τὸν εἰς τριαδικὸν συναγόμενον, μόνον οὐχ ὡς διατέταχται, καὶ γινώσκω καὶ ὑπεράγαμαι · ἐνηχοῦμαι τὰς ἀπορρήτους ἐκείνων δοξολογίας, καί πως δὴ συνεπαίρομαι τὴν ἁπλῆν Τριάδα καὶ ὄντως μοναδικὴν διαφόρως ἀνυμνεῖν καὶ γεραίρειν πολυειδῶς. Ἐνοσοῦ-

μαι τὰς τρεῖς τῆς ὑπερφυοῦς οὐσίας καὶ ὑπερουσίου φύσεως ὑποστατικὰς ἰδιότητας, πρὸς δὲ, ὥσπερ δὴ ταύτην καὶ μίαν οὐσίαν τῶν τριῶν καταλαμβάνω προσώπων, οὕτω καὶ μίαν ἐξουσίαν ἐπιγινώσκω καὶ δύναμιν· ὅθεν καὶ ἕνα καὶ ἀληθῆ ταύτην Θεὸν, καὶ μόνον τῶν ὄντων τριττῶς ἀπερίγραπτον καὶ ἀληθῶς ἀκατάληπτον τὸ θαυμάσιον καὶ καταλαμβάνω καὶ σέβομαι. Οὐ γοῦν φθάνω διαιρῶν εἰς τρία, καὶ συνάπτω πρὸς ἕν, τὸ μὲν τοῖς χαρακτῆρσι, τὸ δὲ τῇ ἐξουσίᾳ, τῇ μοναρχίᾳ, τῇ ὁμοουσιότητι, ἔτι τε πρὸς τὸ πρῶτον αἴτιον τῶν ἐκ τοῦ πρώτου καὶ αἰτιατῶν συμφυΐᾳ καὶ ἀπαραλλάκτῳ ταυτότητι, οὕτως ἐπαίρομαι, οὕτω κουφίζομαι, οὕτω θαυμασίως ἀνάγομαι, καὶ ὅλως τῶν ἐνταῦθα μετεωρίζομαι· καὶ θειότερος ἀποκαθίσταμαι καὶ φαιδρότερος.

νε'. Μῦθος μὲν γάρ τις καὶ ποιητικὴ τερατεία, μᾶλλον δὲ γραώδης ἀνάπλασις, ὅτι καὶ ἐξίσης ἃ μὲν τὰ βρεφύλλια, οἱ δὲ τοὺς νηπιώδεις ψυχαγωγεῖν ἔχουσι τοῖς καινοτέροις ἀκούσμασι· μῦθος οὖν, τὸν ἥλιον ἐς Ὠκεανὸν κατάγειν, κἀκεῖθεν λελουμένον ἀνάγειν λαμπρότερον. Πλὴν ἔστι μῦθος, πάλαι μὲν ὀρυλλούμενος, νῦν δὲ διαπαιζόμενος· τῆς δέ γε ζωηρρύτου ταύτης πηγῆς, μᾶλλον δὲ τοῦ ἁπλέτου τοῦδε τῶν λόγων πελάγους, καὶ ἀδιεξιτήτου τῆς σοφίας βάθους, οὐκ ἔστιν ὃς ἂν εἰ καί τι μικρὸν ἀποστίλβοι, ἀστερίσκος εἴ γε τύχοι ὢν ἀφανὴς, καὶ οὐχ ὅτι κατὰ τὸν μέγαν τοῦτον ἥλιον ἀκτινοβολῶν, καὶ τὰ πέρατα διαυγάζων, ὡς ἀπ' ἄκρων φθάνων εἰς ἄκρα, καὶ πάνθ' ὁμοῦ τῆς αἴγλης πληρῶν· ὁποῖοί τινες οἱ πρὸ τούτου καὶ μετὰ τοῦτον ἐκλάμψαντες φωστῆρες παγκόσμιοι, τὴν οἰκουμένην λαμπρύναντες, Βασλειόν φημι καὶ Γρηγόριον τοὺς ἀκλονήτους τῆς εὐσεβείας προβόλους, τοὺς στερρροὺς τῆς Ἐκκλησίας θεμέθλους, τὰς ἀῤῥαγεστάτας βάσεις τῆς πίστεως (ταῦτα γὰρ οὗτοι πάντα δεόντως ἀκούοιεν, τάχα δὲ καὶ τὰ ὑπὲρ ταῦτα καθηκόντως ἄγαν κατονομάζοιντο)· πρὸς δὲ τούτοις καὶ μετὰ τούτων Ἰωάννην τὸν τὴν γλῶτταν χρυσοῦν, τὸν ὁμώνυμον τουτῳῖ καὶ ὁμότροπον, καὶ τοῖς πᾶσι πάντη κατάλληλον· οὐ δὲ γὰρ ἂν φαίην ἐφάμιλλον ἢ συνάμιλλον, ἀλλ' ὄντως ἀκριβὲς ἀπεικόνισμα, ὡς πρὸς εὐφυὲς ἐκεῖνον ἀρχέτυπον, καὶ διαγινώσκω τοῦτον καὶ ἀποφαίνομαι. Πλὴν ἀλλ' οὐκ ἀῤῥυσάμενον [ἐῤῥιζωμένον], καὶ τῶν τινα καθ' ἡμᾶς τῶν ἀμυδρῶς δῆτα πεφωτισμένων, καὶ ἀκτῖνος ὥσπερ ἀποπάλσει διηυγασμένων, ὅλον ἀνελθεῖν φωτεινότατον, καὶ ὅλον φαιδρότατον, καὶ ὅλον θεοειδέστατον;

νς'. Τί μοι λέγειν λοιπόν; ὡς παρεῖται Σταγειρίτης μετὰ τῆς γριφώδους τεχνολογίας καὶ τῆς πολυσχιδοῦς περὶ φύσεως καὶ φυσικῶν ἀρχῶν ἐκθέσεως; ὡς παρῶπται μετὰ τῆς ὑψηγορίας (ὀκνῶ γὰρ φάναι θεολογίας) καὶ τῶν οὐκ ἀσφαλῶν περὶ ψυχῆς γνωματευμάτων, ἢ τερατευμάτων μᾶλλον εἰπεῖν, ὁ πολὺς Ἀθηναίοις Πλάτων καὶ τοῖς Ἕλλησι διαβόητος; ὡς ὁ λοιπὸς τῶν φιλοσόφων ὅμιλος ἐκείνοις δοξῶν, μᾶλλον δ' ἐναντίων, κατέγνωσται; Ἀλλὰ ταῦτα μὲν ἐατέον, εἰ καὶ μεγάλα ἅττα τυγχάνει, καὶ ἀληθῶς

A simplicem ac vere unicam Trinitatem. Intelligo supremæ essentiæ ac supersubstantialis naturæ hypostaticas proprietates, imo ipsam unam trium personarum essentiam quodammodo comprehendo, sic unam potentiam potestatemque cognosco : quo fit ut ipsam intelligam adoremque unum ac verum Deum, solumque inter omnia quæ exsistunt tripliciter indefinibilem ac prorsus incomprehensum. Cum igitur in tres divido et in unum conjungo, tres in proprietatibus, unum potentia, auctoritate, consubstantialitate, et ea quæ est causatorum omnium cum prima causâ dependentia, indissolubilique ipsius identitate ; sic extollor, tam levis fio, tam mirabiliter sursum agor, ut ex iis quæ istic sunt totus suspendar, atque inde divinior splendidiorque mihi ipsi restituar.

B

B 3. Estne autem qui illud quoque cognoscere fortassis desiderat, quales Theodosia quantosque felici sorte nacta sit parentes? Ita profecto habeat, supremam illos Dei majestatem præcipuo quodam cultu et amore fuisse prosecutos, tum vero summa accuratione universa ejusdem Dei mandata semper implevisse. Quid opus pluribus? Quantis circumfluxerint divitiis, quantaque gloria, silentio præterco; breviter pronuntio, parentem utrumque habuit Theodosia, prole tam sancta tamque illustri dignissimam. Ipsa autem, cum tenera adhuc virguncula septimum ætatis suæ annum nondum esset prætergressa, cumque ad hoc ut sine reprehensione vitam hanc mortalem decurreret, et cacodæmonis insidiis facta superior, illud vivendi C institutum, quod Deo potissimum esset visum, arriperet, patris etiamnum consilio et providentia indigere videretur, eodem orbata fuit. Sed nec ita necessariis ad instituendam recte vitam præsidiis fuit destituta. Idem quippe ille qui omnia nostra, diu etiam ante quam lucem hanc ingrediamur, cognoscit; qui nobis deinde obventura, ab eo jam tum tempore quo materno adhuc utero coercemur, pro sapientia sua optime disponit; et quos vult præcipua quadam cura, sive e maribus sive e feminis, fovendos eligit; hic, inquam, paternam suam providentiam erga tenellam adhuc virginem desiderari non est passus. Simul enim parens Theodosiæ vitam hanc cum morte seu meliori potius vita commutavit, simul et mater caducis mundi rebus, mundoque ipsi nuntium remittens secretæ ac religiosæ domus septis seipsam filiamque inclusit, ubi ad vitam præclare ducendam pulcherrimis eam præceptis curavit imbui.

δ'. Τρεῖς τε γὰρ ὅλους ἐνιαυτοὺς αὐτῇ συνασκήσασα, καὶ πᾶν εἴ τι συμπραξαμένη καλὸν καὶ θεάρεστον, κατέλυσε τὸν βίον, κἀκ τῶν γηΐνων μετέστη πρὸς τὰ οὐράνια, πλοῦτον ὁρατὸν αὐτῇ καταλιποῦσα, ὅσος γε ὑπελείφθη καὶ μήπω δ' ἀδοθεὶς ἔφθη τοῖς πένησι, καὶ πρός γε τὸν κρείττω καὶ ἀληθέστατον, ὃς καὶ περιοῦσι σύνεστι, καὶ μεθισταμένοις συνάπεισιν, ὃς οὐχὶ κατὰ τὸν ὁμώνυμον αὐτῷ τυφλώττει, ἀλλὰ καὶ λίαν ὀξυδορκεῖ, καὶ τὸ δὴ μεῖζον πρὸς τὴν κατὰ Θεὸν πορείαν καθοδηγεῖ, καὶ πρὸς τὴν εἰς οὐρανοὺς ἄγουσαν, ἀπρόσκοπτα βαδίζειν ποιεῖ. Τί γοῦν ἡ μακαρία; πῶς τοῖ, διαφόροις αὐτοῖς κλήροις ἐχρήσατο; μῶν ὡς ἀτελὴς; μῶν ὡς ἀνῆλιξ; Πολλοῦ γε καὶ δεῖ. Τὸν μὲν γὰρ φθειρόμενον πλοῦτον παρ-

4. Tribus omnino annis una cum filia traductis in loco illo et exercitatione, nihil quod laude dignum aut Deo placitum cognosceret omittens, pia Theodosiæ mater vivendi finem fecit, et terreno relicto domicilio in cœlestem sese habitationem transtulit. Tantum vero earum quæ hic videntur filiæ suæ reliquit divitiarum, quantum a piis in egenos elargitionibus ipsi superfuit: illas videlicet meliores ac veriores rata esse opes, quæ et hic viventibus nunquam non adsunt, et hinc emigrantes possessores suos minime deserunt; quæ eos, qui ipsis potiuntur, non secundum id quod habent nominis, excæcare, sed ad acutissime videndum oculos aperire ipsis possunt et solent; quæ deni-

que ut plurimum suos ad Deum amatores recto tramite perducunt, et, cum ipsissimam in cœlos viam absque errore demonstrent, in eosdem quoque sine impedimento ullo ut perveniatur efficiunt. Quid igitur B. Theodosia? Qua, putatis, ratione divitiis, parentum morte sibi relictis usa est? an imperfecte? an sine fructu? Minime vero. Dona quippe corruptioni et amissioni obnoxia in pauperes distribuit omnia, tantum sibi imagines coemendas necessarium fore arbitrabatur, Domini ac Salvatoris nostri Jesu Christi, purissimæ Dei Parentis alteram, unam insuper sanctæ martyris Anastasiæ, tot Dei causa labores perpessæ, populus Christianus cognominare solet Veneficiorum-dissolutricem (1).

A αὐτὰ σκορπίζει τοῖς πένησι, τοσοῦτον παρ' ἑαυτῇ κατασχοῦσα, ὁπόσον εἰς θείους ἀποχρήσειν τύπους ἐνόμισε. Δι' οὗ καὶ τρεῖς εἰκόνας ἐκτήσατο, τὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν τῆς πανάγνου τοῦδε Μητρὸς καὶ πρός γε τὴν τῆς πολυάθλου μάρτυρος Ἀναστασίας, ἣν ἐκ τῆς δοθείσης ταύτῃ περὶ αὐτὰ χάριτος Φαρμακολυτρίαν ὁ Χριστώνυμος κατονομάζειν οἶδε λεώς.

duntaxat ex eis reservans, quantum ad sacras ex quibus tres sibi præcipue comparavit, primam

5. Atque hæc sunt quæ de iis quas dixi divitiis Theodosia sibi facienda, et mente concepit, et reipsa exsecuta est. Bonis vero iis quæ vere sunt, nec B falsa nomenclatura dicuntur bona, quomodo animum intenderit, quisquam ne interrogat? Sapienter profecto, nec aliter quam illis uti par est. Non enim differendum sibi amplius existimavit quin, secundum altissimæ perfectissimæque sapientiæ placita, iis sese omnibus quæ ad mundum spectant bonis exspoliaret, ut plura et meliora deinde consequeretur. Cum vero curam omnem et sollicitudinem non necessariam abjiciens, sic quasi ad perfectam jam pervenisset ætatem, et ad summum prudentiæ omnis vocata esset apicem, a continuo ad virtutem conatu ita non recessit, ut potius a pulcherrimis ejusdem initiis et ipsa sumens initium, ad summum tandem perfectionis culmen C pertigerit. Nihil interim in virtutum cursu nacta impedimenti, nec circa postrema vitæ suæ tempora iis quæ ante egerat maculam ullam inferri passa, quæ multis jam tum putabatur ad summa quæque curriculo pervenisse, magnum nihil de se sibi persuasit; quin potius secundum id quod a Domino inculcari probe noverat, famulam se ducebat inutilem; et veluti nihil omnino quod ad profectum suum faceret peregisset, miseram se et bonorum operum inopem reputabat; nec non, secundum divinam et salutarem Pauli admonitionem, quæ retro erant obliviscens, ad anteriora se extendebat; abstinentiaque corpus suum emacerans, et nunquam non vigiliis se exercens, atque assiduas Deo preces offerens, continenter proficiebat in melius.

ε'. Ἀλλ' οὕτω μὲν περὶ τούτου διενοήθη καὶ διεπράξατο. Περὶ δὲ τοῦ λοιποῦ πλούτου, τοῦ ὡς ἀληθῶς πλούτου, καὶ μὴ διαψευδομένου τὴν κλῆσιν, πῶς, ἆρα ζητεῖ τις, ἐσκέψατο; Λίαν συνετῶς, καὶ ὡς οὐκ ἄλλως; ἐχρῆν. Οὐδὲ γὰρ ἠνέσχετο μὴ παραυτὰ φιλοσοφῆσαι τελεώτερόν τε καὶ ὑψηλότερον, καὶ ἀποστέρξαι μὲν τὰ τῇδε, περὶ δὲ πλείστου τὰ ἐκεῖσε ποιήσασθαι. Ἀμέλει τοι καὶ ὡσεὶ τελείας οὖσα τῆς ἡλικίας, καὶ ὡς εἰς ἄκρον ἐληλακυῖα φρονήσεως, τῆς κατ' ἀρετὴν συντονίας οὐ καθυφῆκεν, ἀλλ' ἐκ τῶν ἀρχοειδεστάτων ἀρξαμένη, τῶν ἀκροτάτων μέχρι ἀφίκετο, οὐδὲν οὐδόλως παραποδισθεῖσα. Οὐδ' ὅ καὶ τελείου κατὰ καιροὺς ἔσφηλε περὶ τὰ μέσα· καὶ ἃ δὴ τοῖς πολλοῖς ὑπὲρ τὰ ἄκρα νενόμισται φθάσασα, μεῖζόν τι περὶ ἑαυτῆς ἐφαντάσθη· ἀλλὰ κατὰ τὴν δεσποτικὴν διὰ παντὸς προσταγὴν ἀχρεία ἑαυτὴν δούλην ἐνόμιζε, καὶ ὡς οὐδὲν οὐδαμῶς τῶν ὀφειλομένων ἐκπλήσασαν ἐταλάνιζε· κατά τε τὴν τοῦ μακαρίου Παύλου θείαν καὶ σωτήριον ὑποθήκην, ἐπιλανθανομένη τῶν ὀπισθεν, ἐπεκτείνεσθαι τοῖς ἔμπροσθεν ἔσπευδεν, ἐγκρατείᾳ τὸ σῶμα μαραίνουσα, ἀγρυπνίαις ἀδιαλείπτως ἐμμένουσα, διηνεκεῖ τὰς πρὸς Θεὸν ἱκετηρίας ποιουμένη, καὶ ὅλη καθάπαξ γινομένη τοῦ κρείττονος.

6. Ad Deum igitur et divina quod attinet, dicta jam ratione erat operosa atque assidua. Cum iis autem virginibus quæ in eodem monasterio sacris cum ipsa exercitationibus vacabant, Deus immortalis! quo modo se gerebat? quo modo conversabatur? quo modo reliquas omnes de sua spiritualium D donorum copia reddebat participes? Insuper illarum pluribus habebat se inferiorem; neque id solum, sed quasi rerum bonarum incuria, et ad omnia foret inutilis, ac divinorum mandatorum nullum non negligeret, cum ingenuo quodam pudore ultro accedebat universas, propterea quod in sanctæ cum Deo conversationis studio ab omnibus se

ς'. Ἀλλὰ τὰ μὲν πρὸς τὸ Θεῖον καὶ τὰ θεῖα οὕτως ἦν ἐνεργής, οὕτως ἦν σύντονος· πρὸς δὲ τὰς συνασκουμένας αὐτῇ μοναχὰς, ὅπως εἶχεν; ὅπως διέκειτο; Ἆρά γε ἐκ τοῦ ὑπερέχοντος ὠμίλει; ἆρά γε ὑπερετίθη σφῶν ἕν τισιν ἑαυτήν; Οὐμενοῦν οὐδαμῶς. Ὡς γάρ τις ἀμελὴς, ὡς τῶν ἐπηγγελμένων ἐκπληροῦσα μηδὲν, μετ' αἰδοῦς ἁπάσας προσῄει, ὅτε δήποτε τῶν πρὸς Θεὸν ἐντεύξεων ἦγε σχολὴν, καὶ πάσας ἑαυτῆς ὑπερφέρειν ἡγεῖτο, καὶ ἠὐδαιμόνιζε. Τὸ δὲ μεῖζον, οὕτω φρονοῦσα, οὕτω διαλογιζομένη περὶ τῶν ἀδελφῶν, οὐδὲ μιᾷ τούτων ἐφρόνησε, πρὸς οὐδεμίαν ἐζηλοτύπησεν· ἀλλ' ἠγάπα πάσας καὶ ἔστεργε· καὶ ὥσπερ τις ἀρτιπαγὴς, ὡς τῆς κατὰ

(1) S. Anastasia cognomento φαρμακολύτρια colitur hoc nomine a Græcis 22 Decembris, quæ an distinguenda sit a Romana istius appellationis Probi uxore, nobilissima martyre sub Diocletiano, videbimus, si non ante, certe ad 25 Decembris. Codinus *de Originibus* ait templum illi ædificatum eo in loco, ubi fuerat domus cujusdam patricii, cognomento Pharmaci: quæ an sit prima occasio cognominis, aut ipsam contra pharmaca, id est venefica, invocandi, alias quæri poterit.

Θεὸν πορείας ἀήθης, ἐζήτει παρ' ἑκάστης ποδηγεῖσθαι, καὶ πρὸς ἀρετὴν παρ' ἑκάστῃ ἰθύνεσθαι. Οὕτω τε πνεῦμα τεταπεινωμένον, καὶ καρδίαν συντετριμμένην ἐκέκτητο, ἃ μὴ ἐξουθενεῖν τὸν Θεὸν φθάνει μεμαρτυρηκὼς ὁ Δαυΐδ.

A superari arbitrabatur, miseram sese et infelicem appellans. Quodque longe est majus, cum tanta ei inesset prudentia, tamque præclara agendi ratio, inter ejusdem contubernii sodales, nulla elatioris animi edebat signa, nullam suarum sodalium invidia prosequebatur, sed amore cunctas et benevolentia complectebatur singulari. Non aliter quoque quam si in divino obsequio fuisset novitia, et methodi ad Deum appropinquandi ignara aut insueta, a singulis petebat instrui, et in rectam virtutis semitam, si forte aberrare contingeret reduci. Ita spiritum ipsa habebat humiliatum, et cor contritum, quæ duo despicere Deus nequaquam solet, quemadmodum sanctus testatur David.

ζ'. Ἀμέλει τοι τῷ θυμικῷ ἔχουσα ἐφ' οὐκ τῆς ψυχῆς ὅτῳπερ ἂν χρήσαιτο, ὅλον κατὰ τοῦ ἀρχεκάκου τὸν θυμὸν ἐξέχεε σατανᾶ, πόῤῥωθεν αὐτὸν ἀπερύκουσα, πορῤῥωθεν ἐκδιώκουσα, καὶ μὴ παραχωροῦσα τὸ παράπαν προσεγγίσαι, μηδ', ὅ φασιν, ἐξ ἀγχωμάλου συμπλέκεσθαι. Οὐ γὰρ ὅτι γε πρὸς βολαῖς ἀκροβολίζειν οὐκ ἐνεδίδου τὸν πολυμήχανον, οὐδ' εἰς πάλην ὅλως ἀνίει χωρεῖν καὶ ξυμπλέκεσθαι· ἀλλ' εὖ μάλα πόῤῥωθεν εἶργε, καὶ ὡσεί τις ἄριστος στρατηγὸς, ὡσεί τις δεξιὸς ἀνταγωνιστὴς, ἐκ τῶν ἀπωτάτων κατηγωνίζετο φθάνουσα. Μηδενὶ δ' ἀσχολουμένη τῶν ἐνταυθοῖ, μηδενὸς ἐπιστρεφομένη τῶν κόσμου τερπνῶν, ὅλον τὸ ἐπιθυμητικὸν ἀνέτεινε πρὸς Θεὸν, καὶ τῆς αὐτοῦ κατάκρας ἀγάπης ἐάλωκεν, ὅλῃ Θεοῦ καὶ τῶν θείων ἐμειρομένη ψυχῇ. Οὕτως ἐκ πρώτης, ὅ φασιν, ἡ μακαρία τριχὸς, πᾶσα μὲν καὶ ἐντολὴν ἐπλήρου Δεσποτικὴν, μέχρι κεραίας καὶ ἑνὸς ἰῶτα, τὰ τοῦ θείου νόμου φυλάττειν, ὡς αὐτὸς ὑπέθετο, σπεύδουσα. Ἀλλὰ τὸ μεῖζον, ἀλλὰ τὸ μέγιστον, ἐρῶν ἔρχομαι.

B 7. Omnem animi fastum et motum vehementiorem plane exuerat, cum nihil accideret quod virginem sanctam ad iracundiam posset provocare; illud solum retinuerat zeli et animositatis, quod in dæmonem effundere non sine gloria posset. Longe igitur illum a se abigere, longe fugientem persequi, neque omnino appropinquandi, aut ex æquo, quod aiunt, congrediendi secum occasionem permittere. Non enim adversus hostis vaferrimi impetus vel eminus suas experiri volebat vires, nec in palæstram omnino sustinebat descendere et cominus cum eo congredi, sed meliori longe consilio procul illum a se jubens facessere, egregii prorsus militis et antagonistæ partes omnes implebat, dum e longinquo et quasi fugiens inimicum suum caute impeteret. Nulli earum rerum quas hic miramur intenta, nullis mundi hujus voluptatibus irretita, omnia sua vota desideriaque C in unum Deum defigere fuit solita: illius unius capiebatur amore, toto animo diu noctuque Deo ac rebus divinis intendens. Ita primis, quod aiunt, unguiculis virgo ista beatissima præscriptas a Deo hominibus vivendi leges implebat omnes, id sollicite curans, ut ne punctum quidem unum unusve apex divinæ legis custoditus elaberetur, quemadmodum ipsemet Dominus id faciendum constituit. Sed nunc majus quiddam, imo maximum, aggredior dicere.

CAPUT II.

Leo Isauricus, imagines aboliturus, Gymnasium publicum cum magistris sibi adversantibus incendio perdit.

η'. Ἦν μὲν οὕτως ἡ μακαρία διάγουσα ἀρετῆς ἐπιμελομένη, ἑαυτὴν τῇ μονῇ περικλείουσα, καὶ μόνῳ Θεῷ διὰ παντὸς προσανέχουσα. Ἀλλ' ἴως τὰ καθ' ἡμᾶς εἶχε καλῶς, καὶ περὶ Θεοῦ καὶ τῶν θείων φρονοῦντες ἦμεν ῥᾴθ, τὸ εἰς κληρονομίαν ἰδιωθὲν αὐτῷ σχοίνισμα, ὁ νέος Ἰσραὴλ, ὁ περιούσιος λαὸς καὶ ἐξαίρετος. Ἐπεὶ δ' ὁ ἄνωθεν βασκαίνων ἡμῖν πολλαῖς πολλάκις καθ' ἡμῶν ἐχρήσατο μηχαναῖς (οὐδὲν δ' ὅ τι καὶ ἤνυσε), κἀντεῦθεν ἐξηπορήθη καὶ ἠμηχάνησε, πάντα μὲν, ὅ φασι, κάλων κινήσας, κατὰ τῆς Ἐκκλησίας Θεοῦ, μηδὲν δ' ἐκπλῆσαι δυνηθεὶς τῶν πρὸς βούλησιν, ἀλλὰ καὶ πλατὺν ὀφλήσας κατάγελων, ὅλως ἑαυτῷ γίνεται καὶ καινότερόν τι τεχνάζεται. Οὐ γάρ τι τῶν θείων παραποιῆσαι δογμάτων ἐπαίρει· διὰ γὰρ πάντων ἐπιχειρήσας, διὰ πάντων καὶ ἀποκέκρουσται. Τί οὖν ὁ σκαιωρεῖ; τί μηχανᾶται ὁ πολυμήχανος; Τὰς θείας εἰκόνας, τὰ ἱερὰ καὶ πάνσεπτα ἐκτυπώματα, ἐκ μέσου, ὡς ἱκανοῖς ταῦτ' ἐνεργῆσαι διέγνωκε, ποιήσασθαι ὑποτίθεται· καὶ ἡ ὑποθήκη, τὸ δοκοῦν, δεξιὰ, δεξιὰ δ' ὁποίαν ἐκκλίνειν ὡς δοκοῦσαν, ἀλλὰ μὴ οὖσαν, καὶ

D 8. Hanc pulcherrimam sane vivendi rationem tenebat Theodosia, virtutis studio continenter intendens, virginum sacrarum cœnobio clausa, et mente in Deum semper erecta. Notum autem est, quomodo cum omnia nostra salva adhuc essent et incolumia, et de Deo divinisque rebus recte omnes sentiremus, eramus populus eximius et electus, qui velut novus Israel, ipsi proprie obtigimus in funiculum hæreditatis suæ. At postquam e cœlo pulsus superbiæ spiritus suam in homines invidiam in apertum cœpit proferre, multis ac variis frequenter machinis animos nostros oppugnare est aggressus. Ut vero adversus illos parum valuit, et hac ex parte proficiendi quidpiam spem omnem machinasque abjecit inutiles, alia deinde ratione omnia susdeque, ut dicimus, vertere, et ipsam Dei Ecclesiam aggredi instituit. Cumque rursum nihil eorum quæ singulatim conceperat efficere valuisset, quin etiam effuso risu meruisset excipi, ad suas se aries totum convertit, ac novum plane consilium excogitare cœpit. Non enim

unum quodpiam divinorum dogmatum suspicioni falsitatis obnoxium reddere est aggressus, sed adversus cuncta simul insurgens, in ea rabiem suam omnem conatus est effundere. Quid igitur mali molitus est? quas machinationes adhibuit pessimus genius? Venerandas Dei divorumque imagines, sacras illas et omni honore dignissimas effigies, utpote quas pluribus non parum ad recte agendum prodesse judicabat, statuit e medio sibi esse tollendas. Et via quidem ad hoc tetendit, recta in speciem: sed recta, qualem declinandam monuit sapiens Salomon, utpote quæ talis videatur, sed non sit, verum ad sequiora ducat. Suggerit, ipsas æstimandas esse idola, et omne circa eas studium, veteris esse erroris atque antiquæ superstitionis evanidum vestigium, inter Christianos relictum. Vah audaciam pessimi dæmonis, et impiam stultitiam! vah insanas molitiones! Modo scilicet hanc, modo illam perdendi homines rationem init: a dextris et a sinistris miseros impetit, ambidexter ad inferendum nocumentum.

A πάντα φέρουσαν ἐπαρίστερα, ὁ σοφὸς ὑπέθετο Σολομών. Εἴδωλα νομίζειν ὑπέβαλε, καὶ τὴν περὶ ταῦτα σπουδὴν τῆς παλαιᾶς εἶναι πλάνης, καὶ τῆς ἀρχαίας ἐκείνης τερθρείας ἀπᾷδον πάντη πεφηνέναι Χριστιανοῖς λείψανον. Βαβαὶ τῆς τόλμης! βαβαὶ τῆς σκαιότητος! φεῦ τῶν μηχανῶν τοῦ ἀλάστορος! Νῦν μὲν οὕτως, νῦν δ' ἑτέρως ἐπιχειρεῖ, κἂν τῶν δεξιῶν βάλλει, κἂν τῶν ἀριστερῶν, ὁ περὶ τὸ κακουργεῖν ὁμφοτερόδεξιος.

9. Quinam autem fuere quos judicavit idoneos aut quibus usus rei est administris, quando Dei permissu regnum sibi erat vindicaturus? Leo is fuit ab Isauria dictus, sævissima absque dubio bellua, eademque indomita: qui contra Domini gregem continuo infremere aggressus, in eum non aliter B quam carnivora quædam fera insiluit. Quemadmodum et is qui per antiphrasim vocatus fuit Anastasius; quippe post B. Germanum in Dei Ecclesiam magno ejusdem malo introductus, mortem non paucis et interitum attulit. Sed qua tandem ratione pro rei dignitate, quæcunque id temporis misera acciderunt atque acerba, verbis efferam? episcoporum exilia, comprehensiones sacerdotum, virorum principum calamitates simul et ignominias, sanctorum hominum et virginum sacrarum e monasteriis violentas detrusiones, et publice constitutas earumdem proscriptiones, vexationes non ferendas, vincula, cruciatus, violenter allatas mortes, et pejora mortibus tormenta? Verum ut sanctæ hujus virginis illustrem prorsus ac intrepidam magnitudinem animi clarius in medium adducam, unum quodpiam crudelitatis regiæ exemplum proferam, reliqua iis quibus lubitum fuerit inspicienda penitius relinquens.

θ'. Τίνες δ' οὗς καὶ ἐνέκρινε, καὶ τίσιν ὑπηρέταις ἐπὶ τούτοις ἐχρήσατο; Ὅ τε δὴ τὴν βασιλείαν Θεοῦ παραχωρήσει σφετερισάμενος, Λέων ὁ ἐξ Ἰσαύρων, ὁ ἄγριος αὐτόχρημα θὴρ καὶ ἀτίθασσος, ὃς κατὰ τῆς ποίμνης εὐθὺς Θεοῦ δεινὸν ἐβρυχήσατο, καὶ κατὰ μέσης αὐτῆς καθά τις ὠμηστὴς ἥλατο· καὶ ὁ κατ' ἀντίφρασιν Ἀναστάσιος, ὁ μετὰ τὸν μακάριον Γερμανὸν ἐπὶ κακῷ τῇ Ἐκκλησίᾳ ἐπεισφρήσας Θεοῦ, καὶ πολλοῖς ὅτι θανάτου καὶ ἀπωλείας γενόμενος αἴτιος. Ἀλλὰ πῶς ἂν πρὸς ἀξίαν ἐκτραγῳδήσαιμι τὰ τότε δεινά; τὰς τῶν ἀρχιερέων ὑπερορίας; τὰς τῶν ἱερέων καθαιρέσεις; τὰς τῶν ἐν τέλει ζημίας ἅμα καὶ ἀτιμίας; τὰς τῶν ὁσίων ἀνδρῶν τε καὶ γυναικῶν, ἔκ τε τῶν ἀσκητηρίων ἀπελάσεις καὶ ἐπὶ πλατειῶν δημεύσεις; τὰς ἀνυποίστους τούτων κολάσεις; τὰ δεσμά; τὰς στρεβλώσεις; τοὺς βιαίους θανάτους; τὰ χείρω θανάτου βασανιστήρια; Ἀλλ' ἵνα μᾶλλον τὸ τῆς μακαρίας γενναῖον καὶ ἄτρεστον παραστήσαιμι φρόνημα, ἔν τι τῆς βασιλικῆς ἀπηνείας, τἄλλα τοῖς βουλομένοις ἔνθεν ἀφεὶς συνορᾷν, διηγήσομαι.

10. Superiorum regum temporibus, cum qui C regnorum moderabantur habenas, eo quod gerebant nomine sese haud ostendebant indignos, subjectamque sibi ditionem ex æquo justoque administrabant fulciebantque, rerum nonnisi honestarum amore ac prosecutione exornantes principatum suum, et quidquid eumdem ad posteriores illustriorem poterat reddere magno studio promoventes ad incrementum. Horum, inquam, regum temporibus plura tradentis disciplinis loca exædificata sunt, quæ certa quadam ratione sejuncta erant ab invicem, eademque conjuncta; sejuncta quidem locis et ædificiis, at vero mutua quadam conjunctione et communi porticu in unum veluti ædificium coalescenti; ita ut, quamvis exterioris formæ varietate et numero distinguerentur, non plures tamen, D sed una duntaxat domus dici posset. In his porro ædificiis, quæ duodecim omnino censebantur, nunquam non collocati erant præceptores, atque inter eos unus aliquis, qui alios omnes cunctarum disciplinarum peritia superaret. Illic, ut omni scientia-

ι'. Πρὸς τῶν ἄνω βασιλέων, οἳ καὶ τὴν κλῆσιν ἠλήθευσαν, ὡς ἐνὸν διὰ βίου συνέχοντές τε καὶ στηρίζοντες τὸ ὑπήκοον, καὶ τῇ φιλοκαλίᾳ τὴν ἀρχὴν κατεκόσμησαν, ἅπαν ὅ ταύτην εὐκλεεστέραν καθίστησι, διὰ σπουδῆς αὔξειν ποιούμενοι· πρὸς οὓς τῶν μεγαλουργῶν ἐκείνων ἀνδρῶν διδασκαλεῖα ἐν ταύτῃ δὴ τῇ μεγαλοπόλει δεδόμηται, διῃρημένα πως καὶ συνημμένα τυγχάνοντα· διῃρημένα μὲν τοῖς οἰκήμασι, τῇ δ' ἀλληλουχίᾳ καὶ τῷ κοινῷ περιβόλῳ εἰς ἓν δήπουθεν συναγόμενα, ὡς ἕνα γε δοκεῖν οἶκον τοῖς ἔξωθεν ποικίλον καὶ πολύφορον· καὶ διδάσκαλοι ἐπ' αὐτοῖς, ὅσα δὴ ταῦτα δυοκαίδεκα δ' ἦν, εἷς ἀεὶ καθιδρύοντο, καὶ ἐπὶ τούτων ὁ τῶν ὅλων κατὰ πᾶν εἶδος παιδεία ὑπερφέρων, καὶ ταῖς ἐστιστήμαις ἐπισημότερος, ὃς καὶ οἰκουμενικὸς διδάσκαλος ἦκουε· ταύτην γὰρ τὴν τιμὴν πρὸς τοῦ βασιλέως ἐλάμβανε, καὶ τὴν ἐφορείαν μυσταγωγῶν ὁμοῦ καὶ μυστῶν ἐπετέτραπτο. Ἦν μὲν οὖν οὕτω τοῦτο διενεργούμενον ἄνωθεν, καὶ ὁ λόγος ἔνθεν εἶχεν αὐξάνεσθαι, καὶ τὸ κατὰ φύσιν ἀνθρώπῳ πρὸς τοῦ αὐτολόγου, πρὸς τῆς αὐτοσοφίας αὐτῆς τῆς γενέσεως ἐγκατα-

σπαρὶν, καὶ ὃ δυνάμει πᾶσι κοινῶς ἔνεστι, πρὸς τὴν κατ' ἐπιτηδειότητα ἐπήρετο κίνησιν, καὶ πολλοῖς εἰς ἐνέργειαν, εἰ καὶ μὴ πᾶσι προήγετο, τῇ τε διοικεῖν εἰδυίᾳ φιλοσοφίᾳ, καὶ πρὸς τὸ κρεῖττον τὰ καθ' ἡμᾶς μεταφέρειν καὶ ὑψηλότερον, καὶ βασιλεία πεπαιδαγώγητο, καὶ πολιτεία κατήρτιστο, καὶ τὸ δημῶδες καὶ ὡς ἐπίπαν ἀστάθμητον, ὡς ἐνὸν ἐρρύθμιστο καὶ συνέστalto.

A rum genere cæteros inter plane eminebat, universalis quoque magister appellari solitus erat: ut autem isto nomine honoris causa vocaretur, ab ipso videlicet rege acceperat, et tam in eos qui sacris initiandi, quam qui iis initiati jam erant, auctoritatem suam exercere poterat. Res autem sic erant dispositæ ab initio, ut ibi ratiocinandi augeretur facultas; et quod homini ex quo in mundum gignitur a natura communiter insitum est, ut intellectu discurrere atque sapere per seipsum valeat, ad congruum, prout opus foret, motum excitaretur; multisque, si non omnibus, daretur commoditas recte philosophandi; adeo ut et imperium istic erudiretur, et civilis status ordinaretur, ipsaque etiam plebs, quamvis inconsiderata et vaga, qua fieri potest ordinaretur componereturque.

ια'. Ἦν μὲν οὖν ἐκ μακροῦ τοῦθ' οὕτως ἔχον· κατ' ἐκεῖνο δέ γε καιροῦ ἄνδρες ἀριπρεπεῖς καὶ διάσημοι τοὺς παρὰ τὰς σπουδὰς θρόνους ἐπὶ κόσμῳ σφῶν ἔλαχον, καὶ μᾶλλον ὁ τῶν ἄλλων πρωτεύων, καὶ τὴν τιμὴν ὕπατος. Οὐ γὰρ δὴ τὰ ἐκτὸς οὗτοι καὶ θύραθεν μόνον, ἀλλὰ καὶ τὰ ἔνδον καὶ θεῖα φιλοσοφεῖν ἤθελον. Ἀμέλει τοι καὶ θεῖα ἤσκηντο δόγματα, καὶ παραδόσεις ἐκκλησιαστικὰς ἠκριβώκεσαν· εἶχοντό τε τούτων καὶ περιεῖχοντο, κἀπὶ ταύταις πάντας συντηρεῖν ἔργον πεποίηντο, ὅθεν καὶ διὰ τιμῆς πάσης, διὰ πολλοῦ τε σεβάσματος εἶχον σφᾶς ἅπαντες. Οὗ δὴ βασιλεὺς εἵνεκα τούτους πρὸ πάντων ἄλλων ὁμόφρονάς τε καὶ ὁμογνώμονας σχεῖν ἐπειράσατο, ἐνόμισε γὰρ ὡς, εἴπερ ὁμοδόξους αὐτοὺς κτήσαιτο καὶ ἕξει σχεδὸν πάντας ὁμοφρονας. Ἀλλ' οὐκ ἴσχυσεν οὐδένα σφῶν μεταστῆσαι, οὐ πρῶτον, οὐκ ἔσχατον, οὐ μέσον· πᾶσι μὲν γὰρ ἐπὶ τῷδε τρόποις ἐχρήσατο, οὐδὲν δ' ὅ τι καὶ ἤνυσε. Τὰ μὲν γὰρ πρῶτα μετὰ πολλῆς ὅτι πραότητος τὰ τῆς γνώμης ἐξήγγελλε, καὶ οἱ σύμφρονας σχεῖν ἤθελεν· ὡς δ' ἐλέγχοντας εἶδεν αὐτοῦ τὴν ἀπόνοιαν, καὶ μηδ' ἄν, εἴ τι καὶ γένοιτο, τὴν τῶν ἁγίων εἰκόνων διισχυριζομένους ἀθετῆσαι προσκύνησιν, πρὸς ἀπειλὰς καὶ ὕβρεις ἐχώρησεν.

B 11. Hac igitur, quam dixi, ratione res sese habebant antiquitus. Iisdem vero temporibus viri insignes prorsus atque præclari eas quæ per studia honoris causa obtinentur sedes in maximum sui accipiebant ornamentum, potissimum autem is qui reliquis omnibus et erat et habebatur præstantior, quique consulari præfulgebat dignitate. Non enim externam solum et sæcularem philosophiam illi, sed interiorem quoque religionis nostræ tractabant, seque cum otio divinis dogmatibus exercebant, et magna cum diligentia traditiones scrutabantur ecclesiasticas. His ipsi intendebant, harum studio toti occupabantur, nullaque earum ut negligeretur suis curis suaque vigilantia efficiebant; unde et illud consequebatur, ut secundum C omnes honestatis ac religionis leges vitam ducerent. Tales cum essent, nihil prius habuit imperator quam ut eos in suam sententiam pertraheret; ita sibi scilicet fore persuadens, ut si viros illos impietati suæ haberet consentientes, aliorum quoque animos facili negotio expugnaret. At vero eorum nullum, non primum, non infimum, non medium a sana doctrina rectoque vivendi instituto deducere valuit; et quamvis modos omnes viasque tentasset, nihil tamen omnino effecit. Principio quippe cum omni mansuetudine et modestia suam illis mentem renuntiari fecit, quod illos opinionis suæ socios ac suffragatores habere plurimum desideraret. Verum ut ab eis suam amentiam acriter incusari perspexit, neque, quacunque demum fortuna periculove proposito, adduci viros posse ut sanctarum cultum imaginum ac venerationem rejiciendam diceren', ad minas et contumelias conversus est.

ιβ'. Ὡς δ' οὐδὲ οὕτω μετέπεισθε, πάντων ἀπογνοὺς ἄλλων, ὅλος τῆς ἀπηνείας ἑαυτοῦ γίνεται· ὅθεν καὶ χώραν δοὺς αὐτοῖς σκέψεως, πέμπει τοὺς αὐτοῖς οἰκήμασι καταύσαντας. Καὶ οἱ τὴν ὥραν τηρήσαντες ὅτε καὶ οἱ πρὸς τὸν κοινὸν ἁπάντων δυνάστην ἀντιβαίνοντες ὕπνον, ἡττῶνται τούτου καὶ ἀνακλίνονται, ἄλλος ἄλλοθεν περιελθόντες, πῦρ ὑπανάπτουσι, καὶ τὸ τῆς σοφίας ὡς ἀληθῶς ἐνδιαίτημα τῇ φλογὶ πανταχόθεν περιλαμβάνουσι, καὶ πᾶσαν τοῖς ἔνδον ἀποκλείουσιν ἔξοδον. Ἐν οὖν πάνυ βραχεῖ τῷ παμφάγῳ πάντες πυρὶ αὐταῖς βίβλοις, αὐταῖς οἰκίαις κατανάλωνται. Ὦ πάθους, ὦ ζημίας! ἦν ὑποσταίη μὲν τὸ δοκοῦν ἡ Κωνσταντίνου, ταῖς δ' ἀληθείαις γένος ἅπαν Ῥωμαίων, καὶ οἱ τὴν σοφίαν ζητοῦντες ἀνέκαθεν Ἕλληνες, ὥσπερ καὶ ὁ θεῖος Παῦλος διεμαρτύρατο. Οὐ γὰρ ὅτι γε τοιούτων ἀνδρῶν ἐστέρηται, ἀλλὰ καὶ σοφῶν ἀνδρῶν συγγραμμάτων πλείσ ων τε καὶ καλλίστων

D 12. Cumque hoc etiam modo apud viros fortes nihil proficeret, et aliud nihil quo eos cogeret superesse animadverteret; suæ se ferocitati abripiendum totum tradidit; concessoque ipsis deliberandi spatio, submisit qui ædibus eorum flammas injicerent. Hi opportunum maxime observantes tempus, cum sapientissimi homines, qui ad multum noctis adversus omnium domitorem somnum fortiter pugnare soliti erant, eidem etiam succumbere essent coacti, et cubitum tantisper se contulissent; alii alias ædium partes circumeuntes ignem spargere, verissimumque sapientiæ ipsius hospitium flammis undique involvere cœperunt; omnem intus manentibus exitum præcludentes. Modico igitur spatio temporis omnes devorantibus cuncta flammis hausti atque absumpti sunt, una cum libris atque ipsis ædibus. O cladem, o afflictionem!

quam sustinuisse videtur urbs Constantinopolitana, revera autem natio Romana sustinuit universa, ipsique etiam gentiles, quotquot, teste Paulo, sapientiam ab initio quæsiverunt. Non enim talium virorum duntaxat facta est jactura, verum etiam plurium ac pulcherrimorum librorum, quos sapientissimi homines conscripserunt (2). Sed huc deveni, dicere volens unum nostri Imperatoris facinus, ac veluti proœmium ejus quæ secutura esset calamitatis; cætera si quis cognoscere cupiat, ipsam quæ de illis conscripta est, historiam consulat (3).

A συναπεστέρηται. Ἀλλὰ τούτῳ μὲν, ὡς ἔφθην, εἰπὼν ἔν τι τῶν τοῦ βασιλέως καθ' ἡμῶν ἔργων, ἓν τι τῶν τότε δεινῶν, καὶ τῆς μελλούσης ὡς εἰπεῖν κακίας προοίμιον· τὰ λοιπὰ δ' εἰ βούλοιτό τις μαθεῖν, τῇ περὶ αὐτῶν Ἱστορίᾳ περιτυχέτω.

CAPUT III.

Spatharum, Christi imaginem dejecturum, præcipitat Theodosia, et fidei suæ rationem tyranno reddit.

13. Cum igitur tam gravia tamque intolerabilia supplicia inferrentur sacras imagines venerantibus, illæ autem abolerentur, et funditus, ut sic loquar, exstirparentur, spathariorum aliquis etiam contra Salvatoris Christi divinam effigiem, stantem in ea porta quæ Ænea dicitur, suum est aggressus furorem exercere, eamque in terram prosternere. Hoc autem ut beatæ Theodosiæ est renuntiatum, Phinees mox illam zelus et Eliæ invasit. Plures deinde religiosas matronas, quæ mundum mundique ornamenta omnia a se removerant, toto animo soli adhærentes Deo, socias sibi adjungens, sancto quodam furore ad hominem virgo fertur. Ex eorum hic erat ordine, qui gladio, non securi, instructi regem stipant, qui ordo est ordine satellitum, uti indicat nomenclatio (4), posterior; regem autem custodit, et a tergo subsequens atque ab imperatore nusquam discedens, regium noctu conclave servat, principemque in publicum prodeuntem cingit. Contra hujusmodi hominem, generoso plane atque intrepido animo, virgo progreditur.

ιγ'. Ἀλλ' οὖν οὕτω δεινῶν οὔτω; ἀνυποίστων ἐπαγομένων κατὰ τῶν τὰς ἱερὰς εἰκόνας προσκυνούντων τιμωμένων, ἀμαυρουμένων δὲ τῶν θείων ἐκτυπωμάτων, καὶ ὡς εἰπεῖν κατερειπωθέντων πάντων ἀπανταχῇ, τῶν τις σπαθαρίων, καὶ κατὰ τῆς θείας εἰκόνος τοῦ F Σωτῆρος Χριστοῦ, τῆς ἱσταμένης ἐπὶ τῆς οὕτω καλουμένης Χαλκῆς, ὥρμησεν ἀπελθεῖν, ἐφ' ᾧ γε ταύτην καταβαλεῖν. Ἀλλ' ἀνηγγέλη τοῦτο τῇ μακαρίᾳ, καὶ ἡ ζῆλον παραυτὰ Φινεὲς, ζῆλον ἀνέλαβεν Ἠλιοῦ· τῷ τοι καὶ γυναῖκας, κόσμου καὶ τῶν κοσμικῶν ἀποῤῥαγείσας ὁλοσχερῶς καὶ προσκολληθείσας ὅλας Θεῷ, μεθ' ἑαυτῆς λαμβάνει, καὶ ὅλῳ κατὰ τοῦ σπαθαρίου κινεῖται θυμῷ. Τάγμα τοῦτο τῶν περὶ τὸν βασιλέα σπαθηφόρων, οὐ πελεκυφόρων, ὡς καὶ ἡ κλῆσις δηλοῖ, δευτερεῖα μὲν φέρον τῶν ἐπωμίους ἀνεχόντων τοὺς πελέκεις, συντηροῦν δὲ σφίσι τὰ τῶν βασιλέων ὀπίσθια, συμπαραμένον τοῖς ἀνακτόροις, καὶ τοὺς βασιλείους νυκτὸς θαλάμους περιπολοῦν, κἂν ταῖς πρόδοις τὸν βασιλέα περικυκλοῦν. Κατὰ δὴ τούτου γενναίῳ πάνυ καὶ ἀπτοήτῳ βαίνει φρο- B νήματι.

14. Quibus autem illa sermonibus audientium mentes, ut zelum Dei conciperent, excitabat? quibus Deum ipsum verbis alloquebatur, ut justam ejus adversus homines iram placaret? quam generosos comitantibus se sororibus indebat spiritus, et ad pulchrum pro veritate certamen subeundum quam fortiter animabat? Sic enimvero secum ipsa cogitabat, sic ratiocinabatur: Oportebat equidem eam me, quam ultro suscepi, rationem vivendi sartam tectam conservare. Hoc enim coram Deo et hominibus facturam me proposui, ad hoc sacramento me obstrinxi, cum Deo solo et mecum ut versarer, reliquorum autem hominum societatem effugere conatu omni contenderem. Postquam autem generis humani osor acerrimus, et nullo non

ιδ'. Τί μὲν οὐ διαλογιζομένη τῶν πρὸς τὸν ὑπὲρ τοῦ Θεοῦ ζῆλον ἐπειρόντων; τί δὲ τῶν πρὸς δυσώπησιν ἱκανῶν οὐ διαλεγομένη Θεῷ; τί δὲ οὐ νουθετοῦσα ταῖς σὺν αὐτῇ καὶ περὶ αὐτὴν ἀδελφαῖς, καὶ πρὸς τὸν ὑπὲρ τῆς ἀληθείας ἆθλον ἁλείφουσα; Πρὸς μὲν γὰρ ἑαυτὴν τοιαῦτα δή τινα διενοεῖτο καὶ διεσκέπτετο· Ἔδει μὲν δν εἱλόμην βίον τηρῆσαι διὰ παντός· τοῦτο γὰρ προὐθέμην, τοῦτ' ἐπηγγειλάμην Θεοῦ καὶ ἀνθρώπων ἐπίπροσθεν, ἐμαυτῇ μόνῃ προσλαλεῖν καὶ Θεῷ, ἀλλ' οὐδ' ἐπιστρέφεσθαι μηδενός· ἐπεὶ δ' ὁ βασκαίνων ἡμῖν ἄνωθεν καὶ καθ' ἡμῶν τεχταίνων ἀεὶ τὴν Ἐκκλησίαν Θεοῦ διετάραξε, καὶ δεινὸν ἐπήγειρεν αὐτῇ κλύδωνα· ἄγε δὴ C προϊτέον, τὴν ἡσυχίαν παρορατέον, ψυχῆς ἀφειδητέον ἅμα καὶ σώματος, ὑπὲρ τοῦ προαγαγόντος

(2) Theophanes ad annum Leonis 10, animadversum in eos præcipue ait, qui sanctitate et doctrina clarebant: adeo ut scholæ una cum sacra doctrina exciderint, quæ a sæculo S. Constantini Magni usque de ea tempora floruerant. Græce σβεσθῆναι, exstinguerentur. Profecto (nisi scholæ istæ extra communem civium habitationem fuerint positæ) vix est credibile, ædibus fuisse subjectas flammas, cum viciniæ totius manifesto periculo.

(3) Nullam de hoc argumento historiam singularem nunc novimus, nec alibi citatam reperimus: mirum autem foret eam auctoris ætate exstitisse, nunc ignorari; quare ad Theophanis chronographiam aut simile aliquod opus lectorem hic remitti existimo.

(4) Securigeri scilicet præcedebant, sequebantur spatharii. Sed quomodo in ordine stipatorum regiorum secundum locum tenuisse spatharios indicat ἡ κλῆσις? Suspicor non tam nomen indicari, cui ejusmodi notio haudquaquam per se conjuncta est, quam matriculam palatii, seu nomenclaturam officiorum, qualis passim in manibus erat, indicabatque officii cujusque ordinem, observandum quoties in publicum progrediebatur imperator, in iis quos προκένσους vocabant, nos processiones dicerenus.

ἡμᾶς καὶ προνοουμένου τῶν καθ' ἡμᾶς, καὶ τὰς τῶν πρακτέων ἐπ' ἐσχάτων ἀμοιβὰς ἡμῖν ταμιεύοντος. Δεῖ μὲν οὖν καὶ τὴν ἐπὶ τοῖς ἐμοῖς ἐπιβουλὴν ἀμύνασθαι, καὶ τὴν ἐπὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ ἐπιχειρουμένην ταραχὴν ἀποκρούσασθαι· καὶ τὴν μὲ

quid aliud est quam pietatem, quam religionem omnem evertere funditus, et universum Incarnationis divinæ mysterium inane reddere atque nullum? At faciamus parvi quod conantur. Quanti tamen illud faciendum sit quod vel mediocre quidpiam de lege divina et mandatis infringatur, Salvator noster ac Dominus in sacrosanctis Evangeliis docuit, viam perfectionis unius jota uniusque apicis rigore circumscribens. Jam vero quam gloriosum erit, si divinarum legum ne minimam quidem partem infringere sustineamus. Illustres quondam Machabæi, nec non beatissima illorum mater, præsentes assistunt : quale illi exemplum observandæ legis similiter certaturis reliquerunt? Porcinas carnes solum ut gustarent, a tyranno compulsi, non modo ei non obediverunt, sed innumeros quoque propterea cruciatus sustinuerunt : igniique ac ferro traditi et quantumcunque gravia tolerantes tormenta, ineoncussi perseverarunt. Nunc igitur et nos, illustre adeo exemplum mente animoque versantes, ad pulchrum pro religione certamen subeundum fidenter accinctæ nos conferamus, et festinemus spatharium istum, qui impuras manus in divinam Salvatoris nostri imaginem parat injicere, cohibere a scelere.

A καὶ μικρόν τι νόμου παραβῆναι καὶ ἐντολῆς, ὁ Σωτὴρ ἡμῶν καὶ Δεσπότης ἐν τοῖς Εὐαγγελίοις ἐδίδαξεν, εἰς ἓν ἰῶτα καὶ μίαν κεραίαν τὸ τέλειον περιγραφώς· ἡλίκην τε φέρει τὴν εὔκλειαν τὸ μὴ ἀθετῆσαι τῶν τεθεσπισμένων βραχύ, οἱ γενναῖοι πάλαι Μακκαβαῖοι, καὶ πρός γε ἡ μακαρία τούτων μήτηρ, παρέστησαν, καί πως ὑπόδειγμα τοῖς ἐσαῦθις ἀκριβοῦς φυλακῆς τῶν νομίμων καταλελοίπεσαν· ὑείου κρέως ἀπογεῦσαι μόνον ἀναγκαζόμενοι, σῦμενουν οὐ κατένευσαν, ἀλλὰ καὶ μυρίας ὑπὲρ τοῦδε βασάνους ὑπέστησαν· καὶ πυρὶ γὰρ καὶ σιδήρῳ παραδοθέντες, καὶ πᾶν ὑπενεγκόντες δεινόν, διέμειναν ἀπερίτρεπτοι. Τοῦτο δὴ ἐν νῷ βαλλόμεναι καὶ ἡμεῖς, ἄγε πρὸς τὸν ὑπὲρ τῆς εὐσεβείας ἆθλον μετὰ θάρσους ἀποδυσώμεθα, σπεύσωμεν φθάσαι τὸν κατεπιχειρῆσαι βουλόμενον τῆς θείας τοῦ Σωτῆρος εἰκόνος σπαθάριον.

18. Hæc illa, et confestim ad Chalcen accedit : et (o insignem animi fiduciam !) mox ut fuit in loco, a nemine mortalium prohiberi se passa, quin et fidenti vultu cunctos præsentes intuita, scalas ipsa omnium prima arripit, ac sodalibus, idem ut ipsæ faciant, fortiter imperat. Qui igitur in scalarum summitate jam fere consistebat impius, sacram effigiem antequam corriperet, iis excussus, in profundum inferni corruit : dejectus est enim : et qui paulo ante insolenter se jactans, os suum in cœlum aperire, et cœlis omnibus Excelsiorem impetere blasphema lingua fuerat ausus, miserandum ante oculos omnium cadaver jacuit, sepulturæ etiam honore privatus. Repentina quippe hominis nefarii punitio omnes qui spectaculo interfuere, attonitos reddidit, atque alium alio fecit abscedere ; ita B. Theodosiæ et cunctis quæ cum ipsa erant virginibus, domum se tutis referre licuit.

ιη'. Ταῦτ' ἔφη, καὶ ᾗ τάχος παρὰ τὴν Χαλκῆν γέγονεν. Ἀλλ' ὦ γενναίου ψυχῆς παραστήματος ! αὐτίκα τῷ παραγενέσθαι, μηδ' ἑνὸς ἐπιστραφεῖσα, πάντας ὁμοῦ παραβλέψασα, τῆς κλίμακος δράττεται, καὶ ταῖς σὺν αὐτῇ συνεπιλαβέσθαι οἱ διακελεύεται. Καὶ γοῦν ὁ μετέωρος τολμητὴς, πρὶν ἤ τι τῆς θείας εἰκόνος λωβήσασθαι, εἰς ᾅδου βάραθρον κατενήνεκται· πίπτει καὶ γὰρ, καὶ ὁ πέως γαυριῶν, καὶ τὸ στόμα εἰς οὐρανὸν θέμενος, καὶ τὸν ὑπερουράνιον ἄντικρυς βλασφημῶν, πτῶμα δύστηνον γέγονε, μηδ' ἐκφορᾶς ἀξιούμενος· ὁ γὰρ ἀπρόοπτος θάνατος τοὺς περὶ αὐτὸν διεθόρησε, καὶ ἄλλον ἀλλαχοῦ διεσκέδασε, τήν τε μακαρίαν καὶ τὰς σὺν αὐτῇ πάσας ἐλευθέρως ἀνῆκε τὴν ἐπ' οἶκου πορεύεσθαι.

19. Verum quod factum fuerat, latere minime potuit ferocissimum regem, qui magna mox rabie in sacras Deo virgines concitatus, infrenduit. Quidquid igitur habebat supercilii, ut ita dicam, in unum congregans : Per caput, inquit, meum (hic scilicet regibus pridem usitatus jurandi mos est) haud equidem credam ex vobis aliquem amare me, si vel una quæpiam e facinorosis istis mulieribus manus meas effugiat, aut non omnes continuo, ex abditis suarum ædium in publicum protractæ, audaciæ tantæ pœnas persolvant. Hæc vix edixerat imperator, cum e ministris ejus plurimi, per alia alii urbis loca dispersi, religiosarum virginum domos et urbis totius monasteria perscrutari sunt aggressi; requirentes quidem et alias omnes, quæcunque injicere in spatharium manus fuerant ausæ, sed beatam Theodosiam cumprimis comprehendere cupientes. Non enim mediocria quædam aut vulgaria adversus illam meditari suis visus fuerat rex, quam omnium primam facinus fuisse aggressam didicerat, et rei totius exstitisse causam.

ιθ'. Ἀλλ' ἤσθετο τοῦ γενομένου ὁ θηριώνυμος βασιλεὺς, καὶ μέγα τι καὶ ἄγριον κατ' αὐτῶν εὐθὺς ἐβρυχήσατο. Συναγηοχὼς γὰρ, ἵν' οὕτω φαίην, τὸ ἐπισκύνιον, Οὐ μὰ τὴν ἐμὴν, εἶρηκε, κεφαλὴν (τοῦτο δὴ τὸ εἰς ὅρκον τοῖς βασιλεῦσιν ὡς ἐπὶ πολὺ προφερόμενον), οὔ τινά με φιλεῖν ὑμῶν ἡγήσομαι, εἰ τῶν τις κακούργων τουτωνὶ γυναίων χεῖρας τὰς ἐμὰς διαφύγοι, καὶ μὴ διὰ τάχους ἐκ τῶν σκοτίων σφῶν οἰκημάτων συναθροισθεῖσαι, δίκας τοῦ τολμήματος τίσειαν. Ταῦτ' ἔφη, καὶ οἱ παρευθὺς, ἄλλος ἀλλαχοῦ, διαμερισθέντες, τὰ τῆς πόλεως σεμνεῖά τε καὶ φροντιστήρια διειλήφεσαν, ἀναζητοῦντες μὲν καὶ τὰς ἄλλας, ὅσαι γε τοῦ σπαθαρίου κατεπεχείρησαν, πρὸ δ' ἁπάντων τὴν μακαρίαν ταύτην Θεοδοσίαν· οὐκ ὀλίγα καὶ γὰρ ἰδιαίτατα φθαίη σφίσι περὶ αὐτῆς ἐπισκήψας ὁ βασιλεὺς, πρωτουργὸν ἅτε μεμαθηκὼς καὶ τὸ πᾶν δι' αὐτῆς γενέσθαι διεγνωκώς. Καὶ δὴ ταύτας συλλέξαντες, εἰς ἓν ἁπάσας συνήθροισαν· σὺν δ' ἁπάσαις τὴν ὑπὲρ ἁπάσας καὶ ἡλίου δικην ἀστέρας τὰς ἄλλας ὑπεραυγάζουσαν μέσον αὐτῶν ἔστησαν, καὶ τῷ βασιλεῖ συμπαρέστησαν

Comprehensas ergo omnes in publicum pariter protrahunt : sed et cum omnibus eam quoque, quæ præcellens omnibus, uti sol præ stellis, alias superabat fulgore, ipsarum in medio, coram imperatore constituunt.

κ'. Ὁ δὲ καὶ πρὸς μὲν τὰς ἄλλας βλοσυρὸν ἔβλεψε, καὶ, Ἵνα τί, φησὶ, δύστηνα γύναια, εἰς τοσοῦτον ἥκετε τόλμης, ὡς καὶ προσταγῆς ἐμῆς ἀλογῆσαι, καὶ τὸν ἐμὸν σπαθάριον οὐχ ὅτι γε τοῦ ἔργου παραποδίσαι, ἀλλὰ καὶ βιαίῳ θανάτῳ παραπέμψαι; Πρὸς δὲ τὴν μακαρίαν ταύτην Θεοδοσίαν ἐπιστραφείς, Οὐκ ἔλαθές μοι, κακοῦργον, ἔφη, καὶ μιαρώτατον γύναιον· οὐκ ἠγνόησά σου τὸ ἀλόγιστον θράσος, οὐ τὴν παράβολον τόλμαν, οὐχ ὃ περὶ τὸν σπαθάριον ἔδρασας, καὶ ὡς ἀνεῖλες τῷ ἐμῷ προστάγματι ὑπηρετούμενον. Ἐμοιγε ἀντῆρας, κατ' ἐμοῦ τὰς χεῖρας ἐκίνησας· τοιγάρτοι διαναστὰς ἔγωγε, τὰς ὑπὲρ ἐμαυτοῦ δίκας ἀπαιτήσω, καὶ δικαίως ὅτι λήψομαι, καὶ τὰ εἰκότα σε τὴν ἀλάστορα τίσομαι, ὡς μὴ τὸν βουλόμενον τῶν βασιλευόντων εἰς νέωτα κατεπαίρεσθαι, μηδ' οὕτω κατὰ τῆς ἀρχῆς αὐθαδιάζεσθαι. Ἀλλ' ἔνεστι μεταβουλευσαμένῃ καὶ πεισθείσῃ συμβουλεύοντι πλέον, ἢ ὡς βασιλεῖ σοι προστάσσοντι, περισωθῆναι μὲν τῇδε καὶ διαβιῶσαι περιφανέστατα, ἐκεῖ δὲ γενομένῃ τῆς μακαρίας ἐκείνης τυχεῖν λήξεως.

20. Ille vero, in alias quidem omnes torvum intuens, Ut quid, ait, infelices mulierculæ, eo processistis audaciæ, ut non mea modo mandata contemnere, sed meum quoque spatharium ab eorumdem mandatorum exsecutione prohibere, neque id solum, verum funesta etiam morte delere non sitis veritæ? Ad beatam deinde Theodosiam conversus : Non, inquiebat, latere me potuisti, facinorosa et mulierum omnium pessima : non mihi fuit ignota tua illa infrænata jactantia, non audacia insignis. Novi profecto quidquid adversus satellitem meum, te hortatrice ac duce, gestum fuerit, et qua ratione ministrum regiis obtemperantem mandatis interimere minime dubitaveris. Mihi cum eo modo ausa es adversari, tuas contra meipsum manus a te compulsas fuisse ignorare non potes. Nunc igitur haud sane injusto adversum te furore consurgens, pro sceleris magnitudine pœnas reposcam; nec minus juste reipsa sumam supplicium simul et vindictam, ut nemo regiis sese jussis imposterum opponere, aliave ratione audeat contra principem efferre. Potes tamen (si vis mutare mentem, et suadenti, aut potius, ut regem decet, imperanti parere) hic quidem salvari et splendidissime vivere, in altero autem sæculo beata perfrui requie.

κα'. Ἀλλὰ πῶς ἂν ἀξίως παραστήσαιμι λόγῳ τὴν μετὰ πολλῆς ὅτι συνέσεως τῆς Μάρτυρος ἀπόκρισιν πρὸς τὸν τύραννον; ποίαν λόγου πεπλουτηκὼς δύναμιν; ἢ μᾶλλον ποίαν εἰληχὼς ἐπίπνοιαν ἄνωθεν, δι' ἧς αὕτη καὶ σοφῶς ἀπεκρίνατο, καὶ νουνεχῶς ἐπεστόμισε τὸν βλοσυρὸν τὴν ὀφρὺν, τὸν τὴν γλῶτταν πολὺν, τὸν ἄντικρυς καταπιεῖν αὐτὴν βρενθυόμενον κατὰ τὸν ἐνοικοῦντά οἱ, τὸν τὴν γῆν καὶ θάλασσαν ἐξαλείφειν ἐπαιρόμενον, ὡς ἐνόν μοι ταῦτα διεννοήσασθαι; καὶ ὡς ἐξ εἰκότων ἐρῶ. Ἔγωγε, φησὶ, βασιλεῦ, ἐκ παιδὸς εὐθὺς τὴν ἡσυχίαν ἐπόθησα, καὶ τὴν ἐμὴν σωτηρίαν ἐζήτησα, καὶ οὐδέν με τῶν τοῦ κόσμου τερπνῶν, Θεοῦ συναραμένου, τῆς προθέσεως μεταστῆσαι κατίσχυσε· καὶ νῦν ἴσθι τῆς πρὸς Θεὸν ἀγάπης τῶν ἁπάντων οὐδὲν ἀποστήσειν. Ὅ γοῦν ἂν εἴη σοι βουλομένῳ, μὴ κατοκνήσας, ἄγε δὴ πέρανον· σάρκες ἰδοὺ ξαίνειν αὐτὰς πρόσταττε, ἁρμονίας μελῶν διασπᾶν, ὀστᾶ συνθλάττειν, κεφαλῇ τὴν τομὴν ἐπενεγκεῖν· ἐν βραχεῖ φημι, τῆς ἐνθάδε ζωῆς στέρησον, ὡς ἄν με θᾶττον τῇ αἰωνίῳ καὶ κρείττονι παραπέμψειας.

21. Qua nunc ego dicendi facultate sapientissimam martyris ad tyrannum responsionem in medium proferam? qua verborum ac sententiarum copia instructus, vel potius qua de cœlo inspiratione commotus? per qualem scilicet ipsa et prudenter respondit, et obmutescere fecit illum, supercilio ferocem et ore turgidum; illum, instar dæmonis se inhabitantis, frendentem ex adverso ad deglutiendam ipsam, terramque et mare se posse abolere præsumentem; quomodo talia mihi credam comprehensibilia esse, aut ea convenienter valebo eloqui? Ego, respondit Theodosia, jam inde a prima ætate quietioris et ab omni hominum strepitu remotioris vitæ desiderio accensa fui, o imperator, nec minus consequendæ salutis meæ studiosa; sed nec ex iis quidquam, quæ mundus in bonis suis gaudiisque habet, a suscepto consilio revocare me, Deo bene propitio, valuit. Nunc quoque hoc tibi est sciendum, e rebus omnibus nullam reperiri, quæ a Dei charitate possit me modo ullo abducere. Si igitur ita tibi videtur, age, nulla interposita mora, necem affer : exhibeo corpus meum ad supplicia : verberibus illud jube discerpi, membrorum quoque omnium compagem dissolvi, constringi ossa; capitis abscissionem impera, atque, ut breviter dicam, vitæ hujus usura privari me jube, ut citius ad immortalem melioremque vitam per te transmittar.

κβ'. Τούτοις ὁ τύραννος ἐξαπορηθείς, καὶ πρὸς τὰς λοιπὰς τὸν λόγον τρεψάμενος, Ἀλλ' ὑμεῖς γε, φησὶ, μὴ τῇ ματαιόφρονι ταύτῃ κατακολουθήσητε, μηδ' ἐς τοσοῦτον μανίας ἔλθητε, ὡς καὶ τῶν ἐνταῦθα ἡδέων στερηθῆναι, καὶ τῶν ἐκεῖσε οὐχ ἧττον, εἰ μὴ μᾶλλον, ἀμοιρῆσαι τερπνῶν, καὶ πρός γε καταδικασθῆναι θάνατον τὸν ἀθάνατον. Αἱ δὲ, ὡς καλῆς διδασκάλου καλαὶ τῷ ὄντι μαθήτριαι, Μὴ γένοιτο

22. Hoc responso ad summam consilii inopiam adductus tyrannus, virgines alias hoc iterum sermone compellat : Vos certe nolite insanæ huic mulieri pertinaciter adhærere, eoque dementiæ progredi, ut vos et iis quæ hic sunt bonis orbas esse, et quæ in altera vita reperiuntur, paribus certe, si non majoribus, voluptatibus privari, quin etiam ad mortem condemnari æternam, pa-

tianini. Illæ autem, quemadmodum egregiæ magistræ discipulas decebat non minus egregias: Absit, inquiunt, ut cum divinitus inspirata matre ac magistra nostra non eadem sentiamus, ut tuis morem geramus blanditiis, ut minis terreamur. Hujus nos instituta ac mores sequimur, ab hac ne separemur, cum obsecratione petimus. Quæcunque igitur ab ea tibi dicta sunt, eadem a nobis dicta tibi putato. Ingenti ad hæc verba furore impletus tyrannus: Insanas, exclamat, mulieres e conspectu meo quantocius abripite, aut potius, ut merentur crudeli morte perimite, ut si quæ istius adhuc fortassis sunt dementiæ, similia perpetrare exhorrescant.

A ἡμᾶς, φασὶ, τῇ θεοπνεύστῳ ἡμῶν ἐναντία φρονῆσαι μυσταγωγῷ, μὴ ταῖς σαῖς ὑπεῖξαι θωπείαις, μὴ θροηθῆναι ταῖς ἀπειλαῖς. Ταύτης ἐσμὲν ὀπαδοὶ, ταύτῃ καὶ συνταγῆναι ποιούμεθα δι' εὐχῆς· ἃ γοῦν παρὰ ταύτης ἀκήκοας, ταῦτ' ἀντικρυς καὶ παρ' ἡμῶν ἀκηκοὼς γίνωσκε. Θυμοῦ πληθεὶς ἐπὶ τούτοις ὁ τύραννος, Μεταστήσατε, φησὶ, τὰς ἀπονενοημένας ἐξ ἐμοῦ διὰ ταχέος, ἢ μᾶλλον ἐκ τοῦ βίου τὰ κάκιστα ποιήσατε γύναια, βιαίῳ θανάτῳ παράδοτε ὡς ἂν αἱ τῆς αὐτῆς ἀπονοίας μὴ τοῦ λοιποῦ κατατολμῶεν τὰ παραπλήσια.

CAPUT IV.

S. Theodosiæ post sociarum necem crudele martyrium et gloria in cœlis.

23. Talia cum dixisset tyrannus, continuo ministri ejus, tanquam ignis ligna corripiens, sanctam auferunt a conspectu ipsius; et cæteras pariter cum ea abducunt, trahunt per crines, maxillas percutiunt, per plateas raptant insolenter. Atque has quidem absque mora crudeliter trucidant, venerandasque revera victimas, religionis causa mactatas, Numini supremo sistunt homines nefarii, postremæ condemnationis in ultimo mundi tempore, non sine insigni suo pudore, futuri rei: beatam vero Theodosiam, de qua plurimus regi fuerat sermo, ad alteram servantes quæstionem, iterum cum ea loqui cœperunt, et quamobrem pertinaciter adeo iis quæ imperabantur contradiceret, pecunctari.

B κγ'. Καὶ ὁ μὲν ταῦτ' ἔφη. Οἱ δ' εὐθὺς, πῦρ ὕλης ὥσπερ δραξάμενον, τήν τε ἁγίαν μεθιστᾶσι καὶ τὰς σὺν αὐτῇ συναπάγουσι, τῶν τριχῶν ἑλκοντες, κατὰ παρειῶν τύπτοντες, διὰ πλατειῶν σύροντες. Ἀλλὰ τὰς μὲν ἄλλας εὐθὺς σφάττουσι, καὶ θύματα τούτας τίμια τῷ ὄντι γε καὶ σεβάσμια προσήνεγκαν τῷ Θεῷ οἱ τῆς ἐσχάτης πρὸς τῇ ἀνυπερβλήτῳ αἰσχύνῃ καταδίκης ἐπ' ἐσχάτῳ καὶ ὑπεύθυνοι· τὴν δέ γε μακαρίαν ταύτην Θεοδοσίαν, ἧς πέρι καὶ τῷ βασιλεῖ λόγος ὅτι πολὺς ἦν, εἰς δευτέραν ἐταμίευσαν τὴν ἐξέτασιν, καὶ εἰς λόγους αὖθις ἦλθον αὐτῇ, καὶ ὑπὲρ ὅτου τοσαύτην ποιεῖται τὴν ἔνστασιν πυνθάνεσθαι ἤθελον.

24. At vero beata martyr, summa sapientia summaque animi fortitudine ita eos est allocuta: Ego quoque id, o boni, ex vobis quæro, quid tandem esse possit in causa, cur ad cruciatus et mortem me designetis? An propterea quod religiose venerari studuerim ejus imaginem, qui cum Deus esset, propter me natus est homo, similis mei? aut ejus qui Deum et hominem absque ulla virginitatis suæ labe peperit? aut eorum qui Salvatoris adventum mundo universo annuntiarunt? aut denique eorum qui suum pro Christi doctrina fuderunt sanguinem, quique alia etiam ratione divinam sibi amicitiam conciliare sunt conati? Quomodo vero non optima cum ratione stultam me dicerent et insanam, si vestra profecto deliria ego etiam delirare in animum inducerem? aut ab iis persuaderi mihi sinerem, qui ad absurda adeo pertrahere me conantur? Id autem qua tandem ratione valeam tolerare, quod sacræ et venerandæ habeantur? Idola certe novimus esse simulacra præsentatarum figmenta: quorum prototypa cum aut pretii, consequens est, ut ipsæ imagines nihilo

C κδ'. Καὶ ἡμάλα συνετῶς, μάλα γενναίως πρὸς αὐτοὺς, ἔφησεν· Ἀλλ' ὑμεῖς γε, ὦ λῷστοι, πυνθάνομαι, τίνος με εἵνεκα καταδικάζετε θάνατον; ὅτι προσκυνεῖν ἐθέλω τὴν εἰκόνα τοῦ δι' ἐμὲ κατ' ἐμὲ γεγονότος Θεοῦ; πρὸς δέ γε τῆς ἀχράντως τοῦτον τεκούσης; τῶν κηρυξάντων αὐτὸν ἐν ταῖς πέρασι; τῶν ὑπεραθλησάντων αὐτοῦ; τῶν ἄλλως εὐαρεστησάντων αὐτῷ; Καὶ πῶς οὐκ ἔξω γενοίμην νοῦ καὶ φρενῶν, τοῖς αὐτόχρημα παραπλῆξιν ὑμῖν συμφρονήσασα, ἢ καὶ καθάπαξ πεισθεῖσα τοιαῦτα καταγνάζουσι; Πῶς δ' ἀνασχοίμην, τὰς θείας καὶ σεπτὰς εἰκόνας χλευαζόντων ὑμῶν, καὶ καλούντων αὐτὰς εἴδωλα; Τὰ γὰρ εἴδωλα ἀνυποστάτων καὶ ψιλῇ διατυπουμένων ἐπινοίᾳ πλάσματά τε καὶ εἰκάσματα διεγνώκαμεν, οὐδ' ἀληθῆ τὰ πρωτότυπα D καὶ τίμια καθ' αὑτὰ καὶ σεβάσμια, τῆς αὐτῆς καὶ αἱ εἰκόνες ἐκ τοῦ εἰκότος τιμῆς καθεστήκασιν ἄξια.

imagines odio vobis sint et ludibrio, et pro idolis rerum non subsistentium, et solerti industria reverа non sint, neque per sese æstimationis ullius majori veneratione sint dignæ.

25. Ut igitur verbis nihil contra eam effici posse cognoverunt, quam tanta animi firmitate respondentem, tamque sapienter errores confutantem audiverant, immaniter eam cædere cœperunt; quodque oratione persuadere non valuerant, verberum atrocitate extorquere sunt aggressi. Sed quod intenderant non modo non sunt consecuti,

κε'. Ὡς εὖν ἔγνωσαν οὐ λόγοις πεῖσαι ταύτην δυνάμενοι, οὕτω τοι στερρῶς ἀποκρινομένην ὁρῶντες καὶ συνετῶς αὐτὴν περιτρέπουσαν, ἀνηλεῶς μαστίζειν προήχθησαν, καὶ ὃ μὴ φθαῖεν δυνηθέντες πειθοῖ, βίᾳ κατισχύσαι διενοήθησαν. Ἀλλ' ἀπέτυχον οὗ σκοποῦ, ἀλλὰ διήμαρτον τῆς ἐλπίδος· πρὸς μὲν γὰρ μικρὸν αὐτὴ θέλξασα, βροτῶν ἀφρονεστάτους,

κατὰ τὸν εἰπόντα, διήλεγξεν. Οἱ μὲν γὰρ τοὺς τύπτοντας ἐπέστησαν καὶ τὰς μάστιγας διηυτρέπισαν· ἡ δ' οὐδένα λόγον σφῶν ποιησαμένη, ὡς εἰς λόγους αὖθις ἔγνω χωρεῖν μέλλοντας, Ὃ βούλεσθε, φησὶν, μὴ μέλλετε διαπράττεσθαι. Ἴστε τῆς, ἧς ἔχομαι γνώμης, ἐκστησομένην οὐδέποτε· οὐ γάρ μέ τις πτοήσει τῶν ἀποκτεῖναι μὲν τὸ σῶμα δυναμένων, λυμήνασθαι δὲ μηδοπωσοῦν ἰσχυόντων μου τῇ ψυχῇ, ὡς ὁ καὶ ψυχὴν πρὸς τῷ σώματι δυνάμενος ἀπολέσαι, ἅτε δημιουργὸς ὢν ἀμφοῖν καὶ δεσπότης ὑπέθετο.

κϛ'. Πῶς οἴεσθε ταῦτ' ἀκούσαντες διατέθησαν; Πῶς οἱ τὴν ὀργὴν ἐκ τοῦ βασιλείου κράτους αὐχοῦντες τὴν τοσαύτην σφῶν περιφρόνησιν ἤνεγκαν; Βέλει καθά τινι τὴν καρδίαν ἐβλήθησαν· τοίνυν καὶ συνεχύθησαν τῷ θυμῷ, καὶ ἐκμανεῖς ἐγεγόνεισαν, κἀκ τοῦ ἔργου τοῦτο παρέστησαν· οὐ γὰρ ὅτι γυνὴ, οὐδ' ὅτι τὸν βίον ὁσίως τε καὶ ἀμέμπτως διήνυσεν, εἰς νοῦν ὅλως ἔβαλον, ἀλλ' ὡσεί τινα λῃστὴν, ὡσεί τινα κακοῦργον, ἢ καί τι τῶν ἐξωλεστάτων ἄλλως γυναίων ῥιπτοῦσι κατὰ γῆς, μαστίζουσιν ἀπηνῶς. Ἀλλ' οἱ μὲν ἔτυπτον, καὶ ὅση γε ἰσχὺς ἔτυπτον, ἡ δ' εἰς οὐρανὸν τὸν νοῦν ἀνατείνασα, καὶ ὅλη γενομένη τοῦ κρείττονος, εὖγε τοῦ θάρσους! εὖγε τῆς εἰς Θεὸν πεποιθήσεως! ὑπέρευγε ταύτῃ τῆς γενναιότητος! ὑπέψαλλε κειμένη· Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου· ὁ Θεός μου βοηθός μου, κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου, ὃν ἐπικαλουμένη σωθήσομαι. Καὶ τεῖχος ἐν αὐτῷ ὑπερβήσομαι, τὸ τῆς κακοδοξίας τοῦτο διάφραγμα, ὃ διατειχίζει μὲν Θεοῦ, διατειχίζει δὲ καὶ τῆς ἀφράστου ἐκείνης καὶ ἀλήκτου μακαριότητος.

In ipso transgrediar murum; murum, inquam, eterna ineffabilique in cœlis beatitudine.

κζ'. Ἦν οὖν ἰδεῖν αἱμάτων ἐκ διαφόρων τοῦ σώματος μερῶν προχεομένους κρουνοὺς, ἔδαφος φοινισσόμενον, κέρματα σαρκῶν ἄλλοθεν ἄλλα διασκιδνάμενα, σῶμα καθάπαξ κατεξανθὲν, σῶμα κατειλημμένον, καὶ πρὸ τῆς φθορᾶς μικροῦ φάναι διαφθαρὲν, ψυχὴν, δ' ἀπαθῆ, καὶ ὄντως οὐρανοδάμονα· τὴν γάρ τοι κεφαλὴν ἡ μακαρία διάρασα, Τύπτετε ὡς ἰσχὺς ὑμῖν ἔφη, τύπτετε· ἐμὲ γὰρ, εὖ ἴστε, τῆς προθέσεως οὐδόλως ἐκστήσετε, οὐδὲ τοῖς ὑμετέροις θελήμασιν ὑποκλῖναι δυνήσεσθε. Ἆρ' οὐκ ἐμφιλοσοφώτατα τὸ τοῦ Ἀναξάρχου διενοήσατο; ἆρ' οὐ κρεῖττον ἐκείνου, τοῦ ἐπὶ γενναιότητι διαβοήτου, τοῦ τὴν σοφίαν πολυθρυλλήτου τὸ σῶμα περιπεφρόνηκεν; Εἰ γὰρ καὶ μὴ θύλακον ἔφησεν, ἀλλ' ἐνόμισε καὶ τοῦ μηδενὸς ἐτίμησε, κρεῖττον ὄντως ἐκείνου καὶ ἐφιλοσόφησε καὶ ἠνδρίσατο. Ὁ μὲν γὰρ ἐπ' ὀλίγον ἐμαστίχθη, καὶ ὡς ἐνθεάτρῳ τοῖς παρατυχοῦσιν ἐμφανίζεσθαι ἤθελε, καὶ τὴν παρ' ἀνθρώπων δόξαν ἐκαρτέρει θηρώμενος, οἵ τε γὰρ ὁρῶντες στιζόμενον, καὶ ταῖς στίξεσιν οὐ κατακαμπτόμενον ἐτεθήπεσαν,

A verum etiam omni prorsus excidernnt spe, quæ paululum eos decipiens, probavit esse, ut ait ille, stultissimos virorum. Illi enim verberantes instruebant et dirigebant ictus: ipsa vero nihili eos faciens, ut vidit a verberibus ad verba rursum devenire paratos: Quod, inquit, facere vultis incunctanter peragite. Nostis me ab ea quam nunc habeo mente discessuram nunquam. Nec sane quisquam me terruerit eorum, qui corpus quidem istud occidere possunt, animæ autem meæ molestiam ullam afferre non possunt, quemadmodum potest is qui animam una perdere valet cum corpore, quia tam hujus quam illius factor est et creator.

B 26. Qua ratione affectos fuisse putatis hæc audientes? quo modo tantum sui ipsorum contemptum excepisse eos, qui ob datam sibi a crudeli imperatore potestatem, tollebant supercilium? Transfigebatur cor eorum velut jaculo quodam, et toti confundebantur præ furore, efficiebanturque rabidi, et per iracundiam agebant omnia. Non enim omnino in mentem sibi venire patiebantur, aut quod mulier esset, aut quod adeo religiose inculpateque vixisset; sed, veluti maleficam et feminarum omnium ultimam nequissimamque, solo afflixerunt et inclementer flagellarunt. Verberabant illi, et verberabant viribus totis; ipsa vero mente in cœlum defixa, et majora melioraque omnia cogitans (o insignem animi fortitudinem! o præclaram in Deum fiduciam! o nunquam satis laudandam generositatem!) in terram licet prostrata, C hæc e Psalmis suaviter concinebat: Dominus firmamentum meum et refugium meum, et liberator meus. Deus meus, auxiliator meus, cornu salutis meæ, et susceptor meus, quem invocans salva ero. perversitatis hujus, quæ separat a Deo atque ab

27. Cernere igitur erat rivos quasi sanguinis e variis virginei corpusculi partibus profluentes, solum purpuratum, carnium frusta alio alia loco sparsa, corpus prorsus lacerum, corpus dissolutum, et ante mortem quasi præmortuum, cum anima interim perturbationis expers in ipso quodammodo cœlo versari videretur. Etenim sublato aliquantisper capite: Verberate, inquiebat, quantum potestis, D quin etiam cunctas in verba afferte vires; nostis enim, a pristina mentis sententia nullo me modo dimovendam; nec vestris unquam desideriis me subjicere poteritis. Nonne ergo quod in Anaxarcho (6) philosopho fuit præclarissimum insigniter tenuit? nonne melius quam ille, ob nobilitatem celebris, et ob sapientiam clarissimus, corpus suum contempsit? Si enim, femina exsistens, molle nihil, nihil sensit aut dixit femineum, nec reverita est quemquam; sublimius profecto quam ille philosophata est, et generosius egit. Hic videlicet exiguo solum tempore verberibus contusus, spectatoribus

(6) Anaxarchi Abderitæ, cum jussu Nicocreontis Cyprii tyranni in saxeo mortario contunderetur, ea vox laudatur a Laertio, Ciceronе, Valerio: « Tunde, tunde Anaxarchi follem, Anaxarchum enim non tundis. »

gestiit quemadmodum in theatro conspicuus esset; et hoc unum tantummodo laudem consectatus, fortiter fecit; cum scilicet præsentes obstupescerent hominem, sub ipsa contusione ne quidem sese torquentem in latus, ipsique qui eum contundebant commotis animis eumdem demirarentur. Beatam vero hanc, tam qui cædebant, quam qui cæsam spectabant, non modo non miserabantur, sed infensissimo quoque prosequebantur odio, et dementiam ei objectabant, propter quam eam putabant infelicem.

A καὶ οἱ μαστίζοντες παραυτὰ μεταβληθέντες ἐθαύμαζον· τὴν δέ γε μακαρίαν ταύτην οἱ τύπτοντες σύναμα καὶ οἱ τυπτομένην θεώμενοι οὐχ ὅτι γε οὐκ ἠλέουν, ἀλλὰ καὶ ἐμίσουν ἐκ ψυχῆς, καὶ ἐλοιδοροῦντο ταύτῃ τῆς ἀπονοίας, καὶ ἐταλάνιζον.

28. Revera post illam Dei supra naturam omnem positi incarnationem, iis quoque qui sub natura sunt supra naturam agere multa et pati concessum fuit. Neque id immerito; quippe natura omni superior, naturæque effector Deus, et præter naturæ leges natus homo multaque supra ejus vires efficere valens, naturæ quoque dedit nonnulla supra vires perpeti, quemadmodum in hac beata fecit. Quo enim modo valeret femina, imbecillis sexu, pœnitentiis exhausta, corpore verberibus sic laceratо, atque, ut ita dicam, discerpto, talia inter medios cruciatus sentire et profari? Equidem sic existimo, divinam Theodosiam, Machabæorum exemplo, corporearum omnium affectionum dominam constituisse rationem, vere invictam, vere insuperabilem. Cæterum, ut tam fortiter tamque constanter cruciatus peracerbos ab ea sustineri viderunt qui eos inferebant, partim quidem quod a femina victos seipsos erubescerent, partim contra suam ipsorum pravitatem agentes, et in rabiem quodammodo acti, quod tunc unum superesset, in carcerem amandatam carceralibus tradunt ærumnis, ita eam fatigare volentes, et regiæ tandem subjicere voluntati.

κη'. Ὄντως μετὰ τὴν τοῦ ὑπερφυοῦς Θεοῦ ἐνανθρώπησιν καρτερεῖν τὰ ὑπὲρ φύσιν τοῖς ὑπὸ φύσιν κεχάρισται, καὶ κατὰ λόγον ὄντως. Ὁ γὰρ ὑπὲρ φύσιν Θεὸς, καὶ τῆς φύσεως δημιουργὸς ὑπὲρ φύσιν τε γεγονὼς, καὶ τὰ ὑπὲρ φύσιν ἐνηργηκώς, φέρειν τῇ φύσει τὰ ὑπὲρ αὐτὴν ἐχαρίσατο, B ὁποῖά γε κἂν τῇ μακαρίᾳ ταύτῃ τετέλεσται· καὶ πῶς γὰρ ἄλλως ἴσχυσεν ἂν γύναιον ἁπαλὸν τῇ φύσει, ἐκτακὲν τῇ ἀσκήσει, τὰς σάρκας οὕτω κατατιτρωθὲν, καὶ ὡς εἰπεῖν διασπαραχθὲν, τοιαῦτα φιλοσοφεῖν ἐν τοῖς πάθεσιν; Ὄντως αὐτοκράτορα τῶν παθῶν τὸν λογισμὸν κατὰ τοὺς πάλαι Μακκαβαίους παρέστησεν, ὄντως ἀήττητον, ὄντως ἀκαταγώνιστον. Πλὴν ἀλλ' ὡς εἶδον οὕτω γενναίως τὰς βασάνους, οὕτω καρτερῶς φέρουσαν, τοῦτο μὲν γυναικὸς ἡττώμενοι καὶ τὴν ἧτταν ἐπαισχυνόμενοι, τοῦτο δὲ τῆς σφῶν κακοδοξίας ἀντιποιούμενοι καὶ οἷον ἐκθηριούμενοι, τό γε νῦν εἶναι φρουρᾷ παραπέμπουσι, καὶ τοῖς τῆς φρουρᾶς παραδιδοῦσι, δεινοῖς, κάμψαι ταύτην οὕτω βουλόμενοι, καὶ τῷ βασιλείῳ καθυποτάξαι βουλήματι.

29. Non paucis deinde elapsis diebus, cum de ea iterum periculum facerent, eamdemque sicut ante persistere invenirent, ac ejusdem cognoscerent manere sententiæ, mortem ejus decernunt. Mox alii manibus eam accipientes, alii per capitis velum trahentes, aliis alii corporis membris eam raptantes, velut pecus quoddam, ducebant ad lanienam innocentem Dei buculam, ejusdem stabuli et pascui consortem, neque ab eis divelli unquam se passam. Non deerant interim qui eam percuterent, et inclementer verberarent; nam cæteros qui eam convitiis, e pleno (ut dicitur) plaustro petitis, onerabant omitto dicere. Postquam autem eo venerunt, ubi decreverant finem facere iis quæ intendebant (decreverant autem id facere in macello (7), ut tanquam ovis jugularetur aut veluti jumentum mactaretur tam ad contumeliam ipsius, quam ad aliorum idem cum ipsa sentientium irrisionem); postquam, ut dixi, pervenere quo volebant, carnificum nonnemo novum quiddam et insolitum excogitavit: illam enim quæ capitis abscissione aut machæræ impulsu peragitur, mortem acerbam quidem accidere, attamen tolerabilem arbitrabatur. Arrepto itaque quod in via publica forte offerebatur cornu (8) virginem sanctam

κθ'. Ὡ δὲ τῶν ἡμερῶν ὀλίγαι παρελήλυθεσαν, καὶ πεῖραν αὐτῆς ποιησάμενοι ἐπεὶ τὴν αὐτὴν αὖθις εὗρον, τὴν αὐτὴν αὖθις ἀνέγνωσαν, καταδικάζουσιν αὐτῆς θάνατον. Ἔνθεν τοι καὶ οἱ μὲν τῶν χειρῶν ταύτης λαβόμενοι, οἱ δὲ τῆς κεφαλῆς καλύπτρας ἁρπάσαντες, ἄλλοι δ' ἄλλου μέρους τοῦ σώματος εἶλκον, καὶ ὡς βόσκημα ἦγον ἐπὶ σφαγὴν τὴν ἀπειράκακον ὡς ἀληθῶς Θεοῦ δάμαλιν, καὶ τῆς αὐτῆς νομῆς τε καὶ μάνδρας ἀντεχομένην, καὶ μὴ μεταστῆναι τὸ παράπαν αὐτῆς ἀνεχομένην. Εἰσὶ δ' οἳ ἔτυπτον ἐν τῷ μεταξὺ, καὶ ἀνηλεῶς ἔτυπτον· τοὺς γὰρ ὕβρεσι πλύνοντας καὶ ὡς ἐξ ἀμάξης, ὅ φασι, διαλοιδορουμένους παρίημι. Ἀλλ' ἐπείπερ ἔφθασαν ὅποι δὴ τέλος δοῦναι προὔκειτο, τοῖς κατὰ σκοπὸν (ἐν μακέλλῳ δ' αὐτοῖς προὔκειτο, ἵν' ὡς ἀμνάδα παραδῶσι σφαγῇ, καὶ ὡς ἕν τι τῶν κτηνῶν κτείνωσιν, ἅμα μὲν εἰς χλεύην τῆς μακαρίας, ἅμα δὲ καὶ τῶν ὁμοφρόνων ταύτῃ κατάγελων), ἀλλ' ὡς ὅποι δὴ καὶ βούλοιντο παραγένοιντο τῶν τις δημίων καινότερόν τι διενοήσατο· τὴν μὲν γὰρ διὰ τοῦ ξίφους τομὴν, πικρὰν μὲν καὶ ἄλλως ὀδυνηρὰν, ἀλλ' οὖν φορητὸν δή πως ἡγήσατο, καὶ τὴν διὰ μαχαίρας ὡσαύτως. Κέρας οὖν τῶν παρευρεθέντων λαβὼν, εἰς γῆν τε τὴν Ἁγίαν καταβαλὼν, καὶ τῆς κόμης πρὸς ἑαυτὸν ἀνακλάσας, διὰ τοῦ γαργαρεῶνος ὠθεῖ, καὶ

C D

(7) De loco supra jam actum est. Μάκελλον autem, Latina licet vox sit, etiam Paulus dixit, I Cor. x, 25. Μακελλεῖον alii; hinc λεωμακέλλιον, Macellum publicum apud Cedrenum.

(8) Arietinum cornu fuisse indicat auctor distichi in Synaxariis.

σπονδύλους τούτῳ διιστεμών, πικρότατα τῆς τοῦ πνοῆς αὐτὴν ἀφαιρεῖται σύναμα καὶ τῆς ζωῆς. deinde occurrunt vertebris, acerbissimo cum doloris sensu spiritum martyri vitamque ademit.

A prosternit solo; et crinibus eam corripiens, magna vi in jugulum (9) cornu impellit, et diffractis quæ

λ'. Καὶ οἱ μὲν οὕτω τὰ κατὰ θυμὸν ἔπλησαν· ἡ δὲ εὐθὺς τῶν κατ' ἔφεσιν ἔτυχε· παραπομποὺς γὰρ ἀγγέλους εὑρήκει καὶ προπομποὺς, οἳ καὶ προηγοῦντο ταύτης, καὶ μετ' εὐφημίας παρέπεμπον, καὶ εἰς οὐρανὸν ἐκ γῆς μετεβίβαζον. Τάχα δ' ἂν ἀναγομένη τοιαῦτα τὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας μετὰ παῤῥησίας ἐφθέγγετο, Ὑψώθη κέρας μου ἐν Θεῷ μου. Ἐν γὰρ αὐτῷ τοὺς ἐμοὺς ἐχθροὺς ἐκεράτισα, καὶ νῦν ἰδοὺ πρὸς αὐτὸν ἄπειμι, αὐτὸν ἀμέσως τὸν δι' ἐμὲ γεγονότα κατ' ἐμὲ προσκυνήσουσα, τῆς Θεομήτορος θείας ἀπαπολαύσουσα, τὰς διὰ Χριστὸν ἀθλησάσας, τὰς βιωσάσας ἄλλως κατὰ Χριστὸν ἀσπασομένη, καὶ τῆς σφῶν ὁμιλίας κατατρυφήσουσα, εἴπω συνελοῦσα, τῶν τέως μοι προσκυνητῶν τύπων ὀφομένη νῦν ἀπέρχομαι τὰ πρωτότυπα· ἀπὸ γοῦν ἐμοῦ οἱ πονηρευόμενοι πάντες ἀπόστητε. Ἀλλ' ἡ μὲν οὕτως εἶχεν, οὕτως ἀνήρχετο· οἱ δέ γε ταύτης προπορευόμενοι, παρεπόμενοί τε καὶ συνεπόμενοι τί ἂν ἐποίουν, καὶ ὅπως διέκειντο; Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ὡς ὁ Κύριος αὐτὸς εἴρηκε, χαίροντες, πόσης ἂν ἐπὶ τῇ ἐκ παιδὸς εὐθὺς εὐαρεστησάσῃ τῶν τούτου θεσμῶν χαρᾷ τε καὶ θυμηδίᾳ ἐπλήσθησαν;

30. Atque hi quidem ea qua dictum est ratione furorem suum expleverunt; Theodosia vero votis ac desideriis suis omnino potita est. Cœlestium quippe geniorum præcedentium subsequentiumque comitatu stipata, non sine insigni laudum præconio, e terris in cœlum deducta fuit. Dum autem ascenderet, poterat ad principatus et potestates sic fidenter loqui: Exaltatum est cornu meum in Deo meo; illo quippe propitio, inimicos meos ventilavi cornu; et ecce nunc ad eum proficiscor, ipsummet qui pro me factus est homo, velamine amoto adoratura, et Matris ejus sanctissimæ fruitura conspectu, ac salutatura cæteras quæ vel pro Christo passæ sunt vel secundum ejus præ B cepta vixere, et ex earum conversatione non exiguum captura gaudium. Abeo, inquiebat, earum imaginum, quas religioso semper cultu venerata sum, ipsamet conspectura prototypa. Discedite a me igitur omnes qui operamini iniquitatem. Hoc itaque modo Theodosiæ res sese habuere, hac ratione in cœlos evasit. Nunc autem, qui illam præcedebant, qui comitabantur, quique subsequebantur angeli, quid fecisse aut quibus incessisse modis arbitramur? Etenim si super uno peccatore pœnitentiam agente, quemadmodum ipsemet Dominus testatus est, tantum ipsis sit gaudium, quanta eos lætitia, quanto gaudio dicemus fuisse repletos, ob eam quæ a primis vitæ suæ annis ei placuit per mandatorum ejus observationem?

λα'. Ἐγωγε οἶμαι ὡς οὐχ ἧττον ἢ ὅτε τὴν τῆς πρωτομάρτυρος παρέπεμπον Θέκλης ψυχὴν, καὶ ἐκρότουν καὶ ἔχαιρον, καὶ τὸν ἄνθρωπον ὑπὲρ ἀνθρώπων γενόμενον ὕμνουν τε καὶ ἐδόξαζον. Ἡ μὲν γὰρ τῷ εἰς τρίτον οὐρανὸν ἀνελθόντι Παύλῳ, καὶ τὰ ἄῤῥητα μυηθέντι κατηκολούθησε, διά τε πολλῆς ὅτι μυσταγωγίας πρὸς τὸ τοῦ μαρτυρίου στάδιον ἀπεδύσατο· ἡ δ' οὐχ ὅπως διδασκάλῳ κατὰ Παῦλον ἐχρήσατο, ἀλλὰ οὐδὲ τῶν πολὺ μετ' ἐκεῖνον· τὸ δέ γε μεῖζον, ὅτι καὶ συχνοῖς ἄγαν τῶν ὁμογνωμόνων δῆθεν πρὸς τοὐναντίον μεθελκομένη, τοῦ ὀρθοῦ περιέσχετο, καὶ ὑπερθανεῖν αὐτοῦ εἵλετο. Καὶ ἡ μὲν ἐπὶ πράγματι τὴν ἔνστασιν ἐνεδείξατο, παρ' ἅπαντι ὡμολογημένῳ, τελείῳ τε ἅμα καὶ ἀτελεῖ· ἡ δ' ἐπ' ἀμφιβαλλομένῳ συχνοῖς, ἀτελέσι, λέγω, οἳ καὶ πλείους, ὥς φασι, καὶ πολλὰς ὅτι τὰς ἀντιλογίας εὑρίσκουσιν, ὤφθη τε ἀπερίτρεπτος, καὶ τὰ παραπλήσια ἐνστᾶσα τῇ πρωτομάρτυρι τὰ ἴσα διεκαρτέρησε. Πόσον δ' ἂν ἡγήσαντο ὅτι καὶ συνάθλους πλείστας πεποίηκε, καὶ πρὸς τὸν αὐτὸν ὑπὲρ Θεοῦ ζῆλον ἐπῆρε, καὶ τῆς ἄνω βασιλείας κληρονόμους κατέστησεν; Ἀλλ' ἄγγελοι μὲν οὕτωσί πως ἔχαιρον, ὁσίων τε δῆμοι καὶ μαρτύρων ἄλλοθεν ἄλλοι προσυπαντῶντες, ὡς τὸ εἰκὸς, ἐδεξιοῦντο τὴν ὁσίαν ἅμα καὶ μάρτυρα, καὶ τῆς σφετέρας μοίρας ἑκάτεροι ποιῆσαι ταύτην ἐπόθουν καὶ ἰδιώσασθαι· Θεὸς

31. Ad me quod attinet, non minori illam plausu lætitiaque exceptam, nec pauciores laudum ac gratiarum hymnos Deo propter hominem humanato decantatos fuisse arbitror, quam tunc cum protomartyris Theclæ (10) animam deduxere angeli. Illa quidem Paulo in tertium usque cœlum rapto, et arcana non revelanda edocto, discipula adhæsit, a C quo cum non pauca de rebus cœlestibus didicisset, ad martyrii stadium alacriter decurrendum egregie profecto fuit instructa. Quid autem Theodosia? Non Paulum, Paulive similem, aut etiam eorum unum qui diu sane post Pauli tempora vixerunt, præceptorem nacta est: sed quod pluris faciendum, cum plurimi Christianorum (11) palam in contrariam partem traherent, rectam tamen viam tenuit, et pro veritate mori elegit. Illa constantiam tenuit super re, imperfectis æque ac perfectis indubitata; Theodosia, pro ea quæ a multis vocabatur in con D troversiam, ab imperfectis scilicet, qui multas et magnas in contrarium rationes inveperant, ut aiebant, mansit inconcussa; in cæteris vero pari cum protomartyre perseverantia nihil quam illa minus egit fortiter. Illud porro quanti faciendum est, quod plures ejusdem certaminis effecerit socias, quas ad similem zelum pro Deo excitavit, snoque exemplo in cœlestis regni hæreditatem immisit? Hoc ergo

(9) Melius forte Ambrosianum Synaxarium κατὰ αὐχένα in cervice: quis enim nescit vertebras in cervice, non in gutture esse?

(10) S. Thecla, discipula S. Pauli, colitur 23 Septembris.

(11) Quia τῶν ὁμογνωμόνων, *ejusdem sententiæ*, de fide circa Christum duntaxat intelligi hic debet, *Christianorum* verti.

modo lætabantur angeli, sanctorum vero et martyrum turmæ, aliæ aliunde progredientes obviam, sanctæ simul ac martyri occurrebant, ut par erat, et suæ quique parti cupiebant propriam vindicare. Deus autem, cujus ope et cujus causa certaverat, eum utrisque conversans fecit ut cum utrisque præmio perfrueretur æterno.

A δ' ὑπὲρ οὗ καὶ δι' ὃν ἠγωνίσατο διαιτήσας ἀμφοῖν, τῶν αἰωνίων ἀγαθῶν ἀμφοῖν συναπολαύειν ἐνδέδωκεν.

CAPUT V.

Miracula ad S. Theodosiæ invocationem patrata, ubi Auctor de se et suis.

32. Atque hujusmodi ferme fuere ea quæ Sanctæ in cœlo contigerunt, prout congrue conjectare licet; nos vero qui in terra positi sacras ejus reliquias feliciter possidemus, quid tandem facere, aut qua ratione affectos esse oporteat, considerabimus, præsertim cum tot ejus admiranda opera nullo non die experiamur, videamusque homines, corporis usu viribusque destitutos, hactenus membrorum suorum rectam consequi conformationem; surdos ac mutos, recuperato aurium et linguæ usu, ob insignia adeo miracula gaudio exsultare, et Deo, qui tanta erga homines operatur, gratias exhibere; et illam propter cujus merita tantum beneficiorum accipimus, quæque tanta in cœlo gloria, tanta in terris potestate pollet, debitis honorum et laudum titulis, ut par est, prosequi. Multa sunt quidem quæ Sancta quotidie facit admiranda, sed quæ ipsis hisce oculis videre meruí, non possum non enarrare.

λβ'. Ἐν μὲν οὐρανῷ τοιαῦτά τοι τῇ Μακαρίᾳ τῇδε συνήντηκεν, ὅσα γε ἐκ τῶν εἰκότων ἔστι στοχάσασθαι· τοὺς δ' ἐπὶ γῆς εὑρισκομένους ἡμᾶς καὶ τὸ ἱερὸν αὐτῆς κατέχοντας λείψανον τί ποιεῖν ἄρα χρὴ, καὶ ὅπως δεῖ διακεῖσθαι, σκοπήσωμεν, καὶ ταῦθ' ὁσημέραι τῶν θαυμάτων αὐτῆς ἀπολαβόντας, τοὺς τέως παρειμένους τὴν ὁλομέλειαν τῆς σφῶν διαρτίας ὁρῶντας αὖθις αὖ ἀπολαβόντας, κωφοὺς καὶ ἀλάλους, φωνοῦντάς τε καὶ ἀκούοντας ἐφηδύνεσθαι, B πάντως ταῖς θαυματουργίαις εὐχαριστεῖν τῷ ἐφ' ἡμῶν τοιαῦτα διενεργοῦντι Θεῷ, καὶ τὴν δι' ἧς ταῦτ' ἐνεργούμεθα τὴν δεδοξασμένην ταύτην ἐν οὐρανοῖς, καὶ οὕτω μεγάλα ἰσχύουσαν ἐπὶ τῆς γῆς, τὰ εἰκότα καὶ γεραίρειν καὶ εὐφημεῖν. Πλεῖστα μὲν οὖν ἡ Ἁγία ὁσημέραι τερατουργεῖ· ἀλλ' οὕπερ αὐτόπτης ἐγενόμην οὐκ ἀνήσω μὴ διηγήσασθαι.

33. Puer quidam erat ætate ad pubertatis annos jam progressus, ex eorum pagorum uno aliquo, qui in Phrygia ad fluvium Rhyndacum (12) sunt, oriundus, sed a patrio solo peregrinus. Hic, quod dictu abominabile, vagorum Agarenorum impietatem sectabatur, et Constantinopolim adveniens, hac illac per civitatem oberrabat. Ecce autem, o rabiem dæmonis, omnium contra nos malorum auctoris! die quadam impletur tenebris et vertigine. Meridianum scilicet erat tempus, quando etiam David ait non habitantibus in adjutorio Altissimi, et in Dei tabernaculo non commorantibus, dæmoniacas imaginationes ingruere. Cum igitur sic agitaretur, et ratio ei non parum esset conturbata, derepente etiam contortis ita repertus fuit genibus, ut tibiæ femoribus adhærerent, et abortivis illis haud dissimilis appareret, quos ad prætereuntium concitandam commiserationem plateis expositos frequenter conspicimus; quin etiam apoplecticus totus erat, nec plane intelligere poterat D quid pateretur. Cum autem natura cogeret ad ea quibus assuevit, tunc satis cognoscens quid mali esset (reptilis enim factus erat, qui eatenus solebat pedibus incedere) manibus æque ac pedibus utens, supra sua se genua non promovebat, sed protrahebat, eatenus saltem rationis compos, ut victum quæreret mendicato. Sic hac illacque repentem seque volutantem (nec enim aliter poterat) ad meas quoque æedes eum contigit devenire, mihique in conspectum venire, non gressu debilem, non claudicantem, sed manifeste repentem et gradientem supra pectus ac ventrem, secundum veterem maledictionem serpentis.

λγ'. Παιδίον τὴν ἡλικίαν ἤδη πρόσηβον ὄν, πατρὶς τῷδε τῶν περὶ τὸν Ῥυνδακὸν ποταμὸν μία κωμῶν, τῆς προενεγκούσης μεταναστὰν, τὸ δ' ὅπως λέγειν οὐ φορητὸν, ἀσεβῶν τὰ κύκλῳ καταδραμόντων Ἀγαρηνῶν, καὶ παρὰ τὴν Κωνσταντίνου γενόμενον, τῇδε κἀκεῖσε τῆς πόλεως ἀλώμενον ἦν. Ἀλλ' ὦ τῆς ἀνέκαθεν τοῦ ἀρχεκάκου πρὸς ἡμᾶς δυσμενείας! σκότου καὶ δίνης μιᾶς πληροῦται τῶν ἡμερῶν. Μεσημβρίας ἦν ὁ καιρὸς, ὅτε δὴ καὶ ὁ θεῖος ἔφη Δαυὶδ τοῖς μὴ κατοικοῦσιν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, μηδ' ἐν τῇ σκέπῃ τοῦ Θεοῦ αὐλιζομένοις, τὰ δαιμονιώδη συμπίπτειν φαντάσματα· παθὼν οὖν οὕτω καὶ τὸν λογισμὸν οὐκ ἐπ' ὀλίγον συνταραχθέν, τὰς ἰγνύας συνεστραμμένας αἴφνης ἔχον εὑρέθη, τοῖς μηροῖς τὰς κνήμας συμπεφυκυίας, ὁποῖα τῶν ἐκ γενετῆς ἀμβλωμάτων συχνὰ παρὰ τὰς πλατείας τῆς πόλεως ἐρρίπτε, τὸν τῶν παριόντων ἔλεον ἐκδεχόμενα· ἀλλ' ἦν ὡς ἐπίπαν ἀπόπληκτον τὸ παιδάριον, καὶ μηδ' ὅ τι πεπόνθει, συνιέναι τὸ παράπαν δυνάμενον. Ἐπεὶ δ' ἡ φύσις πρὸς ἅπερ εἴωθε κατηνάγκασε, τότ' ἔγνωκεν ἀκριβῶς οὗ κακοῦ γέγονεν (ἑρπυστικὸν γὰρ κατέστη τὸ τέως βαδιστικὸν) χερσὶ μὲν οἷα καὶ ποσὶ χρώμενον, τοῖς δὲ γόνασιν οὐχ ὅπως γε προβαῖνον, ἀλλὰ συρόμενον, νοῦν οὕτως ἔχων ἐπιπολὺ, τὰ πρὸς χρείας ἐξ αἰτήσεως ποριζόμενον, ἕρπον τε τῇδε κἀκεῖσε καὶ κυλινδούμενον. Ἠτοιαύτη γε μὴν ἅλη τούτου καὶ παρὰ τὴν ἐμὴν οἰκίαν γενέσθαι πεποίηκε, καί μοι πρὸς ὄψιν ἦλθεν, οὐ χωλεῦον, οὐκ ὀκλάζον, ἀλλὰ σαφῶς ἕρπον, γάπτι τῷ στήθει καὶ τῇ κοιλίᾳ κατὰ τὴν παλαιὰν ἐκείνην κατάραν τοῦ ὄφεως πορευόμενον.

(12) Rhyndacus fluvius Mysiæ (Phrygiæ majoris ea pars est) in Propontidem influit ad cognominem sibi urbem. Sunt qui credant Plinio Lycum dici.

λδ'. Ἀλλ' οὐ πάνυ γε συχναὶ παρῆλθον τῶν ἡμερῶν, καὶ βαδίζων αὖθις πρὸς ἡμᾶς ὁ παῖς γέγονε, βαίων ἀπρόσκοπτα, ἐπί τε τοῖν ποδοῖν ἀμφοῖν ὀκηριπτόμενος, καὶ ἱστάμενος ὄρθιος, ὡς γε δὴ πάντες οἱ διὰ πλάσεως εὖ ἔχοντες, τέρας τοῦτο τοῖς προϊοῦσιν ἅπασιν ἔδοξε, καὶ ἄλλος ἄλλον εὐθὺς μετεκαλεῖτο. καὶ ἕτερος ἑτέρου περὶ αὐτῷ ἐπυνθάνετο, Οὐχ οὗτος ἐκεῖνος, λέγων, ὁ πρὸ μικροῦ μεταφορητός; Οὐχ οὗτος ὁ χθὲς ἔχων καὶ πρότριτα συγκεκαμμένα τὰ γόνατα; Καὶ ἐπὶ πολύ πως διηπορούμεθα, εἰ ἐπαληθεύοντά εἰσιν ἡμῖν τὰ τῆς ὄψεως, ἕως αὐτὸς ἔγωγε ἐγγύτερον ἀγαγὼν ὅπως τε ἠρόμην, καὶ πότε ὑγιεῖς οὕτω τοὺς πόδας ἐγένετο. Καὶ ὅς, Ἐξῆλθον, ἔφη, τῶν ἐνταυθοῖ, παρὰ τὸν αἰγιαλὸν γέγονα, ὡς τῶν παριόντων αἰτοίμην ὡς τοῦ παρ' αὐτῶν ἐλέους τυγχάνοιμι· ἀλλά τις τῶν ὁδιτῶν (οὐκ οἶδ' ὅπως τις, οὐ γὰρ ἑώρακα πρότερον, οὐ μετὰ ταῦτα τοῦτον τεθέαμαι) καινότερον ἐπ' ἐμοὶ πεποίηκεν ἔλεον, ἅρας με· καὶ γὰρ ἐπωμάδιον παρὰ τὴν Ἁγίαν φέρων κατέθετο· οὕτω γὰρ καλεῖσθαι τὴν μακαρίαν ταύτην Θεοδοσίαν ἡ τῶν θαυμάτων συνέχεια παρά γε τῇ μεγαλοπόλει ταύτῃ πεποίηκεν, οἶμαι δὲ καὶ τῶν πόλεων πανταχῇ· πανταχῇ γὰρ ἐξαπλοῖ τὴν χάριν· ὅτι καὶ πανταχόθεν ξυῤῥέοντες οἱ κακῶς ἔχοντες τῶν ἰάσεων ἐπανίασιν ἀπολαβόντες.

λε'. Τοίνυν καὶ ἀνωνύμως οὕτω τὸ παιδάριον ἀπεκάλεσεν. Καὶ δή με ὑποθεὶς, ἔφη, τῇ ταύτης σορῷ, ἐλαίῳ τε χρίσας τῆς ἐπηωρημένης φωταγωγοῦ ἐξιὼν εὔχετο. Ἐγὼ δ' ἐναπολειφθεὶς ἐν ἀμηχάνῳ γεγένημαι· οὐ γὰρ προβαίνειν ὅλως, οὐ μεταβαίνειν ἠδυνάμην, ἀλλ' ὡς τι παρεῤῥίμμην ἄχθος καὶ τῶν πρὸς χρείαν ἐστερούμην ὁ δείλαιος. Τρεῖς τῶν ἡμερῶν παρεῤῥύησαν, καί μοι ζάλη τις περὶ τὸν λογισμὸν γέγονεν, οὐχ οἵαπερ ἐκείνη ἡ πρὸ μικροῦ ξυμπεσοῦσα, καὶ τὰ γόνατα παραρθρώσασα, φρίκην μοι καὶ μόνης ἀπὸ μνήμης ἐκείνης ποιεῖ, γαλήνην δὲ τὴν καρδίαν πληροῦσα, καὶ πρὸς τὸ εὔθυμον μεταβάλλουσα· ὅθεν καὶ ὡς ἐν ὕπνῳ πεπεδημένος εἶναι δόξας, ὑγιὴς ἀναθορῶν εὕρημαι, ἑστην τε ἐπὶ πόδας, καὶ προέδην ἐπὶ μακρὸν, ἐν ἑαυτῷ τε γενόμενος, καὶ ὅθεν ἥκέ μοι σύνιδών ἡ βοήθεια, τῇ τῆς Ἁγίας προσδεδραμήκειν σορῷ, καὶ τῇ ταύτης περιφὺς εἰκόνι, καὶ συχνὰ ταύτην περιπτυξάμενος, ἐξῆλθον, ὡς ὁρᾶτε, τοῦ ἐπ' ἐμοὶ δοξάζων θαυματουργήματος· καὶ νῦν ἡμέραι τέτταρες ἤδη ἐξ οὗ τὴν πόλιν περινοστῶ, ἐλευθέως· ὅποι καὶ βούλομαι πορευόμενος.

λς'. Ἀλλὰ μηδὲ τὰ ἐμὰ ὅτιπερ ἐμὰ παραλειπτέον ἐμοὶ, ὡς μὴ καὶ αὐτὰ λήθης παραπεμφθείεν ῥοῇ, κἀγὼ μέμψει δικαίᾳ καθυποβληθείην ἀχαριστίας, μηδὲ λόγῳ ψιλῷ παραδοῦναι προθυμηθείς, ἅπερ εὖ τοῖς ἔργοις ἔφθην παθών· περὶ δὲ τοῦ δευτέρου τὸν λόγον ποιήσομαι πρότερον. Γαμβρὸς ἐμὸς ἐπὶ θυγατρὶ τῶν εὐγενῶν οὗτος καὶ περιβλέπτων, ἀδελφι-

A 34. Non multi inde effluxerant dies, cum rursus ad ædes nostras idem se adolescens contulit, absque omni impedimento omnique incommodo progrediens, utroque firmiter consistens pede, et corpore in altum erecto, quemadmodum solent ii quibus omni ex parte absoluta membrorum omnium conformatio obtigit. Prodigium hoc omnibus qui aderant non mediocre visum est: ac alii confestim alios, ut fit, advocantes, super adolescente illo multa ex invicem sciscitabantur. Nonne, inquiebant, ille hic est, qui non a multo tempore huc ad nos fuit delatus? Nonne idem ipse ab heri et nudiustertius contracta habebat genua? Multum igitur dubitabamus, num vera essent quæ videbamus oculis; donec ego ipse propius ad eum accedens B percunctari cœpi, qua tandem ratione, quove tempore pedum sanitatem consecutus esset. At ille, Non ita pridem, inquit, hinc ad littus egressus sum, ut a prætereuntibus eleemosynæ aliquid rogando consequerer; cum ecce e transeuntibus unus quisquam (nec enim quis fuerit scio, qui ante nunquam hominem videram, et deinde non conspexi amplius) insolitam mihi eleemosynam contulit, dum arreptum me atque in humeros suos sublatum, deposuit apud Sanctam: hoc quippe nomine beatam Theodosiam appellari, in hac magna civitate fecit miraculorum multitudo: existimo autem sic etiam in aliis ubique urbibus nominari; ubique enim gratiam divinitus sibi collatam explicat; quare etiam undique confluunt male habentes, et discedunt sanitatis restitutione consecuti.

33. Itaque Sanctam quoque puer iste vocans C absque proprio nomine, Super hujus, inquit, tumulum me ponens ille, et desuper appensæ lampadis oleo inungens, oravit et abiit. Ego vero derelictus, quid agerem nesciebam: nam neque progredi neque digredi inde poteram, sed inutilis instar ponderis remanebam, omnibus ad vitam necessariis rebus destitutus miser. Tres abierant dies, cum mihi quædam mentis concussio accidit, non qualis ante exiguum tempus superveniens mihi genua contraxit, et vel sola recordatione sui horrorem mihi incutit; sed animum implens tranquillitate, optimeque componens, unde, veluti si somnianti tantum oblatum fuisset pedum impedimentum, ita me sanum exsiliens reperi, stetique in pedes erectus et modicum progressus sum. Tum vero in meipsum regressus, et unde auxilium mihi D venisset intelligens, ad Sanctæ sepulcrum cucurri; et sacræ ejus imagini affusus, cum illam complexu frequenti strinxissem, exivi, ut videtis, miraculum in me factum celebrans. Quartus vero nunc dies est, ex quo urbem hanc omnem sanus obambulo, et quocunque locorum fuerit libitum absque impedimento pergo.

36 Sed quæ mea sunt, tanquam si mea non essent, prætereire non debeo; ne si profundo ea silentio obruam, ingratitudinis notæ subjiciar, quod nec sermone quidem exili dignatus ea fuerim, in quibus opere benefico præventus sum cum essem infirmus. Quod autem posterius accidit, de eo prius sermonem instituam. Gener mihi per

fil am est nobilis atque illustris, utpote nepos ejus qui modo pie imperium moderatur; illius vero filius, qui ex legitima parentum, avorum, et proavorum successione Colchidis principatum hæreditate tenuit; quam enim hic imperatoris defuncti filiam matrimonii lege sibi conjunxit, hujus quo de loquor mater exstitit. Hunc cum sub vesperam ex aula imperatoria domum se cum suis referret, cupido subiit equo se exercendi, in eoque non nihil se exhilarandi, quemadmodum frequenter solent ætatis istius juvenes, in prima præsertim pubertate, qualis ipse erat. Eos autem qui circa ipsum erant, et multo magnoque conatu dissuadere id conabantur, intempestivum esse suggerentes, contemnens, in sententia omnino permansit; hoc tantum illis imperans, ut sues, qui propter viam publicam pascebantur, abigerent. Fecerunt illi ut jussi erant: ipse vero multimodis equum tentans ferebatur, donec scilicet sues abactæ, ter quaterve redeuntes, sub ipsis equi pedibus volutari cœperunt, eumque impedire. Equus enim, quoties sub pedibus ejus versabantur sues, veluti de industria id agentes, cadens simul assurgensque, tandem ita concidit, ut resurgere nequiret; sessor autem excussus tanquam e funda, statim humi jacuit pronus juxta equum, parum admodum distans a mortuo, nisi quod tenuis quidem arteriæ pulsus, a medicis deprehensus, eum adhuc in vivis numerandum suggerebat.

37. Non longe a palatio hæc acciderunt, eo scilicet loco, qui Stagnum rotundum dicitur. Sed, quemadmodum ea solent quæ fama feruntur, repente ubique vulgatum fuit, obiisse ex infelici equitatione juvenem. Tum vero alii, O infelicem, exclamant, casum! o infortunium! alii, Quam, inquiunt, subito id accidit! quam inexspectato corruit! Ad me quoque e vestigio quidam accurrit, lacrymarum plenus, et cupiens quidem id quod acciderat renuntiare, sed voce non continuis minus singultibus quam multo anhelitu impedita, ex sola demissi in terram vultus mœstitia, et commiserationis quem demonstrabat affectu, triste mihi quidpiam videbatur significare. Atque ego non parum animo commotus, Cui, inquam, meorum et quid tandem infortunii accidit? Tuus, respondit, gener equo ferebatur, cum quo pariter in terram corruit; ac etiamnum infelix jacet absque loquela et sensu. Iis narratis egredior domo: neque aliud audire per viam mihi contigit, quam, O quomodo id intelliget, quomodo videbit socer ejus! Hac illac gemitus et manuum complosiones audiebantur; cum ego ad locum ubi jacebat perveniens, manumque apprehendens et brachia circumdans, Quid pateris, aiebam, quid doles, charissime fili? age indica: ipse vero nihil magis audiebat quæ dicebam quam si exanimis omnino fuisset.

38. Jamque nox illa præterierat, nihil omittentibus medicis eorum quæ hac occasione, ut fiant, ars medica præscribit: utriusque manus apertæ sunt venæ, alia tentata remedia omnia, omnia

A δοῦς γὰρ τοῦ νῦν εὐσεβῶς ἡμῶν βασιλεύοντος, παῖς δὲ τοῦ τὴν τῆς Κολχίδος ἀρχὴν ἔκ τε πατέρων, πάππων, καὶ ἐππάππων κληρωσαμένου· τούτῳ γὰρ ἡ τοῦ προβεβασιλευκότος θυγάτηρ γάμου νόμῳ συναφθεῖσα, μήτηρ τοῦδε γεγένηται· οὗτος δὴ πρὸς ἑσπέραν τῶν ἀνακτόρων ἐξῄει, καὶ τὴν ἐπ' οἴκου σὺν τοῖς περὶ αὐτὸν ἐπορεύετο· οἷα δὲ τὰ τῶν νέων ἔτι τὴν ἡλικίαν, καὶ μάλιστα τῶν ἐφήβων, ὁποῖος οὗτος ἐτύγχανεν ὤν, ἱππηλατῆσαί οἱ ἐπῆλθεν, ἐφ' ᾧ γε διαχυθῆναι μικρόν. Τοὺς οὖν ἀμφ' αὐτὸν συχνὰ καὶ ταῦτα κωλύοντας, καὶ τὴν ἀωρίαν προϊσχομένους περιιδὼν, ὅλως τοῦ πρὸς θέλησιν γέγονε, τοῦτο μόνον σφίσιν ἐγκελευσάμενος, Ἅπιτε, τοὺς σῦας ἀπώσατε· τῆς γὰρ λεωφόρου πλησίον ἦσαν οὗτοι νεμόμενοι. Καὶ οἱ μὲν ὡς προσετάγησαν πεποιήκεσαν· B ὁ δ' εὐθὺς συχνὰ μυωπίζων ἐφέρετο, ἀλλ' ἐφέρετο ἕως οἱ ἀπελθόντες δίς τε συστραφέντες καὶ τρὶς, τοῖς τοῦ ἵππου ποσὶν ὤφθησαν κυλινδούμενοί τε καὶ συμποδίζοντες. Ὅ τε γὰρ ἵππος ὁσάκις οἱ σῦες περιεσκέλιζον, ἔργον ὥσπερ τοῦτο ποιούμενοι, πίπτων ἅμα καὶ ἐγειρόμενος, τέλος εἰπεῖν, ἀνήγρετα πέπτωκε· καὶ ὁ ἀναβάτης ἐκτιναχθεὶς, καὶ ὥσπερ ἀποτρενδονηθεὶς, εὕρηται κείμενος παρευθὺς, ἄγχιστά που τοῦ ἵππου πρηνής, μηδὲν ὅλως νεκροῦ διενηνοχὼς, πλὴν ὅσον σφυγμὸς ἀμυδρὸς, καὶ πνεῦμα τοῖς περιεργαζομένοις λεπτὸν, τοῖς περιοῦσιν ἔτι συγκαταλέγειν τοῦτον ὑπέβαλεν.

λζ'. Οὐκ ἄπο ταὐτὰ τῶν ἀνακτόρων ξυμβέβηκε· C τόπος γάρ ἐν ᾧ οὕτως πως Γυρολίμνη καλούμενος. Ἀλλ' οἷα δὴ τὰ τῆς φήμης, ἐν ἀκαρεῖ διαπεφήμισται πανταχῇ, ὡς τέθνηκεν ὁ δεῖνα ἱππηλατῶν. Καὶ οἱ μὲν, Ὦ τοῦ συμβάματος! ὦ τῆς δεινῆς ταύτης, ἔλεγον, συμφορᾶς! οἱ δ', Ὦ οἷον αἴφνης γέγονεν! ὦ οἷον ἀπροσδοκήτως συνέπεσε! Καί μοί τις ἐφίσταται δακρύων ὑπόπλεος, θέλων μὲν ἀγγεῖλαι τὸ γεγονὸς, τὴν δὲ φωνὴν οὐχ ἧττον τοῖς στεναγμοῖς ἢ τοῖς ἄσθμασιν ἐγκοπτόμενος, ἐκ μόνης τῆς τοῦ προσώπου κατηφείας, καὶ τῆς πρός με συμπαθείας, ἣν ὑπενέφαινεν ἐμὴν γνωρίζων τὴν συμφορὰν ἔμοιγε. Κἀγὼ διαταραχθεὶς, Τίνι τῶν ἐμῶν συνέπεσε τὸ δεινὸν, καὶ τί περ ὃ πέπονθε; διεπυνθανόμην εὐθύς. Καὶ ὅς, Ὁ σὸς ἱππηλάτει γαμβρὸς, καί οἱ συμπέπτωκεν ὁ ἵππος, καὶ εἰς ἔτι κεῖται, μηδέν τι λέγων, μηδενὸς αἰσθανόμενος. Ἐξῄειν αὐτίκα τοῦ διηγουμένου, καί μοι παρὰ τὴν ὁδὸν οὐδὲν, ἀλλ' ἢ τοῦτο μόνον ἠκούετο, Ὦ οἷον ἀκούσεται; ὦ οἷον ὁ κηδεστὴς τοῦδε θεάσεται; Στεναγμοί τε τῇδε κἀκεῖσε, καὶ χειρῶν πάταγοι. Ἀλλ' ἐπέστην οὗπερ ἦν κείμενος, καὶ λαβόμενος τῆς χειρὸς, καὶ περιθεὶς αὐτὸν ταῖς ἀγκάλαις, Τί πάσχεις; ἔφην, τί ὀδυνᾷ; δήλωσόν μοι, παῖ φίλτατε. Ὁ δ' οὐδέν τι κρεῖττον ἀψύχου τῶν λεγομένων ἦν ἐπαΐων.

λη'. Παρῆλθεν ἡ νὺξ ἐκείνη τῶν Ἀσκληπιαδῶν οὐδὲν οὐδαμῶς παριέντων, ὅσαπερ ἐπὶ τοῖσδε πράττειν ἡ τέχνη παρεγγυᾷ, φλέβας δηλαδὴ τεμνόντων ἀμφοτέρων χειρῶν, καὶ βοηθούντων ἄλλοθεν ἄλλως,

κάτω τὰ ἄνω κινούντων, ὅ φασιν οὗτοι, καὶ πάντα τρόπον μηχανωμένων ὡς εἰς αἴσθησιν ἀγαγεῖν. Ὁ δ' οὐδὲν ἄμεινον εἶχεν, ἀλλ' ὁμοίως ἀναισθητῶν ἦν. Παρεῤῥύη καὶ τὸ τῆς διαδεξαμένης ἡμέρας διάστημα, καὶ οὗτος ὁ αὐτὸς ἦν. Ὀψὲ δὲ καὶ πρὸς ἑσπέραν ἐφθέγξατο βιαιόν τι καὶ ἀδιάρθρωτον, ἢ μᾶλλον εἰπεῖν παρεφθέγξατο. Καὶ τοῦ λοιποῦ παρακεκομμένα λαλῶν ἦν, ἄλλα μὲν ἐρωτώμενος, ἄλλα δ' ἀποκρινόμενος, πλειστάκις τῆς ἡμέρας παραφρονῶν, καὶ οὐχ ἥκιστα τῆς νυκτὸς, νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο φθεγγόμενος, μηδὲν δ' ὅ τι καὶ παριστάνων, μηδὲ δηλοποιῶν, μεταξύ τε βοῶν γεγονὼς, καὶ ὡς πεπονθώς τι τῶν ἀνηκέστων, μέγα κράζων αἴφνης καὶ ὀδυρόμενος.

A mota sus deque, ut dicunt, et nihil non adhibitum operæ, ut sensibus redderetur adolescens: qui nihilo tamen melius inde habuit, sed eadem prorsus ratione jacebat sensus omnis expers. Præteriit quoque ea quæ noctem jam dictam subsecuta erat dies, atque ille in eodem usque statu permanere visus; cum ecce sub vesperam quasdam, quasi coactas, nec distinctas satis voces, seu potius deliramenta, proferre cœpit; deinceps vero concisa quædam loquebatur, aliud quam quod interrogabatur respondens. Diurnis ut plurimum horis, maxime vero nocturnis, modo hoc, modo illud dicens, nihil certi indicare aut exprimere manifesto videbat. Clamores subinde edebat ingentes, quasi intolerabile quiddam cogeretur perferre, ac vehe-
B menter sane lamentabatur.

λθ'. Ἠσχάλλομεν οὖν, ὡς τὸ εἰκὸς, ἐδυσφοροῦμεν οἱ κηδεσταί· δέος γὰρ ἡμῖν ἐπῆει μὴ μείνῃ διὰ παντὸς οὕτω παραληρῶν, καὶ τὰς φρένας εἴη διὰ βίου παράκοπος. Οὐ γὰρ δή πως εἰς ἀγαθὸν καὶ τῶν χοίρων ἐξελαμβάνομεν, τοὺς ἐξαιτησαμένους τὸν Κύριον ἐμβληθῆναι χοίροις διενθυμούμενοι, τοὺς ἡμῖν ἀρχῆθεν ἐπιβουλεύοντας δαίμονας, καὶ μάλιστα μαθόντες ὡς διωχθέντες ὑπέστρεψαν οἱ χοῖροι, καὶ ὡς οὐχ ἅπαξ εἰσιόντες τε καὶ ἐξιόντες, προσβάλλοντες ὥσπερεὶ καὶ ἠττώμενοι, τελευταῖον θρασύτερον ἐπιτεθέντες κατέβαλον. Ὅ τι δ' οὐ πόῤῥω τῆς ἀληθείας ἐστοχαζόμεθα, αὐτὸς ὁ ταῦτα παθὼν μετὰ τὴν τοῦ πάθους ἀπαλλαγὴν σαφῶς ἡμῖν διεδήλωσεν. Εἴρηκε καὶ γὰρ ὡς ἔδοξεν ἄνδρα ὁρᾷν, μέ-
C λανα τὴν χροιὰν, ἄγριον τὴν ὄψιν, ὑπερμεγέθη τὸ σῶμα, σχοίνοις περισχημένους τοὺς σῦας ἑφέλκοντα τοῖς τοῦ ἵππου ποσίν· ἐκφεύγειν τε τούτους βιαζομένους, πρὸς δὲ βίαν ἀπαγομένους, ἕως συμποδισθέντος πεσὼν, οὐ μέμνηται ὅ τι καὶ πέπονθεν.

39. Nos interim, qui curam ejus gerebamus, graviter, ut par erat, angebamur: metus quippe nobis incutiebatur, ne perpetuo delirus, aut tota vita impos mentis perseveraret. Sed nec boni quidquam ominabamur ex porcis: illos enim cogitabamus dæmones, qui et olim a Domino id petierunt, ut in porcos immitterentur, et a principio insidiari nobis non cessant; maxime cum audiremus, quomodo depulsi a via, in eamdem rediissent; idque non simpliciter egrediendo redeundoque, sed tanquam assilientes cedentesque, ac denique audacius incurrentes, juvenem subvertissent. Quod vero haud longe a rei veritate conjectura nostra abesset, ipsemet qui hæc patiebatur, postquam a malo suo liberatus deinde fuit, planissime declaravit. Asseruit quippe, visum sibi fuisse virum, atro colore, severo vultu, corporis magnitudine inusitata, qui funibus constrictos porcos sub ipsos equi pedes adigebat. Porcos autem fugere primum compulsos, alia deinde vi in equum denuo immissos, donec sic impedito collapsus, pateretur ea quorum amplius non meminit.

μ'. Ἐφ' ἱκαναῖς οὖν ἦμεν οὕτω διαπορούμενοι, ὅπως τοῦ ἀνυποίστου πάθους αὐτὸν ἀπαλλάξαιμεν, ὅπως ἑαυτοὺς τῆς ἐπὶ τῷδε φροντίδος τε καὶ λύπης ἐλευθερώσαιμεν. Ἀλλ' εἰς νοῦν μόγις ἐβάλομεν τὰ τῇ Ἁγίᾳ καθεκάστην τερατουργούμενα, καὶ ὡς ἐκ ζάλης εἰς λιμένα παραυτὰ καθωρμίσθημεν, καὶ πρὸς τὸ εὐθυμότερον εὐθὺς ἐπανῆειμεν, καὶ ὥσπερ
D ἑαυτῶν ἐγεγόνειμεν, οἱ πρὸ μικροῦ σχεδὸν ἐξεστηκότες, καί τινα τρόπον τῷ πεπονθότι συμπάσχοντες. Πάντων οὖν ἄλλων αὐτίκα ἠλογηκότες παρά γε τῇ σορῷ τῆς Ἁγίας γινόμεθα, καὶ ῥιπτοῦμεν ἐπ' ἐδάφους αὐτόν· καὶ ὁ νεωκόρος τῆς κιβωτοῦ τὸν ἱερὸν ἐξενεγκὼν θησαυρὸν, τὸν ζῶντα ταῖς ἐνεργείαις ὄντως νεκρὸν, ὅλῳ ἐπιστηρίζει τῷ σώματι, κεφαλῆς αὐτῆς ἁπαρξάμενος, χρίει τε λαβὼν ἔλαιον τῆς φωταγωγοῦ σταυροειδῶς τῷδε τὸ πρόσωπον, καὶ πρός γε στέρνα τε καὶ μετάφρενα. Καὶ (ὦ θαυμασίων Θεοῦ! ὦ δόξης, ἧς ἀπῆλαυσαν ψυχαὶ μετὰ σωμάτων ὑπεραθλήσασαι τοῦ Θεοῦ, ψυχαὶ κατὰ Θεὸν τοῖς σώμασι συμβιώσασαι) ὡς οὐδὲν πεπονθὼς, ὡς οὔ ποτέ τι παραπεσὼν, ἐξῆει ῥώμης εὖ ἔχων καὶ τῶν

40. Non igitur absque ratione angebamur, quomodo e tam grandi malo eximeremus adolescentem, et nos ipsos mœrore et sollicitudine liberaremus. Vix autem ea quæ S. Theodosia quotidie patrat admiranda, cœperamus mente revolvere, cum ecce quasi ex tempestate delati in portum, animos continuo majores sumpsimus, et nobis veluti derepente sumus redditi, qui paulo ante consilii inopes extra nos ipsos versabamur, et iisdem quodammodo, quibus adolescens, excruciabamur doloribus. Omnia igitur alia seponentes, ad Sanctæ sepulcrum pergimus, ipsumque in templi pavimento collocamus. Tum ædituus sacrum e lipsanotheca thesaurum promere, iisque hominis, spirantis quidem, sed quem ob virium naturalium defectum internortuum æstimasses, totum corpus signare, initium a capite ducens, oleoque e lampade accepto in modum crucis vultum, pectus, ac dorsum jacentis oblinere. Ecce autem (o admiranda Dei opera! o gloriæ insignis magnitudinem, qua in cœlo perfruuntur animæ, quæ Dei causa in corporibus cer-

taverunt, animæ quæ secundum Deum vixerunt cum corporibus) quasi nihil unquam mali perpessus, neque aliquid præter rationem locutus, integris corporis ac mentis facultatibus exivit, expedite loquens, et ea quæ loquebatur intelligens. Omitto dicere quantum ex eo tempore profecerit, non minus quod ego profecto singulari cuipiam Dei erga illum habere mihi posse videor.

A φρενῶν ἀπρόσκοπτα ὁμιλῶν, καὶ τῶν λεγομένων ἐν συνέσει γινόμενος. Ἐῶ γὰρ ὡς καὶ προκόπτει τὸ ἀπὸ τοῦδε οὐχ ἧττον ἢ τῇ ἡλικίᾳ ψυχικοῖ τε καὶ σωματικοῖς προτερήμασιν· ὃ θείᾳ σαφῶς ἐπισκοπῆς ἤγημαι, ὃ μεῖζονος θαυματουργίας λογίζομαι. providentiæ attribuere, nec minoris miraculi loco

41. Sed neque aliud, quod eadem Sancta admirandum mihi beneficium præstitit, silentio duxi prætermittendum. Ante non exiguum tempus crus mihi fuit valde affectum ex vulnere quod recalcitrans equus impegerat, nec magni sub initium esse videbatur momenti. Postquam autem quatuor omnino elapsi erant dies, doloribus oppressus sum non ferendis, non ea solum qua læsus eram corporis parte, sed ima etiam pedis planta, digitis, talo. Pessime igitur mihi diu erat : cumque dolor ille nonnihil leniretur, claudicabam tamen vehementer, nec sine magna molestia affecto crure niti poteram. Duos in isto cruciatu annos exegeram, nullo mali quod patiebar levamine, annisque deinceps singulis, quemadmodum certi quidem morbi certis recurrere solent temporibus, pedum quoque meorum dolor increscebat. Ac rursum haud ita multum post temporis, anni unius spatio bis terve idem me tenebat malum. Metus erat, ne crescente ætate incrementum pariter dolores acciperent. (Fit enim ex immoderato quodam vitæ amore, ut omnes passim homines, ac ego imprimis, multos hic nobis polliceamur annos, idque præsertim, si mei adinstar vanis mundi hujus rebus, et sensus nostros nimium ad se rapientibus, addictus sit.) Metus igitur mihi erat, ne manibus pedibusque ac toto etiam corpore paralysi dissolutis, affixus omnino lecto hærerem. Ipsi insuper medicorum præstantissimi, qui moribus et ætate et consuetudine propiores mihi erant, non exiguo tenebantur metu, cum nullus artis medicæ conatus adversum mala mea quidquam valeret efficere.

μα'. Ἀλλ' οὐδὲ τὸ ἐπ' ἐμοὶ παραδραμοῦμαι τῆς Ἁγίας τεράστιον. Ἐπλήγην πόδα τὸν δεξιὸν πρὸ χρόνων ὅτι συχνῶν· ἡ δὲ πληγὴ, ἵππος ἐπὶ κνήμης λὰξ ἔτυψεν, ὃ πρὸς τὸ παρὸν εὐπεριφρόνητον ἔδοξεν. ἀλλά μοι μετὰ τὴν τετάρτην ὁδύναι γεγόνεισαν οὐδοπωσοῦν φορηταί, οὐκ ἐφ' ᾧ γε ἐπεπλήγην μέρει, ἀλλ' ἐπὶ σφυροῖς, ἐπὶ δακτύλοις, ἐφ' ὅλῳ τῷ ταρσῷ καὶ τῷ πέλματι. Ἦν οὖν πονήρως ἔχων ἐφ' ἱκαναῖς, καὶ τοῦ πάθους λωφήσαντος, χωλεύων αὖθις ἐπὶ πολὺ, καὶ οὐκ εὖ ἐπιστηριζόμενος τῷ πεπονθότι ποδί. Δύο τῶν ἐνιαυτῶν παρερρύησαν, καὶ πόδα τὸν αὐτὸν ἤλγησα, καὶ τοῦ λοιποῦ μοι κατ' ἔτος ὥς τι τῶν ἐκ περιόδου ξυναντᾷν εἰωθότων νοσημάτων τὸ τῶν ποδῶν ἄλγος ἀνέκηπτε. Μετὰ δὲ χρόνους οὐ πάνυ πολλοὺς δὴ, τοῦ ἔτους ξυνέδαινέ μοι τὸ πάθος καὶ τρίς. Καί μοι δέος εἰσῆλθεν ἔνθεν, μή πως προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ (ἐκ γὰρ φιλοζωΐας, οἶμαι, πᾶς τις ὡς κἀγὼ φαντάζεται τὸ μακρόβιον, καὶ μᾶλλον εἰ κατ' ἐμὲ προστετηκὼς εἴη τοῖς γηΐνοις τοῖσδε καὶ κηλοῦσι τὴν αἴσθησιν)· φόβος οὖν μοι γεγένει μὴ χεῖράς τε παρελυθείην καὶ πόδας, ἅ καὶ τὸ σύμπαν ἐξαρθρωθείην, καὶ καπάπαξ κατασταίην κλινοπετής. Ἐπὶ δὲ μᾶλλον ἐφόβουν οἱ τῶν ἰατρῶν δοκιμώτεροι, ξυνήθεις ὄντες ἐμοὶ καὶ ἡλικιῶται, μηδέν πως ἰσχύειν πρὸς τὴν νόσον τὴν τέχνην ἰσχυριζόμενοι.

43. Qualia igitur possum me credis, cum inde vetarer exspectare meliora, unde certo mihi adfuturi auxilii spes omnis fuerat? Jam animos abjeceram, et quod consequens est, inerter languebam; quando, secundum Davidicam doctrinam, memor fui Dei, et repente delectatus sum; In ipso quippe, aiebam, etsi validissimus sit quo laboro morbus et omni medentium arte superior, attamen potentia illius virtute domabitur. Simul enim atque firmiter credere et sperare in ipsum statuimus, continuo quæ fieri posse non videbantur, Deo fiunt possibilia, nec est quidquam quod divinam ejus potentiam superet. In memoriam quoque revocare cœpi, quomodo purissima Dei Mater, rerum nostrarum quotidie haud parum satagens, divinam pro omnibus misericordiam implorare non cesset. Sanctos quoque illos cogitavi ac sanctas, quibus ab altissimo in cœlis Deo tantum hic gratiæ fuit concessum, ut insanabiles curare morbos et malis immedicabilibus mederi possent: Demetrium dico, illum inter martyres celeberrimum, nec non magnum

μβ'. Τί γοῦν ἐπεπόνθειν, ὅθεν μοι δι' ἐλπίδος ἦν ἡ βοήθεια, λαβὼν ἐκεῖθεν τὴν ἀπαγόρευσιν; Ἀθυμίᾳ κατεσχέθην, καὶ ὡς τὸ εἰκὸς ἠκηδίασα· ἀλλ' ἐμνήσθην κατὰ τὴν Δαυϊδικὴν εἰσήγησιν τοῦ Θεοῦ, καὶ θυμηδίας ἐπλήσθην εὐθύς. Ἐν γὰρ αὐτῷ, καὶ γὰρ ἔφην, εἰ καὶ ἡ νόσος ἰσχυρὰ καὶ τὴν τέχνην νικᾷ, ἀλλ' ἡττήσεται τῆς κραταιᾶς ἰσχύος Θεοῦ· ὡς γὰρ πεπιστεύκαμεν, καὶ τὰ ἀδύνατα Θεῷ δυνατά, καὶ οὐδὲν ὅ τι τῆς αὐτοῦ δυνάμεως ὑπερκείσεται. Καί γε ἐνενοησάμην, ὅπως τε ἡ πάναγνος αὐτοῦ Μήτηρ καὶ νῦν τε καὶ καθέκαστα ἡμῶν κηδομένη, πάντων ὑπερεντυγχάνει διηνεκῶς. Ἁγίους τε καὶ ἁγίας ἀνελογισάμην, οἷς καὶ τῇδε χάρις ὅτι μεγίστη πρὸς τοῦ ἐν οὐρανοῖς δοξάσαντος δίδοται, ὡς καὶ θεραπεύειν ἀνήκεστα καὶ ἰᾶσθαι ἀνίατα δύνασθαι· Δημήτριόν φημι τὸν ἐν μάρτυσι διαβόητον, τὸν ἱεράρχην μέγαν Νικόλαον, Εὔπλον τὸν πολύτλαν καὶ τοῦ Εὐαγγελίου τῷ ὄντι διάκονον· ἐπὶ δὲ τούτοις καὶ μετὰ τούτων τὴν ὁσίαν ταύτην καὶ μάρτυρα, ἧς ἐν γειτόνων ὢν τῇ σορῷ, τάς τε ὁσημέρας καὶ ὁσῶρας θαυματουργίας ἐπὶ τοιοῖσδέ τισιν ἐπυνθανόμην τε-

λουμένα; καὶ χείροτ. Τοῖς οὖν ἰατροῖς αὐτίκα χαίρειν καὶ αὐτοῖς φαρμάκοις εἰπὼν τούτους μόνους προὐστησάμην τῆς νόσου θεραπευτάς.

A episcopum Nicolaum, et Euplum (13) tot tamque acerba quondam Dei causa perpessum, ac sacri Evangelii verissimum diaconum. Præter hos et cum hisce sanctam illam martyrem, a cujus tumulo haud longe commorabar, quæque perpetuis ac admirandis non modo in dies, verum etiam in horas operibus, non mei tantum similes morbos, sed longe etiam graviores depellere potest, in auxilium vocavi. Medicorum itaque et pharmacorum ope valere jussa, hosce solum morbo curatores proponebam.

μγ'. Πῶς τοίνυν παραστήσω, πῶς τὸν ἔλεον, ὃν ἐνεδείξατό μοι τῷ ἀχρείῳ τούτου δούλῳ Θεὸς διὰ τῶν εὑηρεστηκότων αὐτῷ, διὰ βραχέος ἐρῶ; Χρόνοις ἐν ὀλίγοις ἐξαρθρωθῆναι προσδόκιμος ὢν, πλείστους ἤδη παρήμειψα, καὶ διαρτίας εὖ ἔχων μελῶν, καὶ βαδίζω. ὡς ὅτε ἦν εἰκοσιέτης ἐβάδιζον. καί μοι ἐλευθέρως αἱ χεῖρες, ὅποι τε βουλητὸν ἐμοὶ, καὶ τὸ ψυχικὸν πνεῦμα κινεῖ, φέρονταί τε καὶ μεταφέρονται. Τοιαῦθ' ὁρῶμεν τῇ Ἁγίᾳ τελούμενα, τοιαῦθ' ὁσημέραι τερατουργούμενα. Τί γοῦν δὴ τὰ πάλαι καταλέγειν, ἢ παραδιδόναι τὰ ἐφ' ἡμῶν συγγραφῇ; μηδεμίαν σφῶν λαμβανόντων διέχειαν, κυμάτων τε δίκην ἕτερον ἑτέρου καταλαμβάνοντος· καὶ γάρ πως παραπλήσιον ἂν παθεῖν δόξειεν ὁ ταῦτα συγγράφειν πειρώμενος τοῖς ἐπ' ἀφροσύνῃ διαβοήτοις ἐκείνοις, ὧν οἱ μὲν ἀριθμεῖν προήχθησαν κύματα, οἱ δ' ἀστέρας, οἱ δ' ἄλλῳ τινὶ τῶν ἀδυνάτων ἐπιχειρήσαντες, ἐνεπαίχθησαν.

43. Nunc vero qua ratione edisseram quæ acta sunt? quo modo misericordiam, quam mihi, servo suo inutili, per sanctos suos Deus præstitit, breviter potero explicare? Ille ego, qui paulo ante membris omnibus per paralysin videbar dissolvendus, jam plures transegi annos, et toto corpore firma compage utens, sic incedo ut incedebam cum viginti duntaxat annorum essem: manus quoque mihi feruntur libere et transferuntur, quocunque animo collibitum est, aut vitalis spiritus impellit. Tanta videmus fieri a Sancta et quotidie admirabiliter perfici. Sed quid attinet vetera commemorare, aut ea quæ in nobis nunc contingunt scripto tradere: cum nullam ipsa sibi cessationem indulgeant, sed uti fluctus fluctum, sic aliud alterum consequendo excipiat? Etenim qui illa omnia scriptione vellet complecti, iis mihi non videtur futurus absimilis, quorum alii fluctus maris, stellas alii numerare, nonnulli aliud nescio quid ex iis quæ fieri nequeunt non sine stultitia perficere aggressi, omnibus se ridendos præbuerunt.

EPILOGUS.

μδ'. Ἀλλ' ὅπερ ἔφην, τί γε δέον ἡμᾶς ποιεῖν τοιαῦθ' ὁρῶντας, τοιούτων παρ' αὐτῆς ἀπολαύοντας; Χαίρειν μὲν χαρὰν ἔνθεον, πρέσβιν δὲ ποιεῖσθαι πρὸς Κύριον, καὶ δεξιοῦσθαι μὲν εἰς δύναμιν ἕκαστον, προστάτιν δ' ἀφιλονείκως ἰδιοῦσθαι πάντα καὶ σφετερίζεσθαι. Καὶ μάλα γὰρ εἰκότως· ἵνα γὰρ ἐάσω τὰ κρείττω καὶ ὑψηλότερα, ὧν παρ' αὐτῆς ἢ δι' αὐτῆς ἀπελαύομεν, ὑπὲρ ἡμῶν εἰς ἄῖδιον τυγχανούσης Θεῷ, καὶ ἐξιλεουμένης συχνὰ πλημμελοῦσι καὶ παροργίζουσιν. Ἀλλ' εἴπερ ἰατρὸν ἀνιάτων νοσημάτων μόνον ηὐχοῦμεν αὐτὴν, πόσους ἐχρῆν αὐτῇ καταβάλλεσθαι τοὺς μισθούς; πόσης γε τιμῆς ἀξιοῦν; Ἐπεὶ δὲ καὶ σωμάτων νόσους ἰᾶται, καὶ ψυχῶν θεραπεύει νοσήματα, ἄγε δὴ ὡς ἰσχὺς ἕκαστος ἀποτινύτω μετ' εὐγνωμοσύνης τὸ ὀφλημα, καὶ πρὸς ἅπαν πάθος ἐπικεκλήσθω καὶ νόσημα.

44. Verum, quod jam ante quoque dicebam, quid nos tandem par est facere, qui tanta videmus, tanta accepimus per Sanctam beneficia? Lætitia utique maxima exsultare, mediatricem adhibere apud Dominum, cum gratiarum actione excipere singula, patronam in omnibus sine cunctatione accersere et nobis vindicare debemus; idque magna cum ratione. Nam ut optima quæque et præstantissima, quæ ab ea et per eam accepimus, omittam proferre; assiduis illa Deum supplicationibus fatigat nostra causa, nostrique eam magna capit miseratio, qui multis adeo delictis divinam majestatem ad irascendum nobis provocamus. Quod si medicam ejus solius manum in morbis gravissimis et imploremus et sentiamus, quantam illi putatis mercedem esse reddendam? Cum autem non corporum tantum medeatur infirmitatibus, sed animorum quoque morbos tollere non cesset, ea, pro suis quisque viribus debitum cum gratitudine persolvat, et ipsam adversus mala omnia morbosque invocet.

με'. Ὃ δὴ κἀγὼ ποιεῖν εἰωθὼς, οὐκ ἐάσω μὴ ποιῆσαι καὶ νῦν εἰς ἐπήκοον· ἀλλ' ὑπὲρ ἐμοῦ τε τὴν ἱκετηρίαν καὶ τῶν ἐμῶν θέμενος, τύπον ὡσπερεὶ δώσω τὰ παραπλήσια λιπαρεῖν, καὶ τὰ αὐτὰ δήπουθεν τὴν Ἁγίαν δυσωπεῖν· Ἣ καὶ σῶμα καὶ ψυχὴν ἐκ παιδὸς παραθεμένη Θεῷ, καὶ σῶμα μὲν ἀσκήσει χρονίᾳ τήξασα, ψυχὴν δὲ τῶν ἐνταῦθα καὶ πρὸ διαλύσεως μεταστήσασα, καὶ τέλος ἄμφω προεμένη, καὶ τοῦ μηδενὸς ἄξια κρίνασα, ὑπὲρ τοῦ

45. Quod cum ego nunquam non facere sim solitus, nunc quoque non omittam id ipsum agere: sed pro me meisque supplicationes instituens, aliis quoque formam præscribam similia pro se obsecrandi, eademque flagitandi a Sancta: O quæ a primis ætatis tuæ annis corpusculum tuum Deo voluisti esse sacrum, et hoc quidem extenuavisti exercitatione diuturna; animum autem, ante etiam quam ex hac vita migraret, a rebus omnibus crea-

(13) Coluntur S. Demetrius 8 Octobris, S. Nicolaus 11 Novembris, S. Euplus 12 Augusti.

tis alienissimum habuisti; ac demum tam hunc quam illud generose contempsisti ac parvi fecisti, illius videlicet causa, quem ex tota anima totaque mente desiderabas; mentem, oro, animamque nostram ab omni labe puram nunc quoque, cum in cœlo exsistis, conserva; cogitationem omnem perversam arcens ab animis nostris mentesque in Deum transferens, atque (ut breviter omnia complectar) universam vitæ nostræ ac sermonis rationem secundum beneplacitum divinum dirige. Misericordem Deum nobis redde placatum, ut recte et absque offendiculo vitæ nostræ cursum instituamus, ab omni labis periculo remoti, cunctisque malis superiores; ex hac autem vita abeuntibus nobis patrocinare ferventer, supplica instanter, deprecare operose, ut severo exempti judicio, divinæ illius ac ineffabilis beatitatis partem aliquam capiamus: quod nobis omnibus contingat, per gratiam et benignitatem Dei ac Salvatoris nostri Jesu Christi, cui omnis gloria, honor, et adoratio debetur, cum eo qui principio caret Patre, et sancto ejusdem naturæ Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

A ἐξ ὅλης σοι ψυχῆς, ἐξ ὅλης σοι διανοίας πεποθημένου Θεοῦ· βλάβης ἡμῖν ἁπάσης καὶ ἄμφω πρὸς τὸ παρὸν ἀνώτερα διατήρει, ἅπαν διανόημα πονηρὸν τῶν ψυχῶν ἀπελαύνουσα, καὶ τὸν νοῦν ἡμῶν πρὸς Θεὸν ἀεὶ μεταφέρουσα· καὶ τὸ σύμπαν εἰπεῖν, βίον τε καὶ λόγον ἡμῖν πρὸς τὸ τῷ Θεῷ δοκοῦν ἴθυνε, καὶ τὸν συμπαθῆ Θεὸν ἐξιλεοῦ, ὡς εὐμαρῶς τε καὶ ἀπροσκόπως τὴν τοῦ βίου τρίβον ὁδεύοιμεν, πάσης περιστάσεως ἐξαιρούμενοι, καὶ δεινοῦ παντὸς ἀνώτεροι συντηρούμενοι· τῶν δ' ἐνταῦθα μεταστάντων πρόστηθι, θερμῶς πρόστηθι, ἱκέτευσον λιπαρῶς, δυσώπησον ἐκτενῶς, ὡς τῆς καταδίκης ῥυσθείημεν, καὶ τῆς θείας ἐκείνης καὶ ἀῤῥάστου μακαριότητος τύχοιμεν, ἧς γένοιτο πάντας ἡμᾶς τυχεῖν χάριτι καὶ B φιλανθρωπίᾳ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ ἁγίῳ καὶ ὁμοφυεῖ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ANNO DOMINI MCCLXXIII.

ARSENIUS AUTORIANUS*

CP. PATRIARCHA

—

ANACREONTICON IN DOMINICAM RESURRECTIONIS.

MONITUM.

(Matranga, Anecdota Græca, t. II.)

—

Arsenii Archiepiscopi anacreonticon εἰς τὴν λαμπρὰν Κυριακὴν (*in Dominicam Resurrectionis*) vidi in cod. Vat. 208, versusque cum non invenustos, imo elegantes et poeticam quamdam suavitatem olentes invenissem, statim in meis adversariis retuli, et typothetæ tradidi. Arsenius, de quo nihil comperitur præterquam quod Allatii notitia mox in notis alleganda, fortasse est Corcyræ archiepiscopus, cujus orationes adhuc ineditas, in laudem S. Barbaræ et S. Andreæ apostoli (*a*) a cl. Andrea Mustoxydio exoptatas, e membranis XI et XII sæculi nuper exscripsi; alteram scilicet e cod. Vat. 679, alteram e cod. Vallicelliano 34 B, quam bibl. præfectus Rev. A. Theinerus mira liberalitate, ut viris doctis mos est, mihi obtulit. Præmissa exhortatione ad tam præclarum festum celebrandum, Arsenius veris descriptionem poetice persequitur, quæ maximam carminis partem occupat; dein laudes SS. Triadi tribuuntur, et S. Georgius, loci protector ubi Arsenius morabatur, veluti intercessor apud martyras adhibetur. Quapropter est qui opinatur nostrum *Arsenium Monembasiæ fuisse archiepiscopum, qui Venetiis septuagenarius* 1535 *decessit* (*b*), *et in S. Georgii ecclesia tumulatus est*, quamvis ex ejusdem ecclesiæ annalibus constet, Kal. Novembr. anni 1539 sub Marci Samariarii Zacynthii præfectura primum ejusdem lapidem solemni ritu benedictum, ac 24 annis post absolutam fuisse. Mihi vero styli puritatem in ode sæpe consideranti videtur auctor XVI sæculo longe vetustior.

(*a*) Edere proposuerat L. Allatius in *Symmictis* lib. V, 108.
(*b*) Cf. Ch. F. Boerneri *De doct. hom. Græc.* etc., p. 155. Lips. 1740.

* Vide Cotelerii notam ad Arsenii Testamentum, infra.

ΑΡΣΕΝΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΣΤΙΧΟΙ

ΕΙΣ ΤΗΝ ΛΑΜΠΡΑΝ ΚΥΡΙΑΚΗΝ.

—

ARSENII ARCHIEPISCOPI

VERSUS

IN DOMINICAM RESURRECTIONIS.

—

Ἴτε μοι ξύμπαντες παῖδες,
ἴτε φιλτάτη χορεία,
ἴτε μουσόθρεπτα τέκνα,
γλυκερὰν ὄπα λαλεῦντες,
λιγυρὸν μέλος φωνεῦντες,
ὕμνον προσφέρωμεν πάντες
βασιλεῖ καὶ κτίστῃ πάντων,
βασιλίῃ ὡρῶν ἐπέστη.
Ἄγε σαλπίσωμεν πάντες,
ἄγε φορμήσωμεν ἆσμα,
ἄγε τερπνῶς μελαδοῦντες
Θεὸν ὑμνήσωμεν πάντες·
κατέλιπε γὰρ τὸν τάφον,
συνέτριψε κλεῖθρα πάντα
ζοφεροῦ πικροῦ θανάτου,
δύναμιν θ' Ἅδου παμφάγου,
ψυχὰς ἀνέστησε πάσας,
ἄμαχον κράτος δεικνύων.
Πᾶσα σκιρτᾷ νῦν ἡ κτίσις,
τὸν ὑψωθέντα δοξάζει,
Θεὸν ὑμνεῖ πᾶσα φύσις
ἀγαθῶν ὥσπερ δοτῆρα,
τὸν ἀναστάντα γεραίρει.
Τίς ἂν ἀξίως λαλήσῃ,
τίς ἂν ἀξίως ὑμνήσῃ,
ἅπερ ἀνθρώποις παρέσχεν
ὁ βασιλεὺς τῶν αἰώνων,
ὁ μόνος κτίστης ἁπάντων,
ὁ φανότατος· φωσφόρος;
νέφεσι γὰρ οὐ ζοφοῦται,
καθαρὰν ἁπλοῖ λαμπάδα,
καταφαιδρύνεται πάντα
ἁπλέτῳ φάει καὶ κάλλει.
Ἀγλαὸς κύκλος σελήνης,
χορὸς ἀστέρων αἰγλήεις,
καταφωτίζει τὴν νύκτα
ἁπλέτοις λαμπηδουχίαις·
κατίδοις ἄνω τὴν Ἄρκτον,
μεγάλην τε καὶ τὴν ἥττω,
στέφανον τῆς Ἀριάδνης,
ζωδιακὸν κύκλον ἴδοις
καθαρὸν σὺν τοῖς ζωδίοις·
βορινὸν κύκλον κατίδοις,
θερινὸν σὺν τούτῳ πάλιν.
Μετὰ ταῦτα δ' αὖ κατόψει
κύκλον τῆς ἰσημερίας,
(65) De Blemmide pluribus alibi egimus. Edita sunt illius Philosophica et Logica, et orationes duæ de processione Spiritus sancti per me in Latinum versæ. Multo plura sunt in bibliothecis. Penes me sunt ejusdem oratio, ὁποῖον δεῖ εἶναι τὸν βασιλέα, et historia de sancto Paulo et aliis Patribus, qui in Latro monte solitariam vitam egerunt, elegantissime et ad antiquum succum conscripta. In Vaticana legitur ejusdem: Λόγος ὃς ἐπεστάλη τῷ βασιλεῖ, βασιλικὸς κληθεὶς ἀνδριάς· ἔστι δὲ καὶ μοναστικὸς καὶ παντὶ σπουδαίῳ λυσιτελής. Principium: Νόμος ἀρχῆθεν συμβαίνων τοῖς πράγμασι τοὺς ὑπηκόους εἰσφέρειν τῷ βασιλεῖ. ALL.

δαμεν τελειώτερον τῶν ἄλλων ἐν ταῖς κατὰ φιλοσοφίαν ἐπιστήμαις, ἐφοίτησά τε αὐτὸς καὶ ὅσοι σὺν ἐμοὶ ἐτελοῦντο τὰ λογικά. Καὶ ὁ περὶ ἡμῶν λόγος μέχρι τοσούτου νυνί· ἐσαῦθις δὲ ὅπη παρείκοι τῇ ἱστορίᾳ παρεμβληθήσεται [65].

λγ'. Ἐπεὶ δέ, ὡς προειρήκειν, καὶ ἀμφοῖν τοῖν βασιλέοιν αἱ σπονδαὶ τῆς συμβιβάσεως γένοιντο, τῷ τε βασιλεῖ φημι Ἰωάννῃ τῷ Δούκᾳ καὶ τῷ κρατοῦντι τῶν Βουλγάρων Ἀσὰν Ἰωάννῃ, προκατέλαβε μὲν ὁ βασιλεὺς [66] τὴν Λάμψακον, καὶ διαπεραιοῦται μετὰ τῶν οἰκείων δυνάμεων εἰς Καλλιούπολιν, καὶ πολεμεῖ τὸ ἄστυ, ἐλεπόλεις στήσας, καὶ ἐν οὐ πολλῷ χρόνῳ χειροῦται τοῦτο, τῆς τῶν Βενετίκων διασώσας τοῦτο χειρός [67]. Μετὰ τοῦτο καταλαμβάνει τὴν Καλλιούπολιν καὶ ὁ Ἀσὰν σὺν τῇ οἰκείᾳ γαμετῇ τῇ ἐξ Οὔγγρων Μαρίᾳ [68] καὶ τῇ θυγατρὶ Ἑλένῃ [69], καὶ συνέρχεται εἰς Καλλιούπολιν [70] τῷ βασιλεῖ, καὶ τὰ εἰς φιλίαν ἀμφότεροι διαπράττονται. Οὗτος μὲν οὖν οὐ διεπέρασε τὸν Ἑλλήσποντον, ἀλλ' ἔμεινεν ἐν τοῖς τῆς Καλλιουπόλεως μέρεσιν [71]. ὁ δὲ βασιλεὺς Ἰωάννης τὴν αὐτοῦ σύζυγον σὺν τῇ θυγατρὶ Ἑλένῃ λαβὼν [72] διαπεραιοῦται εἰς Λάμψακον, ἔνθα ἦν ἡ βασιλὶς Εἰρήνη, καὶ πληροῦσι τὴν τῶν παίδων [73] συνάφειαν, τοῦ πατριάρχου Γερμανοῦ τὰ τῆς ἱερολογίας [74] τελέσαντος. Τότε καὶ ὁ Τρινόβου ἀρχιερεὺς (66) ὑπὸ τὸν τῆς Κωνσταντινουπόλεως τελῶν αὐτονομίᾳ τετίμηται καὶ πατριάρχης ἀναγορεύεσθαι κέχριται βασιλικῷ καὶ συνοδικῷ τῷ θεσπίσματι [75], χάριτας τῶν προὐγόντων ἀποτινύντων τῷ Βουλγάρων ἄρχοντι Ἀσὰν τοῦ κήδους ἕνεκα καὶ τῆς φιλίας [76]. Ἐπεὶ γοῦν ὅσα ἐς τὰ τοιαῦτα φέρει πεπλήρωται, ἡ μὲν βασιλὶς Εἰρήνη τὸν υἱὸν μετὰ τῆς νύμφης λαβοῦσα τοῖς ἑῴοις συνδιῃτᾶτο χώροις, ὡσαύτως δὲ καὶ ἡ τοῦ [77] Ἀσὰν σύζυγος ἐν τοῖς οἰκείοις τόποις ὑπέστρεψεν, ὁ δὲ βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν τὰς οἰκείας δυνάμεις προσειληφότες καὶ ἄμφω τὴν δυτικὴν (67) κατέδραμον χώραν, ὁπόση ἦν τοῖς Λατίνοις δουλεύουσα. Καὶ λείαν μὲν πολλὴν ἐποιήσαντο [78] καὶ Σκυθῶν ἐρημίαν (τὸ τῆς παροιμίας [79] εἰπεῖν) τὴν ἅπασαν ἀπειργάσαντο, σφίσι δὲ αὐτοῖς κατὰ τοὺς ὅρκους [80] τὰ ἄστη καὶ τὴν χώραν διεμερίσαντο. Καὶ Καλλιούπολις μὲν, ἐπεὶ καὶ πρὸ τῆς συνελεύσεως τοῦ Ἀσὰν παρὰ τοῦ βασιλέως [81] ἑάλω, ὑπὸ τὸν βασιλέα ἐγένετο, ὁμοίως καὶ Μάδυτα καὶ πᾶσα ἡ ὀνομαζομένη Χερρόνησος.

A cunque una mecum logicis speculationibus attendebant. Et de me ipso hæc in præsenti satis dicta sint : in posterum vero reliqua, ubi sese tulerit occasio, historiæ inserentur.

33. Cum itaque, ut prædixeram, ambo Joannes Ducas imperator et Asanus Joannes Bulgarorum rex in unum fœdere icto convenissent, imperator Lampsacum præoccupat, et copiis Calliupolim trajicit, adactisque machinis castellum invadit, et non multo post e Venetorum manibus recuperat. Post hæc Asanus cum uxore Maria Ungara et filia Helena Calliupolim venit, ubi cum imperatore sermonem conserit : ibidemque amicitiam uterque confirmant. Hic Hellespontum non trajecit, sed in B Calliupolis partibus remansit. Joannes imperator cum uxore et filia Helena Lampsacum, ubi erat Irene imperatrix, remeat. Et puerorum nuptias apparant, cum Germanus patriarcha **55** inter rem divinam nuptiarum cæremonias absolvisset. Tunc et Trinobi præsul Cpolitano obnoxius imperatorio ac synodico decreto, ut Asano Bulgarorum principi affinitatis et amicitiæ causa gratificarentur, suo jure vivere et patriarchæ nomine condecorari obtinuit. His ergo ac similibus expletis imperatrix Irene cum filio ac sponsa in orientalibus locis versabatur, Asani uxor in sedes suas reversa est. Joannes deinceps imperator et Asanus conductis copiis uterque occiduam plagam, quæ Latinis serviebat, excurrerunt, ingentique inde præda deportata Scythicam solitudinem, ut proverbio utar, universam effecerunt, urbibus ac regione, ut jurejurando convenerant, sibi divisis. Calliupolis cum ante adventum Asani expugnata fuisset, sub imperatoris potestate venit. Simili ratione et Madyta, et omnis cui Chersoneso nomen est. Habebat prætera imperator et Cisi castrum, et ad fluvium qui Maritza a multis vocatur fines extendit. Potitus est ad hæc et monte Gano, in quo oppidulum exstruxit, cuius in custodiam misit Nicolaum Coterizem, virum plurimis præliis exercitum, in quibus adeo præstiterat ut **56** apud omnes illud vulgatum fuerit, neminem neque ante eum neque post eum fuisse qui tot ac tanta facinora vel atten-

[65] Τότε— παρεμβληθήσεται om. D. [66] δὲ—εἰς] δ' αἱ σπονδαὶ ἐγένοντο, διαπεραιοῦται ἐκ Λαμψάκου μετὰ τῶν οἰκείων ὁ βασιλεὺς εἰς D. [67] ἀνασώσας χειρός D. [68] τῇ ἐξ Οὔγγρων Μαρίᾳ om. D. [69] Ἑλένῃ om. D. [70] εἰς Καλλιούπολιν om. D. [71] οὗτος—μέρεσιν om. D. [72] ὁ οὖν Ἀσὰν τὴν αὐτοῦ γαμετὴν καὶ τὸ θυγάτριον λαβὼν D. [73] πληροῦται τὰ τοῦ κήδους τῶν παίδων D. [74] ἱεροτελεστίας D. [75] τετίμηται βασιλικῷ καὶ συνοδικῷ ψηφίσματι D. [76] χάριτας — φιλίας om. D. [77] διῃτᾶτο χωρίοις, ἡ δὲ τοῦ D. [78] καὶ λείαν — ἐποιήσαντο om. D. [79] τὸ τῆς παροιμίας] ὡς ἔπος D. [80] κατὰ τοὺς ὅρκους om. D. [81] παρὰ τοῦ βασιλέως om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(66) *Ὁ Τρινόβου ἀρχιερεύς.* Acropolita ὑπὸ τὸν Κωνσταντινουπόλεως τελῶν, Gregoras τῷ τέως ὑπὸ τὸν ἀρχιεπίσκοπον τῆς πρώτης τελῶν Ἰουστινιανῆς. Et consentit Ephræmius in Chronico :

Τῷ τηνικαῦτα ποιμενάρχης Τρινόβου,
Τῷ Βουλγαρίας ὑποκείμενος θρόνῳ,
Οὐκ οἶδ' ὅπως κέκριτο συνόδου κρίσει
Θεσπίσματί τε τοῦ κρατοῦντος Αὐσόνων
Τιμὴν πατριάρχου γε καὶ κλῆσιν ἔχειν,
Κήδους τινόντων τῶν κρατούντων οἱ χάριν.

Acropolita memoriæ lapsu vel parum rebus ecclesiasticis intentus hæc de Ternobi episcopo scripsit. De Ternobi autonomia nos etiam alibi. Ternobum porro omnium Hæmi urbium munitissimam et præstantissimam dicit Chouiata, in montis vertice sitam, firmis circumdatam mœnibus. ALL.

(67) *Τὴν δυτικήν.* Gregoras, p. 30. ALL.

tarit felicius vel prosperius gesserit, ut inde Latinis qui in Tzurulo erant negotia facesseret. Asanus dictorum locorum partes superiores ad Aquilonem tenuit. Et ad ipsos usque Cpolis muros Joanne rege in illis adsidente et intuente uterque perveniens ingentem timorem Latinis injecere, resque eorum in extremum discrimen deduxere. Porro cum autumnus præteriisset ac hiems instaret, Joannes imperator atque Asanus postquam inter se de gerendis deliberassent, Asanus quidem domum revertitur, imperator in Orientem transfertur.

A Εἶχε δὲ ὁ βασιλεὺς καὶ τὸ τοῦ Κισσοῦ φρούριον, καὶ μέχρι ποταμοῦ ὃν Μαρίτζαν ὁ πολὺς μετονομάζει λαὸς τὰ [99] σύνορα ἔθετο. Ἐκράτησε δὲ καὶ τοῦ ὄρους τοῦ Γάνου, καὶ ἐν αὐτῷ ἐδείματο καὶ πολίχνιον, ἔνθα καὶ τὸν Κοτέρτζην Νικόλαον φυλάττειν [P. 28] ἐξέπεμψε καὶ πράγματα παρέχειν Λατίνοις τοῖς ἐν τῇ Τζουρουλῷ, ἄνδρα πολλοῖς κατεξητασμένον πολέμοις, καὶ ἐς τοσοῦτον εὐδοκιμήσαντα ὡς πάντας τοιαύτην δόξαν περὶ τούτου σχεῖν, μήτε πρὸ αὐτοῦ μήτε μὴν μετ' αὐτὸν ἄλλον φανῆναι τοιούτοις ἔργοις ἐγχειρηκότα ἢ τοσαῦτα κατωρθωκότα [100]. Ὁ δὲ Ἀσὰν τὰ ὑπεράνω τῶν εἰρημένων χώρων καὶ πρὸς Βοῤῥᾶν νεύοντα ὑφ' ἑαυτὸν ἔσχεν. Μέχρι μὲν οὖν καὶ αὐτῶν τῶν τειχῶν τῆς Κωνσταντίνου καὶ ἀμφότεροι κατηντήκεσαν, τοῦ ῥηγὸς Ἰωάννου ἐπ' αὐτῶν καθεζομένου καὶ καθορῶντος, καὶ πτοίαν πολλὴν τοῖς Λατίνοις ἐνέβαλον, καὶ ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἔθεντο. Ἐπεὶ δὲ ὁ τοῦ μετοπώρου παρεῤῥύη καιρὸς καὶ [101] ὁ χειμὼν ἤγγιζεν, ἀλλήλοις συνταξάμενοι ὅ τε βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσὰν ὁ μὲν εἰς τὴν οἰκείαν χώραν τῶν Βουλγάρων χωρεῖ, ὁ δὲ βασιλεὺς ἐς τὴν ἕω διαπερᾷ [102].

34. Cujus filius Theodorus cum adhuc immatura esset ætate, utpote qui annum undecimum, ut diximus, non excederet cum reginam Helenam duceret, integer ab imperatrice Irene una cum puella conservabatur : colebantur enim ab ea pueri atque informabantur, tanquam quæ ingenium ac naturam optimam nacta in omne bonum animum inclinaret. Igitur Latinorum res nimium in angustum deductæ, duorum etiam imperatorum affinitate in extremum fastus ille depressus est. Rex interim Joannes cum non diu vixisset, **57** ex hominibus sublatus genero suo Balduino Cpolitanum imperium hæreditarium reliquit. Asanus pactorum quæ cum Joanne imperatore sanxerat pertæsus, quanam ratione filiam a marito Theodoro imperatore avelleret et alii collocaret quærebat : Romanorum namque in meliora progressum formidabat, gentis ipse Romanis obnoxiæ occupator. Meditatur itaque causam, justam illam quidem atque conspicuam, ut videbatur, licet expertos rerumque guaros consilium hominis non præteriret. Mittit ad imperatorem atque imperatricem legatos, qui referrent se cum uxore, dum Adrianopolim venisset, filiolam intueri velle et paterna necessitudine amplecti exoscularique, aliaque, uti par esse videbitur, explere, rursumque se eam ad socrum et consortem thalami remissurum. Joannes imperator et imperatrix Irene, etsi fabulam ad amussim callerent et plane technas ac machinas cognoscerent, mittunt nihilominus ad Asanum filiam hoc enuntiatu, « si ille filiam retinuisset et a legitimo conjuge separasset, esse Deum, qui omnia conspicit, pœnamque

B λδ'. Ἐπεὶ δὲ ὁ υἱὸς αὐτοῦ Θεόδωρος ἀφῆλιξ ἐτύγχανεν ὤν, ἐνδέκατον γὰρ διήνυεν ἔτος, ὥσπερ ἔφημεν (68), ἡνίκα τῇ βασιλίδι Ἑλένῃ ἐς συνουσίαν ἔμενον ἀτελῆ. Ἀνήγοντο δὲ παρὰ τῆς βασιλίδος Εἰρήνης καὶ ἐπαιδεύοντο, οἷα ἐκείνη φύσεως ἀγαθῆς τυχοῦσα καὶ πρὸς ἅπαν καλὸν ἐπινεύουσα. Τὰ μὲν οὖν τῶν Λατίνων πράγματα συνεστάλη τε τότε πολὺ, καὶ τῷ κῆδει τῶν δύο αὐτοκρατόρων εἰς ταπεινὸν ἄγαν καταπεπτώκει τὸ φρόνημα [103]. Ὁ δὲ ῥῆξ Ἰωάννης μικρὸν ἐπιβιώσας ἐξ ἀνθρώπων ἐγένετο, τὴν τῆς Κωνσταντινουπόλεως ἐξουσίαν τῷ αὐτοῦ γαμβρῷ τῷ Βαλδουΐνῳ ὡς κλῆρον καταλιπών. Ὁ δέ γε Ἀσὰν μετάμελος ἐπὶ ταῖς τοῦ βασιλέως Ἰωάννου συνθήκαις, ὡς ἐφάνη, γενόμενος τρόπον ἐζήτει ὅπως ἂν τὴν θυγατέρα ἀποσπάσῃ τοῦ συζύγου βασιλέως C τοῦ Θεοδώρου καὶ ἑτέρῳ ταύτην κηδεύσῃ· τῶν γὰρ Ῥωμαίων ἐδεδίει πάνυ τὴν ἐς τὰ βελτίω [104] προκοπὴν, ἔθνους ἄρχων ὑποτεταγμένου πάλαι Ῥωμαίοις [105]. Σκήπτεται γοῦν αἰτίαν, ὡς ἐδόκει μὲν, εὔλογον, κἂν οὐκ ἐλάνθανε τοὺς ἐπισταμένους τὰ πράγματα [106], καὶ ἀποστέλλει πρέσβεις πρὸς τὸν βασιλέα καὶ τὴν [107] βασιλίδα, ὡς ἐπεὶ πλησιάσειε τῇ Ἀδριανοῦ [108] βούλεται αὐτός τε καὶ ἡ σύζυγος τὸ θυγάτριον ἰδεῖν καὶ πατρικῶς περιπτύξασθαι καὶ τὰ εἰκότα πληρῶσαι καὶ αὖθις ἀποπέμψαι πρὸς τὸν πενθερὸν καὶ σύζυγον [109]. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης καὶ ἡ βασιλὶς Εἰρήνη, καίτοι γε ἀκριβῶς εἰδότες τὸ δρᾶμα καὶ καθαρῶς ἐπιγνόντες [110] τὴν σκευωρίαν, ὅμως πέμπουσι πρὸς τὸν Ἀσὰν τὴν θυγατέρα, ταῦτ' εἰρηκότες ὡς εἰ τὴν θυγατέρα κατάσχοι καὶ τοῦ νομίμως D συζευχθέντος ἀποστερήσειεν [111], ἔστι Θεὸς ὁ τὰ πάντα ἐφορῶν καὶ τιμωρίαν ἐπάγων [P. 29] τοῖς τοὺς ὅρ-

[99] μέχρι τοῦ ποταμοῦ Μαρίτζας τὰ D. [100] κατωρθωκότα] τοῦτο δὲ τὸ τῆς Τζουρουλῶ οὐ μετὰ πολὺν χρόνον ὑπὸ τῶν Ῥωμαϊκῶν ἑάλω δυνάμεων D. [101] ὁ — καὶ om. D. [102] συνταξάμενοι ὁ μὲν Ἀσὰν εἰς τὰ οἴκοι, ὁ δὲ βασιλεὺς εἰς ἕω διεπέρασεν D. [103] Ἐπεὶ — φρόνημα om. D. [104] τῷ γαμβρῷ Βαλδουΐνῳ τὴν Κωνσταντίνου ὡς D. [105] ταῖς συνθήκαις τοῦ βασιλέως φανεὶς τρόπον ἐζήτει δι' οὗ τὸ θυγάτριον τοῦ συζύγου ἀποσπάσῃ. Τῶν D. [106] ἐς τὰ βελτίω om. D. [107] ἔθνους — Ῥωμαίοις om. D. [108] ὡς — πράγματα om. D. [109] στέλλει πρὸς τὴν D. [110] Ἀδριανουπόλει D. [111] καὶ τὰ — σύζυγον om. D. [112] οἱ οὖν βασιλεῖς καίτοι ἐπιγνόντες D. [113] καὶ — ἀποστερήσειεν om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(68). Ἔφημεν. Cap. 31. All.

κους παραβαίνουσι καὶ τὰς συνθήκας, ἃς ἐπὶ Θεῷ μάρτυρι συνεστήσαντο, διαλύουσιν. Ὁ μὲν οὖν Βούλγαρος [96] τὴν θυγατέρα λαβὼν ᾤχετο, τοὺς ἑπομένους αὐτῇ πάντας ὀπισθορμήτους ποιήσας, καὶ τὸν Αἶμον διαβὰς ἐχώρει ἐπὶ τὸν Τρίνοβον, κλαιούσης μὲν τῆς αὐτοῦ θυγατρὸς καὶ ὀλοφυρομένης, καὶ πενθερᾷ καὶ βασιλίδος Εἰρήνης καὶ τοῦ συζύγου λίαν ἐποδυρομένης τὸν χωρισμὸν [97], ὅτε φασὶ τὸν Ἀσὰν προσλαβόμενον αὐτὴν τῆς αὐτοῦ ἐφεστρίδος ἔμπροσθεν ἐπικαθίσαι καὶ [98] τύψαι κατὰ κόρρης τοῖς δακτύλοις, καὶ ἐπαπειλῆσαι δεινῶς, εἰ μὴ σιγῇ φέρει ὅσα οἱ διὰ βουλῆς ἐστιν ἐπ' αὐτῇ διαπράξασθαι [99].

A jurisjurandi et fœderum sub teste Deo Initorum violatoribus infligit. » Sed Bulgarus recepta filia abiit, omnibus eam sequentibus recessim 58 cedere coactis, ac Hæmum prætergressus Trinobum contendebat. Cum illacrymaretur filia ejularetque, seque a socro, imperatrice Irene, atque conjuge separatam esse anxie ac nimium indoleret, fama est Asanum eam ante sui equi sagulum collocasse, digitisque in faciem percussisse, minatum acriter, ni silentio raptum ferret, se in eam omnia quæ illi probro essent exsecuturum.

λε'. Κατ' ἐκεῖνο καιροῦ καὶ τὸ τῶν Σκυθῶν (69) γένος, τῶν Ταρτάρων (70) καταδραμόντων αὐτῶν, ὁπόσοι τὸ ξίφος ἐκείνων ἐξέφυγον, ἀσκοῖς τὸν Ἴστρον διαπεράσαντες τέκνοι [100] ἅμα καὶ γυναιξὶ, καὶ ἀκόντων Βουλγάρων (πολλαὶ γὰρ ὑπῆρχον χιλιοστύες) τοὺς τῆς Μακεδονίας χώρους κατέλαβον, οἱ μὲν περὶ τὸν Ἕβρον καὶ τὰ ἐκεῖσε πεδία τὰς νομὰς ποιούμενοι, οἱ δὲ περὶ τὰ κατωτέρω μέρη καὶ τὸν ποταμὸν ὃν ἡ χύδην ῥέουσα γλῶττα, καθάπερ ἔφημεν, Μαρίτζαν κατονομάζει. Καὶ γὰρ ἔστιν ὡς ἀληθῶς Ἕβρος μέχρι καὶ τῆς Αἴμου (a) τὰς ἐκδρομὰς ποιούμενος, κἀκεῖθεν ἐπὶ τὸ Αἰγαῖον ἐκρέων πέλαγος· ὅτι δὲ συμβάλλουσι τούτῳ καὶ ἕτεροι ποταμοὶ καὶ μείζω ποιοῦσιν, ἐναλλάττει τοῖς παροικοῦσι καὶ τοὔνομα [101]. Ἐλήϊζον οὖν τὰ ἐν Μακεδονίᾳ πάντα, καὶ ὡς ἐν ὀλίγῳ ἔρημα πάντα τῶν οἰκητόρων ἐποίησαν, καὶ Σκυθῶν ἐρημίαν (τὸ τῆς παροιμίας ἐρεῖν) ἀπειργάσαντο [1], καὶ πολιχνίων δὲ ὁπόσα ὑπῆρχον εὐχείρωτα πολέμῳ περιεγένοντο. Καὶ ἐφονεύοντο μὲν πολλοὶ, ἐσκυλεύοντο δὲ πάντες καὶ ἠχμαλωτίζοντο καὶ ἀπημπολοῦντο ἐν τοῖς μείζοσιν ἄστεσιν, οἷον τῇ [2] Ἀδρια-

35. Per idem tempus Scytharum gens ab excursionibus, latrociniis ac Tartarorum cædibus reliqua, cum filiis et uxoribus, Bulgaris licet reclamantibus, cum innumera esset multitudo, utribus Istro superato, Macedoniæ loca occeparunt : alii circa Hebrum et æquatas agri planities victus sibi suppeditant, alii in loca inferiora, et fluvium quem communis lingua, ut diximus, Maritzam vocare solet, deferuntur. Hebrus namque re et nomine usque Hæmum excurrit, indeque in Ægæum pelagus influit. Quod vero in eum alii fluvii ingrediuntur et auctiorem reddunt, nomina accolarum, uti sese offerunt, induit. Diripuere itaque omnia quæ in Macedonia erant, adeo ut minimo tempore universa cultoribus spoliata desolaretur, et Scytharum 59 solitudo, ut proverbio dicitur, efficeretur. Oppidulis item captu facilibus bello non sine multorum strage politi sunt : rapinis ac populationibus omnia vastata ; viri in servitutem abacti in majoribus urbibus, Adrianopoli, Didymoteucho, Bizya, Callipoli, et si quæ alia erat morarum

[96] ἔσται Θεὸς τιμωρός. Καὶ ὁ Βούλγαρος D. [97] καὶ πενθερᾷς — χωρισμόν om. D. [98] τῆς — καὶ om. D. [99] εἰ — διαπράξασθαι om. D. [100] διαπεράσαντες καὶ τὸν Αἶμον ὑπερπηδήσαντες τέκνοις D. [101] περὶ τὸν Ἕβρον — τοὔνομα] περὶ τὴν Μαρίτζαν D. [1] καὶ ὡς — ἀπειργάσαντο om. D. [2] τοῖς — τῇ om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(69) *Σκυθῶν.* Cum Joannes Ducas rerum potiretur, maxima Scytharum multitudo ab Hyperboreis effusa ad Caspium mare descendit, et eorum duce Sitziscane defuncto filii ejus Chalaus et Telepuges exercitus dividunt. Chalaus Caspium et Iaxartem fluvium ad Septemtrionem relinquens per inferiorem Asiam descendit : Telepuges limitibus imperii sui constitutis meridiem versus Caucasi cacuminibus et deinceps mari Caspio, per Massagetarum et Sauromatarum regionem proficiscitur, subigitque gentes omnes quæ Mæotidem paludem et Tanaim accolebant. Deinde Tanai superato adversus Europæas gentes multas ac varias et ex iisdem Scythis ortas impetum facit, quæ impressione illa perterritæ mutandas sibi sedes censuerunt : neque enim illis satis fiduciæ ad resistendum erat, sed omnes et gentes et urbes trepidabant et velut spicæ in area terebantur. Unde et hi Scythico bello desperato pellibus palea plenis pro ratibus usi cum uxoribus et liberis Istrum transierunt, nec brevi tempore in Thracia oberrarunt, idoneam sibi coloniam quærentes, decem millibus haud pauciores. Ex Gregora. ALL.

(70) De Tartarorum colluvie et barbarie variæ scripserunt, Haithonus Armenius, in *Orientali Historia* ; Marcus Paulus Venetus, in *Itinerario* ; Alexander Gagninus, in *Sarmatia Europæa*, et complures alii. Omnium luculentissime Vincentius Bellovacensis, in *Spec. Histor.* lib. XXXI et XXXII ex Simone de Sancto Quintino et Joanne de Planocarpi ; quædam etiam ex Historia Tartarorum. Hos Vincentii auctores secutum video Ant. Bonfinium *Rer. Ungar.* decad. II, lib. VIII, ubi statim in initio de mirandis Tartarorum moribus nonnulla præmittit, Ungarorum gesta cum ipsis bella post commemoraturus. Illic vide, si fortasse ulla tibi libido est cognoscendi bipedes nequissimos, homines, ut ita dicam, non homines, aut potius magna parte belluas, si vera sunt quæ de iis vulgo traduntur ab illis qui aut ipsi gentem viderunt, aut a fide dignis ea quæ referunt accepere. DOUSA.

(a) Legendum est τῆς Αἴνου. Hebrus enim non ad Hæmum fluit, sed ab eo descendit, labiturque usque ad Ænum urbem mari Ægeo appositam, et juxta eam in mare exit. Cf. Frid. Tafel in *Dissertatione de Thessalonica ejusque agro*, Berolini 1839, p. 301. EDIT.

tutiorum strue circumdata aut habitantium multitudine circumsepta, divenditi sunt.

36. Cum hæc ita succederent, Latini quoque perpetuo in nos odio ac furore inflammati, et propter quam in eos Joannes imperator et Asanus irruptionem fecerant, et urbium ac oppidorum privationem magis ac magis infensi, nostra aggrediendi nosque opprimendi occasionem quærebant, et ad vires amissas instaurandas satis illud peropportunum visum est. Primum sibi Asanum conciliant, cum quo pacem componunt; deinceps Scythas barbaros, errones, peregrinos et advenas munusculis exiguis, sed uberioribus promissionibus illectos sibi adsciscunt, agendorumque sibi socios allegant. Hinc magnis ex Scythis et Bulgaris auxiliaribus copiis recollectis Itali una omnes simul adversus Joannem imperatorem aciem instruunt. Et cum prope Tzurulense **60** castrum esset, vires ad id oppugnandum convertunt, eodem Asano præsente cum tot millenis Scytharum et Bulgarorum et Italicis machinis. Tzuruli custodia Nicephoro Tarchaniotæ, qui e mensa tunc erat imperatoris, postmodum magnus domesticus creatus est, magni domestici Palæologi gener, cum primum illius filiam Mariam sibi nuptiis adjunxisset, ab imperatore Joanne demandata fuerat. Erat Tarchaniota miles præstans et optimus dux, et divini præsidii sæpissime particeps, ut exitu fineque rerum patenter innotuit: namque eum plèrique aspirante magis fortuna res absolvere quam robore et militari peritia hostes superare existimabant. Postquam castrum a milite circumseptum est, arietes tormentaque Italis adfuere multa et valida, quibus non hoc solum sed altiores etiam muros et ingentiores urbes quassatas diruissent. Tunc cogitationes magnas et in bellicis disponendis industriam una cum sociis, qui e mensa erat, dilucide satis demonstravit. Verum totum id divinæ opi tribuendum est. Nam Tarchaniota in externas machinas alias ipse machinabatur, et tantæ copiarum multitudini robur ac animum, quæ in immensa militum multitudine reperiri possent, opposuit. Hæc anxium ac sollicitum habebant Joannem imperatorem, non tantum de castro pertimescentem, sed tanquam summo ingenio et prudentia bellica præditum **61** suspicantem, si castrum ab hostibus caperetur, quæcunque ipse in occidente possideret, pessum

A νουπόλει, τῷ Διδυμοτοίχῳ [3], τῇ Βιζύῃ, τῇ Καλλιουπόλει καὶ εἴ τι ἄλλο ἦν τείχεσιν ἐρυμνοτέροις ὠχυρωμένον καὶ τῷ πλήθει τῶν οἰκούντων ἠσφαλισμένον [4].

λς'. Ἐπεὶ γοῦν οὕτω ταῦτα συνέβη, τὸ τῶν Λατίνων γένος ἀεὶ καθ' ἡμῶν μανίαν τρέφοντες, καὶ χεῖρον δὲ διατεθέντες διὰ τὴν πρὸ μικροῦ γενομένην σφίσι παρά τε τοῦ βασιλέως Ἰωάννου καὶ τοῦ Ἀσὰν ἔφοδον καὶ τῶν χωρῶν καὶ τῶν πολιχνίων αὐτῶν στέρησιν, καιρὸν ἐζήτουν ἐπιχειρήσασθαι καθ' ἡμῶν, εὑρόντες τῷ τότε δυνάμενον, ὡς ᾤοντο, τὴν ἧτταν τούτοις ἀνακαλέσασθαι. Καὶ πρῶτα μὲν τὸν Ἀσὰν ὑποποιοῦνται, καὶ τούτῳ τὰ πρὸς εἰρήνην [5] σπένδονται· ἔπειτα δὲ σὺν αὐτῷ καὶ τοὺς Σκύθας, βαρβάρους ἄνδρας ἀλήτας τε καὶ ἐπήλυδας, μικροῖς τισι τοῖς B χαρίσμασι, μακροτέραις δέ γε ταῖς ὑποσχέσεσιν [6] εἰς ἑαυτοὺς ἕλκουσι καὶ συμπράκτορας τῶν ἔργων ποιοῦσι. Καὶ δὴ συμμαχίαν τοσαύτην ἔκ τε Σκυθῶν καὶ Βουλγάρων [7] συνηθροικότες οἱ Ἰταλοὶ ὁμόσε κατὰ τοῦ βασιλέως Ἰωάννου χωροῦσιν. [P. 30] Ἐπεὶ δὲ σφίσιν ἐκ τοῦ σχεδὸν τὸ τῆς Τζουρουλοῦ [8] ἄστυ ἐτύγχανε, κατ' ἐκείνου τὴν μάχην ἱστῶσι, παρόντος αὐτοπροσώπως [9] καὶ τοῦ Ἀσὰν μετὰ τοσούτων χιλιοστύων, τῶν Σκυθικῶν καὶ τῶν Βουλγαρικῶν στρατευμάτων, καὶ τῶν Ἰταλικῶν μηχανημάτων. Ἦν δὲ τῆς Τζουρουλοῦ [10] τὴν φρουρὰν παρὰ τοῦ βασιλέως Ἰωάννου προσδεδεγμένος ὁ Ταρχανειώτης Νικηφόρος, ὅς [11] ἐπὶ τῆς τραπέζης (71) τοῦ βασιλέως ὑπῆρχε τότε, μέγας δὲ δομέστικος τετίμηται ὕστερον [12], γαμβρὸς δὲ ἦν τοῦ μεγάλου δομεστίκου τοῦ Παλαιολόγου ἐπὶ τῇ πρώτῃ αὐτοῦ θυγατρὶ Μαρίᾳ. Ἦν δὲ ὁ C Ταρχανειώτης καὶ στρατιώτης καλὸς καὶ ἀγαθὸς στρατηγὸς [13], καὶ πολλῆς ἐπαπολαύων τῆς παρὰ Θεοῦ ἀντιλήψεως, καθὼς καὶ μέχρι τέλους ἐπέγνωσται μάλιστα· καὶ γὰρ ἐδόκει τοῖς πολλοῖς εὐτυχίᾳ κατορθούμενος τὰ πολλὰ ἢ εὐανδρίᾳ καὶ στρατηγίᾳ τῶν ἐναντίων περιγενόμενος [14]. Ἐπεὶ δὲ τῷ ἄστει παρεκαθίσαντο, μηχανήματά τε καὶ ἑλέπολεις τοῖς Ἰταλοῖς ἐγεγόνεισαν πολλαί τε καὶ ἰσχυραί, ὡς μὴ μόνον τηλικοῦδε ἄστεως περιγενέσθαι ἰσχύουσαι, ἀλλὰ καὶ ὑψηλοτέρων τειχῶν καὶ εὐμεγεθεστέρων πόλεων, τότε τὸ γενναῖον φρόνημα καὶ τὴν στρατηγικὴν μεθοδείαν μετὰ τῶν σὺν αὐτῷ ὁ ἐπὶ τῆς τραπέζης λαμπρῶς ἐνεδείξατο. Ἦν δὲ τὸ ὅλον τῆς τοῦ Θεοῦ ἀντιλήψεως (72)· ἀντεμηχανᾶτο γὰρ ἔνδον ὁ Ταρχανειώτης τοῖς ἔξωθεν μηχανήμασιν, καὶ τῇ τοσαύτῃ πληθύϊ τῆς στρατιᾶς ἀντεπεξῆγε τὸ ἀνδρικὸν ἐν πολλοστοῖς ἄγαν τοῖς στρατιώταις [15]. Ἐν ἀμηχανίᾳ δὲ ἦν ὁ βα-

D

[3] τῷ Διδυμοτοίχῳ om. D. [4] καὶ εἴ — ἠσφαλισμένον] καὶ τοῖς μείζοσιν ἄστεσιν D. [5] τὰ πρὸς εἰρήνην om. D. [6] μείζοσι δ' ὑποσχέσεσιν D. [7] ἐκ — Βουλγάρων om. D. [8] Τζουρουλὼ D. [9] αὐτοπροσώπως om. D. [10] ἐφρούρει δὲ τὴν Τζουρουλὼ ὁ D. [11] ὅς] ὁ D, omissis τοῦ βασιλέως ὑπῆρχε. [12] μέγας — ὕστερον] καὶ ὕστερον μέγας δομέστικος D. [13] καὶ ἀγαθὸς στρατηγὸς om. D. [14] καθὼς — περιγενόμενος om. D. [15] ἀντεπεξῆγε — στρατιώταις om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(71) *Ὁ ἐπὶ τῆς τραπέζης*. Dignitas in Byzantinorum imperatorum aula non postremo loco habita est, ut apud Curopalatem legimus. Witichindo est *mensæ minister*, aliis *dapifer*. Quem dapiferatus honorem seu præfecturam mensæ jam tum sub Constantino Magno ita distributis officiis institutam et Russiæ principi assignatam, ut alia aliis, testatur Nicephorus Gregoras, lib. VII, cap. 8. Vide V. C. Marquardi Freheri *Origines Palatinas*, parte I, cap. 15 renovatæ editionis, et Meursii Gloss. in Δομέστικος. DOUSA.

(72) *Τῆς τοῦ Θεοῦ ἀντιλήψεως*. Non arma, sed Dei gratia est quæ pugnat. Gregoras, p. 83, de Alexio Strategopulo. ALL.

σιλεὺς Ἰωάννης, οὐ τοσοῦτον τῶν ἐν τῷ ἄστει ὑπεραγωνιῶν, ἀλλ' [16] εἰδὼς, οἷα ἐχέφρων καὶ συνετὸς τὰ πολέμια [17], ὡς εἰ τὸ ἄστυ παρὰ τῶν ἐναντίων [18] ἁλῴη, φροῦδα πάντα τὰ ἐν τῇ δύσει τούτῳ τυγχάνοντα γένοιντο. Τέως οὖν ἡγάπα μᾶλλον ἐν τούτῳ ἐπιτηδεῖσθαι τοὺς πολεμίους καὶ τὸ πολὺ τῆς ῥύμης σφίσιν ἐναποκόπτεσθαι· ἔμελε γὰρ αὐτῷ μᾶλλον τὰ ἐν τῇ ἕῳ, ὧν ἐλευθέρων ὑπαρχόντων τῆς μάχης πλεῖον αὐτῷ τὸ τῆς εὐφροσύνης ὑπῆν. Πολιορκουμένου γοῦν τοῦ ἄστεως Τζουρουλοῦ αἴφνης ἐπῆει μήνυμα τῷ Ἀσὰν ὡς ἡ σύζυγος αὐτοῦ ἡ ἐξ Οὔγγρων ἐξ ἀνθρώπων ἐγένετο, τετελεύτηκε δὲ κατὰ ταυτὸ καὶ παιδίον αὐτοῦ καὶ ὁ Τρινόβου ἐπίσκοπος. Θεομηνίαν γοῦν ἡγησάμενος ταῦτα πυρὶ ἀφανίζει τὰς ἑλεπόλεις, καὶ ὡς εἶχε δρόμου ἐπὶ τὸν Τρίνοβον ἵκετο. Μόνοι γοῦν ἀπολελειμμένοι οἱ Ἰταλοὶ, ἐπεὶ μὴ ἀποχρώντως εἶχον εἰς τὴν τοῦ ἄστεως πολιόρκησιν, κἀκεῖνοι τὴν κατ' αὐτῶν μάχην λελοιπότες ἐς τὴν Κωνσταντίνου ᾤχοντο. Ἠλευθέρωτο γοῦν τὸ ἄστυ τῆς τῶν ἐναντίων πολιορκίας, καὶ συνηλευθέρωτο καὶ ὁ ἐπὶ τῆς τραπέζης Ταρχανειώτης, Νικηφόρος ἐν τούτοις κατὰ τὴν κλῆσιν ἀναφανείς [19]. Ὁ μὲν οὖν Ἀσὰν, ἐπειδὴ τούτῳ τὰ προῤῥηθέντα ξυμβέβηκε λυπηρὰ [20], εὐσεβῶς καὶ μάλα οἰηθεὶς ὡς διὰ τὰς παραβασίας τῶν ὅρκων ὧν μετὰ τοῦ βασιλέως Ἰωάννου ξυνέθετο [P. 31] καὶ τὸ ἀποσπάσαι τὴν θυγατέρα τοῦ συζύγου Θεοδώρου ταυτὶ γένοιντο, μετάμελος ἐπὶ τούτοις γενόμενος πρέσβεις ἐξαπεστάλκει πρὸς τὸν βασιλέα, ἑαυτόν τε ἐξουθενῶν τῆς κακίστης πράξεως καὶ τὰς συνθήκας ἀνακαλούμενος [21] καὶ συγγνώμην τῶν πεπραγμένων αἰτούμενος [22]. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης καὶ ἡ βασιλὶς Εἰρήνη, οἷα ἐκεῖνοι πρὸς τὰ εὐσεβέστερα καὶ θειότερα [23] ἀπονεύοντες, δέχονταί τε τὴν πρεσβείαν, καὶ οὐδὲ εἰς μακροὺς ἐλθόντες λόγους τούς τε ὅρκους καὶ αὖθις πεδοῦσι [24] καὶ τὴν νύμφην Ἑλένην ἀνακαλοῦνται. Ἀποστέλλεται γοῦν αὖτη πρός τε τὸν πενθερὸν καὶ τὸν σύζυγον, καὶ εἰρήνη πάλιν μέσον Ῥωμαίων τε καὶ Βουλγάρων [25].

λζ'. Ὁ μὲν οὖν τῆς ἱστορίας δρόμος ἐφ' ἑτέραν τρέπεται τὴν ὁδὸν καὶ τὰ περὶ τῶν ἐν τῇ Κωνσταντίνου διασαφήσει· πολυσχιδῶς γὰρ τότε τῶν πραγμάτων κεκινημένων διὰ τὸ πολυαρχίαν ἐν πᾶσι γενέσθαι, ποικίλως δεῖ καὶ τὰ τοῦ λόγου συστρέφεσθαι. Ὁ μὲν οὖν Βαλδουῖνος, ὃν ὁ λόγος βασιλεῦσαι τῆς Κωνσταντίνου προείρηκεν [26], ἀπειρηκὼς ἐν ταῖς πρὸς Ῥωμαίους μάχαις, μᾶλλον δὲ τῇ πρὸς τὸν βασιλέα Ἰωάννην ἐναντιότητι (ἐς μικρὸν γὰρ τὰ ἐκείνου παρὰ τούτου συνέσταλται [27]), πρὸς τὸν τῶν Φράγκων ἀποδεδημήκει ῥῆγα, προσῳκειωμένον τούτῳ καθ' αἷμα, οὐ μὴν ἀλλὰ καὶ ὡς ξυμφυλέτην ἄγαν τε Ῥωμαίοις ἐχθρὸν καὶ βοηθεῖν διὰ ταῦτα ἕτοιμον [28], καὶ συμμαχίαν ζητεῖ ἀξιόλογον, καὶ ἐπιτυγχάνει τοῦ [29] σκοποῦ· καὶ ἐν οὐ πολλῷ χρόνῳ ἑξήκοντα χιλιάδες συνηθροίσθησαν Φράγκων, ἵν' ὅπως κατὰ Ῥωμαίων χωρήσωσιν [30]. Ἐπεὶ δὲ οὐκ ἦν αὐτοῖς εὔδρομος διὰ νηῶν ἡ ὁδὸς, τῆς ἀναγωγῆς προσαπαιτούσης πλείω ἢ κατὰ δύναμιν τὸν μισθὸν [31], διὰ τῆς χέρσου τὴν πορείαν ποιοῦνται. Καὶ δὴ τὰς ἄνω παραμείψαντες Γαλλίας

itura. Delectabatur interim in eo expugnando adversarios retardari, eorumque potissimam impetus partem confringi: nam orientalibus rebus potius animum advertebat, quas cum a bello immunes conspiceret, magis animo gestiebat. Dum obsidetur Tzuruli castrum, Asano derepente nuntiatur uxorem Ungaram in vivis esse desiisse, eodem momento et filiolum ipsius et Trinobi episcopum obiisse. Ideo Numinis iram ratus tormenta igne concremat, et quam citissime Trinobum redit. Igitur soli Itali cum ad obsidendum castrum ex se non sufficerent, quam in Romanos constituerant pugnam dirimentes, Cpolim revertuntur, et arx illa ab hostium obsidione liberatur. Qui e mensa erat Tarchaniota Nicephorus in his victoriam, quod utique suum nomen inferi, adeptus. Asanus ergo post dicta adversa ac infortunata pie admodum concipiens propter violatum jusjurandum, quod imperatori Joanni dederat, et filiam a thalami consorte Theodoro raptam hæc fieri, pœnitentia ductus caduceatores mittit ad imperatorem, semet ipsum sceleris accusans et pacta conventa reposcens, deprecansque 62 sibi veniam flagitiorum. Joannes imperator Ireneque imperatrix, tanquam qui in magis pia ac magis divina prospicerent, legatos excipiunt, nec verbis rem prolatando rursum jusjurandum comprobant, sponsamque Helenam repetunt, quæ ad socrum et conjugem redit, et pax iterum inter Romanos et Bulgaros peragitur.

37. Sed historiæ series alio deflectit, et quæ Cpoli agebantur narrare gestit: namque cum tunc temporis ob varios ubique principatus in multas etiam partes res divisæ agiterentur, varie etiam orationis corpus conformandum est. Balduinus, quem supra oratio nostra Cpoli imperasse demonstraverat, ob conflictus erga Romanos et potissimum propter sui adversarium Joannem imperatorem, qui in angustum dominatum illius contraxerat, diffidens ac plane desperans, ad Francorum regem sibi affinitate conjunctum et ejusdem generis et Romanis infensissimum, ideoque suppetias ferre paratum, proficiscitur, operamque illius nec contemnendam poscit. Fit voti compos, et intra breve tempus Francorum sexaginta millia, ut in Romanos arma caperent, lecta sunt. Et cum navigiis via difficilis esset (largiorem enim 63 quam ipsi possent facere impensam similis navigatio postulabat), terrestri itinere viam ineunt, superioresque Gallias trajicientes percursaque Italia per radices Alpium

[16] οὐ — ἀλλ' om. D. [17] οἷα — πολέμια om. D. [18] παρὰ τῶν ἐναντίων om. D. [19] Νικηφόρος — ἀναφανείς om. D. [20] ἐπειδὴ — λυπηρὰ om. D. [21] καὶ τῆς κακίστης πράξεως τὴν ἧτταν ἀνακαλούμενος D. [22] καὶ συγγν. — αἰτούμενος om. D. [23] οἱ οὖν βασιλεῖς πρὸς τὰ θειότερα D. [24] καὶ — πεδοῦσι om. D. [25] νύμφην αὖθις ἀνακαλοῦνται, καὶ στέλλεται αὐτοῖς, καὶ εἰρήνη γίνεται μέσον αὐτῶν D. [26] Ὁ μὲν οὖν — προείρηκεν] ὁ δὲ Βαλδουῖνος D. [27] μᾶλλον — συνέσταλται om. D. [28] οὐ — ἕτοιμον om. D. [29] συμμαχίας ζητήσας ἔτυχε τοῦ D. [30] ἵν' — χωρήσωσιν om. D. [31] τῆς—μισθὸν om. D.

Ostricium proficiscuntur, et per Ungariam commigrantes Istrum tranant, et Bulgaris immiscentur, omnibus tanquam amicis et affinibus usi ; qui et propter semetipsos, nec minus in nos odium amicissime a locorum dominis excipiebantur. Bulgari fœderibus cum Romanis spretis facultatem Francis fecere per montana sua transeundi, quasi vi atque factione coacti dedissent. Sic Tzuruli arx a Latinis oppugnantibus cum Scytharum auxiliaribus copiis rursum expugnatur. Tunc eam custodiebat Joannes Petraliphas magni cancellarii dignitate a Joanne imperatore decoratus, vir maximis corporis viribus et a puero militaribus negotiis exercitus : verum Latinarum copiarum abundantia et innumera Scytharum vis tormentorumque spissum ac validum Italis deditionem paravit. Tradunt nonnulli clam aliquos defectionem meditatos, ideoque improvisum expugnationis pertimuisse. Latini itaque Tzurulum repere, et in ea Romanos comprehensos cum Petralipha **64** vinculis alligatos et Cpolim deductos familiaribus vendiderunt. Dum obsideretur ab Italis Tzurulus, Joannes imperator multis triremibus fabricatis et exercitu non exiguo secum conducto Italos aggrediebatur. A Nicomedia discedens et Characem prætergressus Dacibyzam præter exspectationem oppugnatam occupavit. Præterea et Niceliati castellum in suam potestatem redegit. Infortunatus nihilominus in triremibus fuit, cum qui in illis confligebant bello essent inexperti atque insueti, et Isphreus Armenius classi præesset, circa res militares ultra quam par erat segnior. Ante eum Manuel Contophreus, vir manu potens, terra marique Martem spirans, triremium erat gubernator : sed cum ante paucos dies de classe audacior illius cum imperatore congressio fuisset (namque dixerat Italicis triremibus nunquam nostras, licet multo plures fuissent, cum ipse ambarum facultates optime nosceret, obviare vel obsistere posse), præfectura spoliatus est, quam in se Isphreus receperat, valde miseranda victoria superatus : cum enim triginta triremes conduceret, a tredecim debellatus est, totque de suis quot erant hostium amisit : singulæ enim singulas cum ipsis hominibus et armis spolium **65** retulerunt. Et hæc quidem ita se habuere. Imperator vero Joannes rursus cum Asano pacem sanxit, et affinitate ambo vinciebantur. Asanus quamvis cum jurejurando fœdera composita non nimis anxie observaret, tanquam qui vel minimo emolumento sibi proposito jura violaret, in aperto et simulate amicitiam colebat, et quæ amicorum erant exsequebatur.

καὶ διελθόντες τὴν Ἰταλίαν διὰ τῶν ὑπωρειῶν τῶν Ἄλπεων εἰς τὸ Ὀστρίκιον ἀφίκοντο, καὶ τὴν Οὐγγρίαν παραγγείλαντες διαπερῶσι τὸν Ἴστρον, καὶ τῇ Βουλγάρων προσέσχον, πᾶσι μὲν ὡς φίλοις καὶ συγγενέσι καθ' ὁδὸν χρώμενοι, καὶ διὰ σφᾶς μὲν αὐτούς, οὐχ ἧττον δὲ καὶ διὰ τὴν πρὸς ἡμᾶς ἔχθραν ἐφιλοφρονοῦντο παρὰ τῶν κατὰ τόπους κρατούντων τὰ μάλιστα. Οἱ μὲν οὖν Βούλγαροι τὰς μετὰ Ῥωμαίων σπονδὰς παρεωρακότες ἄδειαν τοῖς Φράγκοις δεδώκασι διὰ τῶν ὅρων αὐτῶν [33] διελθεῖν, τῷ δοκεῖν ὑπ' αὐτῶν βιασθέντες τὴν ἐκβολήν [33]. Τὸ μὲν οὖν ἄστυ τῆς Τζουρουλοῦ καὶ αὖθις ἑάλω ἐκστρατευσάντων κατ' αὐτῶν τῶν Λατίνων καὶ συμμαχούντων τούτοις καὶ τῶν Σκυθῶν [34], εἰς φυλακὴν δὲ ἦν τότε ὁ Πετραλίφας Ἰωάννης, ὃς [35] μέγας χαρτουλάριος (73) πρὸς τὸν βασιλέα Ἰωάννην τετίμητο, ἀνὴρ γενναῖος τὴν χεῖρα καὶ πολεμικοῖς πράγμασι κατεξητασμένος παιδόθεν [36] · τὸ δὲ τῆς Λατινικῆς δυνάμεως περιὸν καὶ τὸ ἀπειροπληθὲς τῶν Σκυθῶν καὶ τὸ τῶν ἐλεπόλεων συχνόν τε καὶ καρτερὸν [P. 32] παραδοῦναι τοῦτον τὸ ἄστυ τοῖς Ἰταλοῖς πεποιήκεσαν. Φασὶ δέ τινες καὶ προδοσίαν μελετῆσαί τινας κρύφα, κἀντεῦθεν πτοηθῆναι τὸ ἀπρόοπτον τῆς ἁλώσεως [37]. Οἱ μὲν οὖν Λατῖνοι τὴν Τζουρουλὴν ἐχειρώσαντο, καὶ τοὺς ἐν ταύτῃ Ῥωμαίους σύναμα τῷ Πετραλίφᾳ δεσμώτας ἤγαγον εἰς τὴν Κωνσταντίνου, καὶ πρὸς τοὺς οἰκείους αὐτοὺς ἀπημπόλησαν. Τοῦ δὲ ἄστεως τῆς Τζουρουλοῦ πολιορκουμένου παρ' Ἰταλῶν, ὁ βασιλεὺς Ἰωάννης τριήρεις ἱκανὰς συσκευασάμενος καὶ στράτευμα οὐκ ὀλίγον μεθ' ἑαυτοῦ προσλαβὼν κατὰ τῶν Ἰταλῶν ἐπεχείρει. Ἀπὸ μὲν οὖν τῆς Νικομηδείας ἀπάρας καὶ παραμείψας τὸν χάρακα ἐπόρθησε τὴν Δακίβυζαν πρὸ καιροῦ, καὶ κατέσχε ταύτην, προσέτι δὲ καὶ τὸ τοῦ Νικητιάτου φρούριον, καὶ ὑφ' ἑαυτὸν καὶ τοῦτο πεποίηκεν. Ἐδυστύχησε δὲ τῷ τότε ἐν ταῖς τριήρεσιν ἀπειροπολέμων ὄντων τῶν ἐν αὐταῖς μαχομένων, καὶ τοῦ Ἰσφρὲ τοῦ Ἀρμενίου εἰς τάξιν ἡγεμόνος ἐν τούτοις τυγχάνοντος καὶ ὀκνηροτέρου τελοῦντος περὶ τὰ μάχιμα. Προῦπῆρχε δὲ τὴν τῶν τριήρεων στρατηγίαν ὁ Κοντοφρὲ Μανουὴλ περιεζωσμένος, ἀνὴρ γενναῖος τὴν χεῖρα καὶ Ἄρην πνέων κατά τε θάλατταν καὶ ξηράν. Ἀλλὰ πρό τινων ἡμερῶν θρασυτέρας τὰς διαλέξεις περὶ τοῦ ναυτικοῦ πρὸς τὸν βασιλέα ποιησάμενος (εἰρήκει καὶ γὰρ ὡς οὐκ ἂν ἀντωπήσειαν ταῖς Ἰταλικαῖς τριήρεσιν αἱ ἡμέτεραι, κἂν πολλαπλασιάζοιντο πρὸς αὐτούς, ἀκριβῶς τὰ περὶ ἀμφοῖν ἐπιστάμενος [38]) παρεστάλη τῆς ἡγεμονίας, καὶ Ἰσφρὲ αὐτὴν διεδέξατο, καὶ ἠττήθη ἧτταν σφόδρα δεινήν [39]. Τριάκοντα γὰρ ἐξάρχων τριήρεων ὑπὸ τρισκαίδεκα ἐκνενίκηται, καὶ τοσαύτας ἀπώλεσεν ὁπόσαι ἦσαν τῶν ἐναντίων · ἑκάστη γὰρ τούτων μίαν ἐκέρδησε λάφυρον αὐτοῖς ἀνδράσι καὶ ὅπλοις. Καὶ ταῦτα μὲν ἔσχεν οὕτως [40], ὁ

[33] διὰ — αὐτῶν om. D. [33] τῷ — ἐκβολήν om. D. [34] ἐκστρατ. — Σκυθῶν om. D. [35] ὃς] ὁ D, omissis πρὸς — τετίμητο. Τοῦ βασιλέως Ἰωάννου ? [36] γενναῖος — παιδόθεν] ἀνδρεῖος D. [37] καὶ — ἁλώσεως] ὡς καὶ διὰ ὑποψίαν προδόσεως D. [38] κἂν — ἐπιστάμενος] καὶ D. [39] ἧτταν οφόδρα δεινήν om. D. [40] ἑκαστη — οὕτως om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(73) *Ὁ μέγας χαρτουλάριος*. De hac dignitate consulatur Glossarium Meursii. Dousa.

δὲ βασιλεὺς Ἰωάννης καὶ αὖθις μετὰ τοῦ βασιλέως Ἀσὰν εἰρήνην εἶχε, καὶ τῇ συγγενείᾳ. καὶ ἄμφω συνεδέδεντο, οὐκ ἀκριβῶς μὲν τοῦ Ἀσὰν τὰς ἐνόρκους συμφωνίας φυλάττοντος· ἔστι γὰρ ὅτε [41] διὰ μικρὸν κέρδος παρεσπόνδει (74). Τέως ἐν τῷ φανερῷ καὶ πλατυκῶς ἔστεργε τὴν ἀγάπην καὶ τὰ τῶν φίλων ἐποίει [42].

λη'. Ὁ μὲν οὖν Ἀσὰν Ἰωάννης τῆς συζύγου στερηθείς, ἣν ἐξ Οὐγγρίας εἶναι ὁ λόγος φθάσας ἱστόρησεν, ἠγάγετο εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Ἀγγέλου Θεοδώρου τὴν Εἰρήνην, καλὴν τὸ εἶδος καὶ εὐμεγέθη [43], μηδὲ τὸ τοῦ αὐταδέλφου τοῦ πατρὸς αὐτῆς κῆδος ὑπιδών, ὅτιπερ τῇ ἐκ παλλακίδος αὐτοῦ θυγατρὶ συνηνυάζετο. Ἦσαν δὲ τῷ Ἀγγέλῳ Θεοδώρῳ παῖδες ἄῤῥενες δύο [44], Ἰωάννης καὶ Δημήτριος, καὶ θήλειαι δύο, ἡ Ἄννα καὶ ἡ ῥηθεῖσα Εἰρήνη [45], μεθ' ἧς ὁ Ἀσὰν παῖδας γεγέννηκε τρεῖς, τὸν Μιχαὴλ, τὴν Θεοδώραν καὶ τὴν Μαρίαν. Ἀπελύθη γοῦν τῶν δεσμῶν διά τοι τοῦτο ὁ Ἄγγελος Θεόδωρος [P. 33] καὶ συναινέσει τοῦ γαμβροῦ αὐτοῦ τοῦ Ἀσὰν ἐγκρατὴς γενέσθαι τῆς Θεσσαλονίκης καὶ πάσης ἧς πρότερον ἦρχε χώρας ἠθέλησε. Καὶ δή τινας ὀλίγους παρὰ τοῦ Ἀσὰν προσλαβόμενος, ἐπεὶ φανερῶς κινῆσαι μάχην κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Μανουὴλ οὐκ ἠδύνατο, κρύφα μηχανᾶται τὴν εἰς Θεσσαλονίκην εἴσοδον, εὐτελῆ τινα ἀμφιασάμενος ῥάκια καὶ τὴν εἴσοδον ὑποκλέψας τῆς πόλεως. Ἐπεὶ δὲ εἰσῆλθε καί τισιν ἐπεγνώσθη τοῖς οἷς ἐβούλετο, οὓς ὅτε εὐτύχει ἐφίλει τε καὶ εὐηργέτει, μεθ' ὧν καὶ τεθάῤῥηκε τὴν κατὰ τοῦ ἀδελφοῦ σκῆψιν, οὐ πολλοῦ δεηθεὶς τοῦ χρόνου ἐγκρατὴς τε αὖθις τῆς Θεσσαλονίκης ἐγένετο καὶ τῶν πέριξ πόλεων καὶ χωρῶν. Βασιλεὺς δὲ ὀνομάζεσθαι οὐκ ἠθέλησε διὰ τὸ τῶν ὀφθαλμῶν πάθος, τὸν δὲ υἱὸν αὐτοῦ Ἰωάννην βασιλέα ὠνόμασε, καὶ ἐρυθροῖς πεδίλοις τοὺς πόδας ἐκείνου ὑπέδησε, καὶ τοιούτοις γράμμασιν ὑπογράφειν διώρισεν, αὐτόν τε διέπειν τὰ κοινὰ καὶ διεξάγειν τὰ τοῦ υἱοῦ. Τὸν δ' ἀδελφὸν Μανουὴλ τῆς ἀρχῆς ἐκβαλὼν, καὶ ἐμβαλὼν ἔν τινι τριήρει, περὶ τὴν Ἀττάλου ἐξώρισε, τὴν δὲ σύζυγον αὐτοῦ πρὸς τὸν πατέρα Ἀσὰν ἐξέπεμψεν. Ὁ δὲ Ἀσὰν τὸν πενθερὸν μᾶλλον [46] ἐφίλει Θεόδωρον ἢ τὸν γαμβρὸν αὐτοῦ Μανουήλ· ὑπερηγάπα γὰρ τὴν σύζυγον Εἰρήνην, οὐχ ἧττον ἢ Ἀντώνιος τὴν Κλεοπάτραν [47]. Ὁ μὲν οὖν Μανουὴλ τῇ Ἀττάλου προσοχείλας παρὰ προσδοκίαν τοὺς ἐξ Ἄγαρ εὗρε [48] φιλανθρωπίᾳ μᾶλλον πρὸς αὐτὸν χρησαμένους· ἐπεὶ γὰρ εἰρήκει πρὸς τὸν βασιλέα Ἰωάννην τυγχάνειν αὐτοῦ τὴν ὁρμὴν, παρεχώρησαν τούτῳ τὴν δίοδον, ἐφοδιασάμενοι προσηκόντως. Ἐκεῖθεν πρὸς τὸν βασιλέα ἀφίκετο οὗτος, καὶ ὁ βασιλεὺς ἀσμένως τε τοῦτον ἐδέξατο καὶ ὡς προσφιλοτιμούμενον τῷ γένει καὶ ὡς πάλαι δεσπότην ὠνομασμένον, δοὺς δὲ αὐτῷ χρῆμα καὶ τριήρεις ἓξ ἐπὶ τὴν μεγάλην Βλαχίαν ἀφῆκεν, ὅρκους παρ' αὐτοῦ λαβὼν φρικώδεις, οἷος ἐκεῖνος συνέσεως καὶ ἀγχινοίας πλήρης ὤν [49]. Καταλαβὼν οὖν τὸν τῆς Δημητριάδος νῶρον ὁ Μανουὴλ,

38. Hic ergo uxore, quam Ungaram fuisse prænarravimus, privatus filiam Angeli Theodori Irenem, forma conspicuam et corpore proceram, fratris paterni consanguinitatem, qui cum filia sua e pellice suscepta cubabat, haud reveritus, sibi matrimonio jungit. Erant Theodoro Angelo filii masculi duo, Joannes et Demetrius, et duæ fœminæ, Anna et dicta Irene; quacum Asanus filios habuit tres Michaelem, Theodoram, Mariam. Propterea vinculis solutus Angelus Theodorus, ita genero ejus Asano annuente, Thessalonicæ et universæ regionis, cui ipse prius imperabat, imperium recuperare animum induxit, paucisque ab Asano acceptis, cum palam in fratrem Manuelem arma capere non posset, clam ingressum Thessalonicæ molitur. Sic sordidis pannis vestitus urbem furtive ingreditur. Cum vero quibus concupierat, illis scilicet quos ipse in rebus prosperis sibi et amore et beneficio **68** devinxerat, innotuit, adversus fratrem consilia aperit, neque diu post rursus et Thessalonicam et adjacentia loca et urbes sub dominium ditionemque suam facit. Is propter oculorum imminutionem imperatoris nomen recusat, eo tamen Joannem filium cohonestat, et purpureis calceis pedes illius circumvestit, neque dissimilibus litteris subscribere jussit; sibi vero summam omnium rerum ac filii temperationem reservavit; fratrem Manuelem abrogato imperio in triremem impositum Attaliam ablegavit, conjugem ad Asanum patrem remisit. Asanus Theodoro socero quam genero Manueli addictior erat: non minus enim ipse amore conjugis Irenæ quam Antonius Cleopatræ corripiebatur. Manuel itaque Attaliam appellens ab Agarenis, quod ipse nusquam speraverat, humanissime officiosissimeque excipitur: nam dicenti se ad Joannem imperatorem contendere commeatu, uti par erat, subministrato transitum dedere. Indeque imperatorem conveniens, et uti genere conjunctus et despota jam olim electus ab imperatore lubenti animo visitur; cui cum et pecunias et triremes sex tradidisset, in magnam Blachiam, prius ab illo jurejurando formidabili sane, tanquam qui et prudentia ac solertia excelleret, accepto, direxit. Ubi Demetriadem Manuel appulisset et amicis **67** ac familiaribus ad hos litteris datis suum significasset adventum, alios promissionibus demulsisset, nullo negotio copias collegit, Pharsalosque et Larissam et Platamonem sibi comparavit, convenitque cum fratribus

[41] οὐκ — ὅτε] ἀλλ' ὁ Ἀσὰν ἔστιν ὅτε καὶ D. [42] τέως — ἐποίει om. D. [43] καλὴν — εὐμεγέθη om. D. [44] ἄῤῥενες δύο om D. [45] θήλειαι Ἄννα τε καὶ Εἰρήνη D. [46] πενθερὸν αὐτοῦ μᾶλλον D. [47] ὑπερηγάπα — Κλεοπάτραν om. D. [48] τοῖς ἐξ Ἄγαρ ἐνέτυχε D. [49] φρικώδεις — ὤν om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(74) *Παρεσπόνδει.* Cf. Anna Comnena, lib. VII. ALL.

Theodoro et Constantino. Nam Constantinus, ut diximus, despota, quæ commemoravimus, dominabatur, Theodorus erat Joannis, qui Thessalonicæ acclamabatur, pater. Cum convenissent, ambo fratres Manueli suadent ut conditiones et pactiones, quas cum imperatore Joanne inierat, perturbaret. Ille volens nolens, ut qui interfuerant et rerum harum periti asserebant, consilio eorum acquievit; indeque inter eos amicitia ac familiaritate intercedente, divisis urbibus contenti, cum Latinis, qui in Euripo atque Peloponeso erant, fœdere jungebantur.

A κἀκεῖθεν [80] τοῖς μὲν τῶν οἰκείων γραφαῖς τὴν αὐτοῦ παρασημάνας ἔφοδον, τοὺς δὲ ὑποθέλξας ταῖς ὑποσχέσεσιν, οὐ διὰ πολλῶν συνηθροίκει περὶ αὐτὸν στράτευμα, ἦρξέ τε Φαρσάλων καὶ Λαρίσσης καὶ Πλαταμῶνος καὶ τῶν περὶ ταῦτα. Εἶτα δὲ σπονδὰς ποιησάμενος [81] συνῆλθε τούτου τοῖς ἀδελφοῖς, τῷ τε Κωνσταντίνῳ καὶ Θεοδώρῳ· ὁ μὲν γὰρ Κωνσταντῖνος δεσπότης [82], ὡς ἔφημεν, ὧν ἦρχεν [83] ὧν εἰρήκειμεν ἄρχειν, ὁ δὲ Θεόδωρος ἦν ὁ τοῦ φημιζομένου ἐν Θεσσαλονίκῃ Ἰωάννου πατήρ. Ἐπεὶ δὲ συνῆεσαν, πείθουσι καὶ ἄμφω τὼ ἀδελφὼ τὸν Μανουὴλ τῶν σπονδῶν ἐκστῆναι τῶν πρὸς τὸν βασιλέα Ἰωάννην. Ὁ δὲ ἐκὼν ἀέκων, ὡς ἔφασκον οἱ παρατυχόντες καὶ περὶ τῶν τοιούτων εἰδότες, συνῆνεσεν αὐτῶν τοῖς βουλεύμασι, [P. 34] καὶ τὸ ἀπὸ τοῦδε ὑπῆρχον συνδεδεμένοι, ταῖς σφετέραις χώραις ταῖς μεμερισμέναις αὐτοῖς ἀρκούμενοι, καὶ μετὰ τῶν ἐν Πελοποννήσῳ καὶ Εὐρίπῳ Λατίνων συμβάσεις ἔχοντες εἰρηνικάς.

59. Nec diu post Manuel, cum pactorum, quæ cum imperatore Joanne pepigerat, violationis prius eum pœnitnisset, ex hominum vita migravit. Imperatrix etiam Irene, mulier prudens ac digna imperio, multumque dignitatis ac magnificentiæ præ se ferens, ex hac turba et colluvione decessit. Ea sermonibus delectabatur et sapientum congressibus, quos maximi faciebat, non sine gaudio attendebat, ut hinc manifeste percipitur. Nam cum sol cancrum peragrans meridie defecisset, ipseque casu in regiam accessissem **68** (loca vero Periclystra dicta imperator cum imperatrice incolebat), defectus causam a me poposcit. Ipse tum primum philosophiæ arcanis a sapiente Blemmida imbutus accurate rem non poteram explicare, ex memetipso tamen, quod par erat, decernens lunæ interpositionem adumbrati solis causam esse enuntio, viderique solem deficere re vera lumine non spoliatum, sed potius lunæ defectum esse, dum in umbram terræ incidit, quandoquidem illa solis splendore renideat. Sed cum oratio in longum protraheretur, dicta refellebat Nicolaus medicus, vir nullatenus in philosophia versatus, arte vero quam ipse profitebatur eximius, et ea præcipue quæ experientia comparetur, imperatrici summopere charus, et actuarius dignitate. Cum ille itaque opponeret, ipse vero magis ac magis garrulus blaterarem, inter disserendum me imperatrix μωρὸν quasi puerum compellavit; postmodum ac si indecore fecisset, ad imperatorem conversa, « Indecenter itaque feci, » ait, « dum hunc μωρὸν nuncupavi. » Et imperator, « Non novum illud est, » inquit: « adolescentulus namque est. » Tunc quippe eram unum et viginti annos natus; ideoque similis appellatio haud dedecebat. Et imperatrix,

B λθ'. Οὐ πολὺς παρεῤῥύη χρόνος, καὶ ὁ Μανουὴλ ἐξ ἀνθρώπων ἐγένετο, μετάμελος, ὡς ἔλεγον, τῶν παραβάσεων τῶν πρὸς τὸν βασιλέα γενόμενος. Θνήσκει (75) δὲ καὶ ἡ βασιλὶς Εἰρήνη, γυνὴ σωφρονική τε καὶ ἀρχική (76) καὶ πολὺ τὸ μεγαλεῖον ἐπιδεικνυμένη τὸ βασίλειον. Ἔχαιρε δὲ καὶ λόγοις καὶ σοφῶν ἠκροᾶτο μεθ' ἡδονῆς. Ἐτίμα δὲ τούτους ὑπερβαλλόντως, ὡς ἔστιν ἐκ τούτου γνῶναι. Καὶ γὰρ ἐκλείψεως γενομένης ἡλίου τὸν καρκίνον διοδεύοντος περὶ μεσημβρίαν, ἐπείπερ αὐτὸς οὕτω συμβὰν ἐν τοῖς βασιλείοις ἀπῆλθον (ἐσκηνοῦτο δὲ περὶ τοὺς τόπους οὓς ὀνομάζουσι Περίκλυστρα σὺν τῇ βασιλίδι ὁ βασιλεὺς), ἠρώτησέ με τὴν τῆς ἐκλείψεως αἰτίαν. Καὶ αὐτὸς μὲν ἀκριβῶς οὐκ εἶχον ἐρεῖν (ἄρτι καὶ γὰρ τῶν τῆς φιλοσοφίας ἠψάμην ὀργίων παρὰ τοῦ σοφοῦ C Βλεμμίδου διδασκόμενος), ὅμως μέντοι παρ' αὐτοῦ τῷ τότε ὅσον ἦν εἰκὸς ἐπιγνοὺς τήν τε τῆς σελήνης ἐπιπρόσθησιν αἰτίαν τῆς ἐπισκιάσεως ἔλεγον εἶναι, καὶ δοκεῖν μὲν ἐκλείπειν τὸν ἥλιον, οὐκ ἀληθῆ δὲ εἶναι τὴν τῆς φάσεως στέρησιν, μᾶλλον μέντοι τοῦτο τὴν σελήνην πάσχειν, ἐπὰν τῷ σκιάσματι ἐμπέσῃ τῷ τῆς γῆς, διὰ τὸ ἐξ ἡλίου τὸ φέγγος αὐγεῖν. Ἐπεὶ δὲ ὁ λόγος ἐπὶ μήκιστον παρετείνετο, ἀντέλεγε δὲ τοῖς λεγομένοις ὁ ἰατρὸς Νικόλαος, ἀνὴρ ἥκιστα μὲν φιλοσοφίας μετασχών, ἄκρος δὲ τὴν οἰκείαν τέχνην καὶ μάλιστα τὴν διὰ πείρας γινωσκομένην (πάνυ δὲ οὗτος ἠγαπᾶτο τῇ βασιλίδι, ἀκτουαρίου δὲ εἶχε τιμήν) — ἐπεὶ γοῦν ἀντέλεγεν οὗτος, αὐτὸς δὲ πλέον ἐστωμυλλόμην, ἐν τῷ μεταξὺ τῶν λεγομένων ἐπεκάλεσέ με ἡ βασιλὶς μωρὸν, εἶτα δή, ὡς πέρ τι οὐ προσῆκον ἐργασαμένη, πρὸς τὸν βασιλέα στραφεῖσα, D « Ἀπρεπῶς ἄρα εἰρήκειν, » ἔφη, « καλέσασα τοῦτον μωρόν (77). » Καὶ ὁ βασιλεύς, « Οὐ καινόν· μειράκιον γάρ ἐστιν. » Εἴκοσι γὰρ σὺν ἑνὶ τότε ὑπῆρχον ἐτῶν, καὶ οὐ πάμπαν ἀπᾴδει τούτου τὸ πρόσρημα.

[80] οὖν τὴν Δημητριάδα κἀκεῖθεν D. [81] καὶ τῶν — ποιησάμενος add. D. [82] Κωνσταντῖνος ὥστε μὴ δεσπ. D. [83] ἦρχεν — usque ad καλούμενος (*col.* 1074 B 16) om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(75) *Θνήσκει.* Mortis causam, quam hic tacuit Acropolita, narrat Gregoras p. 44. ALL.

(76) *Σωφρονική τε καὶ ἀρχική.* Irenes et Joannis Ducæ pietatem aliaque ad pios usus opera prosequitur Gregoras ibidem. De hac eadem Pachymerius in Historia. ALL.

(77). *Καλέσασα τοῦτον μωρόν.* Anna Comnena, *Histor.* lib. VII: Καὶ ἡ θατέρου ἄτερον οὐκ ἐλάνθανε σχέσις. Καὶ εἰς ἔργον οὕπω τὰ τῆς γνώμης ἀπέβαινεν, ἔνθεν τοι καὶ μωρὸν καλέσας αὐτὸν ἐπυνθάνετο λέγων, Τί ὧδε ποιήσων ἥκεις; ALL.

Ἀλλ' ἡ βασιλίς, « Οὐ χρεών, » φησί, « τὸν φιλοσόφους λόγους προφέροντα οὕτωσί γε προσαγορευθῆναι παρ' ἡμῶν. » Ταῦτ' εἶπον, ὡς ἂν παραστήσαιμι ὅπως τε αὐτὴ ἐφίλει τοὺς λόγους καὶ τοὺς λόγους εἰδότας τούτους ἐτίμα. Θνήσκει μὲν, ὡς ἔφην, ἡ βασιλὶς αὕτη, οἶμαι δὲ καὶ τὴν τοῦ ἡλίου ἔκλειψιν τὸν ταύτης προσημαίναι θάνατον. Καὶ κομήτης δὲ πρὸ μηνῶν ἓξ περὶ τὸ μέρος ἀνεφάνη τοῦ Βορρᾶ· ἦν δὲ πωγωνίας, καὶ διήρκεσε μῆνας τρεῖς, οὐχ ἑνὶ τόπῳ ἀλλ' ἐν διαφόροις φαινόμενος. Μετὰ βραχὺ δὲ καὶ ὁ Βουλγάρων ἄρχων Ἀσὰν ἐξ ἀνθρώπων ἐγένετο, ἀνὴρ ἐν βαρβάροις ἄριστος [P. 35] ἀναφανείς, οὐκ ἐν τοῖς οἰκείοις μόνον, ἀλλά γε δὴ καὶ τοῖς ἀλλοτρίοις· ἐχρήσατο καὶ γὰρ φιλανθρωπότερον τοῖς προσερχομένοις αὐτῷ ἐπήλυσι, καὶ μάλιστα τοῖς Ῥωμαίοις, καὶ φιλοτίμως αὐτοῖς παρεῖχε τὰ σιτηρέσια. Ἐπεὶ οὖν αὐτὸς ἐτεθνήκει, ὁ υἱὸς αὐτοῦ, ὃν Καλλιμάνον ὠνόμαζον, ἐκ τῆς ἐξ Οὔγγρων τούτῳ γεγεννημένος τὴν ἀρχὴν ἀνεδέξατο. Ἦν δὲ τῷ τοιούτῳ Καλλιμάνῳ καὶ αὐτοκασιγνήτη, ἧς τοὔνομα Θάμαρ. Ἐκ δὲ τῆς τοῦ Ἀγγέλου θυγατρὸς τῷ Ἀσὰν τρεῖς παῖδες γεγεννηνται, ἄῤῥην ὁ Μιχαὴλ, αἱ θήλειαι, ὡς εἰρήκειμεν, ἡ Μαρία καὶ ἡ Ἄννα. Ὁ μὲν οὖν Καλλιμάνος τὴν πατρικὴν ἀρχὴν ἀναζωσάμενος καὶ τὰς μετὰ τοῦ βασιλέως; Ἰωάννου σπονδὰς ἀνενεώσατο, καὶ εἶχον εἰρήνην ἐν τοῖς τοιούτοις τὰ πράγματα. Τοῦ δὲ Μανουὴλ τοῦ ἀδελφοῦ Θεοδώρου τετελευτηκότος τὴν κρατουμένην παρ' αὐτοῦ χώραν ὁ ἀνεψιὸς αὐτοῦ Μιχαὴλ κατέσχε καὶ τῇ αὐτοῦ προσήρμοσε χώρᾳ· καὶ ἦσαν αὖθις εἰρηνεύοντες ὅ τε Θεόδωρος Ἄγγελος, τὸν υἱὸν αὐτοῦ Ἰωάννην ἔχων ἐν Θεσσαλονίκῃ καὶ τοῖς περὶ αὐτὴν βασιλικῶς φημιζόμενον, καὶ ὁ θεῖος αὐτοῦ Κωνσταντῖνος δεσπότης καὶ οὗτος καλούμενος, καὶ ὁ ἀνεψιὸς αὐτοῦ Μιχαὴλ [87].

A « At minime opus est philosophicos sermones pertractantem sic a nobis compellari. » Hæc ideo effatus sum, ut quantam ipsa sermonibus afficeretur et sermonum similium gnaros honoraret, eluceat. Moritur ergo, ut dixi, hæc imperatrix, existimoque **69** solis defectum illius mortem prænuntiasse. Cometa etiam, ex eorum specie quos barbatos dicimus, ante sex menses in Borealem plagam apparuit, suffecitque menses tres non uno in loco, sed alio atque alio divagatus. Nec multo post Bulgarorum princeps Asanus vita excessit, vir inter barbaros optimus, nec propriis modo sed alienis etiam optime usus : humaniorem etenim eum advenis ad eum concurrentibus, et potissimum Romanis, quibus magnifice stipendia numerabat, se B præbuit. Eo vita functo Callimanus ejus ex Ungara filius in dominatu succedit. Callimano soror erat, cui Thamari nomen. Ex filia vero Angeli Asanus tres filios susceperat, Michaelem masculum, ut diximus, Mariam et Annam fœminas. Callimanus paternum regnum capessens fœdera cum Joanne imperatore renovat. Sicque placida in pace omnia quiescebant. Manuele porro Theodori fratre exstincto loca ab eo obtenta Michael nepos occupavit suisque conjunxit. Rursumque Theodorus Angelus, cum filius Joannes Thessalonicæ et adjacentibus locis imperator acclamaretur, et patruus illius Constantinus, despota et ipse vocitatus, et nepos ipsius Michael inter se pacem agebant.

μ'. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, ἐπειδὴ ὁ Βούλγαρος Ἀσὰν [88] ἐκποδὼν ἐγένετο καὶ μειράκιον ἦρχε τῆς τῶν Βουλγάρων, ἀδείας δραξάμενος ἐπεχείρησε τὴν βασιλικὴν καταλῦσαι κλῆσιν τὴν ἐπιφημιζομένην τῷ Ἰωάννῃ τῷ υἱῷ τοῦ Ἀγγέλου. Καὶ πρῶτον μηνύμασιν ὑποποιεῖται τὸν αὐτοῦ πατέρα Θεόδωρον. Καὶ δῆτα οἷος ἐκεῖνος ἀπροόπτως ἐπιχειρων ἐν τοῖς πράγμασι, μηδέν τι τῶν συμβησομένων ὑπιδὼν [89] προσέρχεται τῷ βασιλεῖ Ἰωάννῃ, καὶ ὑποδέχεται αὐτὸν οὗτος ἀσμένως καὶ τετίμηκε, θεῖόν τε τοῦτον ἀποκαλῶν κἀν τῇ αὐτοῦ συγκαθίζων τραπέζῃ καὶ τῶν λοιπῶν φιλοφρονημάτων μεταδιδούς. Ἐπεὶ δὲ τοῦτον ἐν χεροῖν ἔσχεν ὁ βασιλεὺς, ἔτυχε δὲ καὶ ταῖς αὐτοῦ δυνάμεσι ταῖς Ῥωμαϊκαῖς στράτευμα ἀξιόμαχον προστεθὲν ἐκ Σκυθῶν (τούτους γὰρ πρὸ βραχέος (78) [87] δώροις τε καὶ δεξιώσεσι ποικίλαις ὁ βασιλεὺς Ἰωάννης χειροήθεις τε πεποίηκεν ἐξ [88] ἀγριωτέρου τοῦ ἤθους, καὶ τῆς Μακεδόνων ἀπέσπασε καὶ πρὸς τὰ τῆς ἕω [89] διεπέρασε μέρη), τούτοις μᾶλλον θαῤῥήσας, καὶ μηδέν τι δεινὸν ἐκ Βουλγάρων προσδοκῶν, τὸ μὲν διὰ τὰς γεγενημένας σπονδὰς, τὸ δὲ καὶ διὰ τὸ ὑπὸ μειρακίου τὰ τῶν Βουλγάρων διεξάγεσθαι,


(3) *Φειδίας καὶ Πραξιτέλης.* Novum mihi hoc semper visum fuit Phidiam Praxitelemque, duos nobilissimos statuarios ac cælatores, magorum ac præstigiatorum loco haberi. Si non negatur Græculos, profecto velim doceri quid sibi velit et quo alludat auctor. DOUSA.

ἔστησε καὶ κριτὰς ἐκάθισε καὶ λαμπρὸν κριτήριον A nit, et judicium celebre constituit. Causa hæc erat. συνεκρότησεν. Ἡ δ' ὑπόθεσις ἦν τοιαύτη. Ἐπεὶ ἐτελεύτησεν ὁ Τορνίκης Δημήτριος, ἔτι δὲ περιῆν ἐν Θεσσαλονίκῃ ὁ μέγας δομέστικος, ὁ δὲ τούτου υἱὸς Μιχαὴλ ἐς Μελένικον καὶ Σέρρας, ὃς καὶ μαθὼν τὸν τοῦ Τορνίκη θάνατον ἐδυσφόρησε καὶ σκυθρωπὸς τοῖς ἐντυγχάνουσιν ἐπεφαίνετο· ἦν γὰρ ὁ Τορνίκης σύζυγον ἔχων τοῦ μεγάλου δομεστίκου πρωτεξαδέλφην. Οἷα γοῦν φιλεῖ ἐπὶ τοῖς τοιούτοις γίνεσθαι, ἠρώτηκε τις τῶν ἐκ Μελενίκου τοὔνομα... θατέρου τινα καλούμενον... ὅτου χάριν σκυθρωπάζει ὁ Κομνηνὸς Μιχαήλ. Ὁ δὲ (καὶ γὰρ ἠπίστατο τὴν αἰτίαν), « Ὁ Τορνίκης, » ἔφη, « Δημήτριος τέθνηκεν. Ἦν δὲ προσγενὴς αὐτοῦ καὶ οἰκονόμος τῶν κοινῶν. Καὶ τούτου γοῦν χάριν κἀκείνου λελύπηται. » Ὁ δὲ, « Οὔ μοι B δοκεῖ, » φησίν· « οὐδὲ γὰρ διὰ Τορνίκην οὕτως ἂν ἠδημόνει καὶ ἤσχαλλεν. Ἀλλ' ὡς ἔοικεν, ἐπὶ τῷ κρείττονι ἐκείνου τοῦτο συμβέβηκε. Καὶ εἰ τοῦτο, φεῦ ἡμῖν· ἐν γὰρ ταραχαῖς καὶ ὀχλήσεσιν αὖθις γενήσονται τὰ ἡμέτερα, κατεστορεσμένα νῦν καλῶς καὶ εἰς ἀταραξίαν ἐληλυθότα. » Ἡ δ' οὗτος, « Ἀλλ', ὦ φίλος, καὶ εἰ τοιοῦτον ξυνέβη, καὶ οὕτω δὴ οὐ κακῶς τὰ καθ' ἡμᾶς ἕξουσι. Καὶ γὰρ ὁ μέγας δομέστικος ἐν Θεσσαλονίκῃ διάγει ἡγεμονεύων αὐτῆς, καὶ οὑτοσὶ δὲ ὁ Κομνηνὸς Μιχαὴλ ὁ τούτου υἱὸς τὴν τῶν ἡμετέρων χώρων διεξάγει κηδεμονίαν. Ὑπὸ τοιούτων γοῦν μεγίστων ἀνδρῶν διακυβερνώμενοι οὐκ ἂν ποτε κοσμικὸν κλυδώνιον ἴδοιμεν, ἄλλως τε καὶ ἡ τοῦ Βουλγάρου Καλλιμάνου ἀδελφὴ (4) Θάμαρ, ἄζυξ ἔτι τελοῦσα, εἰς γάμου κοινωνίαν ξυνέλθῃ τῷ C Κομνηνῷ Μιχαὴλ, καὶ γενήσονται σποῖδαι μέσον τε ἡμῶν καὶ Βουλγάρων. » Ταῦτα δὴ λελάληνται παρ' αὐτῶν, μηδὲν εἰδότος τοῦ Κομνηνοῦ Μιχαήλ. Θάτερος οὖν τοῖν δυοῖν ἐπελθὼν πρὸς τὸν εἰρημένον Μαγκλαβίτην ἀνήγγειλεν αὐτῷ τὰ τοιαῦτα, ὁ δὲ ἀνήνεγκε τῷ βασιλεῖ. Κατασχεθέντες οὖν καὶ ἄμφω ἠρώτηνται περὶ τῶν λελεγμένων. Ὁ μὲν οὖν κατηγόρει, θάτερος δὲ ὑπεραπελογεῖτο. Ἔφησεν οὖν, ὡς Ἀληθῶς μὲν οὑτοσὶ εἰρήκει, παρ' ἐμοῦ γὰρ ἀκήκοεν· ἀλλ' οὐκ εἰδήσει μοι εἰρηται τοῦ Κομνηνοῦ, ἀλλ' ἐξ ἑαυτοῦ τοὺς λόγους τούτους προήνεγκα. Ἠναγκάζετο γοῦν περὶ τούτου· ὁ δὲ ἠρνεῖτο καθάπαξ μὴ εἰδέναι τι περὶ τούτου τὸ σύνολον τὸν Κομνηνὸν Μιχαήλ. Ἐντεῦθεν ηὐτρέπιστο τούτοις στρατιωτική τις ἀπόδειξις, ἐπεὶ μὴ ὑπῆρχον οἱ μαρτυροῦντες, ἡ διὰ μάχης D διάπειρα (5). Ὡπλίσθησαν οὖν καὶ ἄμφω, εἰσῆλθον εἰς τὸ στάδιον, ξυνέβαλον ἀλλήλοις, [P. 52] καὶ νενίκηται ὁ κατηγορούμενος, ἀπερρίφη τε τοῦ ἵππου, καὶ τὴν νικῶσαν ὁ κατήγορος ἔσχηκεν. Συλληφθεὶς οὖν ζωὸς (οὐδὲ γὰρ καιρίαν τέτρωται) καὶ αὖθις ἠρώτηται, ὡς ἂν καθομολογήσειε τὴν ἀλήθειαν. Ὁ δὲ τοῦ προτέρου λόγου ἀντείχετο, καὶ μηδ' ὅλως εἰδέναι τι τὸν Κομνηνὸν διεμαρτύρετο Μιχαήλ. Ἐπεὶ δὲ διὰ

Cum Demetrius Tornicius vitam finisset, esset que Thessalonicæ magnus domesticus, filius vero illius Michael Melenici et Serris, Michael comperta Tornicii morte, ægre rem tulit, tristisque ac vultu turbationem præ se ferens alloquentibus videbatur. Tornicius enim magni domestici consobrinam matrimonio sibi junxerat. Ut in his fieri amat, e Melenico quispiam, alium quidem nomine..... interrogavit « quanam de causa 101 Michael Comnenus sese animi tristis angeret. » Ille (namque causam optime callebat), « Tornicius, » ait, « Demetrius fato functus est, qui eum propinqua cognatione contingebat et res publicas administrabat, propterea morte illius tristis est. » Alius, « Non hoc mihi ita se habere videtur : neque enim propter Tornicium ita doleret affligereturque. Sed ut apparet, id in melius illi contigit. Quodsi hoc fuerit, væ nobis : rursus enim res nostræ perturbatæ in magna confusione motuque erunt, quæ nunc sedatæ ac optime tranquillatæ cernuntur. » Tunc alius respondit, « Sed, o carum caput, licet tamen id acciderit, non ideo res nostræ male se habebunt. Namque magnus domesticus Thessalonicæ degens illam moderatur. Et hic ipse Comnenus Michael, illius filius, nostris urbibus operam præstat. Ab his itaque viris, iisque maximis, dum gubernamur, nunquam aliqua tempestate jactari poterimus. Præterea Callimani Bulgari soror Thamar, nulli nupta, matrimonio Michaeli Comneno jungetur. Et sic inter nos ac Bulgaros pax conciliabitur. » Hæc ab illis inscio Michaele Comneno dicta sunt. At unus ex his Manclavitæ colloquia inter se inita refert : ille imperatori denuntiat. Comprehensus uterque de iis quæ dixerant interrogantur. Et unus quidem accusabat, alius respondebat « accusatorem vera enuntiare : a me enim audiit. Verum ea inscio 102 Comneno effatus sum, cum ex memetipso verba illa protulerim. Cogebatur ille ut hoc indicaret. Verum ille negabat aliquid omnino de eo Michaelem scire Comnenum. Hinc militaris probatio, cum testimonia aliorum desiderarentur, præparatur, per pugnæ scilicet experimentum. Ambo itaque armantur, in stadium intrant, confligunt invicem, et accusatus vincitur, qui equo dejectus victoriam accusatori concessit. Idem vivus comprehensus (neque enim letali vulnere vocem amiserat) iterum interrogatur, ut rem fateretur. Ille primum sermonem obstinate continuabat, et nihil horum Michaelem Comnenum tenere contestabatur. Cum vero atrocioribus tormentis veritatem extorquendam esse statuisset imperator, quemadmodum ille accuratiora vitæ examina poscebat, quæstionem homini, quæ per

Theodori Dousæ et Leonis Allatii notæ.

(4) *Καλλιμάνου ἀδελφή*. Pachymerius, ut supra, non hasce cum Thamare Callimani sororis nuptias, sed cum filia Michaelis despotæ secreta sponsalia suspicionem affectati imperii movisse tradit. ALL.

(5) De purgationibus per monomachiam et ferrum candens vide doctissimas et eruditissimas Martini Delrii dissertationes, et Sixtum Senensem, *Biblioth.* lib. II, in fine. Sunt a sacris canonibus damnatæ et interdictæ sub pœnis gravissimis. ALL.

mortem infertur, instituit. Manus retro condemnati alligatæ fuerunt, ut ense perirei, oculi linteo involucro operiuntur. Sic enim condemnati solent constrni et ictum necis excipere. His ita peractis, et vinctus, ut cervicem ad caput amputandum reclinaret jussus, denuo de iis quæ in quæstione erant exposcitur. Ille jurejurando etiam sacrosancto confirmavit nihil ullatenus horum conscium esse Michaelem Comnenum. Qui postmodum, licet non reus fuit, in carcerem tamen abductus est, compedibus ac vinculis constrictus. **103** Universa tandem quæstio in Michaelem Comnenum conversa est, et judices ad id destinati illi dicebant: « Quando de te sermones quidem haud comprobati referuntur a te illos mirando aliquo facinore refellendos esse necessum est, id autem erit per ferrum candens purgatio. » Tum ille veritate ipsa fretus: « Si quis esset, » dicebat, « qui me accusaret, eum eo utique contenderem, ostenderemque eum mentiri. At vero cum accusator nullus sit, de quo judicor? Porro si me mira vultis conficere, ego sane is non sum qui miracula facere possim. Ferrum candens in manus vivi hominis cadens nescio quanam illud ratione manus non comburat, nisi ille a Phidia vel Praxitele e saxo excisus vel ex ære conflatus sit. » Hæc ille, et admodum hercle juste dicebat. Verum enimvero cum et Philadelphiensis metropolita Phocas rebus interesset, unice imperatori dilectus multisque humanitatis officiis acceptus, quod non virtute ac merito, sed impudentia assecutus fuerat. Namque cum aliquando de rebus publicis nescio quid percunctaretur, libere sententiam suam ostendit, et, « O imperator, » inquit, « quamobrem in præsenti nos consulis, cum ipse semper per te, quod tibi visum fuerit, peragas? » Dixerat hæc, et moleste sane tulerat imperator, quandoquidem eos qui adstabant sic eum allocutum ferunt: « An potuit a metropolita afferri quid audacius? et vos tolerastis. » Post brevem horam in eum suavissime effusus beneficia contulit, et honores consiliumque ab eo in negotiis secularibus capiebat. Quare tum **104** etiam imperator tanquam ministro usus est, qui seorsim ab aliis Comnenum Michaelem, cum et ipse sermones audirem, in hunc fere modum alloquitur: « Nobilis quidem cum ipse sis et ex nobilibus prognatus, ea et animo concipere et re præstare debes quæ nec a fide tua nec ab existimatione nec denique a cognatione tua aliena judicantur. Sed enim cum testes ad te convincendum non adsint, operæ pretium erit te ferro candenti veritatem designare. » Ille magno ac virili animo, et quemadmodum pi-

A πλείονος βασάνου ἔδοξεν ἐπιγνῶναι τὸν βασιλέα τὴν ἀληθῆ, οἷος ἐκεῖνος τὰς ἐξετάσεις ἀκριβεστέρας ποιούμενος, τὸν διὰ θανάτου ἐπήγαγε τῷ ἀνδρὶ ἔλεγχον. Ἐδέδεντο γοῦν αἱ χεῖρες ὄπισθεν τοῦ καταδικασθέντος ξίφους ἔργον γενέσθαι, οἱ δ' ὀφθαλμοὶ λινῷ ὑφάσματι ἐκαλύφθησαν· οὕτω γὰρ εἴωθε τοὺς κατακρίτους διασκευάζεσθαι καὶ τὴν πληγὴν λαμβάνειν τῆς ἀναιρέσεως. Ὡς γοῦν καὶ ταῦτα οὕτως γένοιτο, καὶ ὁ δεσμώτης κλῖναι τὸν αὐχένα προστέτακται ἵνα δέξηται τῆς κάρας τὴν ἐκτομήν, καὶ πάλιν περὶ τῶν ζητουμένων ἠρώτηται, ὁ δὲ μεθ' ὅρκων φρικτῶν ἐβεβαιώσατο μηδέν τι ὅλως συνειδέναι ἐπὶ τούτοις τὸν Κομνηνὸν Μιχαήλ, ἐκεῖνος μὲν τὴν πρὸς θάνατον εἰάθη ὁδεῦσαι, τὴν δὲ πρὸς εἱρκτὴν ἐβάδισε, καὶ εἶχον αὐτὸν κλοιοὶ καὶ καθείρξεις. Ἡ ἐξέτασις δὲ πᾶσα
B πρὸς τὸν Κομνηνὸν κατήντηκε Μιχαήλ, καὶ δὴ ἔφασκον αὐτῷ οἱ τάχα κρίνειν τοῦτον λαχόντες, ὡς Ἐπὶ περὶ συῦ ἀπειρημένοι τινὲς λελάληνται λόγοι, δεῖ σε διά τινος θαυματοποιίας τούτους ἀποσκευάσασθαι. Τὸ δὲ ἦν ἡ διὰ μύδρου ἀπόδειξις (6). Ὁ δὲ (καὶ γὰρ εἶχεν βοηθοῦσαν αὐτῷ τὴν ἀλήθειαν), « Εἰ μέν τις ἦν, » ἔλεγεν, « ὁ κατ' ἐμοῦ τι κατηγορῶν, πρὸς ἐκεῖνον ἂν ἐμαχεσάμην καὶ ἀπέδειξα ψεύδεσθαι· κατηγόρου δὲ μὴ παρόντος ὑπὲρ τίνος κρίνομαι; εἰ δὲ θαυματουργῆσαί με θέλετε, ἀλλ' ἐγὼ οὐκ εἰμὶ τοιοῦτος ὥστε καὶ τερατοποιίας ἐργάζεσθαι. Σίδηρος δὲ πεπυραχτωμένος, εἰ ἐν χερὶ ἀνθρώπου ζωοῦ οὗτος ἐμπέσοι, οὐκ οἶδα πῶς ἂν οὐ καύσειεν αὐτήν, εἰ μή
C πού τις ἔξεσται τῷ Φειδίᾳ ἐκ λίθου ἢ τῷ Πραξιτέλει, ἢ καὶ ἀπὸ χαλκοῦ εἴργασται. » Ταῦτ' ἔλεγε, καὶ μάλα νὴ τὴν Θέμιν δικαίως. Ἐπεὶ δὲ καὶ ὁ τῆς Φιλαδελφέων (7) μητροπολίτης Φωκᾶς συμπαρῆν τοῖς γενομένοις, φιλούμενος πρὸς τοῦ βασιλέως καὶ πάνυ φιλοφρονούμενος, — πέπονθε δὲ τοῦτο οὐκ ἐξ ἀρετῆς, ἀλλ' ἐξ ἀναιδείας. Καὶ γάρ ποτε τοῦ βασιλέως πυθομένου περί τινος τῶν κοινῶν πραγμάτων, ἐπερρησιάσατο καὶ, « Ὦ βασιλεῦ, » ἔφη, « τίνος χάριν ἀρτίως ἡμᾶς ἐρωτᾷς, αὐτὸς ἀεὶ ἐξ ἑαυτοῦ τὰ δοκοῦντά σοι διαπρατόμενος; ; » Ταῦτ' εἶπε, καὶ τότε μὲν ὁ βασιλεὺς ἐσχετλίασεν, καί γε εἰρήκει πρὸς τοὺς συμπαρισταμένους, « Τί οὕτω θρασύτερον ὁ μητροπολίτης εἴρηκεν, ὑμεῖς δὲ ἠνέσχεσθε; » μετὰ βραχὺ δὲ φιλοφρόνως τοῦτον ἐδεξιώσατο καὶ ἐνίμα καὶ
D σύμβουλον εἶχεν ἐν ταῖς κοσμικαῖς ὑποθέσεσιν. Ὑποδρηστῆρι γοῦν καὶ τότε ἐχρήσατο τούτῳ ὁ βασιλεύς. [P. 53] Καί γε καταμόνας τὸν Κομνηνὸν παραλαβὼν Μιχαήλ, κάμοῦ τῶν λόγων ἀκροωμένου, ταῦτ' εἶπεν, ὡς « Εὐγενὴς μὲν ἀνὴρ σὺ καὶ ἐξ εὐγενῶν γεγένησαι. Δεῖ οὖν σε τὸ δέον ὑπὲρ τῆς σῆς ὑπολήψεώς τε καὶ πίστεως καὶ παντός σοι τοῦ γένους καὶ νοῆσαι καὶ διαπράξασθαι. Ἐπεὶ δὲ οὐκ ἔλεγχος παρὰ μαρτύρων

Theodori Dousæ et Leonis Allatii notæ.

(6) *Ἡ διὰ μύδρου ἀπόδειξις.* Mirum quid in hoc ipso genere de muliere adultera sed pœnitente, et episcopo Didymotichensi commemorat Joannes Cantacuzenus, *Histor.* lib. III, cap. 27. Addam ipso tempore Lascarium hanc purgationem ferri candentis maxime fuisse in usu, ut oculatus testis refert Pachymerius lib. I, p. 33. Et nota καὶ εἶδεν ὁ γράφων ἠδῶν τῷ τότε ὑποστάντας τινὰς τοιαῦτα, πλὴν ἀλωβήτως ἀπαλλάξαντας τὸ θαυμάσιον. Pyræ eversæ probationem in homicidio apud Cyprios lego apud Theodorum Prodromum de Rhodanthes et Dosiclii amoribus lib. I. ALL.

(7) *Ὁ τῆς Φιλαδελφέων.* Hic est Phocas Philadelphiensis episcopus, quem cum Arsenio patriarcha videtur confundere Phranza. ALL.

ἐν σοὶ, δεῖ σε τῷ μύδρῳ τὴν ἀλήθειαν παραστήσασθαι. » Καὶ ὃς μάλα γενναίως καὶ ἀνδρικῶς, καὶ ὡς ἄν τινα οἱ γραφεῖς ἐν μάχῃ ἄτρεστον διαγράψαιεν, « Οὐκ οἶδ' ὅπως τὸ τοιοῦτον κέκληται ἄγιον, ὦ δέσποτα, » ἔφη. « Ἀλλ' ἐγὼ μὲν ἁμαρτωλός εἰμι ἄνθρωπος, καὶ τερατουργεῖν τοιαῦτα οὐ δύναμαι. Εἰ δέ μοι συμβουλεύῃ, μητροπολίτης ὢν καὶ Θεοῦ ἄνθρωπος, τοῦτ' διαπράξασθαι, ἔνδυσαι μὲν αὐτὸς τὴν ἱεράν σου πᾶσαν στολὴν, καθὼς εἴωθας ἐν τῷ θείῳ εἰσέρχεσθαι βήματι καὶ ἐντυγχάνειν Θεῷ, εἶτα δὴ ταῖς σαῖς χερσὶν ἐκπύρωσόν μοι τὸν σίδηρον, αἷς τοῦ θείου ἐφάπτῃ θύματος, τοῦ σώματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ παντὸς τοῦ κόσμου τεθυμένου καὶ ἀεὶ θυομένου παρ' ὑμῶν τῶν ἱερέων τε καὶ ἱεραρχῶν, καὶ ταύταις δὴ ταῖς ἱεραῖς σου χερσὶν ἐπίθες τῇ χειρί μου τὸν σίδηρον, καὶ τεθάρρηκα εἰς τὸν Δεσπότην Χριστὸν ὡς πᾶσαν μὲν οὖτος ἁμαρτίαν μου παροράσεται, θαυματουργήσει δὲ τὴν ἀλήθειαν. » Καὶ ὁ μὲν Κομνηνὸς Μιχαὴλ οὕτως εἴρηκεν· ὁ δὲ μητροπολίτης, « Ὦ καλὲ νεανία, » ἔφη, « τοῦτο οὐκ ἔστι τῆς ἡμετέρας καὶ Ῥωμαϊκῆς κατασάσεως, ἀλλ' οὔτε τῆς ἐκκλησιαστικῆς παραδόσεως, οὔτε μὴν ἐκ τῶν νόμων οὔτε δὴ πρότερον ἐκ τῶν ἱερῶν καὶ θείων κανόνων παρείληπται. Βαρβαρικὸς δὲ ὁ τρόπος καὶ ἀγνὼς ἐν ἡμῖν, προσταγῇ δὲ μόνον ἐνεργεῖται βασιλικῇ. » Καὶ ὅς, « Ὦ μέγιστε ἱεράρχα Θεοῦ, εἰ μὲν καὶ αὐτὸς ἐκ βαρβάρων γεγένημαι καὶ βαρβαρικοῖς τοῖς ἤθεσιν ἀνατέθραμμαι ἢ καὶ νόμοις τουτοισὶν ἐκπεπαίδευμαι, καὶ βαρβαρικῶς ἐκτισαίμην τὴν δίκην μου. Εἰ δὲ Ῥωμαίων, καὶ ἐκ Ῥωμαίων, κατὰ νόμους Ῥωμαϊκοὺς καὶ παραδόσεις ἐγγράφους ἡ κρίσις τερματισθήτω μοι. » Ἐκεῖνος μὲν οὖν τοῖς λόγοις οἷον τοῦ νεανίου ἐκπεπληγμένος (εἰκοστὸν γὰρ καὶ ἕβδομον διήνυεν ἔτος ὁ Κομνηνὸς Μιχαὴλ) καὶ τῷ μὴ ἐν συμφοραῖς τούτου ὄντος τὸ εὐγενὲς τοῦ φρονήματος καταπίπτειν μηδὲ τὸ τῶν νοημάτων χαλᾷν εὐεπήβολον, πρὸς τὸν βασιλέα ἐλθὼν ὅσα μὲν οὖν εἶπεν ἐκεῖνος αὐτὸς οὐκ οἶδα, πάντως δὲ ταῦτ' ἔμελλε λέξαι ὅσα τε καὶ οἷα ἤκουσεν. Ὁ μὲν οὖν βασιλεὺς διάπειραν πολλὴν πεποιηκὼς οὐχ εὗρε κατά τι τὸν Κομνηνὸν Μιχαὴλ ὑπ' αἰτίαν ὄντα, καὶ ταῦτα καὶ τὸν ἀναίτιον εἰς αἰτίαν ἄγων τῇ βίᾳ ἢ τῶν λόγων ἢ τῶν μαστίγων. Πάντες γὰρ ἀπεφαίνοντο οἵ τε τῶν Λατίνων οἵ τε τῶν Ῥωμαίων, καὶ μάλιστα τῶν Λατίνων, ἐπεί γε οὗτοι ἐλευθερώτερον χρῶνται τῇ γλώττῃ πρὸς τοὺς δεσπότας, ἀθῶον εἶναι ἐπὶ πᾶσι τὸν Κομνηνὸν Μιχαήλ. Ἤκουσα δὲ καὶ αὐτὸς ἐπὶ τῇ κρίσει παρὼν, [P. 54] καὶ σὺν ἐμοὶ ὁ Μακρωτὸς Ἰωάννης, τάχα καὶ ἡμεῖς συναριθμούμενοι τοῖς κρίνουσι πρὸς τοῦ βασιλέως, ὡς ξύλων ἄν τινες μηδὲν διαφέροντες ἐνταῦθ' ἵστανται. Ἐβούλετο γὰρ πάντας κατ' αὐτοῦ συμψηφίζεσθαι. Ἡμῖν δὲ οὐκ ἦν λόγος, ἄνευ λόγου τοῦ Μιχαὴλ Κομνηνοῦ κρινομένου. Ἐφιλεῖτο γὰρ (φίλη γε ἡ ἀλήθεια) οὐ πρὸς ἡμῶν καὶ μόνον, ἀλλὰ καὶ πρὸς παντὸς τῶν ἐν τέλει τῶν τε στρατηγῶν τῶν τε στρατιωτῶν καὶ αὐτῶν τῶν τῆς ξύγκλυδος· τοῖς τε γὰρ νεάζουσιν ἡδὺς ἦν καὶ προσηνὴς ὁμιλῶν καὶ χαρίεις ἐν λόγοις καὶ ἐν ἐπιτηδεύμασι δεξιώτατος,

A ctores inter pugnandum imperterritum hominem depinxissent, firmus ac stabilis, « Sacrum hoc, » inquit, « domine, quonam vocetur nomine, non novi. Ipse ego peccator sum, nec ejuscemodi admiranda efficere possum. Si vero tu mihi, qui metropolita es et homo divinus, ut id expleam adhortaris, age tu ipse sacrarum vestium apparatu integro te circumvesti, quemadmodum Sancta sanctorum ingredi soles et Deum alloqui; dein tuis manibus, quibus tangis sacrosanctum sacrificium, corpus Domini nostri Jesu Christi, qui pro orbe universo oblatus est continuoque a vobis sacerdotibus et præsulibus offertur, ferrum mihi inflamma, et iisdem sacris tuis manibus ferrum acceptum manui meæ impone. Sic enim in Domino meo Christo confido, omnia eum mea delicta dissimulaturum veritatemque non sine miraculo patefacturum. » Hæc Comnenus Michael dixerat. Et metropolita, « O bone juvenis, » inquit, « hoc neque nostri neque Romani instituti neque ecclesiasticæ traditionis. Imo neque ex legibus, neque prius e sacris ac divinis canonibus desumptum est. **105** Sed barbaricus est iste modus, nobisque minime notus, qui jussu tantum imperatorio fit. » Et ille, « O maxime Dei antistes, si ex barbaris ipse genus ducerem et barbaricis moribus enutritus aut similibus legibus instructus fuissem, barbarico etiam modo pœnas luerem. Sed si Romanus et ex Romanis, Romanis legibus et scriptis traditionibus judicium terminetur. » Ille itaque juvenis sermonibus quasi attonitus (Michael namque Comnenus septimum tunc et vigesimum annum agebat), et quod in infortunii nihil de generosis cogitationibus demitteret nec sententiarum ingeniosum ac dextrum laxaret, ad imperatorem accurrit, et quænam ipse dixerit nescio, attamen illum quæcunque audierat, nec alia dixisse judico. Igitur imperator post varia multaque experimenta nullius criminis aut facti reum Michaelem Comnenum deprehendit, eoque potissimum, quod innocentem et sermonum et flagellorum vi reum perageret. Omnes enim sive Latini sive Romani, sed maxime Latini, qui ore liberiore adversum dominos loquuntur, Michaelem Comnenum omnium plane insontem judicabant. Ego etiam qui judicio interfueram, et una mecum Joannes Macrotus, uterque ab imperatore inter judices annumerati, nonnullos nihil a lignis distantes ibidem interesse audivi. Namque ille volebat ut omnes simul in eum sententiam ferrent. Sed nos his neque attendebamus neque advertebamus animum, cum Comnenus Michael absque **106** ulla ratione in judicium vocaretur. Diligebatur etenim, ita me amet veritas, non a nobis modo, sed ab unoquoque dignitate præfulgente, ductoribus copiarum, militibus, convenis; cum junioribus dulcis, usu facilis, eloquio suavis, ad agenda tractandaque negotia incredibilis, senibus et sermone et prudentia senex habebatur, cujus impendio consuetudine illi oblectabantur. Hæc tamen ita annuente Numine in eum

patrata sunt, quandoquidem, cum ad imperatorium culmen attollere decrevisset eum, et tormentorum igne et experimentorum conflatorio probavit, ne in solium evectus calumniis et accusationibus ex facili crederet, neque eo in loco constitutus, quo quidquid libuerit agere posset, plus justo celerius decerneret ac determinaret. Verum enimvero in aliis etiam, ut subsequens oratio indicabit, Numini probatus est. In extremo negotio imperator, quod etiam ipse auditione acceperam, enuntiarat, « Væ misero tibi, quanam gloria cecidisti ! » Id porro erat, imperatorem fixius animo agitasse neptem, primam filiam filii sui imperatoris Theodori, Irenen, quæ ipsi Michaelis secundi consobrini sui filia erat, Michaeli Comneno in matrimonium collocare. Quod et in imperatore Joanne aliisque pluribus factum est. Et his affinia non alia ratione evenire consuevere : licet enim ab Ecclesia prohibeantur, attamen publicæ gubernationis causa atque commodi imperatoribus permittuntur.

τοῖς τε γέρουσι γηραιὸς ἐδόκει τὸν λόγον τε καὶ τὴν σύνεσιν, καὶ ἀσπάσιος αὐτοῖς ἐνομίζετο. Καὶ ταῦτ' οὖν, ὡς οἶμαι, γέγονεν ἐπ' αὐτῷ δοκιμασίᾳ τοῦ κρείττονος. Ἐπεὶ γὰρ εἰς τὴν βασίλειον ἔμελλε θεὸς ἀναβιβάσαι τοῦτον περιωπὴν, τῷ τῶν βασάνων πυρὶ καὶ τῷ διαπείρας χωνευτηρίῳ δεδοκίμακεν, ἵνα μὴ εἰς τὸν βασίλειον ἀναβὰς θρόνον ῥᾷον ἔχοι πιστεύειν διαβολαῖς καὶ συκοφαντίαις, μήτε θᾶττον τὰς ἀποφάσεις ποιεῖν ἐπ' ἐξουσίᾳ τοῦ πράττειν τὰ βουλητέα γεγενημένος. Οὐ μὴν καὶ ἐν ἄλλοις κατεξήτασεν, ὡς προῖὼν ὁ λόγος δηλώσει. Ἐπὶ δὲ τέλει τῆς ὑποθέσεως ταυτησὶ ἦν ὁ βασιλεὺς εἰρηκὼς, κἀμοῦ τῶν λόγων ἀκροωμένου, « Αἲ ἐλεεινὸν, οἵας δόξης ἐξέπεσες. » Τὸ δὲ ἦν ὅτι περ πρὸς βουλήσεως ἦν τῷ βασιλεῖ τὴν ἐγγόνην αὐτοῦ, τὴν πρώτην θυγατέρα τοῦ υἱοῦ αὐτοῦ τοῦ βασιλέως Θεοδώρου τὴν Εἰρήνην, ἐπιδοῦναι τῷ Κομνηνῷ Μιχαὴλ εἰς ὁμόκοιτιν. Ἦν δὲ αὕτη πρὸς τὸν Μιχαὴλ ἀνεψιὰ δευτερεξαδέλφου θυγάτηρ. Ἀλλὰ τοῦτο καὶ ἐπὶ τῷ βασιλεῖ Ἰωάννῃ ἐγένετο καὶ ἐν πλείοσιν ἄλλοις, καὶ εἴωθε τὰ τοιαῦτα οὕτω πως συμβαίνειν· κἂν γὰρ τῇ Ἐκκλησίᾳ κεκώλυται, ἀλλὰ τοῖς βασιλεῦσιν ἐφεῖται τῆς κοινῆς προμηθείας χάριν καὶ τοῦ συμφέροντος.

51. **107** Igitur imperator, modo quo diximus quæstioni fine imposito, in Orientem progreditur, et Michaelem Comnenum suspectum habebat. Quando vero et generis claritudo et cum ipso conjunctio, necnon cum magnatibus affinitas non permittebant imperatori ut res ab eo gestas haberet contemptui, mittit eum ad Manuelem, qui ea tempestate patriarchatus gubernaculis assidebat, virum pietate insignem et vitæ instituto, licet uxorem duxisset, venerandum, literas tamen haud doctum, cum nec eorum sententiam quæ ipse percurrerat caperet ; quem scripto imperator compellat ut pœnis quoque exactis Michaelem Comnenum increparet, jureque jurando fidem illius alligaret, nullas eum imposterum adversus imperatorem insidias moliturum, sed fidum ac incorruptum in dominum amoris obsequium exhibiturum. Ubi ea res sic evenit, imperator Comnenum in gratiam recipit, illique fratris sui sebastocratoris Isaacii Ducæ neptem Theodoram nuptum dedit quam unicam pater illius, sebastocratoris filius Joannes, in adolescentia fato functus, reliquerat. Obiit equidem ille uxore Eudocia Angeli Joannis filia vidua, pupilla vero filia Theodora, quæ jam tum non infelicibus avibus Comneno Michaeli juncta fuerat, relicta, mater siquidem illius Eudocia, licet florente juventa fervida, **108** viro carere maluit ac virtutem sectari, Deo freta, cui se fortunasque suas devoverat. Hinc Deus virtutem matrimonio compensavit. Et hæc quidem ita se habuere.

[P. 55] Γέγονε ταῦτα, καὶ ὁ βασιλεὺς τὸν Κομνηνὸν ἀνεδέξατο Μιχαὴλ, καὶ ζεύγνυσιν αὐτῷ εἰς γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ σεβαστοκράτορος Ἰσαακίου τοῦ Δούκα ἐγγόνην τὴν Θεοδώραν, ἣν μόνην ὁ πατὴρ αὐτῆς καταλελοιπὼς ὁ τοῦ σεβαστοκράτορος υἱὸς Ἰωάννης ἔτι ἐν μείραξιν ὢν τὸ χρεὼν ἐξεμέτρησε, χήραν μὲν τὴν αὐτοῦ γαμετὴν Εὐδοκίαν ἀφεὶς, τὴν τοῦ Ἀγγέλου Ἰωάννου θυγατέρα, ὀρφανὴν δὲ τὴν αὐτοῦ θυγατέρα Θεοδώραν, ἥτις εὐτυχῶς τῷ Κομνηνῷ τότε συνέζευκτο Μιχαήλ. Ἡ γὰρ μήτηρ αὐτῆς Εὐδοκία καίτοι γε νέα οὖσα πάνυ τὴν χηρείαν φέρειν ἠσπάσατο, ἀρετὴν δὲ ἑλέσθαι καὶ καθάπερ προσανέχειν θεῷ. Διὰ ταῦτα καὶ ἀντιμισθίαν ἀντιλαμβάνει πρὸς θεῷ τὸ κῆδος. Καὶ ταῦτα μὲν ἔσχεν οὕτως.

[38] D : Καὶ εἰς ἓω διαπερασιοῦται, καὶ συζεύγνυσι τῷ Μιχαὴλ τῷ Κομνηνῷ εἰς γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ σεβαστοκράτορος Ἰσαακίου ἐγγόνην τὴν Θεοδώραν, ἣν μόνην ὁ πατὴρ Ἰωάννης κατέλιπεν σὺν τῇ αὐτῆς μητρὶ Εὐδοκίᾳ τῇ τοῦ Ἀγγέλου Ἰωάννου συνοῦσαν, τῇ θείᾳ τῶν στρατηγουπούλων.

Theodori Dousæ et Leonis Allatii notæ.

(8) *Ὁ Μανουήλ.* Non ergo Arsenius, ut Phranza. Gregoras : Ὅμως ἔδοξεν ὅρκοις αὐτὸν βεβαιώσαντα, etc. Verba habes superiori capite. Sed magis incte et accurate Pachymerius, p. 22. ALL.

νβ'. Ὁ δὲ βασιλεὺς [9] τὰ τῆς ἕω μέρη κατειλη- A φὼς καὶ τοῦ ἐνιαυτοῦ ἐκείνου παρῳχηκότος αὖθις ἐπὶ τὴν προκαθημένην τῶν Βιθυνῶν πόλιν ἀφίκετο Νίκαιαν. Καιρὸς ἦν περὶ τὰ τοῦ χειμῶνος τέλη, καὶ φθίνων ἐτύγχανε Φεβρουάριος. Καὶ ὁ βασιλεὺς (9) ἐπὶ τῆς κλίνης ἑσπέρας καθήμενος (παρέδραμε δὲ καὶ μέρος τι τῆς νυκτὸς), ἄφνης γεγονὼς ἄφωνος (10), πρηνὴς ἐπὶ τῆς κλίνης πεσὼν ἦν τὸ ἀπὸ τοῦδε ἄναυδος τὸ καθόλου. Χεῖρες δὲ ἰατρῶν ὑπούργουν ἐν τούτῳ, καὶ ἀμυχὰς ἐν τοῖς ποσὶν ἐποίουν, καὶ ἐφόλβιον (11) ταῖς ἀμυχαῖς ἐνέβαλλον, καὶ ἄλλ' ἄττα ἔπραττον, ὁπόσα ἡ τέχνη ἐδίδασκεν. Ἀλλ' ὁ βασιλεὺς ὅλην τε ταύτην τὴν νύκτα καὶ τὴν ἐπιοῦσαν ἡμέραν καὶ αὖθις τὴν ἑτέραν νύκτα ἀκίνητος ἔκειτο· ἀποπληξία γὰρ ἦν ἡ νόσος, καὶ οὕτω βαρεῖα ὥστε διαρκέσαι τοσοῦτον εἰς ἀκινησίαν καὶ ἀφωνίαν. Μόγις οὖν ἀνέπνευσε καὶ εἰς ἑαυτὸν ἦλθεν. Ἠλλοιωμένος δὴ ἦν τὸ χρῶμα. Ἔσπευσε γοῦν καταλαβεῖν τὸ Νύμφαιον, φθάσας τε πρὸ τῆς βαϊοφόρου Κυριακῆς, καθ' ἣν εἴωθε θριαμβεύειν ὁ βασιλεύς. Ἐπιτείνας οὖν τὴν ὁδὸν ἀφίκετο εἰς τὸ Νύμφαιον, κἀκεῖσε τὸν κατὰ τὴν βαϊοφόρον θρίαμβον ἐξετέλεσε καὶ τὴν ἀναστάσιμον ἐωρτάκει ἡμέραν. Καὶ τὰ ἀπὸ τοῦδε τοῖς τοιούτοις ἐπεχωρίαζε (12) μέρεσι, τῇ κατασχούσῃ τοῦτον νόσῳ κατὰ διαστήματα ἡμερῶν τρυχόμενός τε καὶ πιεζόμενος. Ποτὲ μὲν γὰρ ἐν τῷ παλατίῳ διάγων εὐθὺς ἐπὶ κλίνης ἔπιπτεν ἄφωνος, ποτὲ δὲ ἐφ' ἵππου βαίνων καὶ ὁδὸν βαδίζων ὑπὸ τῆς νόσου ἐγίνετο κάτοχος, καὶ οἱ συμπαρόντες κατεῖχόν τε καὶ πρὸς ὥραν παρεφύλαττον, ὥστε μὴ γνωρίζεσθαι

52. Imperator cum in Orientem secessisset, anno elapso rursum ad reginam Bithynorum urbem Nicæam pervenit. Hiemis extremum erat, exitusque Februario impendebat, cum imperator vesperi lecto assidens, exigua **109** noctis parte procedente, ex improviso vocem emittit: hinc pronum effusum loquela penitus destituerat. Medici curationem ejus recipere, pedes scarificare, scarificationibus ephelbium imponere, aliaque remedia, quæ ars dictat, malo invenire. Verum imperator tota ea nocte et die subsequente, et quæ mox advenerat, alia nocte motus expers jacuit: morbus enim erat nervorum resolutio, adeoque gravis ut tanto tempore et motu et voce stupens atque attonitus privaretur. Tandem aliquando respiravit et in semet, colore tamen deperdito, rediit. Nymphæum ergo quam celerrime, et ante Dominicam palmarum, qua triumphare ille sueverat, advehi curat, et accelerato itinere Nymphæum appellit, in quo die Palmarum triumphum egit et Resurrectionis diem celebravit; indeque assiduo loca illa frequentabat, morbo per intervalla dierum ingruente jactatus conflictatusque. Quandoque enim in palatio degens subito in lectum amissa voce procumbebat; quandoque equitans inter ambulandum a morbo corripiebatur. Et qui aderant, sustinebant et ad tempus custodiebant, ne pluribus innotesceret. Dein sui compos per otium in aulam revertebatur. Quandoque etiam clanculum in sellula per regiam a familiaribus deducebatur. Sed cum morbus invalesceret, corpus impe- B

[9] D: Εἰς ἐπιὸν περὶ τὴν Νίκαιαν ἀφίκετο, ἔνθα περὶ τὸν Φευρουάριον ἐπὶ κλίνης τὸ πλέον τῆς νυκτὸς καθήμενος καὶ πρηνὴς ἐπὶ κλίνης πεσὼν ἦν ἄναυδος. Οἱ δὲ ἰατροὶ ἀμυχὰς τοῖς ποσὶν ἐποίουν, καὶ ἐφόλκιον ταῖς ἀμυχαῖς ἐνέβαλον. Ἀλλὰ ταύτην τὴν νύκτα καὶ τὸ ἐπιὸν ἡμερονύκτιον ἀκίνητος ἔκειτο· ἀποπληξία γὰρ ἦν ἡ νόσος. Μόλις γοῦν ἀνέπνευσεν ἠλλοιωμένος τὸ χρῶμα, καὶ ἔσπευσε καταλαβεῖν τὸ Νύμφαιον πρὸ τῆς βαϊοφόρου κυριακῆς, καθ' ἣν εἴωθε θριαμβεύειν. Καὶ ἐκεῖ καὶ τὴν Ἀναστάσιμον διῆλθε, καὶ τὸ ἀπὸ τοῦδε τοῖς τοιούτοις ἐπεχωρίαζε μέρεσι, τῇ κατασχούσῃ τοῦτον νόσῳ κατὰ διάστημα ἡμερῶν πιεζόμενος. Ποτὲ μὲν γὰρ ἐπὶ κλίνης ἔπιπτεν ἄφωνος, ποτὲ δὲ ὁδὸν βαδίζων ἐφίππος ὑπὸ τῆς νόσου ἐγίνετο κάτοχος, καὶ οἱ συμπαρόντες κατεῖχον καὶ παρεφύλαττον, καὶ ἐπὰν εἰς λογισμὸν ἦκε σχολῇ πρὸς τὰ βασίλεια ὑπανέστρεφεν. Ἐνίοτε δὲ καὶ φοράδην ἠγετο. Ἐπεὶ δὲ ἡ νόσος ἐπηύξανε καὶ τὸ σῶμα τοῦ βασιλέως κατέπιπτε, συνεχέστερον γὰρ ἐγίνετο τοῦτο, καὶ ἡ ἀτροφία τοῦτον ἐπίεζε, καὶ ἀφίκετο εἰς Σμύρνην, ὡς τῷ ἐκεῖσε προσκυνήσῃ Χριστῷ καὶ διὰ παρακλήσεων ἕλεων αὐτὸν ἀπεργάσοιτο. Καὶ ἀπελθὼν ἀνακωχὴν οὐχ εὗρεν. Ἀλλ' ἐν τοῖς Περικλύστροις τόποις σκηνούμενος, ἃ εἰσιν ἐγγὺς Σμύρνης, χείρονος τοῦ πάθους ἐπῆσθετο. Καὶ καταλαμβάνει τὸ Νύμφαιον, καὶ ἐν τοῖς ἐγγὺς τῆς χώρας βασιλείοις κήποις τὰς σκηνὰς ἐπήξατο. Ἔνθα καὶ τὸ χρεὼν ἐλειτούργησεν, ἑξήκοντα δύο ἐτῶν ὢν, ἐξ ὧν τριακοντατρεῖς βεβασίλευκεν καλῶς καὶ ἀγαθῶς. Πρᾶος γὰρ ἦν καὶ πρὸς τὸ φιλανθρωπότερον ἀεὶ ἀπονεύων, πρὸς πάντας φιλόδωρος, μᾶλλον δὲ πρὸς τοὺς μήκοθεν. Ἐρώτων δὲ θήλεων ἥττατο, ἐξ ὅτου ἡ σύζυγος αὐτοῦ Εἰρήνη ἐξ ἀνθρώπων ἐγένετο, μάλιστα δὲ τῆς ἐξ Ἰταλίας Μαρκεσίνης, ὡς καὶ πέδιλα ὑποδεδέσθαι ταύτῃ δοῦναι κοκκοβαφῆ καὶ ἐφεστρίδας καὶ χαλινὰ, ἐπεσθαί τε αὐτῇ πλείους ἢ τῇ κυρίως δεσποίνῃ, ἄλλα τε πολλὰ ἐποίει ταῖς ἐκείνης δουλεύων ὀρέξεσι. Καρτερικὸς δ' ἦν ταῖς μάχαις, καὶ τοῖς μὲν κατὰ συστάδην πολέμοις οὐκ ἔχαιρε, τὸ ἀλλοπρόσαλλον τοῦ Ἄρεως δειλιῶν, τῇ καρτερίᾳ δὲ χρώμενος, καὶ ἐνεαρίζων εἰς τὴν ἐναντίων καὶ τὴν θέρους ὥραν διαβιβάζων, ἔτι δὲ καὶ τὴν φθίνουσαν, ἐνίοτε δὲ καὶ παραχειμάζων τὴν νικῶσαν ἐλάμβανεν. Ἦν δὲ εὐσεβέστατος καὶ φιλόπτωχος, φιλοδίκαιός τε καὶ φιλόχριστος, τὴν βασιλείαν τῷ υἱῷ Θεοδώρῳ καταλιπὼν ἐτῶν ὄντι λγ'· τοσοῦτος γὰρ ἦν ὁ χρόνος αὐτῷ ὅσος ὁ τῆς πατρικῆς βασιλείας ἐτύγχανεν· σχεδὸν γὰρ τῇ πατρικῇ ἀναῤῥήσει καὶ γέννησις ἐκείνου συνέδραμεν.

Theodori Dousæ et Leonis Allatii notæ.

(9) *Καὶ ὁ βασιλεύς.* Gregoras, p. 49. ALL.

(10) *Γεγονὼς ἄφωνος.* Gregoras, p. 50. ALL.

(11) *Ἐφόλβιον.* Corrigendum censet Meursius φόλβιον, barbara et peregrina voce, herbam significante. De qua sic in Glossario: Φόλβιον *herbæ genus.* Demetrius Cpol. *Hieracosophii* lib. II, cap. 1: Φολβίου βοτάνης, κόστου, σμύρνης ἀῤῥενικῆς, στάχους Ἰνδικοῦ. Occurrit illic pluries. Videturque *betta* esse, quæ Italis *foglia molla.* Scriverio vero nostro aliter videtur, qui legendum putat, levissima mutatione β in κ, ἐφόλκιον, ut dicat medicos scarificationem cucurbitularum pedibus adhibuisse. et ἐφόλκιον sive attractorium quoddam medicamentum scarificationi injecisse et applicasse ad eliciendum sanguinem, cui rei εὐφόρβιον aptum etc. Dioscorides Asclepiadesque alii videntor. De morbo autem imp. Jo. Ducæ Batatzis Nicephorus Gregoras, lib. II, cap. ult. DOUSA.

(12) *Τοῖς τοιούτοις ἐπεχωρίαζε.* Gregoras, p. 50. ALL.

ratoris in pejus ruebat, cum solito longe frequentius malo divexaretur carnesque absumerentur, **110** quod deterius habebat et ali non poterat. Cum ergo medicorum ingenium de restituenda valetudine desperasset, ut respirare ipse paululum posset, Smyrnam iter meditatur, ut Christum, qui in ea insigniter colitur, adoraret precibusque effusis sibi propitium in tanto infortunio redigeret. Accessit, omnia, uti instituerat, perfecit, nec tamen ex morbo convaluit. Porro in Periclystris commorans (locus is est prope Smyrnam, quod undique aquarum copia circumfluatur, sic dictus) majori sive potius atrociori malo oppressus, inde discedens, cum gravissime corpore urgeretur, Nymphæum proficiscitur, nec regias ibidem domos invisit, sed in hortis regiis prope urbem imperatoria finxit tentoria; ubi et diem suum obiit extremum tertio calendas Novembris, sexaginta et duos annos natus, ut qui illius res exactius possidebant dixere. Ex his triginta tres probe integreque regnaverat. Leni animo fuit, semperque se humaniorem præbebat. Familiares parcius munerabatur: exteros, eosque qui tanquam legati ad eum venissent, magnificentioribus largitionibus, ut ab eis laudaretur, afficiebat. Amoribus muliebribus, postquam ejus uxor Irene imperatrix ex hac vita excesserat, et potissimum Marcesinæ, quæ ex Italia venerat, Annæ quidem imperatricis ex Alemania uxoris pedissequa, sed quæ postea in amore æmula fuerat, deditus. E cujus amore ita **111** ipse pendebat ut illi coccineos calceos gestare permiserit et sagum et frænum non alterius coloris indulserit, plures illi famulos quam veræ dominæ donaverit, aliaque quamplurima libidinibus illius deserviens præstiterit. Fuit illi animus belli ingens ac tolerans. Consertis prœliis, variam Martis sortem extimescens, et in illis conserendis incertum animo agitans, minime delectabatur, sed fortitudine ac patientia, et verno

A τοῖς πολλοῖς. Ἐπὰν δὲ εἰς λογισμὸν ἐπανῆκε, σχολῇ πρὸς τὰ βασίλεια ἐπανέστρεφεν, ἐνίοτε δὲ καὶ φορᾶδην ἐπὶ θρόνου ἐν τοῖς ἀνακτόροις ὑπὸ τῶν οἰκείων ἤγετο. Ἐπεὶ δὲ ἡ νόσος ἐπηύξανε, τὸ σῶμα τοῦ βασιλέως κατέπιπτε· συνεχέστερον γὰρ ἥρξατο πάνυ τούτῳ γίνεσθαι. Σύντηξις γοῦν ἦν αὐτῷ τῶν σαρκικῶν, [P. 56] καὶ τὸ δεινότερον ἡ ἀτροφία τοῦτον ἐπίεζεν. Ἐπεὶ οὖν χεῖρες ἰατρῶν εἰς τὴν νόσον ἀπέκαμον, παραμυθίαν βουλόμενος μικρὰν ἐφευρεῖν ἠθέλησεν εἰς τὴν Σμύρνην ἀπελθεῖν, ὅπως τῷ ἐκεῖσε προσκυνήσῃ Χριστῷ (13) παράκλησίν τε ποιήσοι καὶ πλεῖον αὐτὸν ἀπεργάσοιτο. Ἀφικόμενος οὖν ταῦτα μὲν διεπράξατο, ἀναχωχὴν δὲ τοῦ πάθους οὐχ εὗρεν, ἀλλ' ἐν τοῖς Περικλύστροις σκηνούμενος (τόπος δέ ἐστιν οὗτος ἐγγὺς που τῆς Σμύρνης, διὰ τὸ πολλοῖς
B τοῖς ὕδασι περικλύζεσθαι οὕτω πως κατονομαζόμενος), μείζονος ἢ μᾶλλον χείρονος τοῦ πάθους ἐπῆσθετο. Ἐκεῖθεν οὖν ἀπάρας πονήρως λίαν ἔχων τοῦ σώματος καταλαμβάνει τὸ Νύμφαιον. Καὶ ἐν μὲν τοῖς βασιλικοῖς οὐκ ἀπῆλθεν οἰκήμασιν, ἐν δὲ τοῖς ἐγγὺς που τῆς χώρας βασιλείοις κήποις τὰς ἀνακτορικὰς σκηνὰς ἐνιδρύσατο. Ἔνθα καὶ τὸ χρεὼν ἐλειτούργησε τρίτῃ καλανδῶν Νοεμβρίου, ἑξήκοντα καὶ δύο (14), ὡς οἱ τὰ περὶ αὐτοῦ ἀκριβέστερον εἰδότες ἔφασκον, ἔτη βιώσας, ἐξ ὧν τριάκοντα καὶ τρεῖς βεβασίλευκε καλῶς τε καὶ ἀγαθῶς. Πρᾶος γὰρ ἦν καὶ πρὸς τὸ φιλανθρωπότερον ἀεὶ ἀπονεύων. Δωρεαῖς μὲν πρὸς τοὺς αὐτοῦ ἧττον ἐχρᾶτο, πρὸς δὲ τοὺς ξένους, καὶ μᾶλλον τοὺς ὡς πρέσβεις ἀφικομένους, δαψιλεστέ-
C ραν (15) τὴν χεῖρα προὔτεινεν, ἵν' ὑπ' αὐτῶν ἐπαινοῖτο. Ἐρώτων δὲ θήλεων ἥττατο, ἐξ ὅτου ἡ σύζυγος αὐτοῦ καὶ βασιλὶς Εἰρήνη ἐξ ἀνθρώπων ἐγένετο. Μάλιστα δὲ τῆς ἐξ Ἰταλίας ἐλθούσης ὡς θεραπαινίδος μὲν τῆς ἐξ Ἀλαμάνων συζύγου βασιλίδος Ἄννης (16), ἀντιζήλου δὲ ταύτης γεγενημένης Μαρκεσίνης (17) τε ὀνομαζομένης τοῦ ἔρωτος ἥττητο, καὶ ἐς τοσοῦτον τῆς ἀγάπης αὐτῆς ἐξεκρέματο ὡς καὶ πέδιλα ὑποδεδέσθαι δοῦναι ταύτῃ κοκκοβαφῆ καὶ ἐφεστρί-

Theodori Dousæ et Leonis Allatii notæ.

(13) *Τῷ ἐκεῖσε προσκυνήσῃ Χριστῷ.* In hac ægritudine Joannis pietatem et nummorum in pauperes profusionem fuse enarrat Georgius Pachymerius (p. 70), qui a Christianis principibus omnino audiendus est. ALL.

(14) *Ἑξήκοντα καὶ δύο.* Gregoras, p. 50. Et nota annos vitæ illius Acropolitam numerare sexaginta duos, Gregoram sexaginta: in annis imperii conveniunt, cum uterque tres et triginta imperii numeret. ALL.

(15) *Δαψιλεστέραν.* Admirabitur non nemo quanam ratione ejusmodi imperatores, qui paulo ante reliquam regiam supellectilem hostibus cesserant et omnia sua amiserant, extorres, et non sine continuis illisque immensis sumptibus, nunc cum Bulgaris, nunc cum Latinis, nunc cum Christianorum hostibus, et quod majus cuipiam videri poterit, cum Græcis ipsis belligerantes, tot recolligere pecunias potuerint, ut larga etiam manu largitionibus et retributionibus, non familiaribus modo sed exteris, supra etiam imperatorum consuetudinem effusissimis providerint. Cessabit omnino admiratio, si revocentur in memoriam quæ Pachymerius de ærario Joannis et Theodori scribit, p. 68. ALL.

(16) *Ἄννης.* Mortua namque Irene Annam Alemannam, Manfredi Siciliæ regis sororem, uxorem duxit. Gregoras, p. 45 et 91. Pachymerius, lib. III, p. 181, et infra p. 185. Hujus Annæ postea imperium adeptus Michael Palæologus maxime cupiens fuit. Itaque inflammatus libidine ferebatur, ut neque pudor neque pietas neque hominum fama a cupiditate
D illa revocarint. Mulieris castimoniam et artes et ipsius imperatoris conatus Pachymerius, lib. III, p. 181, expressit. ALL.

(17) *Μαρκεσίνης.* Rem fusius pertractat Gregoras, p. 49. Quæ Gregoras de Nicephoro Blemmyda et exclusa Marcesina ab ecclesia tradit, videtur hausisse ex epistola encyclica ejusdem Nicephori, quæ quia adhuc inedita est, quod sciam ipse, et digna sit quæ ob pietatem et summum in Christianam religionem zelum teratur omnium manibus, hic exscribam Græce; quæ est: Νικηφόρου μοναστοῦ, κ. τ. λ. *Vide tomum* CXLI *in Nicephoro Blemmyda.* Spondanus anno 1225, num. 16 mira oscitantia Nicephorum a Blemmyda dividit: *Cum pellex ejus quædam, quæ majori pompa quam ipsa Augusta incedere consueverat, ab ingressu templi Blemmydæ prohibita ab ejus abbate Nicephoro magnæ virtutis atque auctoritatis viro,* etc. Sane hic abbas Nicephorus a Blemmyda dejectus non est. ALL.

δας τοιαύτας καὶ χαλινὰ, ἔπεσθαί τε αὐτῇ πλείους ἢ τῇ κυρίως δεσποίνῃ, ἄλλα τε πολλὰ ἐποίει ταῖς ἐκείνης δουλεύων ὀρέξεσι. Καρτερικὸς δὲ ἦν οὗτος ἐν ταῖς μάχαις ὁ βασιλεὺς, καὶ τοῖς μὲν κατὰ συστάδην πολέμοις οὐκ ἔχαιρε, τὸ ἀλλοπρόσαλλον τοῦ Ἄρεως δειλιῶν καὶ τὸ παρὰ ταῦτα ἄδηλον ὑπολογιζόμενος· τῇ καρτερίᾳ δὲ χρώμενος, καὶ ἐνεαρίζων μὲν εἰς τὴν τῶν ἐναντίων γῆν καὶ τὴν θέρους ὥραν διαβιβάζων, ἔτι δὲ καὶ τὴν φθίνουσαν ὀπώραν διανύων, ἐνίοτε δὲ καὶ παραχειμάζων τὴν νικῶσαν ἐλάμβανεν, ἀποκαμνόντων τῶν ἐναντίων τῇ τοῦ βασιλέως ἐνστάσει τε καὶ ὑπομονῇ. Ἐτεθνήκει μὲν ὁ βασιλεὺς Ἰωάννης τῷ υἱῷ αὐτοῦ Θεοδώρῳ τὴν βασιλείαν καταλελοιπὼς, τριάκοντα καὶ τρία ἔτη διανύοντι. Τοσοῦτος γὰρ ὁ χρόνος αὐτῷ ὁπόσος τῆς πατρικῆς βασιλείας ἐτύγχανε· σχεδὸν γὰρ τῇ πατρικῇ ἀναῤῥήσει καὶ ἡ γέννησις ἐκείνου ξυνέδραμεν.

A tempore in hostium locis degens et æstate trajiciens nec non et senescentes fructus expectans, quandoque etiam hibernans victoriam reportabat, imperatoris constantia ac patientia fatigatis hostibus. Moritur imperator Joannes imperio filio suo Theodoro tres et triginta annos agenti relicto : tot enim ætatis illius anni quot et paterni imperii erant : cum paternam enim acclamatione forte et natales illius concurrerant.

νγ'. Ἀλλ' ὁ βασιλεὺς[49] μὲν Θεόδωρος τῶν βασιλείων ἐπείληπτο θρόνων. Τὴν νενομισμένην γοῦν ὁσίαν ἀποδοὺς [P. 57] τῷ βασιλεῖ καὶ πατρὶ, καὶ καθεσθεὶς ἐπ' ἀσπίδος ὡς ἔθος, καὶ ὑπὸ πάντων φημισθεὶς αὐτοκράτωρ (18), τοῦ Νυμφαίου ἀπάρας ἐπὶ τὴν Φιλαδέλφου ἀφίκετο. Μεγίστη δὲ αὕτη πόλις καὶ πολυάνθρωπος καὶ ὁπλίζεσθαι δεδυνημένους οἰκήτορας ἔχουσα, καὶ μάλιστα τοξείαν ἀσκοῦντας· ἀγχιτερμονοῦσα δὲ τοῖς Περσικοῖς ὁρίοις ἀεὶ διαμάχεσθαι τοῖς ὑπεναντίοις τούτους ποιεῖ καὶ ἐθάδας πολέμων ἐργάζεται. Ἐκεῖσε οὖν δισκαρτερήσας μικρὸν καὶ ὅσον πρεσβεῖαν στεῖλαι πρὸς τὸν σουλτὰν, ἐπὶ τὰ Βιθυνῶν κεχώρηκε μέρη καὶ τὴν τῆς χώρας ταύτης προκαθημένην πόλιν τὴν Νίκαιαν. Ἐπεὶ δὲ ἐχήρευε τοῦ πατριαρχοῦντος (19) ἡ Ἐκκλησία (πέφθακε γὰρ ὁ πατριάρχης Μανουὴλ μικρόν τι τοῦ βασιλέως Ἰωάννου προτελευτῆσαι), ἔδει δὲ πρῶτον πατριάρχην προβληθῆναι, ἵν' ἐπὶ τῷ βασιλεῖ τὴν στεφηφορίαν ἐν τῷ ἱερῷ τελεσιουργήσῃ τεμένει, ἐζητεῖτο μὲν ὁ ἄξιος τοῦ τοιούτου θρόνου, ἡ δόξα δὲ τοῖς πολλοῖς ἐπὶ τῷ Βλεμμίδῃ (20) ἐτύγχανε Νικηφόρῳ, τῷ ἐμῷ διδασκάλῳ τῶν τῆς φιλοσοφίας λόγων τε καὶ δογμάτων, ἀνδρὶ ἐκ νεότητος τὸν ζυγὸν ἁραμένῳ τοῦ μονήρους βίου καὶ περιβοήτῳ τυγχάνοντι καὶ περὶ λόγον καὶ ἀρετὴν, κἂν ἐνίων ὁ φθόνος, καὶ μάλιστα τῶν προὐχόντων, οὐ μόνον οὐκ ἐκφανῆ τοῦτῳ τὰ τῆς ἀρετῆς ἐποίει, ἀλλὰ καὶ κακίας τινὰς αὐτῷ προσεκόλλα. Οὗτος οὖν πρὸς τὸν βασιλέα Θεόδωρον φιλίως διέκειτο καὶ παρ' αὐτοῦ ἐφιλεῖτο· τῶν γὰρ λόγων, ἐν οἷς τὰ πολλὰ ἐπεγάννυτο, διδάσκαλον καὶ αὐτὸν ἐπεγράφετο· σοφὸς γὰρ ἦν εἰς ἄκρον ταῖς ἀληθείαις ὁ βασιλεύς. Ὁ δὲ ὀκνηρότερος περὶ τὸ πρᾶγμα ἐτύγχα-

53. Igitur imperator Theodorus imperii habenis susceptis, justisque imperatori et patri, uti fieri amat, factis, et super scutum assidens, uti moris est, ab omnibus imperator acclamatus, Nymphæo discedens Philadelphiam commeat, urbem ingentem et frequentem populis oppidanisque arma **112** sumere et maxime sagittis adversarium configere professis. Ea cum in finitimum agrum Persicum extendatur, bella cum hostibus continuo exercens gentem belli studiis asperrimam alit. Ibi paucis diebus, quibus legationem ad sultanum miserat, commoratus ad Bithynorum oras et ad primam illius regionis urbem Nicæam secessit. Sed cum patriarchæ orba Ecclesia foret (nam paulo antequam Joannes imperator moreretur, patriarcha Manuel vitam finierat), nec absque patriarcha imperatoris coronatio in sacro templo confici posset, dignus ea provincia et honore conquirebatur. Plurimorum suffragiis in Nicephorum Blemmidam, præceptorem meum et philosophicorum sermonum ac dogmatum institutorem, virum et litteris et virtute perquam celebrem, et qui juvenis adhuc atque tenella ætate jugum monasticæ vitæ tulerat, respiciebant, licet nonnullorum, et maxime primatum, invidentia non modo tantæ virtutis lumen occuluerat, sed et vitia quædam homini appinxerat. Hunc imperator Theodorus diligebat, cui jucundissimus erat, quippe qui sermonum, quibus summopere delectabatur, magistrum cum sibi adsciverat: sapientiæ enim culmen et re vera attigerat imperator. Ille ad tantam rem segnior esse, et imperator etiam ipse non impense nimis urgere, cui magis volupe erat ab eo similem

[49] D : Ὃς τὴν νενομισμένην ὁσίαν ἀποδοὺς τῷ πατρὶ καὶ ἐπ' ἀσπίδος φημισθεὶς, τοῦ Νυμφαίου ἀπάρας πρὸς τὴν Φιλαδέλφου ἀφίκετο. Καὶ ἐκεῖσε διακαρτερήσας μικρὸν καὶ περὶ τὴν Βιθυνῶν χωρεῖ. Καὶ ἐπεὶ ἐχήρευεν ἡ Ἐκκλησία (προτέθνηκε γὰρ τοῦ βασιλέως ὁ πατριάρχης Μανουὴλ), Ἀρσενίου τινα μοναχὸν ἐξ Ἀπολλωνιάδος λίμνης μεταπεμψάμενος χειροτονεῖ πατριάρχην, ὃς καὶ μονημέρως διάκονος καὶ ἱερεὺς καὶ πατριάρχης τετέλεστο. Καὶ παρ' αὐτοῦ στεφθεὶς ἔξεισιν.

Theodori Dousæ et Leonis Allatii notæ.

(18) *Φημισθεὶς αὐτοκράτωρ.* Quamvis enim imperium jure hæreditario ad Theodorum Lascarim veniret, quia is a patre vivente non appellatus fuerat imperator, eo defuncto communi totius exercitus consensu ac nobilium omnium ac procerum concursu imperator salutatur : constabat enim Joannem nemini omnium nisi filio imperium relinquere voluisse, quod et pius esset in liberos et nemini alteri id destinaret. Quare autem filium vivens nullo modo designare voluerit, pluribus prosequitur Gregoras, lib. III, qui subdit : Ἀνηγόρευτο δ' ὕστερον παρ' ἐχόντων τῶν ὑπηκόων ἁπάντων καθεσθεὶς ἐπ' ἀσπίδος κατὰ τὸ ἐν τούτοις ἐπικρατοῦν ἔθος. ALL.

(16) *Ἐχήρευε τοῦ πατριαρχοῦντος.* Gregoras, p. 55. ALL.

(20) *Πολλοῖς ἐπὶ τῷ Βλεμμύδῃ.* Gregoras, p. 55. Acropolita Manuelem vocat patriarcham demortuum, Gregoras Germanum : sed de his nos alibi egimus. ALL.

dignitatem non recipi. Reges scilicet eos qui patriarchatui **113** præsint moribus ac ingenio abjectiores moderatioresque, ut facilius eorum nutibus veluti jussis succumbant, peroptant, quod rusticioribus, cum sermonibus fidere nequeant, potissimum accidit: qui vero sapientiæ operam navant, rigidiores videntur et illorum jussibus adversantur. Propterea imperator Theodorus illius mente sensuque leviter degustato ad alios se convertit, et cum plures non satisfacerent, monachum quemdam ex Apolloniadis lacu, præter paucas litteras cæterorum inscientem (solum enim rudimenta grammatices attigerat), nullis sacris ordinibus insignitum, Arsenium nomine, accersitum quam celerrime missis hominibus conduxit: nec ille renuit. Et Nicæa exire festinans præsulibus, ut quamprimum eum patriarcham efficerent, imperat. Illi audientes per unam hebdomadam diaconum, sacerdotem et patriarcham consecrant.

A νεν. Οὐ μὴν ἀλλὰ καὶ ὁ βασιλεὺς αὐτὸς μαλακώτερον αὐτοῦ ἐπειρᾶτο· μᾶλλον γὰρ πρὸς βουλήσεως ἦν αὐτῷ τὴν προστασίαν μὴ καταδέξεσθαι. Ταπεινοτέρους γὰρ καὶ μετρίους εἶναι τὸ φρόνημα τοὺς πατριαρχεύοντας οἱ κρατοῦντες ἐθέλουσι, καὶ προσπίπτειν εὐχερῶς τοῖς σφῶν αὐτῶν βουλήμασιν ὡς προστάγμασιν. Τοῦτο δὲ μᾶλλον οἱ ἀγροικότεροι πάσχουσιν· οὐδὲ γὰρ ἔχουσι τοῖς λόγοις θαῤῥεῖν, οἱ δὲ περὶ λόγους ἀκαμπέστεροι φαίνενται καὶ τοῖς ἐκείνων ὁρισμοῖς ἀντιπίπτουσιν. Ὁ γοῦν βασιλεὺς Θεόδωρος διὰ ταῦτα μικράν τινα πεῖραν λαβὼν τοῦ ἀνδρὸς ἐφ' ἑτέρους ἐτράπετο. Καὶ ἐπεὶ δυσαρεστῶν ἐτύγχανεν ἐν πολλοῖς, μοναχόν τινα (21) εἶναι μαθὼν ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ ὀλίγων γραμμάτων πεῖραν ἔχοντα (μόνον καὶ γὰρ ἐφήψατο τῆς γραμματικῆς παιδείας), ἀνίερον τελοῦντα καὶ Ἀρσένιον ὀνομαζόμενον, ὡς εἶχε τάχους, στέλλει τοὺς αὐτὸν ἄξοντας. Καὶ ὃς ἀφίκετο. Ἐπεὶ δὲ τὴν ἀπὸ τῆς Νικαίας ἔξοδον ἔσπευδε, διὰ τάχους τοῖς ἀρχιερεῦσι προστάττει χειροτονῆσαι [P. 58] πατριάρχην αὐτὸν ὁ βασιλεὺς, οἳ καὶ οὕτως διεπράξαντο, ἐν μιᾷ ἑβδομάδι (22) διάκονον καὶ ἱερέα καὶ πατριάρχην αὐτὸν ἐκτελέσαντες.

54. Causa vero exitum Nicæa sollicitandi ea fuit. Bulgarorum princeps Michael, uxoris Theodori imperatoris frater, socero illius Joanni Asano ex Angeli Theodori filia susceptus, Joannis imperatoris obitu nuntiato, cum occiduas partes imperatoriis copiis nudas orbasque conspiceret, animoque **114** agitasset regionem et in ea oppida ab imperatore Joanne Bulgaris surrepta ad Bulgarorum rursus dominatum, quod jam diu Bulgarorum cordi inhæserat, revocare, rem pro tempore opportunam, ut sibi videbatur, ratus, Hæmo prodiens transnatatoque Hebro paucissimo tempore multarum regionum potitus est, multaque oppida nullo cum labore sibi devinxit, Bulgari siquidem habitatores externorum jugo dejecto generis consortibus accurrebant. Arces solo Romanorum præsidio munitæ cum ad repellendos hostium impetus non sufficerent, in potestatem Bulgarorum nullo negotio ceciderunt, partim timore perculsis et deditionem arcium pro salute et domum abitione prodentibus, partim repentinæ Bulgarorum irruptioni, cum obviam ire non possent, aufugientibus easque custodibus vacuas deserentibus, aliis etiam temporis longinquitate defessis, cum præter modum custodiæ terminus illis protraheretur. Pleræque etiam arcium imperfectæ, viris et reliquis necessariis parum munitæ, præda hostibus patuerunt. E vestigio itaque expugnatæ sunt Stenimachus, Peristitza, Cryzimus,

νδ'. Ἡ δὲ αἰτία [41] τοῦ ἐπισπεύδειν τὴν ἀπὸ τῆς Νικαίας ἔξοδον ἦν αὕτη. Ὁ Βουλγαράρχης Μιχαὴλ, ὃς γυναικάδελφος τοῦ βασιλέως ἐτύγχανε Θεοδώρου, τῷ πενθερῷ αὐτοῦ τῷ Ἀσὰν Ἰωάννῃ ἐκ τῆς τοῦ Ἀγγέλου Θεοδώρου θυγατρὸς γενηθεὶς, τὸν τοῦ βασιλέως Ἰωάννου πυθόμενος θάνατον, ἐπεὶ τὰ δυτικὰ μέρη γυμνὰ στρατευμάτων ἐώρα Ῥωμαϊκῶν, βουληθεὶς τὴν ἀφῃρημένην πρὸς τοῦ βασιλέως Ἰωάννου χώραν ἐκ Βουλγάρων καὶ τὰ ἐν τούτοις ἄστη πρὸς Βουλγαρικὴν ἀρχὴν καὶ αὖθις ἀναλαβέσθαι (τοῦτο γὰρ ἐκ μακροῦ τοῖς Βουλγάροις ὠδίνετο) καὶ τὸν καιρὸν, ὡς ἐδόκει, κατιδὼν ἐπιτήδειον, ἐξορμήσας (23) τοῦ Αἵμου καὶ τὸν Ἔβρον διαπεράσας ἐν οὐ πολλῷ χρόνῳ πολλήν τε χώραν ὑφ' ἑαυτὸν ἐποιήσατο πολλά τε ἄστη σὺν οὐδενὶ παρεστήσατο πόνῳ. Βούλγαροι γὰρ τυγχάνοντες οἱ οἰκήτορες τοῖς ὁμοφύλοις προσέτρεχον, τὸν ζυγὸν τῶν ἀλλογλώσσων ἀποσειόμενοι. Τὰ δὲ ἄστη μετὰ τῶν Ῥωμαϊκῶν καὶ μόνων ἀπολελειμμένα φυλάξεων, οὐκ ἀξίων τοιούτοις καιροῖς ἀντιμάχεσθαι, εὐχείρωτα τοῖς Βουλγάροις ὑπῆρχε, τῶν μὲν πτοίᾳ ταραττομένων καὶ προδιδόντων τὰ ἄστη καὶ λαμβανόντων τὴν πρὸς τὰ οἰκεῖ ἐλευθερίαν, τῶν δὲ πρὸς τὴν ἐξαπίνης γεγενημένην τῶν Βουλγάρων ἔφοδον μηδὲν ἐχόντων ἐκ τοῦ προχείρου νοῆσαι λυσιτελοῦν, ἀποδιδρασκόντων καὶ ταῦτα ἔρημα τῶν φυλαττόντων ἀπολιμπανόντων, ἄλλων δὲ ἴσως καὶ χρόνῳ ἀποκαμόντων, παραταθέντος αὐτοῖς παρὰ τὸ μέτρον τοῦ χρόνου τῆς φυλα-

[41] D: Ὁ γὰρ Βουλγαράρχης Μιχαὴλ, ὁ τούτου γυναικάδελφος, τὸν τοῦ βασιλέως Ἰωάννου πυθόμενος θάνατον, ἐπὶ τὰ δυτικὰ μέρη γυμνὰ στρατευμάτων ἐώρα, βουληθεὶς τὰ ἀφῃρημένα ἐκ τούτων ἄστη ἀναλαβέσθαι, τὸν Εὖρον διαπεράσας πολλὰ ὑφ' ἑαυτὸν ἐποιήσατο. Μετατέθη μὲν οὖν ὁ Στενίμαχος, Περιστίτζα, Κριτζιμὸς, Τζέπαινα καὶ τὰ ἐν τῇ Ἀχριδῷ ξύμπαντα πλὴν Μνιάκου· τοῦτο γὰρ καὶ μόνον ὑπὸ Ῥωμαίων πεφύλακτο. Οὔστρα δὲ καὶ Περπεράκιον καὶ Κρυβοὺς καὶ τὸ παρακείμενον τῇ τοῦ Ἀδριανοῦ καὶ κεκλημένον Ἐφραὶμ τοῖς Βουλγάροις κεχείρωτο. Τούτου χάριν ἔσπευδε.

Theodori Dousæ et Leonis Allatii notæ.

(21) *Μοναχόν τινα.* Gregoras, p. 55. ALL.

(22) *Ἐν μιᾷ ἑβδομάδι.* Hîjus ordinationem per hebdomadam absolutam, uti non ita usitatam in ea Ecclesia, narrat Acropolita, de qua nos egimus in tractatu *De ordinationibus Græcorum.* ALL.

(23) *Ἐξορμήσας.* Gregoras, lib. III, p. 53. ALL.

κῆς. Τὰ πλείω δὲ τῶν ἄστεων καὶ ἀπεριποίητα ἦν καὶ τῶν χρειωδῶν ὅπλων ἄμοιρα. Κατεσχέθη μὲν οὖν ἐκτοῦ παραυτίκα Στενίμαχος, Πριστίτζα, Κρυτζιμὸς, Τζέπαινα καὶ τὰ ἐν τῇ Ἀχριδῷ ξύμπαντα πλὴν Μνειάκου· τοῦτο γὰρ καὶ μόνον ὑπὸ Ῥωμαίων πεφύλακται. Οὔστρα δὲ καὶ Περπερακιον καὶ Κρυβοῦς καὶ τὸ παρακείμενον τῇ τοῦ Ἀδριανοῦ καὶ κεκλημένον Ἐφραὶμ τοῖς Βουλγάροις κεχείρωται. Τούτων οὕτω γεγενημένων καὶ τῶν ἐν δυσμαῖς Ῥωμαϊκῶν κλονουμένων πραγμάτων, τῆς φήμης μέχρι καὶ ἐς βασιλέως ἐπιδρομούσης καὶ πλειόνων προσδοκίαν κακῶν τῶν προσόντων φαντασίαν παρεχομένης, οἱ περὶ τὰ βασίλεια οὐ μικρῶς ἐταράχθησαν· ἠπίσταντο γὰρ ὡς τὰ πλείω τῶν δυτικῶν μερῶν Βουλγάροις οἰκοῦνται, καὶ ἀποστατήσουσι πάλαι Ῥωμαίων, προσφάτως δὲ χειρωθεῖσι τῷ βασιλεῖ Ἰωάννῃ, καὶ οὔπω πῆξιν τῆς χειρώσεως λαβούσης, ἔχθραν δὲ ἀεὶ πρὸς Ῥωμαίους ἐνδομυχοῦσι.

A Tzepæna et Achridis præter Mniacum, quod vel solum Romanis devotum perseveraverat, omnia. Præterea Ustra, Perperacium, Cribus et quod Adrianopoli adjacet, Ephrem, Bulgaris cessere. Hæc ubi ita facta sunt, et in occiduis partibus rebus Romanorum in discrimen adactis, cum fama ad imperatoris etiam aures pervolasset, **115** et præsentibus malis atrociora inde ventura repræsentasset, qui in aula erant, nimis conturbati sunt, quippe qui scirent potissimam Occidentis partem in Bulgaros esse propensam, tanquam quæ a Romanis jampridem defecisset, et recenter a Joanne imperatore debellata nondum solida ac firma in dominio constaret, sed continua in Romanos odia clanculum exerceret.

νε'. Διὰ ταῦτα [a] καὶ αὐτὸς ὁ βασιλεὺς ἠδημόνει τοῖς πράγμασιν, εἰ οὕτω κατ' ἀρχὰς τῆς ἐξουσίας [P. 59] αὐτοῦ δυστυχῶς πράττει. Συναθροίσας οὖν τοὺς ἐν τέλει καὶ τοὺς εἰς στρατηγοὺς τεταγμένους, σὺν οἷς καὶ οἱ πρὸς πάππου αὐτοῦ τοῦ βασιλέως Θεοδώρου ὑπῆρχον αὐτῷ θεῖοι, ὅ τε Μανουὴλ καὶ ὁ Μιχαὴλ, ἐβουλεύσατο τί ἂν ἔχοι πρὸς τὰ γεγενημένα διαπράττεσθαι. Οἱ μὲν οὖν πλείους διαπερᾶσαι τὸν βασιλέα τὸν Ἑλλήσποντον δέον ἔλεγον εἶναι καὶ στῆσαι τὴν τῶν Βουλγάρων φοράν. Τοῦτο δὲ τοῖς τοῦ κρατοῦντος θείοις τοῖς προειρημένοις οὐκ ἤρεσκεν, οἷς καὶ προσεῖχε μᾶλλον ὁ βασιλεὺς, πολλῶν ἕνεκα. Ἥ τε γὰρ γνησιότης τοῦ γένους ἠνάγκαζε καὶ τὸ τῆς ἡλικίας γηραιὸν παρεβίαζεν, οὐχ ἧττον δὲ πρὸς τοῦτο καὶ τὸ πολλῶν πραγμάτων ἔδρις αὐτοὺς γίνεσθαι παρέπειθε· φυγάδες γὰρ οὗτοι γεγονότες τῆς τοῦ βασιλέως Ἰωάννου διακρατήσεως πολλοῖς προσωμίλησαν δεσπόταις καὶ εἰς διαφόρους περιεπλανήθησαν τόπους, κἀντεῦθεν, κατὰ τὴν ποίησιν, εἶδον ἄστεα καὶ νόον ἔγνωσαν. Καὶ ἦσαν μὲν ὡς ἀληθῶς οὗτοι νοήμονες, οὐκ ὀρθὰ δὲ ἐφρόνουν τοῖς τῶν Ῥωμαίων πράγμασιν, αἰτίαν ἔχοντες τὸ παρευδοκιμηθῆναι τὰ πρῶτα παρὰ τοῦ ἀδελφοῦ καὶ βασιλέως, μηδενὸς αὐτῶν εἰς ἀξίαν ἀνηγμένου βασιλέως ἀδελφοῖς διαπρέπουσαν. Εἶτα καὶ παρὰ τοῦ γαμβροῦ καὶ βασιλέως καὶ φυγαδίαι τῆς Ῥωμαίων γεγενημένοι πρὸς αὐτοὺς ἐδυσμέναινον. Καὶ ταῦτα μὲν ἴσως ἐρεῖ τις αἴτια εἶναι, τὸ δὲ ἀληθὲς τὰ τῶν ἀνθρώπων ἤθη ἀδέβαια ὄντα καὶ ἄστατα τοιούτους τυγχάνειν ἐποίουν. Καὶ ταῦτα μὲν οὐ διελάνθανεν οὐδὲ τὸν βασιλέα Θεόδωρον· τέως οὖν ὡς οἰκείους τοῦ αἵματος καὶ τὸ τιμᾷν αὐτοὺς διὰ παντὸς προελόμενος ἐχρᾶτο πρὸς συμβουλάς. Ὑπετίθεντο γοῦν οὗτοι ὡς οὐ χρεὼν τὸν βασιλέα διαπερᾶσαι πρὸς τὴν δυσμὴν, ὅτι τε κακῶς πράττει τὰ τοιαῦτα μέρη, καὶ ὡς νοσεῖ σχεδὸν ἀθεράπευτα, στράτευμά τε μὴ ἔχειν τὸν βασιλέα προσῆκον πράξει βασιλικῇ· ὁ γὰρ χειμὼν ἐκώλυε τὴν συνάθροισιν τῶν δυνάμεων. Καὶ

A γὰρ μόνον τοὺς τεταγμένους ὁπαδεῖν προσέτατεν, ἀλλὰ καὶ τοὺς μηδ' ὅλως ἐν τάξει ποτὲ τελοῦντας τῆς στρατιᾶς. Αὐτίκα γὰρ τοὺς ἐξυπηρετοῦντας τοῖς βασιλεῦσιν ἐν θήραις [ταῖς τῶν θηρῶν ἄγραις] ἐλάφων τε καὶ [P. 68] χοίρων, καὶ τοὺς δι' ἱεράκων θηρεύοντας, πάντας ἁπαξαπλῶς στρατιωτικοῖς συντέταχε τάγμασι. Καὶ ἦν τὸ συνηγμένον πλῆθος πολὺ, καὶ ἡ τοῦ κρατοῦντος δὲ ἀρχὴ ἠνάγκαζε τοὺς πλείους τῶν εἰωθότων φέρειν τι περιττότερον. Οὕτω γοῦν πᾶσαν συναγηοχήκει τὴν στρατιάν. Ὡς δὲ καὶ τὸν Περσάρχην (29) μὴ πράγματα ἔχειν παρὰ τῶν Ταχαρίων πρεσβεῖαν ἐξαποστείλας ἐμεμαθήκει, κατευθὺ πρὸς τὴν δυσμὴν ἐκ τῆς ἕω ἐχώρει· καλῶς γὰρ ἔχειν τὸν Περσάρχην τῶν ἐκείνου πραγμάτων οἰόμενος καὶ ἀσφαλῶς μένειν, οὐδ' ὅλως περὶ τῇ αὐτοῦ

B κατὰ τὴν ἕω ἐδείδει ἀρχῇ. Τὴν πᾶσαν γοῦν συνηθροικὼς στρατιὰν μείζονα τῶν ποτε παρά τε τοῦ πατρὸς αὐτοῦ βασιλέως καὶ τούτου συνειλεγμένων εἰς τὸ διαπεραιωθῆναι τὸν Ἑλλήσποντον ἀφίκετο εἰς τὴν Λάμψακον, ἐλπίσας καὶ τοὺς κατὰ τὸ Διδυμότοιχον καταλελειμμένους σώους τε εὑρεῖν κατὰ τὰ προστεταγμένα τούτοις καὶ οὐ μικρὰν προσθήκην τῇ ὁμῷ' αὐτὸν στρατιᾷ ἐμποιήσασθαι. Τοὺς δὲ κακοβουλίᾳ καὶ τὸ παρακοῦσαι τῆς βασιλικῆς κελεύσεως ἔσφηλεν. Ἐπεὶ γὰρ ὁ τῶν Βουλγάρων ἄρχων μακρότερον διάγειν τὸν βασιλέα ἐγίνωσκε, Σκυθικὸν στράτευμα εἰς σφετέραν συμμαχίαν προσκαλεσάμενος κατὰ τῶν τῆς Μακεδονίας χώρων ἐκπέμπει κέρδους τε χάριν καὶ τῆς πρὸς Ῥωμαίους τινὸς ἐκ-

C φοβήσεως. Ἠρίθμηντο δὲ περί που τὰς τέσσαρας χιλιάδας, ὡς οἱ εἰδότες ἔφασκον Σκύθαι. Τινὲς μὲν οὖν καὶ πλείους, οἱ δὲ καὶ ἐλάττους ἔλεγον. Οἱ μὲν οὖν Σκύθαι τὴν Ἀδριανοῦ παραμείψαντες τὰ περὶ τὸν ποταμὸν οὗ Ῥηγίνα τοὔνομα λείαν ἐποιοῦντο, καὶ τὰ πέριξ τοῦ Διδυμοτοίχου χωρία ἐσκύλευον. Οἱ δὲ προλελεγμένοι στρατάρχαι τοῦ εἰς τὸ Διδυμότοιχον καταλελειμμένου στρατεύματος, τῶν βασιλικῶν ἐπιλελησμένοι προστάξεων, καθοπλισθέντες κατὰ τῶν Σκυθῶν ἐφώρμησαν. Οἱ μὲν οὖν Ῥωμαῖοι, οἷα ἔθος αὐτοῖς, δυσαχθέσιν ὅπλοις κατάφρακτοι ἦσαν, οἱ δὲ Σκύθαι κοῦφοι ὁπλῖται (30) καὶ τόξοις χρώμενοι. Μακρόθεν οὖν οὗτοι τοῖς βέλεσι τοὺς Ῥωμαίους ἔβαλλον καὶ τοὺς ἵππους ἐτίτρωσκον καὶ πεζοὺς τοὺς ἱππότας ῥᾳδίως ἐποίουν, καὶ τέλος τρέπουσιν. Ὁ

D μὲν οὖν Μανουὴλ ὁ Λάσκαρις ταχύτατον ἔχων τὸν ἵππον, ὃν καὶ Χρυσοπόδην ἐκάλεσε, φυγᾷ; εἰς τὴν Ἀδριανοῦ ᾤχετο· ὁ δὲ Μαργαρίτης Κωνσταντῖνος ἐάλω, καὶ ἄλλοι πολλοὶ μετ' αὐτοῦ τῶν εἰς κεφαλὰς τεταγμένων τῆς στρατιᾶς, οὓς καὶ ἀπημπόλησαν

Theodori Dousæ et Leonis Allatii notæ.

(29) *Τὸν Περσάρχην*. Gregoras, p. 56, ait fœdus cum Turcis, quod pater percusserat, renovasse. ALL.

(30) *Καὶ ἦσαν ὁπλοις κατάφρακτοι, οἱ δὲ Σκύθαι κοῦφοι ὁπλῖται*. Romanos milites induxit etiam supra gravi armatura munitos et propterea inhabiles, contra Scythas levibus armis expeditos succinctosque, ubi Balduinum a Scythico equitatu circumventum captumque scribit. Herodianus, lib. VII, in expeditione quadam Maximini adversus Germanos, hoc eodem pene cum militiæ genere usum tradit : Μάλιστα δὲ οἱ ἀκοντισταὶ καὶ οἱ τοξόται πρὸς τὰς Γερμανῶν μάχας ἐπιτήδειοι δοκοῦσιν, ἐπιτρέχοντές τε αὐτοῖς κούφως οὐ προσδοκῶσι καὶ ἀναχωροῦντες ῥᾳδίως : *Caterum jaculatores sagittariique gerendo adversus Germanos bello magnopere idonei videntur, siquidem expediti hostem opprimunt incautum, facileque rursus in tutum se recipiunt*. Jaculatores hos domo Mauros, Osrhoenos, Armenios que et Parthos fuisse, ibidem auctor innuit. Eodem militiæ seu malitiæ genere Balduinus imperator a Scythico equitatu circumventus oppressusque videtur. DOUSA.

τοῖς Βουλγάροις οἱ Σκύθαι. Ὁ μὲν οὖν βασιλεὺς τὰ περὶ τούτου μαθὼν ἡνιάθη, ἔσπευσε δὲ διὰ τάχους ἐπὶ τὸν τοῦ Βουλγαροφύγου χῶρον ἐλθεῖν, καὶ ἐπιτείνας τὸν δρόμον ὀξυτέραν ἐποίει τὴν κίνησιν. Ἐπεὶ δὲ καὶ οἱ πευστῆρες ἔφασκον ἐγγὺς τυγχάνειν τὸ Σκυθικὸν στράτευμα, ἔνθα αὐτοὺς περιπολεῖν ἔλεγον, ἐκεῖσε καὶ πᾶσαν ἐκίνει τὴν στρατιάν. Καὶ ἡμέρας μὲν μιᾶς πλείους τῶν τετρακοσίων διεξῆει [P. 69] σταθμούς, οὐκ ἐνέκυρσε δὲ τούτοις· ἐμεμαθήκεσαν γὰρ (31) καὶ οὗτοι τὴν ταχεῖαν τοῦ βασιλέως ἔφοδον, καὶ ὡς εἶχον ποδῶν ἔφυγον, καὶ πλείους δὲ ἐξ αὐτῶν καὶ περιφανέστεροι τοῦ ἔθνους περί που τὰ μέρη τῆς Βιζύης ξίφους ἔργον ἐγένοντο. Ἀποτυχὼν γοῦν τῆς ἐγχειρήσεως ταύτης ὁ βασιλεὺς περὶ τὸν ποταμὸν ὃς Ῥηγίνα καλεῖται τὴν σκηνὴν ἔπηξε, καὶ πᾶσαν ἐκεῖσε συνῆξε τὴν στρατιὰν εἰς πλῆθος οὖσαν πολύ.

A enim adventu imperatoris cognito, citato cursu fugam arripuerunt, et plerique eorum et nationis celebriores circum Bizyæ loca trucidati sunt. Spe frustratus imperator ad fluvium cui Reginæ nomen castra metatur, ibique universum cogit exercitum, insolentem sane atque amplissimum.

ξβ'. Ὁ μὲν τῶν [49] Βουλγάρων (32) ἀρχών, ἐπειδὴ μὴ διαπράξασθαί τι κατὰ Ῥωμαίων ἐδεδύνητο τοῦ βασιλέως ἐπιδεδημηκότος μετὰ τοσούτων στρατευμάτων ἐν τῇ δυσμῇ καὶ πεπλησιακότος τῇ ἑαυτοῦ, εἰς σπονδὰς ἐτράπετο, καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ῥῶσον Οὖρον, τοῦ ῥηγὸς Οὐγγρίας ἐπὶ θυγατρὶ τελοῦντα γαμβρὸν, μεσιτεῦσαι τὰ εἰς εἰρήνην βεβούλευται. Καὶ πρῶτα μὲν ἔστειλε πρέσβεις πρὸς τὸν βασιλέα προοικονομήσοντας τὴν εἰς αὐτὸν τοῦ Οὖρου ἄφιξιν ἔξω πτοίας τε εἶναι καὶ ἐντίμως πρὸς τοῦ βασιλέως δεχθῆναι. Καὶ γέγονε ταῦτα, καὶ ὁ Οὖρος εἰς τὸν βασιλέα ἀφίκετο. Ἐδέχθη γοῦν παρὰ τοῦ αὐτοκράτορος ἀσμένως τε καὶ μετὰ τῆς προσηκούσης φιλοτιμήσεως καὶ οὗτός τε καὶ οἱ μετ' αὐτοῦ, καὶ τὴν εἰρήνην πεποίηκεν ἐπομοσάμενος δικαίῳ τε αὐτοῦ καὶ τοῦ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος, ἀπολυθῆναι μὲν πρὸς αὐτὸν βασιλέα τὸ τῆς Τζεπσίνης ἄστυ (τοῦτο γὰρ καὶ μόνον παρὰ τῶν Βουλγάρων κατείχετο ἀφ' ὧν ὁ βασιλεὺς Ἰωάννης ἐκράτει), εἰρήνην τε πρὸς τοὺς Βουλγάρους ἔχειν τὸν βασιλέα, καὶ ἑκάτερα τὰ μέρη τοῖς παλαιτέροις ὁρίοις ἀρκεῖσθαι. Ἐπεὶ γοῦν οὑτωσὶ ταυτὶ κατὰ γνώμην τετέλεσται τῷ κρατοῦντι, ὁ μὲν Οὖρος τοὺς τῆς ἀποχωρήσεως ἐξειπὼν λόγους ἐξῆει βασιλικῶν χαρισμάτων τυχὼν (τὰ δ' ἦσαν εἰς εἴκοσι χιλιάδας ἀπαριθμούμενα ἁπάντων συνεισαγομένων εἰδῶν, ἵππων τε καὶ ὑφασμάτων καὶ λοιπῶν), ὁ δὲ βασιλεὺς διεχαρτέρει ἐν τῷ τῆς Ῥηγίνης τόπῳ, τὴν τῆς Τζεπαίνης περιμένων ἀπόλυσιν.

62. Bulgarorum interim princeps, ubi adversum Romanos imperatoris cum tam ubere milite in Occidentem accessu illiusque vicinitate proficere quicquam non posset, amicitiam et fœdus petiit, et Rosum Urum socrum, Ungariæ regis generum, cujus arbitratu communibus negotiis consuleretur, destinat. Primum tamen legati ad imperatorem præmissi, profectionem ad eum Uri, ut absque timore esset, quin etiam ut ille honorifice exciperetur, præparant. Et profecto ita se res habuit, et Urus ad imperatorem se contulit. Ipse, et alii qui cum eo accesserant, lubentissime et debitis honoribus ab imperatore afficiuntur; quare suo et generi Bulgarorum principis jure 135 etiam jurejurando pacem firmavit, ea conditione ut Tzepænæ oppidum solum ex iis, quæ sub ditione Joannis imperatoris erant, a Bulgaris tum occupatum imperatori restitueretur, imperator vice versa amicitiam et pacem cum Bulgaris continuaret, et uterque antiquis confinium terminis contineretur. Ubi res pro arbitratu imperatoris successit, Urus de reditu sermone collato egreditur imperatoriis muneribus auctus. Eorum ad viginti millia, si donariorum omne genus, equorum item ac textilium et aliorum, in unum conferas, summa ascendit. Imperator Tzepænæ restitutionem exspectans Reginæ cunctabatur.

ξγ'. Συμβέβηκε [50] δέ τι ἐν τούτοις τῷ τότε πρᾶγμα θαυμάσιον, μνήμης καὶ ἱστορίας ἄξιον. Ἡμέρα ἦν τῶν ἐπιφανῶν τε καὶ ἑορτασίμων καθ' ἣν τὴν τοῦ Χριστοῦ μεταμόρφωσιν οἱ εὐσεβεῖς ἑορτάζομεν· καὶ ἐπεὶ ἔδει καὶ ἀμφὶ τὴν ἱερὰν μυσταγωγίαν, ὡς τὸ εἰωθὸς, παρεῖναι τὸν βασιλέα, εἰς ἀρίαν ὁ τοῦ ἀρίστου παρετάθη καιρός. Ἠριστήσαμεν γοῦν καὶ αὐτοὶ, καὶ μικρόν τι καθευδήσαντες, ἀνηγέρθημεν· ἤδη δὲ ὁ ἥλιος τῷ ὁρίζοντι προσήγγιζε τῆς δυσμῆς. Ἔθος δὲ ὑπῆρχε τῷ βασιλεῖ περὶ δείλην ἑσπέραν

63. Per id tempus res quidem dictu mira contigit, digna quæ hominum memoriæ et historicis monumentis commendetur. Dies erat solemnis et ex celebrioribus, quo Christi transfigurationem pii nos celebramus; et cum sacro audiendo, ut moris erat, imperator adesse deberet, in diei vesperam prandium dilatum est. Prandimus et ipsi, paulisper obdormimus, dein somno experrecti assurgimus, cum sol se in occasum præcipitaret. Soleverat imperator nimis sero inequitans universum circumire

[49] D: Ὁ γοῦν τῶν Βουλγάρων ἄρχων πτοίᾳ ληφθεὶς εἰς σπονδὰς ἐτράπετο, καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ῥῶσον Οὖρον, τοῦ ῥηγὸς Οὐγγρίας ἐπὶ θυγατρὶ τελοῦντα γαμβρὸν, μεσιτεῦσαι τὰς ἐς εἰρήνην βεβούλευται. Καὶ ὁ Οὖρος εἰς τὸν βασιλέα ἀφίκετο, καὶ ἐδέχθη προσηκόντως, καὶ τὴν εἰρήνην πεποίηκεν, καὶ ὤμοσεν ἀπολυθῆναι τὴν Τζέπαιναν καὶ ἑκάτερα τὰ μέρη τοῖς παλαιτέροις ὁρίοις ἀρκεῖσθαι. Καὶ ἐς εἴκοσι χιλιάδας βασιλικῶν χαρισμάτων ὁ Οὖρος τυχὼν ἐξῆει. Ὁ δὲ βασιλεὺς διεχαρτέρει τὴν τῆς Τζεπαίνης περιμένων ἀπόλυσιν. [50] Συμβέβηκε *usque ad* σκοποῦ (*col.* 1152 D 4) om. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(31) *Ἐμεμαθήκεσαν γάρ.* Gregoras, p. 56. ALL.
(32) *Ὁ μὲν τῶν Βουλγάρων.* Gregoras, p. 56. ALL.

exercitum, in cujus confine æquum et paululum e planitie assurgentem locum ascendere, indeque universum exercitum lustrare, quem « urbem se moventem cæterasque alias Romanas urbes tutantem » nominabat; hocque ita patrabat continuo, **136** et licet vesperugo in occasum sese immergeret, ipse nihilominus id idem neque segnis præstabat. Castrorum intervallum quadraginta stadia, nisi etiam plura addere velimus, exæquabat. Ego itaque, Deo tunc mihi irato, imperatoris nimium amans ac stolidus, ubi imperatorem equo vehi accepi, in mulam propere saliens contento cursu sequebar, temporis inopportunum, quod utique debebam, minime conspicatus. Imperator equo vectus cursum rapere. Mox me subsequentem conspiciens cursui imparem, suspicatus, si longius ipse processisset, non secuturum, dixit, « Cave, cursum contineas, sequere tamen commodius. » Ille in sueta sibi loca advehitur; proceres ac viri illustres itineris comites, quibuscum et ipse conveneram, undique eum constipantes adstant. Tunc imperator, « Cognovistine », inquit, « quæ nobis nuper nuntiata sunt? » Nos, « Minime, imperator, » diximus. Et imperator: « Quidam ante paucissimum tempus adveniens, quod sane nobis displicet, nuntiavit, Rosum Urum nobis fucum fecisse. Lucri enim causa huc veniens pacem et amicitiam, quam inter nos et Bulgaros meditatus est, fefellit et pejeravit. Quæcunque ergo attentavit, fucus fuere atque fallacia. Nec male compta illi responsio ad jus deerit violandum, Bulgarorum nempe principem, ejus generum, pacem hujuscemodi conditionibus conflatam non recipere. Quid vobis videtur? Verumne est hoc, an verbum a mendace confictum? » Et nos, « Neutiquam, » dicimus, « sermo verus esse videtur: omnino namque falsus **137** est atque incertus. Namque Rosus Urus non pro se ipso modo, sed et pro genero suo Bulgarorum principe juravit. At quonam modo id fieri potest, hominem Christianum tali e perjurio dedecorasse?» Et imperator: « Pecuniarum fortassis aviditas in simile eum flagitium conduxit. Et nos neque Bulgarorum amicitia fruimur, et tantam nummorum vim incassum projecimus. » « Non est, » subdimus nos, « non est hoc veritati consonum, imperator. » Et imperator ad me potissimum conversus: « Tu vero quid ad hæc ais? » Tum ipse: « Non aliter de his judico: aliorum approbo sententiam, fraudemque esse quam maximam potius quam veritatem, quod circumfertur, existimo. Verum si, quod etiam aliquando in nonnullis accidere solet, Urus sacramentum violavit, nobis, ut ipse opinabatur, imponens, attamen Numen ipse sibi iratum, nos vero id pro nobis ipsis veritate justitiaque ipsa decertans

A ἐποχεῖσθαι καὶ σύμπαν διέρχεσθαι τὸ στρατόπεδον, καὶ ἀμφὶ τὸ τούτου τέρμα εἰς τόπον ἀγχώμαλόν πως τελοῦντα καὶ μικρὸν ὑπερανεστηκότα τῆς πεδιάδος ἀνέρχεσθαι, [P. 70] καὶ τὴν ὅλην καθορᾷν στρατιάν, ἣν καὶ πόλιν κινουμένην (33) ὠνόμαζε, πάσας τὰς Ῥωμαϊκὰς ἄλλας πόλεις φυλάττουσαν. Τοῦτο δὲ οὕτως ἐποίει διηνεκῶς, καὶ ὁ φωσφόρος δὲ εἴπερ τὸν δυτικὸν εἰσδῦναι ὁρίζοντα ἔμελλεν, οὐ κατώκνει τοῦτο ἐργάζεσθαι. Τὸ δὲ τοῦ στρατοπέδου διάστημα ἀμφὶ που τὰ τεσσαράκοντα στάδια ἦν, εἰ μή γε καὶ πρός.

B Ἐγωγε οὖν οὐκ ἀγαθῇ τότε τύχῃ χρησάμενος ὁ φιλοβασιλεύς τε καὶ μάταιος, πεπυσμένος ἱππότην εἶναι τὸν βασιλέα, τῆς ἡμιόνου ὡς εἶχον τάχους ἐπιβὰς δρομαῖος ἐφειπόμην αὐτῷ, οὐ τὸ τῆς ὥρας ἄωρον κατοπτεύσας, ὅπερ ἔδει. Ἐφ' ἵππου δὲ ὁ βασιλεὺς ἐπιβὰς ταχύτερον ἐπορεύετο, ὡς δὲ εἶδέ με κατόπιν αὐτοῦ μὴ δυνάμενον ἐκείνῳ συνέπεσθαι, ὑπολαβὼν μή πως μακρύνας οὐχ ἕψομαι, εἰρήκει μοι, « Μὴ δλως ἀπολειφθῇς, ἀλλὰ καὶ σχολαιότερον ἔρχου. » Ἀπῆει γοῦν εἰς τὸν συνήθη τόπον, καὶ σὺν αὐτῷ οἱ ἀμφ' αὐτὸν λογάδες συνέστησαν, καὶ αὐτὸς σφίσι συνῆλθον ἑπόμενος, καὶ περιέστημεν κατὰ κύκλον πάντες. Καὶ ὁ βασιλεύς, « Μεμαθήκατε, » φησί, « τῶν προσφάτως ἀπηγγελμένων ἡμῖν; » καὶ ἡμεῖς, « Οὔκουν, ὦ βασιλεῦ. » Καὶ ὁ βασιλεύς, « Ἄνθρωπός τις πρό τινος βραχείας ὥρας ἐλθὼν ἀπήγγειλέ τι τῶν ἀδουλήτων. Τὸ δ' ἦν ὡς ὁ Ῥῶσος Οὖρος ἡμᾶς ἐξηπάτηκε· χάριν γὰρ κέρδους ἐνταυθὶ ἀφιγμένος τὴν μεσιτείαν τῆς εἰρήνης ἐψεύσατο καὶ ἐπίορκον ὤμοσε.

C Φενάκη γοῦν ὑπῆρχε τὰ πάντα ἐκεῖνα ὅσα πεποίηκε, καὶ ἀπολογίαν εὐάφορμον ἔχει, ὡς φασι, πρὸς τὴν τῶν ὅρκων διάλυσιν, ὅτι περ ὁ τῶν Βουλγάρων ἄρχων ὁ τούτου γαμβρὸς τὴν ἐπὶ συμφωνίαις τοιαύταις εἰρήνην οὐ καταδέχεται. Τί οὖν ὑμῖν δοκεῖ; ἆρ' ἀληθές ἐστι τοῦτο, ἢ ῥῆμα πεπλασμένον πρὸς ψευδολόγου; » Καὶ ἡμεῖς, « Οὐδ' ὅλως δοκεῖ πως, » ἔφαμεν, « ἀληθείας τὸν λόγον ἔχεσθαι. Πάνυ γὰρ τυγχάνει οὗτος ψευδὴς καὶ ἀβέβαιος, ὅτι περ ὁ Ῥῶσος Οὖρος οὐ μόνον ὑπὲρ ἑαυτοῦ, ἀλλὰ καὶ ὑπὲρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος ἐπωμόσατο. Πῶς οὖν ἐστι πιφυκὼς ἄνθρωπον ὄντα Χριστιανὸν ἐπιορκίᾳ τοιαύτῃ περιπεσεῖν; » Καὶ ὁ βασιλεύς, « Ἡ τῶν χρημάτων ἴσως ἐπιθυμία παρέπεισεν ἂν αὐτὸν εἰς τοιαύτην ἐξολισθῆσαι κακίαν. Καὶ ἡμεῖς οὐ μόνον

D τὴν τῶν Βουλγάρων ἀγάπην οὐκ ἔχομεν, ἀλλὰ καὶ τοσαῦτα ἐπὶ κενῆς κατηναλώκαμεν χρήματα. » « Οὐμενοῦν, » ἡμεῖς ἔφημεν, « ἀληθῶς τοῦτ' ἀθέστηκε, βασιλεῦ. » Καὶ ὁ βασιλεὺς ἰδίᾳ καὶ πρὸς ἐμέ, « Σὺ δὲ τί φάσκεις πρὸς ταῦτα; » Καὶ αὐτός, « Οὕτωσί πως ἐν τούτοις ὡς καὶ οἱ ἄλλοι διάκειμαι, καὶ ἐπὶ πολὺ μᾶλλον ψεύδεσθαι τὸ λελεγμένον ἢ ἀληθεύειν οἶομαι. Εἰ δὲ, οἷα συμβαίνει ποτὲ καὶ ἐν ἐνίοις, καὶ ὁ Οὖρος οὕτοσὶ τοὺς ὅρκους ἠθετηκέναι βεβούλευται, [P. 71] δόξας ἡμᾶς ἐξηπατηκέναι, ἀλλ' ἔξει

Theodori Dousæ et Leonis Allatii notæ.

(33) *Πόλιν κινουμένην*. Et ante Theodorum Anna Comnena, *Alexiad.* lib. XIII: Καὶ ἦν φοβερὸν θέαμα ἐκεῖνο τὸ σύνταγμα καθάπερ τι πόλεως τεῖχος ἀλλήλοις συνηρμοσμένοι. Lib. XV: Καὶ εἶπες ἂν ἰδὼν πόλιν τινὰ ἔμψυχον πεπυργωμένην πορεύεσθαι κατὰ τὴν εἰρημένην ἐκείνην κινουμένην σύνταξιν. ALL.

μὲν οὗτος τὸ θεῖον καθ' ἑαυτοῦ πολέμιον, ἡμεῖς δὲ ὑπὲρ ἑαυτῶν τῆς ἀληθείας καὶ τοῦ δικαίου ὑπερμαχόμενον.» Ταῦτ' εἴπομεν, καὶ ὁ βασιλεὺς τοῖς λελεγμένοις συνήνεσε. Καὶ ὑποστρέφειν πρὸς τὰς σκηνὰς ἐφωρμήκαμεν· νὺξ γὰρ ἤδη. Ἀλλ' ἡ σελήνη πανσέληνος οὖσα φῶς ἡμῖν παρεῖχεν ὁρᾶν. Καὶ ὁ βασιλεὺς διερχόμενος, « Τί ὑμῖν δοκεῖ περὶ τῶν λελεγμένων; » αὖθις ἠρώτα. Καὶ ἡμεῖς, « Ψευδὲς τοῦτο, ὦ βασιλεῦ. » Τοῦτο δὲ οὐχ ἅπαξ, οὐδὲ δὶς ἢ καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις πυθόμενος ἦν. Καὶ ἡμεῖς τὰς ἀποκρίσεις ἐξ ἴσου πρὸς τὰς πεύσεις πεποιηκότες ἐσιωπῶμεν. Ὁ δὲ καὶ πάλιν ἠρώτα. Ἐπεὶ δὲ τοὺς ἄλλους σιγῶντας ἑώρα, πρός με τὸν λόγον ἀποστρέψας ἠρώτησε, « Σὺ δὲ τί φῃς πρὸς ταῦτα; » τὴν τοῦ ὑφρικίου κλῆσιν προσθείς. « Ἡ τοιαύτη ὑπόθεσις σοὶ ἁρμόττει, καὶ ὡς σὴ καθέστηκε μάλιστα. » Ταυτὶ δὲ ἔλεγε πρόφασιν ὀργῆς ζητῶν ἐφευρεῖν. Ἦν δ' ἐγὼ, « Τίνος χάριν ἐστὶν ἐμή; εἰ γὰρ μὴ καλῶς πεποίηκα τὰς γραφὰς καὶ τοὺς ὅρκους τετέλεκα, μηδὲ προσηκόντως αὐτόν τε καὶ τοὺς ἀμφ' αὐτὸν ᾠκονόμηκα, σφάλμα τοῦτο ἐμὸν καὶ πταῖσμα μακρόν. Εἰ δὲ πρεπόντως ταῦτα γεγένηται καὶ ὡς οὐκ ἄλλως ἐχρῆν, τί πρὸς ἐμὲ τὰ πρ' ἐκείνου πρὸς ἀνατροπὴν τῶν γεγενημένων τελούμενα; » Καὶ ὁ βασιλεὺς οὐκ οἶδ' ὅπως (τὴν γὰρ αἰτίαν εἰρήκειν) πάλιν λέγει, « Τί φῃς περὶ τῶν τοιούτων; » Καὶ αὐτὸς, « Πολλάκις εἰρήκειν, ὦ βασιλεῦ, ὡς ἐπὶ πλέον μοι δοκεῖ τὸ εἰρημένον ψευδὲς, ἐπ' ἔλαττον δὲ ἀληθές. Τὸ δὲ ἐπὶ τοῖς ἀδήλοις ἀκριβῶς ἀποφαίνεσθαι οὔ μοι δοκεῖ ῥᾴον εἶναι. » Ἡ δ' ἐκεῖνος, « Ἐν τοῖς ἀδήλοις ἐστὶ χάρις βεβαίως καὶ ἀληθῶς ἀποφαίνεσθαι· ἐπὶ γὰρ τοῖς δήλοις καὶ οἱ ἀεἰδαροι λέγουσιν. » Ἦν δ' ἐγὼ, « Ἰδοὺ μετὰ τῶν ἀεἰδάρων καὶ ἡμεῖς συντετάγμεθα. » Καὶ ὁ βασιλεὺς χόλου πλησθείς, « Σὺ πάντοτε ἦσθα » ἔφη « μωρὸς, καὶ ἀρτίως πάλιν μωρός. » Καὶ αὐτὸς οὐδέν τι πλέον μὰ τοὺς λόγους ἀνταπεκρίθην, ἀλλ' ἦ, « Ἐγὼ μέν εἰμι μωρὸς, καὶ ἵνα σιωπῶ, οἱ δὲ φρονοῦντες λαλείτωσαν. » Ταῦτ' εἶπον, καὶ ὀργῆς ὁ βασιλεὺς ἁπλέτου πλησθεὶς ἑλκῦσαι μὲν ὥρμησε τὴν σπάθην τοῦ κουλεοῦ, τῆς κώπης ἐπιλαβόμενος. Ἀλλὰ τοῦτο μὲν κατέσχε· μικρὸν γὰρ ταύτην ἀπογυμνώσας πάλιν εἰσῆξε· τῷ μεγάλῳ δὲ δομεστίκῳ αὐτοῦ τῷ Μουζάλωνι Ἀνδρονίκῳ καταβαλεῖν με τοῦ ἵππου προσέταξεν. Καὶ ὃς ἠρέμα πως ἔφη, « Ἔκστηθι τῆς ἐφεστρίδος. » Καὶ αὐτὸς ἀπέβην τῆς ἡμιόνου. Ὁ δὲ χρηστότατος περὶ ἡμᾶς βασιλεὺς τοὺς πολλὰ πρὸς τοῦ πατρὸς αὐτοῦ δι' αὐτὸν πεπονθότας, ὡς ἐν πολλῷ πλήθει καὶ πολλάκις διαπρυσίῳ ἔλεξε τῇ φωνῇ, ὡς « Πολλῶν μοι αἴτιος ἀγαθῶν οὗτος· ὁ ἄνθρωπος γέγονε, » περὶ τῆς λογικῆς; φάσκων παιδείας, [P. 72] « καὶ πολλῶν ὀφειλέτης τούτῳ τυγχάνω, » δυοῖν κορυνοφόροιν προσέταξεν τύπτειν με, χθιζὰ καὶ πρὸ τρίτης τούτους χειροτονήσας, ὡς εἴκοσι τέσσαρας πάντας τὸν ἀριθμὸν, οὐκ οἶδ' εἰ μὴ δι' ἐμὲ, ἵν' εἴη καὶ σκηνὴ τοῦ δράματος εἰς τραγῳδίαν μεμορφωμένη. Καὶ οἱ μὲν ἔτυπτον, ἐγὼ δὲ σιγῇ τὰς τύψεις ἐλάμβανον. Ὃ καὶ μᾶλλον τοῦτον ἐξέμαινεν, ὅτι μηδ' ὅλως πρὸς δεήσεις κάμπτομαι καὶ πληττόμενος. Ἐπεὶ δὲ πολλὰς κατὰ παντὸς ἐδεξάμην τοῦ σώματος,

A habebimus. » Hæc imperator effata approbavit, et quisque nostrum ad tentoria progredi cœperat : namque nox omnia occupaverat, licet luna plena lumine collustraret. Imperator dein præteriens, rursum nos sollicitare, « quid nobis de prædictis videretur. » Et nos : « Mendacium hoc est, imperator. » Et hoc non bis aut ter, sed sæpissime interrogabat. Et nos porro responsionibus interrogationibus ex æquo satisfacientes tacebamus. Ille rursum compellare. **138** Sed cæteros obmutescentes intuitus ad me convertens orationem infit : « Tu porro quid ad hæc dicis? » et nomini officium addidit. « Hoc negotium ad te spectat, et tua potissimum interest. » Hæc autem irascendi sibi causam procurans dicebat. Tum ego : « Quanam causa mea B interest? Si fideliter scripturas non exsecutus sum, nec jusjurandum persolvi, neque uti par erat illud et quæ circa illud pertractari solent disposui, error hic quidem meus et imprudens culpa fuerit. Verum si hæc uti decuit, et ratione, qua nihil melius, absoluta sunt, quomodo, quæ ille ad evertendum quæ confecta sunt meditatur, mea poterunt interesse? » Et imperator rursum nescio quomodo (namque causam exposui) denuo profert : « Quid ipse de his sentis? » Tum ego : « At sæpius effatus sum plus in se mendacii quam veritatis, quod circumfertur, in se continere; et in dubiis exquisite sententiam ferre, non ita facile mihi videtur. » Respondit ille : « Sed in dubiis vere ac C firmiter enuntiare, id prudentis est : de manifestis quippe et asini pronuntiaverint. » Tum ego : « Jam et nos inter asinos collocamur. » Et imperator ira inflammatus, « Tu semper, » ait, « haud sanus ineptis, et nunc quoque ineptis. » Ipse, nec aliud, ita me sermones ament, respondi : « At ego quidem ineptio, ideoque silentium est mihi; qui sapiunt ipsi loquantur. » Dixeram. Imperator incredibili atque atroci percitus iracundia, ensis capulo manu compresso, vagina detegere tentat. Sed motum temperat, et quem paululum retexerat ensem, vaginæ **139** reddit. Dein magno domestico Andronico Muzaloni me de equo dejicere imperat. Ille voce submissa, « Secede, » ait, « sago. » Ego mula descendi. Tunc optimus erga nos imperator, nos qui D multa a patre suo sui gratia aspera perpessi eramus, ut palam sæpeque multis audientibus clarissima voce testatus est virum hunc, me nempe intelligens, bona sibi plurima apportasse pro disciplina logica, qua eum institueram, nec non et alia non exigua se debere confessus, duobus clavigeris heri aut nudius tertius, nescio an propter me, ut dramatis scena in tragœdiam ad amussim converteretur, electis, et eorum numero ad viginti quatuor ascendente, verberibus appetere jussit. Illi itaque verberare, ego silentio verbera excipere. Id magis in furorem agebat imperatorem, quod nec verberibus cæsus ad supplicationes effunderer. Ubi vero frequentium verberum ictibus universum corpus fœdaverant, vix tandem ego voce debili ac

submissa, « Christe rex », inquam, « quot morbis afflictatus sum, quare eorum nullo vitam amisi, sed ad has me tempestates servasti? » His dictis imperator nonnihil, ut videbatur, veritus secessit, cum uni ex iis qui ipsum sequebantur dixisset : « Duc tecum ipsum. » Ille equo advehens interrogat quo abituri simus. Ego : « Præi ; quocunque lubentia trahit, sequar. » Rursus ille interrogans urgere, quando et ipse respondi : « Iter nobis ad Bardariotas, ubi magis expeditum ineundum est. » Res ita gesta est, et ad Bardariotarum tentoria convenimus. Ubi me eorum primicerius **140** conspexit, non sine admiratione percunctatur quænam me occasio in ejus tentorium conduceret. Tum ego, « Ut tantillum placide quiescam », aio. Paululum inibi commoror : jam enim et primicerius de me cognoverat omnia. Neque in multum cunctatus imperator ad tentorium me meum conferre præcepit ; suspicatus vero ne molestia conflictatus fuga me subducerem, aliqua militum manu tentorium circumsepsit, et sic clanculum me custodiri mandavit. In meum advectus tentorium quiete ætatem agebam, neque in aulam vadens, neque familiares neque amicos alloquens, sed libris tantum incumbens, eorumque lectione me delectans, ciboque me opportune reficiens. Plerique itaque dies cum hoc vitæ meæ moderamine prætergressi sunt. Et imperator ingenium meum durum ac implacabile videns ægre ferebat. Augustus totus effluxerat, neque ego de sententia mihi proposita aliquid movi. Interim præsules non pauci advenere imperatoris jussu, ut ipse cognoveram, licet ipsi id occultare studerent, nutu proprio processisse asseverantes, amicitiæ et bonæ erga me dispositionis gratia ingenue suadentes ut asperitate mentis aliquantulum mollita ad imperatorem accederem rursumque illi me sub servitutis subderem jugo. Illis tamen cohortationibus ad id ipse adduci non potui. Dicebam enim, sive imperator in me optima quæque munificæ admodum, quæ nullus ex imperatoribus, qui ante eum imperio præfuere, **141** administrorum cuipiam dedit, contulerit, sive pessima et atrocissima, quibus alius omnibus flagitiis inquinatissimos unquam divexavit, in me attentaverit, sive hac sive illa ratione, nullo me modo illi inservi turum. Ego itaque neque de sententia neque de proposito dimoveri potui. Cum September appeteret, despotæ Michaelis conjux Theodora cum filio suo Nicephoro ad absolvendas nuptias, uti Joannes imperator, imperantis pater, ante paucos annos convenerat, ad imperatorem proficiscitur.

A μόγις ἰσχνῇ καὶ ἠρεμαίᾳ φωνῇ, « Ὦ Χριστὲ βασιλεῦ, » ἔφην, « πόσας νενόσηκα νόσους, καὶ διὰ τί ἐν οὐδεμιᾷ τούτων κατέλυσα τὴν ζωὴν, ἀλλ' ἐν τοιούτοις με καιροῖς ἐταμίευες; » Ταῦτ' εἶπον, καὶ ὁ βασιλεὺς οἷον αἰδεσθεὶς ἀπηλλάγη. Ἑνὶ τῶν ἀκολούθων αὐτοῦ εἰρηκὼς, « Λάβε τοῦτον αὐτός. » Καὶ ὃς ἐφιππόν με λαβὼν ἠρώτα ποῦ ἂν καὶ ἀπέλθοιμεν. Ἐγὼ δὲ, « Ὅπου ἂν αὐτὸς βούλει, ἐφέπομαι. » Καὶ πάλιν οὗτος διὰ τῶν ἐρωτήσεων κατηνάγκαζε. Τότε γοῦν καὶ αὐτὸς πρὸς τοῦτον ἀντέφην, ὡς Δεῖ ἡμᾶς τὴν πρὸς τοὺς Βαρδαριώτας βαδίσαι· τοῦτο γάρ μοι δοκεῖ καὶ μᾶλλον συμφέρον σοι. Καὶ γέγονεν οὕτως, καὶ ἐς τῶν Βαρδαριωτῶν ἀφῆειμεν τὰς σκηνάς. Ἰδὼν δέ με ὁ αὐτῶν πριμμικήριος θαυμάσας ἠρώτα τί ἂν βουλόμενος ἐπὶ τὴν αὐτοῦ σκηνὴν ἀφικόμην.

B Καὶ ἔγωγε, « Μικρᾶς, » ἔφην, « ἀναπαύσεως χάριν. » Βραχὺ γοῦν τι προσεκαρτέρησα τοῖς ἐκεῖσε· ἦν γὰρ καὶ ὁ πριμμικήριος ἐμεμαθήκει τὰ κατ' ἐμέ. Ὁ δὲ βασιλεὺς οὐδ' εἰς πολὺ μελλήσας διεμηνύσατο εἰς τὴν σκηνὴν ἀφικέσθαι με. Δεδιὼς δὲ μή πως τῇ λύπῃ κατασχεθεὶς φυγῇ χρήσωμαι, προσέταξε μοῖράν τινα στρατιωτικὴν περιστοιχίσαι μου τὴν σκηνὴν καὶ λεληθότως φυλάττειν με. Ἐγὼ μὲν οὖν εἰς τὴν οἰκείαν ἀφιγμένος σκηνὴν ἡσύχως ἐν αὐτῇ τὸν καιρὸν διεβίβαζον, οὐκ ἐν ἀνακτόροις βαδίζων, οὐδέ τινι τῶν ἐπιτηδείων καὶ συνήθων προσομιλῶν, ἀλλ' ἢ ταῖς βίβλοις προσανέχων καὶ ἀναγνώσει χρώμενος· καὶ τροφῆς μεταλαμβάνων κατὰ καιρόν. Ἱκαναὶ γοῦν ἡμέραι οὑτωσί πως μου ἔχοντος παρῳχήκεσαν, καὶ

C ὁ βασιλεὺς ἠγανάκτει τὸ σκληρόν μου καθορῶν τοῦ φρονήματος. Παρῆει γοῦν ὅλος ὁ Αὔγουστος, καὶ οὐδ' ὅλως ἐνδοῦναι εἶχον τῆς ἧς ἕστερξα γνώμης μικρόν. Πολλοὶ γοῦν τῶν ἀρχιερέων ἀφίκοντο πρὸς ἐμὲ, βασιλικῇ μὲν, ὡς ἠπιστάμην, τῇ προσταγῇ, εἰ καὶ ἐκεῖνοι λανθάνειν ἤθελον, οἴκοθεν λέγοντες ἀφικέσθαι πρὸς ἐμὲ φιλίας χάριν καὶ χρηστῆς διαθέσεως· πολλά τε λέγοντες τὸ ἀπόκροτον καταλιπεῖν με τῆς γνώμης καὶ τῷ βασιλεῖ ξυνελθεῖν καὶ αὖθις αὐτῷ πρὸς τὸν τῆς δουλείας συνελαθῆναι ζυγὸν, οὐχ εὕρισκον ὅλως πειθήνιον· ἔφασκον γὰρ ὡς εἴπερ μοι τὰ χρηστότατα ὁ βασιλεὺς ἐπιδείξαιτο, [P. 73] ὁποῖα οὐδεὶς τῶν βεβασιλευκότων ἐπί τινι τῶν ὑπηρετησάντων αὐτῷ ἐπιδέδειχεν, ἢ τὰ χείριστα καὶ κάκιστα ἐν ἐμοὶ κατεργάσαιτο, οἷα οὐδεὶς ἄλλος τῶν ἐπὶ

D κακίᾳ περιβοήτων ἐν οὐδενὶ τῶν ἁπάντων πεποίηκεν, οὔθ' οὕτως οὔτ' ἐκεῖνος τῷ βασιλεῖ κατά τι δουλεύσαιμι. Ἐγὼ μὲν οὖν οὕτως εἶχον γνώμης καὶ ἀμεταθέτου σκοποῦ. Ἐπεὶ δὲ [81] καὶ ὁ Σεπτέμβριος ἐφειστήκει μὴν (34), καὶ ἡ τοῦ δεσπότου Μιχαὴλ σύζυγος Θεοδώρα παρὰ τὸν βασιλέα ἀφίκετο μετὰ τοῦ υἱοῦ αὐτῆς Νικηφόρου τὸ πρὸς τὸν βασιλέα κῆδος

[81] ἐπεὶ δὲ *usque ad* ξυνῆλθεν *lin.* 17 *col. seq.*] Ἀφίκετο δὲ καὶ ἡ τοῦ δεσπότου Μιχαὴλ γυνὴ Θεοδώρα μετὰ τοῦ υἱοῦ αὐτῆς Νικηφόρου τὸ πρὸς τὸν βασιλέα κῆδος ἀποπληρώσοντες. Ὁ μὲν οὖν βασιλεὺς ἔσπευδε τὴν Θεσσαλονίκην ταταλαβεῖν, συνεῖποντο δὲ τούτῳ καὶ ἡ τοῦ δεσπότου γυνὴ μετὰ τοῦ υἱοῦ, καὶ καθ' ὁδὸν τὰς συμβάσεις ἐποίουν, καὶ συμπεφώνηκε καὶ ἀκουσα δοῦναι πρὸς τὸν βασιλέα τὰ Σέρβια καὶ τὸ Δυρράχιον. Ἐπὶ τούτοις καὶ ὅρκοι προύβησαν καὶ ἀπεστάλησαν πρὸς τὸν Μιχαὴλ, καὶ ὃς ἐκὼν ἀέκοντί γε θυμῷ ξυνῆλθεν. D.

Theodori Dousæ et Leonis Allatii notæ.

(34) Ὁ Σεπτέμβριος ἐφειστήκει μήν. Gregoras. p. 57. All.

ἀποπληρώσοντες, ὅπερ ὁ βασιλεὺς Ἰωάννης ὁ τοῦ βασιλεύοντος πατὴρ πρὸ χρόνων τινῶν συμπεφώνηκεν, ὁ μὲν βασιλεὺς ἔσπευδε τὴν Θεσσαλονίκην καταλαβεῖν, ἔνθα καὶ τοὺς γάμους ποιῆσαι βεβούληται. Καὶ δή περ ἀπάρας ἐξ οὗπερ ἔκειτο τόπου τῆς εἰς τὴν Θεσσαλονίκην φερούσης ἥπτετο· καθ' ὁδὸν δὲ μετὰ τῆς τοῦ δεσπότου συζύγου τὰς συμβιβάσεις ἐποίει. Ἡ μὲν οὖν τοῦ δεσπότου σύζυγος Θεοδώρα καὶ ἄκουσα τοῖς τοῦ βασιλέως λόγοις συνήρχετο· ἐντὸς γὰρ τῶν ἐκείνου χειρῶν οὖσα, καὶ μικροῦ δεῖν ὡς ἐν εἱρκτῇ τυγχάνουσα, οὐκ εἶχέ τι ἄλλο δρᾶσαι. Συμπεφώνηκε γοῦν δοῦναι πρὸς τὸν βασιλέα τὸ κάστρον τὰ Σέρβια καὶ σὺν αὐτῷ καὶ τὸ Δυρράχιον. Ἐπὶ τούτοις καὶ ὅρκοι ἐγγράφως προέβησαν καὶ ἀπεστάλησαν πρὸς τὸν δεσπότην Μιχαήλ. Ὁ δὲ, ὃ φησιν ἡ ποίησις, ἑκὼν ἀέκοντί γε θυμῷ τοῖς ὠμοσμένοις ξυνῆλθεν· ἠύχετο [52] γὰρ ἐλευθερωθῆναι καὶ παρ' αὐτὸν γενέσθαι καὶ τὸν υἱὸν καὶ τὴν σύζυγον. Ἐν τοῖς τοιούτοις τῶν λόγων ὁ βασιλεὺς κἀμὲ τῆς ἧς εἶχον ἐκμοχλεύσας στερρότητος ἐχειρώσατο. Ἐξαποστείλας γὰρ τὸν πρὸς πάππου αὐτοῦ θεῖον τὸν Λάσκαριν Μανουὴλ καὶ τὸν πρωτοβεστιάριον τὸν Μουζάλωνα Γεώργιον Ἰλαροῖς καὶ ἁπλοΐς τισιν ἐχρήσατο λόγοις καί με εἶλε, καὶ πρὸς αὐτὸν οἱ ἀποσταλέντες ἀπήγαγον. Καὶ γοῦν προσιὼν τῷ βασιλεῖ, καὶ ὡς ἔθος κλίνας τὴν κεφαλὴν, μακρότερον ἔστην. Καὶ ὁ βασιλεὺς, « Οὐκ οἶδας, ὅπη εἰώθεις ἵστασθαι; τὸν τόπον σου γινώσκεις, καὶ πρόσιθι. » Τῇ προσταγῇ γοῦν ὑπείξας τοῦ βασιλέως ἀπελθὼν ἔστην ἐκ πλαγίου αὐτοῦ, καθὼς περ εἶχον καὶ ἔθος. Τότε γοῦν μοι ὁ βασιλεὺς τὰς τοῦ δεσπότου Μιχαὴλ ὑποθέσεις πάσας ἀνεκοινώσατο, καὶ ἐξ ἀρχῆς ὅπως προέβησαν διηγήσατο. Ταῦτα μὲν οὖν ἐν τοῖς τοῦ Λαγγαδᾶ (τόπος δέ ἐστιν οὗτος ἐγγὺς τῆς Θεσσαλονίκης) ἐγένετο.

A Imperator ad urbem Thessalonicam, in qua nuptias adornare decreverat, properavit, jamque loco abierat. Discedens Thessalonicense iter ingreditur, et inter eundum pactiones cum despotæ uxore adibat. Despotæ uxor Theodora licet invita cum imperatore concordabat, quippe quæ in manibus ejus cum esset, tantum non carceri mancipata, aliud agere nequibat. Convenit itaque Serbia castrum et cum eo Dyrrachium imperatori cedere. Et hæc jurejurando, quod scripto consignatum est, fuerunt stabilita et ad Michaelem despotam transmissa. Ille, quod poeta retulit, luberti illubentique animo juratis consensum præstitit : **142** namque uxorem et filium liberari et ad se venire summopere exoptabat. Inter hæc imperator me quoque B ex pertinacia, quæ mihi insederat, summotum expugnat. Patruo enim ex avo Manuele Lascari et protovestiario Georgio Muzalone ad me transmissis, lætisque ac placidis sermonibus captum, ad eum, qui missi fuerant, conducunt. Ipse ad imperatorem veniens et pro more caput inclinans, diutius stans hærebam. Et imperator : « An non tenes ubi stare solebas? Locum tuum agnoscis; eum petito. » Jussis imperatoriis audiens abii, et e latere, quemadmodum prius sueveram, steti. Tum mihi Michaelis despotæ negotia communicat, et a principio omnia dilucide narrat. Et hæc quidem apud Langadam locum prope Thessalonicam gesta sunt.

ξδ'. Ἐπεὶ δ' [53] ὁ βασιλεὺς τὴν Θεσσαλονίκην κατεῖληφε, τοὺς ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ γάμους μετὰ τοῦ υἱοῦ τοῦ δεσπότου Μιχαὴλ Νικηφόρου, ὃν καὶ δεσπότην τετίμηκεν, ἐκπεπλήρωκεν. Ἐν τούτοις δὲ ὄντος τοῦ βασιλέως γραφή τις πρὸς αὐτὸν ἐξεπέμφθη παρὰ τῶν ἐν τοῖς τῆς Βιθυνίας μέρεσιν ὄντων καὶ εἰς φυλακὴν εἶναι τοῦ τόπου προστεταγμένων, ὡς ὁ Μιχαὴλ Κομνηνὸς (35) Παλαιολόγος, [P. 74] ὃν καὶ μέγαν κονοσταῦλον (36) πρὸς τοῦ βασιλέως Ἰωάννου ὁ λόγος φθάσας τετιμῆσθαι δεδήλωκε καὶ τὴν τῆς ἁπάσης ταύτης χώρας ἡγεμονίαν ἐμπεπιστεῦσθαι, φυγὰς ᾤχετο καὶ ἐπὶ τὸν τῶν Μουσουλμάνων ἀπῆει χῶρον. Ἐταράχθη (37) γοῦν ἐπὶ τούτοις ὁ βασιλεὺς οὐ μικρῶς, καί με προσκαλεσάμενος, « Ἔγνως, » ἔφη, « τί γέγονεν; » Καὶ αὐτὸς, « Οὐδαμῶς, » ἔφην, « ὦ βασιλεῦ· τί δέ ἐστι τὸ προσφάτως γεγενημένον; » Ὁ δέ φησιν, « Ὁ μέγας κονοσταῦλος

C 64. Ubi Thessalonicam ventum est, nuptias filiæ suæ Mariæ cum filio Michaelis despotæ Nicephoro, quem et despotæ munere insignivit, adornat. Interea qui Bithyniæ partes tutabantur, quique in semet locorum custodiam receperant, litteris datis imperatori significant, Michaelem Comnenum Palæologum, magni stabuli comitis a Joanne imperatore, ut supra narratum **143** est, titulo condecoratum, et cui universæ illius regionis præfectura fuerat demandata, ad Musulmanos confugisse. Quare anxius imperator animo non leviter æstuare. Et me accito, « Tenesne, » ait, « quod gestum est? » Et ipse, « Nequaquam », aio, « imperator. Quid autem recens accidit? » Ille subdit : « Magnus comes stabuli fuga se surripuit, et ad D Musulmanos venit. Quid de hoc animus suggerit? An ex Musulmanis exercitu conducto in nostras

[52] ἠύχετο *usque ad* ἐγένετο *(in fine* §[1]) om. D. [53] D : Ἐπεὶ δὲ ὁ βασιλεὺς τὴν Θεσσαλονίκην κατέλαβε, τοὺς γάμους πληροῖ, καὶ δεσπότην τὸν Νικηφόρον τετίμηκεν. Ἦκε δ' αὐτῷ γραφὴ ὡς ὁ Παλαιολόγος Μιχαὴλ ὁ μέγας κονοσταῦλος τὴν Βιθυνίαν διέπων φυγὰς ᾤχετο περὶ τὴν τῶν Μουσουλμάνων, καὶ ἐταράχθη ἐπὶ τούτοις ὁ βασιλεύς.

Theodori Dousæ et Leonis Allatii notæ.

(35) *Ὁ Μιχαὴλ ὁ Κομνηνός*. Gregoras, p. 57. ALL.

(36) *Ὁ μέγας Κονόσταλος. Magnus comes stabuli.* Κόντος (Italorum *conto*, et *comte* Gallorum) *comes*, σταῦλον et σταῦλος, sive στάβλος Græco-Barbaris *stabulum*. Est igitur Κοντοσταῦλος sive Κονοσταῦλος (ita melius quam Κονόσταλος) qui Italis *contostabile*, Gallis *connestable*. Ὁ μέγας Κονοσταῦλος non postrema dignitas in palatio Græco fuit. Consule Meursium in Glossario. DOUSA.

(37) *Ἐταράχθη*. Gregoras, p. 57. ALL.

irrumpet ille provincias? » « Neutiquam mihi videtur, o imperator, eum tale quid acturum : illius enim sensum ego et erga Romanos propensum animum pulchre calleo. » Et imperator : « Quamnam ergo ob causam fugitivus abiit? » « Quod, » inquam, « ut tu bene nosti, imperator, non semel aut bis, sed sæpius atque sæpius atrocissima minabaris, in eumque iracundia concitatus, plurimis audientibus, te illi oculos effossurum jactabas. De his ille certior factus, cum a multis quidquid inter loquendum diceretur perdisceret, angebatur animo pœnasque exhorrescebat; tandem saluti suæ fuga consuluit. » « Et propter quid, » infit imperator, « in ditione nostra moratus non est, licet mala hæc subiturus fuisset, in alieno solo felicitati in materno infortunium præferens? » « Dedecet hoc humanum animum, o imperator; dura siquidem atque aspera perpeti noxisque variis afflictari nonnulli ingenio validiori ac **144** ferociori et in humanæ vitæ casibus, ut ita dicam, obdurato, sustinebunt : sed vitæ ipsius discrimen et præcipuarum corporis partium imminutionem, dum quis sibi timet, haud videtur fieri posse ut patienter ferat, sed pro vitæ periculo currens, quantum in se est, molesta ac noxia subterfugit. » Illis dictis siluimus. Et post breve spatium, « Quid autem, » ait imperator, « existimas eum facturum? » Ipse respondi : « Suspicor eum non diu apud Persarum principem commoratum missurum, ut a majestate tua commissorum veniam consequatur, tanquam qui speret etiam in hoc negotio auxiliarem operam dicti principis non defuturam, et in veritatis confirmationem sacramentum etiam exposcet, sine quo, ut opinor, neutiquam ad te veniet. » Propter hæc imperator turbatus, rebus in incertis ac dubiis agitatus; post paucos dies a cohortium Bithynicarum et Mesothyniæ præsidibus epistolæ ad imperatorem datæ sunt; quæ erant epistolæ magni comitis stabuli de negotiis pertractantes in hunc fere modum, ad unumquemque illorum scriptæ : « Ego quidem imperatorium timorem animo volutans, hærensque ne quam subirem noxam, fugam arripui. Vos caute ac fortiter rerum militarium commissarum vobis curam agite. Custodiæ urbium ac oppidorum in tuto sint, universæque regionis defensio ac propugnaculum, uti moris est, procedat; et quemadmodum mecum, ita et rursum vos gerite. » Subscriptio magnum comitem **145** stabuli connotabat. Illis imperator litteris inspectis animum nimio gaudio exhilaratus sermonibus meis fidem adhibuit.

ἀπέδρα καὶ ἐπὶ τὰ τῶν Μουσουλμάνων κεχώρηκε. Τί γοῦν ἄρα περὶ τοῦ τοιούτου διανοῇ; μῶν πρὸς Μουσουλμάνων προσλαβόμενος στράτευμα καθ' ἡμετέρας χωρήσει χώρας; » « Οὐδαμῶς μοι δοκεῖ τοιοῦτον, ὦ βασιλεῦ, » ἔφην « αὐτὸν διαπράξασθαι· τὴν γὰρ γνώμην τοῦ ἀνδρὸς ἐπέγνων, καὶ τὸ τοῦ φρονήματος ἐπίσταμαι φιλορώμαιον. » Καὶ ὁ βασιλεύς, « Τίνος οὖν χάριν φυγὰς τῶν ἡμετέρων ἐγένετο; » « Ὅτι περ (38), » ἔφην, « ὡς οἶσθα, ὦ βασιλεῦ, οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ μυριάκις ἠπείλεις αὐτῷ τὰ δεινότατα καὶ ὠργίζου κατ' αὐτοῦ χαλεπῶς, καὶ ἐν πλήθει παρόντι πολλῶν ἔφασκες ἐκπέμψαι καὶ ἐξορύξαι οἱ τοὺς ὀφθαλμούς. Ταῦτα ἐκεῖνος ἐμάνθανε (39) καὶ παρὰ πολλῶν τῶν λεγομένων ἤκουε, καὶ ἐδέδικνετο τὴν ψυχὴν καὶ ἐδειλία τὴν τιμωρίαν καὶ ἀποφυγεῖν ἐπέσπευσε τὴν ποινήν. » « Καὶ διὰ τί, » ἔφη ὁ βασιλεύς, « οὐκ ἐν τοῖς ἡμετέροις προσεκαρτέρει καὶ εἰ παθεῖν ἔμελλε τὰ δεινὰ ταῦτα, τῆς ἐπὶ τῇ ἀλλοδαπῇ εὐπραγίας τὴν ἐν τοῖς ἰθαγενέσι προτιμῶν δυσπραγίαν; » « Οὐκ ἔστι τοῦτο ψυχῆς ἀνθρωπίνης, ὦ βασιλεῦ. Δεινὰ μὲν γὰρ παθεῖν καὶ περιπεσεῖν συμφοραῖς ἔνιοι ἂν ἱκανοὶ φανῶσι, στερροτέρου γεγενημένοι φρονήματος καὶ οἷον εἰπεῖν ἀπροσπαθοῦς ἐν τοῖς τοῦ βίου πράγμασιν· τὸ δὲ περὶ αὐτῇ τῇ ζωῇ δεδιέναι καὶ ἀκρωτηριασμὸν τῶν καιριωτέρων σωματικῶν μερῶν προσδοκᾶν, οὐμενοῦν δοκεῖν τινα ἐν τούτοις προσκαρτερεῖν, ἀλλὰ τὸν περὶ ψυχῆς τρέχων ἀποφυγγάνει τῶν δεινῶν ὅση δύναμις. » Ταῦτ' εἰπόντες σεσιωπήκαμεν. Καὶ μετὰ βραχύ, « Τί δὲ οἴει, » ὁ βασιλεὺς ἔφη, « τοῦτον ποιῆσαι; » Ἐγὼ δὲ ἔφην ὡς « Μικρὸν ὑπολαμβάνω παρὰ τὸν Περσάρχην προσκαρτερήσας ἀπουσιάσειν συμπαθείας πρὸς τοῦ σοῦ κράτους ἀξιωθῆναι, ἔχων καὶ τὸν Περσάρχην ἐπὶ τῇ ὑποθέσει μεσολαβοῦντα, ζητήσει δέ σε ὅρκον εἰς τὴν τῆς ἀληθείας βεβαίωσιν, οὗ ἄνευ οὐκέτι μοι δοκεῖ παρὰ σὲ ἀφικέσθαι. » Ἐν τούτοις ἦν τεταραγμένος ὁ βασιλεὺς, ἐν ἀμφιβόλοις τυγχάνων τοῖς πράγμασιν. Ὡς δὲ μετ' ὀλίγας τινὰς ἡμέρας γραφαὶ πρὸς τὸν βασιλέα ἐπέμφθησαν πρὸς τῶν στρατηγούντων ἐν Βιθυνίᾳ καὶ Μεσοθυνίᾳ, αἱ δὲ γραφαὶ τοῦ μεγάλου κονοσταύλου ἐτύγχανον πρὸς αὐτοὺς περιλήψεως ἔχουσαι οὕτως (πρὸς ἓν δὲ ἕκαστον τῶν τοιούτων ἐγεγραφήκει) ὡς Ἐγὼ μὲν τὸν ἐκ τοῦ βασιλέως φόβον [P. 75] ἐν τῇ καρδίᾳ μου ἔχων, καὶ δεδιὼς μή τί που πάθω δεινὸν, φυγῇ ἐχρησάμην· ὑμεῖς δὲ φρονίμως καὶ ἀνδρικῶς τῶν στρατιωτικῶν ἐγχειρισθέντων ὑμῖν πραγμάτων ἀνέχεσθε, καὶ αἱ φυλακαὶ τῶν πολιχνίων καὶ ἄστεων ἀσφαλεῖς ἔστωσαν, καὶ ἡ τῆς ἁπάσης χώρας προσοχὴ καὶ συντήρησις παρ' ὑμῶν ὡς ἔθος γενέσθω, καὶ καθὼς ἐπράττετε μετ' ἐμοῦ, καὶ αὖθις ποιεῖτε. Καὶ ἡ ἐπιγραφὴ τὸν μέγαν κονοσταῦλον ἐσήμαινε. Ταύτας ὁ βασιλεὺς θεασάμενος τὰς γραφὰς ἱλαρῶς διετέθη πρὸς τὴν ὑπόθεσιν καὶ τοῖς λόγοις μου ἐμπεπίστευκεν.

65. Sed dum huc oratio perducta est, in historia ξε'. Ἐνταῦθα δὲ [61] τοῦ λόγου γενόμενοι τὰ τῆς

[61] D : Ἐπεὶ δὲ ὁ Παλαιολόγος ἐν τοῖς οἴκοις τῶν Τουρκομάνων ἀφίκετο, τούτῳ ὡς ἑρμαίῳ ἐντυχών

Theodori Dousæ et Leonis Allatii notæ.

(38) *Ὅτι περ.* Gregoras, p. 57. Nec diversa sunt quæ Phranza commemorat. ALL.

(39) *Ταῦτα ἐκεῖνος ἐμάνθανε.* Pachymeres, lib. I, c. 9. ALL.

ἱστορίας, ὡς δέον ἐστὶν, ἐμπλατύνωμεν· πολλῶν γὰρ λόγων ἄξια τὰ ἐν τῇ φυγῇ γεγενημένα τοῦ Κομνηνοῦ Μιχαὴλ ἐγεγόνει. Ἐπεὶ γὰρ οὗτος ἐν τοῖς οἰκήμασι τῶν Τουρκομάνων ἀφίκετο (ἔθνος δὲ τοῦτο τοῖς ἄκροις ὁρίοις τῶν Περσῶν ἐφεδρεῦον καὶ ἀσπόνδῳ μίσει κατὰ Ῥωμαίων χρώμενον καὶ ἁρπαγαῖς ταῖς ἐκ τούτων χαῖρον καὶ τοῖς ἐκ πολέμων σκύλοις ἐπευφραινόμενον, καὶ τότε δὴ μᾶλλον ὁπότε τὰ τῶν Περσῶν ἐκυμαίνετο καὶ ταῖς ἐκ τῶν Ταχαρίων ἐφόδοις συνεταράττετο), τῷ Κομνηνῷ Μιχαὴλ ὡς ἑρμαίῳ ἐντυχόντες τινὶ, καὶ λίχνον ὄμμα τοῖς αὐτοῦ ἐπιβαλόντες πράγμασι, πάντα τὰ αὐτοῦ διηρπάκασι, χρυσὸν, ἄργυρον, ἵππους, ὑφάσματα καὶ αὐτὰ δὴ τὰ ἐνδύματα οἷς οἱ αὐτοῦ ἐνεδέδυντο. Διαμερίσαντες δὲ καὶ πάντας τοὺς ἑπομένους αὐτῷ, ἕκαστος τὸν κατισχημένον εἰς οἰκείαν δουλείαν ἠγάγετο. Ὁ δὲ Κομνηνὸς Μιχαὴλ μόγις χεῖρας τούτων διεκφυγὼν καὶ Θεοῦ προνοίᾳ διασωθεὶς γυμνὸς ἁπάντων παρὰ τὸν Περσάρχην ἀφίκετο. Ὁ δὲ οὐ κατὰ νέηλυν φυγάδα τοῦτον ἐδέξατο (40), ἀλλ' ἀσμένως λίαν προσήκατο. Τό τε γὰρ εὐγενὲς τοῦ ἀνδρὸς ἐμεμαθήκει, καὶ πάντες οἱ μετὰ τοῦ Περσάρχου μεγιστᾶνες τελοῦντες τὸ εἶδος αὐτοῦ καὶ τὸ φρόνημα τεθαυμάκασι, καὶ ὃ φησί τις τῶν παλαιῶν, τυραννίδος ἄξιον ἔκριναν. Εἰς ὀλίγους γὰρ αὐτῷ ξυνιόντες λόγους ἐκ βραχέων τὴν τοῦ ἀνδρὸς ἐπεγνώκεισαν σταθηρότητα· τήν τε γὰρ αὐτοῦ στρατιωτικὴν ἐτεκμήραντο τέχνην καὶ τὴν ἐν τοῖς πολέμοις ἀκρίβειαν, καὶ ὡς οὐκ ἀδαὴς ἂν εἴη τῶν προσηκόντων ἐν μάχαις. Χάριν μὲν οὖν τῶν ἐσκυλευμένων αὐτοῦ πραγμάτων καὶ τῶν διαμεμερισμένων ὑπηρετῶν γραφαὶ τοῦ σουλτάνου, εἰ καὶ εἰς μάτην, γεγένηνται, ἵν' ἐπισυναχθεῖεν τὰ πάντα καὶ πάντες καὶ ἐπικομισθεῖεν αὐτῷ. Ἐπεὶ δὲ ἐπὶ ξυροῦ ἀκμῆς τὰ τῆς μάχης σφίσιν ἐφίστατο, — οἵ τε γὰρ Ταχάριοι τὰ πλείω τῆς χώρας τῶν Μουσουλμάνων ληϊσάμενοι περὶ τὰ Ἄξαρα ἐστρατοπεδεύσαντο, πᾶσα δὲ ἀνάγκη ἦν καὶ πρὸς μάχην τοὺς Πέρσας ἀντιστῆναι τοῖς Ταχαρίοις. Τὸν μὲν οὖν Κομνηνὸν [P. 76] Μιχαὴλ εἰς ἡγεμόνα (41) τῶν Χριστιανῶν στρατευμάτων οἱ Πέρσαι εἶναι διετάξαντο. Ὁ δὲ ἐπεὶ ἐν ἀλλοδαπῇ ἐτύγχανεν ὤν, συμμαχεῖν μὲν Μουσουλμάνοις ἀπευκταῖον ἡγεῖτο, μή ποτε, ὡς ἔφασκεν οὗτος, ἐν μάχῃ πεσὼν τὸ εὐσεβὲς αἷμα αἵμασι συναναχραθείη ἀνοσίοις καὶ ἀσεβέσι, χάριτι δὲ θείᾳ ἀναῤῥωσθεὶς καὶ γενναῖον ἀναλαβὼν φρόνημα πρὸς τὴν μάχην ἐξώρμησε. Τὸ μὲν οὖν

A enarranda, uti par est, uberius progrediamur: digna enim consideratione sunt quæ inter fugiendum Michaeli Comneno accidere, quando hic ad Turcomanorum sedes pervenit. Gens ista in extremis Persarum confinibus assidet, odio adversus Romanos inexorabili atque inexpiabili furens, et rapinis eorum et bellicis spoliis admodum gaudens gestiensque. Ili tunc temporis potissimum, cum Persarum res titubaret et Tachariorum irruptionibus afflictaretur, in Michaelem Comnenum obvium velut in thesaurum quemdam incidentes, et oculos avaros in illius suppellectilem conjicientes, universa illius prædam agunt, aurum, argentum, equos, textilia, ipsas etiam vestes, quibus qui cum eo erant **146** induebantur. Socios quoque illius divisos quisque
B suos in propriam servitutem adduxit. Michael servatus, spoliatus omnibus ad Persarum principem confertur, qui eum non tanquam transfugam advenam excepit, sed quam humanissime hominem amplexus est (viri namque nobilitatem perceperat), et omnes regni proceres forma illius et cogitationibus obstupescentes, quod antiquorum nescio quis dixerat, dignum imperio judicarunt: paululum etenim cum eo congressi ex modico illius effatu constantes ac firmos hominis mores assecuti sunt, unde illius in arte militari industriam et in rebus bellicis sagacitatem, nec non in conflictibus experientiam opportunam conjectura etiam prospexere. Igitur pro rapta supellectile divisisque famulis recuperandis litteras, etsi frustra, sultanus
C dederat, ut omnia in unum recollecta ipsi remitterentur. Verum cum in extremo discrimine res bellica et, quod aiunt, in novaculæ acie versaretur (Tacharii quippe plerumque Musulmanicæ ditionis occupatum expilaverant et apud Axara castra locaverant), impellenteque necessitate Persæ ad pugnam cum Tachariis instaurandam urgerentur, Michaelem Comnenum Christianis cohortibus præsidere decrevere. Ille extorris et in aliena terra oberrans auxilio suo Musulmanis subvenire nefas esse ducebat, ne inter pugnandum, ut ille asseverabat, piorum **147** sanguis impiis ac sceleratis sanguinibus immisceretur. Sed enim divino præsidio fretus, et mentem induens generosam, pugnam committit. Pars itaque exercitus, quæ sub Michaele Comneno arma movebat, adversos sibi Tacharios

τες τὰ αὐτοῦ διηρπάκασιν. Οὗτος δὲ μόγις διεκφυγὼν γυμνὸς περὶ τὸν Περσάρχην ἀφίκετο. Ὁ δὲ ἀσμένως τοῦτον προσήκατο, καὶ γραφαὶ στέλλονται ἵνα τὰ ἐσκυλευμένα ἐξ αὐτοῦ ἐπικομισθεῖεν αὐτῷ. Ἐπεὶ δ' οἱ Ταχάριοι τὰ πλείω τῶν Μουσουλμάνων ἐληΐζοντο καὶ περὶ τὰ Ἄξαρα ἐστρατοπεδεύσαντο, ὁ Κομνηνὸς Μιχαὴλ τὴν ἡγεμονίαν τῶν Ῥωμαϊκῶν εἰληφὼς στρατιῶν καὶ χάριτι θείᾳ ἀναῤῥωσθεὶς πρὸς μάχην ἐξώρμησε, καὶ τοὺς Ταχαρίους νενίκηκε, πρῶτος τὸν πρῶτον τούτων βαλών. Καί τις Ἀμυραχούρης τὸ ὑπ' αὐτὸν συλλαβὼν στράτευμα τοῖς Ταχαρίοις προσώρμησε, κἀντεῦθεν οἱ διώκοντες ἔφευγον. Ἔπιπτον γοῦν Πέρσαι συχνοί. Μέχρι μὲν οὖν μακρῶν διαστημάτων τὴν δίωξιν οἱ νενικηκότες πεποίηνται. Ὁ γοῦν Κομνηνὸς, Μιχαὴλ συμβὰν οὕτω τῷ μεγίστῳ στρατοπεδάρχῃ τῶν Περσικῶν στρατευμάτων, ὃν πεκλάρπακιν οἴδασι Πέρσαι καλεῖν, ξυνῆει καθ' ὁδὸν, καὶ ἐπορεύοντο πλείους ἡμέρας ἑπομένων τῶν πολεμίων. Ἐπεὶ δὲ ἡ τοῦ λεγομένου πεκλάρπακι οἰκία περὶ τὴν Καστάμονάν ἦν, ἐκεῖσε ἐγεγόνεισαν. Τὸ δὲ τῶν Ταχαρίων γένος πᾶσαν τὴν ὑπὸ τοὺς Μουσουλμάνους κατέδραμε χώραν.

Theodori Dousæ et Leonis Allatii notæ.

(40) *Τοῦτον ἐδέξατο.* Gregoras, lib. III, p. 58. Pachymerius, p. 25. ALL.

(41) *Τὸν Κομνηνὸν εἰς ἡγεμόνα.* Gregoras, p. 58. Ex Gregora sua habuit Phranza, lib. I, c. 2. ALL.

vi pulsos devicit, a Michaele ipso primum exercitus hostilis ductore ad mammas vulnerato, qui, ut harum rerum periti affirmarunt, ex eo vulnere non diu post animam efflavit. Debellati itaque ex ea parte, cui Comnenus præerat, Tacharii jam fuga terga vertebant. At vir quidam inter Persas celebris dignitate Amyrachures, maximæ apud Persas existimationis, quam multo abhinc tempore in suam gentem parum fidus proditionem conceperat, tunc exclusit, et cum universo milite suo Tachariis adhæsit. Hinc contraria cerni: namque paulo ante victores sese in pedes conjicere tergaque hostibus ad lacerandum dare. Itaque Persæ Tachariorum jaculis dilaniati frequentes cadere, quos per longa spatia victores subsecuti sunt. Michael Comnenus, cum ita sors tulisset, maximo Persicorum exercituum stratopedarchæ, quem Pelarpacim Persæ vocant, socius in itinere conjungitur. Sic per plurimos dies procedentes cum adversariis continuo subsequentibus singulis horis pugnam conserebant, et ad Peclarpacis habitationem quæ Castamone erat, gressum accelerarunt. Tunc Tacharii universam Musulmanorum regionem hostiliter percurrunt. At de his narratio hoc in loco **148** pedem sistat, et de prioribus verba faciat, ut recto ordine continuatio historiæ procedat.

μέρος τοῦ στρατεύματος τὸ παρὰ τοῦ Μιχαὴλ Κομνηνοῦ τεταγμένον τοὺς ἀντιτεταγμένους αὐτῷ Ταχαρίους κατὰ κράτος νενίκηκε, τοῦ Μιχαὴλ αὐτοῦ πρώτως δόρατι παρὰ μαζὸν βαλόντος τὸν τοῦ στρατεύματος προηγούμενον, ὃς, καθάπερ ἔφησαν οἱ γινώσκοντες, μετὰ μικρὸν ἐκ τῆς βολῆς ἐτεθνήκει. Καὶ ἦσαν μὲν ἐκ τοῦ κρατουμένου μέρους τοῦ Κομνηνοῦ ἐκνενικημένοι οἱ Ταχάριοι, καὶ πρὸς φυγὴν ἤδη ἐχώρουν· ἀνὴρ δέ τις (42) τῶν ἐν Πέρσαις περιωνύμων, τὴν ἀξίαν ἀμυραχούρης (μέγα δὲ τοῦτο παρὰ Πέρσαις), ἀπιστίαν περὶ τὸ αὐτοῦ γένος ἐγκυμονῶν, ἐκ μακροῦ τότε ταύτην ἐξώδινε, καὶ τὸ ὑφ' αὑτὸν ἅπαν συλλαβὼν στράτευμα τοῖς Ταχαρίοις προσώρμηκε. Καὶ τὸ ἐντεῦθεν τἀναντία ἦν ἰδεῖν· οἱ γὰρ πρὸ μικροῦ διώκοντες ἔφευγον καὶ νῶτα ἐδίδουν τοῖς ἐναντίοις πλήττεσθαι. Ἔπιπτον γοῦν οἱ Πέρσαι συχνοὶ τοῖς τῶν Ταχαρίων πληττόμενοι βέλεσι. Μέχρι μὲν οὖν μακρῶν διαστημάτων τὴν δίωξιν οἱ νενικηκότες πεποίηνται. Ὁ γοῦν Κομνηνὸς Μιχαὴλ συμβὰν οὕτω τῷ μεγίστῳ στρατοπεδάρχῃ τῶν Περσικῶν στρατευμάτων, ὃν πελλάρπαχιν (43) οἴδασιν οἱ Πέρσαι καλεῖν, ξυνῆει κατὰ τὴν ὁδὸν, καὶ ἐπορεύοντο πάνυ πλείους ἡμέρας ἑφεπόμενοι ἑαυτοῖς τοὺς πολεμίους ἔχοντες καὶ καθ' ὥραν μαχόμενοι. Ἐπεὶ δὲ ἡ τοῦ λελεγμένου οἰκία πελλάρπακι περὶ τὴν Καστάμονάν ἐτύγχανεν οὖσα, ἐκεῖσε σπεύσαντες ἐγεγόνεισαν. Τὸ δὲ Ταχαρίων γένος πᾶσαν τὴν ὑπὸ τοὺς Μουσουλμάνους κατέδραμε χώραν. Ἀλλ' ἐνταῦθα μὲν ὁ περὶ τούτων λόγος ἀναμενάτω, ἐχέσθω δὲ τῶν προτέρων, ἵνα καὶ καθ' εἱρμὸν τὰ τῆς ἱστορίας πρᾴῃσιν.

66. Igitur imperator Theodorus de rebus in Musulmanorum ditione gestis certior factus, magis suis quam illis animum advertens, ingens inde Romanis regionibus imminere periculum suspicatus, in Orientem quam celerrime pedem retulit, cum universis Romanorum copiis iter ad ea loca ingressus. Thessalonicæ vero et in aliis Occidentis partibus in custodiam reliquit avunculum Michaelem Lascarim, consignata illi exigua nec ampla Paphlagonum manu, et ex Scythis non ultra trecentis. Prilapi et vicinorum exercituum Scuterium, Xyleam dictum, digno ædepol cognomine; Belesi tractusque circa ipsum Calampacem Theodorum, quem tatam aulæ nuncupabant, Constantinum Chabaronem Albano præfecit: me prætorem creatum omnibus hisce præesse jussit, non alio, ni fallor, scopo quam ut longiori ab eo discessu præteritorum ma-

ξς'. Ὁ μὲν οὖν [49] βασιλεὺς Θεόδωρος ἐπεὶ περὶ τῶν γεγενημένων ἐν τῇ τῶν Μουσουλμάνων ἐπύθετο χώρᾳ, οὐ περὶ τούτων μᾶλλον ἔχων φροντίδα ἢ περὶ τῶν αὐτοῦ (κίνδυνον γὰρ οὐ μικρὸν ἐπισυμβαίνειν τοῖς Ῥωμαίοις ὑπετόπασε χώροις) ἔσπευσε πρὸς τὴν ἕω παλινοστῆσαι. Καὶ δὴ πᾶσαν τὴν Ῥωμαϊκὴν στρατιὰν μεθ' ἑαυτοῦ προσλαβὼν τῆς πρὸς τὴν ἑω φερούσης ἐφήπτετο. Καταλελοίπει δὲ ἔν τε τῇ Θεσσαλονίκῃ καὶ τοῖς κατὰ δυσμὴν μέρεσιν ὡς πρὸς φύλαξιν δῆθεν τῆς χώρας τὸν πρὸς πάππου θεῖον αὐτοῦ τὸν Λάσκαριν Μιχαὴλ, μικρόν τι καὶ εὐσύνοπτον ἐκ Παφλαγόνων στράτευμα ἐπιδοὺς αὐτῷ κἀκ τοῦ Σκυθικοῦ ὅσον εἰς τριακοσίους ἠριθμημένον, τοῦ δὲ Πριλάπου καὶ τῶν περὶ αὐτὸν στρατευμάτων τὸν ὃν εἶχε Σκουτέριον Ξυλέαν ὠνομασμένον, φερωνύμως τὴν κλῆσιν [P. 77] νὴ τὴν Θέμιν ἔχοντα, εἰ δὲ τὸν Βελεσὸν καὶ τὰ περὶ αὐτὸν τὸν Καλαμ-

[49] D: Ὁ δὲ βασιλεὺς Θεόδωρος ἐπεὶ περὶ τῶν γεγενημένων ἐπύθετο, ἔσπευσε πρὸς τὴν ἕω παλινοστῆσαι, ἀφεὶς ἐν Θεσσαλονίκῃ καὶ τοῖς κατὰ δυσμὴν μέρεσιν εἰς φύλαξιν τὸν πρὸς πάππου θεῖον αὐτοῦ τὸν Λάσκαριν Μιχαὴλ μετὰ μικροῦ στρατεύματος, ὅσον εἰς τριακοσίους ἠριθμημένου, τοῦ δὲ Πριλάπου καὶ τῶν περὶ αὐτὸν στρατευμάτων τὸν ὃν εἶχε Σκουτέριον Ξυλέαν ὠνομασμένον, εἰς δὲ τὸν Βελεσὸν καὶ τὰ περὶ αὐτὸν τὸν Καλαμπάκι Θεόδωρον, ὃν καὶ τατᾶν τῆς αὐλῆς κατωνόμαζον, τὸν δὲ Χαβάρωνα Κωνσταντῖνον εἰς ἡγεμονίαν τοῦ Ἀλβανου, ἐμὲ δὲ πάντων προΐστασθαι.

Theodori Dousæ et Leonis Allatii notæ.

(42) Ἀνὴρ δέ τις. Gregoras, p. 39. ALL.

(43) Πελλάρπαχις est *Beglerbegus* apud Turcas (quos hic Persas vocat logotheta), dignitatis nomen satis notum. *Beglerbegi* significat ἄρχοντες ἀρχόντων, *domini dominorum*; et ipsi *Bassæ* appellati. In ms. Chronico Cpolitano apud Meursium Μπεγλερπεῖς scribitur; et sæpe ibi occurrit. V. de Glossarium. Prætor Græciæ historicus, Leunclavio sæpius laudatus, Πελλάρπαχις scribit, et dicit *Beglerbegorum officium respondere dignitati vel officio maximi stratopedarchæ* (idem hic innuit logotheta), quem nunc *generalem campi* vocare solemus. Vide incomparabilis viri *Pandectæ Histor. Turc.*, cap 14, ubi et *emires* exponit. DOUSA.

πάχην Θεόδωρον, ὃν καὶ ταπᾶν τῇ αὐλῇ (44) κατωνόμαζον· τὸν δὲ Χαβάρωνα Κωνσταντῖνον εἰς ἡγεμονίαν τοῦ Ἀλβάνου κατέστησεν. Ἐμὲ δὲ πραίτορα χειροτονήσας πάντων αὐτῶν ἀφῆκε προϊστασθαι. Τοῦτο δὲ, ὡς οἶμαι, πεποίηκεν, ἵνα τῇ ἐξ αὐτοῦ μακροτέρᾳ ἀποδημίᾳ εἰς λήθην ὧν ἐπεπόνθειν γενοίμην. Οὐδὲ γὰρ εἶδέ μέ ποτε μετὰ τὰς πληγὰς ἐλευθεριάσαντα καὶ λόγοις χαρωποτέροις, ὡς εἰώθειν πρὸς αὐτὸν χρήσασθαι. Ἵνα γοῦν τῇ χρονίᾳ ταύτῃ διατριβῇ τῆς ψυχῆς ἡ σκυθρωπότης διαλυθείη μοι, πέπραχε τοῦτο. Τάχα δὲ καὶ ὡς δυσχεραίνων ἦν τὴν ξυναυλίαν μου βαρυνόμενος· προσέκρουον γὰρ αὐτῷ πολλάκις ἐφ' οἷς ἦξιον οὐ κατὰ τὸν δίκαιον λόγον διαπράττεσθαι θέλοντα.

A lorum obliviscerer. Namque post plagas acceptas **149** nunquam me liberius dicere quæ sentirem, nunquam verbis hilarioribus more meo uti conspexerat. Ut ergo longa ista mora mœrorem e pectore demerem, id egerat; fortasse etiam mei contubernii, quod fastidiebat, tædio. Sæpe enim in iis quæ ille contra jus fasque intendebat, ipse adversabar.

ξζ'. Ὁ μὲν οὖν [46] βασιλεὺς πρὸς τὴν Ἕω ἀπῄει, ἐγὼ δὲ κατελελείμμην τοῖς ἐν δυσμῇ. Τῆς γοῦν Θεσσαλονίκης ἐξιὼν ἀφικόμην ἐπὶ τὴν Βέρροιαν· ἐκεῖσε γὰρ ὑπῆρχον καὶ οἱ τοῦ πάππα πρέσβεις, οὓς ἀπεκβαλεῖν βασιλικῷ προστάγματι ἔμελλον. Κἀκεῖσε μικρὸν προσκαρτερήσας διὰ τὴν τῶν πρέσβεων ἀπεκβολὴν καὶ δι' ἑτέρας τινὰς ὑποθέσεις, ἐκεῖθεν ἐξιὼν τῆς πρὸς τὸ Ἄλβανον φερούσης ἠπτόμην. Καὶ δὴ τὰ Σέρβια παρελθὼν καὶ παραμείψας τὴν Καστορίαν καὶ τὰ περὶ τὴν Ἀχρίδα παραγγείλας ἀφικόμην ἐπὶ τὸ Ἄλβανον, κἀκ τούτου μετὰ τῶν τῆς χώρας ἐκκρίτων κατείληφα τὸ Δυρράχιον. Κἀκεῖσε διακαρτερήσας ἡμέρας ὀκτὼ ἐξῆειν πάντα τὰ καθ' ὁδὸν οἰκονομήσας καὶ καταρτίσας ὡς ἔμοιγε δέον ἐδόκει, κατὰ ταῦτα δὲ καὶ τὰ τοῦ Δυρραχίου (45). Ἐξορμήσας γοῦν τοῦ Δυρραχίου καὶ διελθὼν τὰ τῆς Χουναβίας, καὶ τὸ ὄρος ὑπερβὰς ὃ δὴ Κακὴν Πέτραν κατονομάζουσιν, εἰς τὰ περὶ τὴν Μάτην ἀπῄειν, κἀντεῦθεν ἐπὶ τὴν Δέρβην ἀφῖγμαι. Πᾶσι δὲ τοῖς καθ' ὁδὸν ξυντυχὼν τοῖς ἀμφὶ τὰ ἄστη καὶ τοῖς ἀμφὶ τὰ τοπικὰ στρατεύματα καὶ τοῖς τὰ δημόσια διενεργουμένοις πράγματα, διὰ τῆς Κυτζάβεως παριὼν ἐπὶ τὸν Πρίλαπον ἐγενόμην. Ταύτην γοῦν τὴν πορείαν τὴν ἐκ Θεσσαλονίκης μέχρι καὶ αὐτοῦ τοῦ Πριλάπου διὰ τριῶν πεποίηκα τῶν μηνῶν χειμῶνος ὥρᾳ. Δεκέβριος γὰρ ἦν ὁπότε τῆς Βέρροιας ἐξώρμων, καὶ τὸ Φεβρουαρίου τέλος ἐπὶ τὸν Πρίλαπον εἶχέ με.

Quando vero incorporeus, invisibilis, supersubstantialis Deus non jam corpus aereum ad exigui temporis speciem deproperatum, mox avolaturum, sed terram adeo ipsam ac lutum, nostram, inquam, substantiam et formam induere dignatus est, ad intimam statim cognitionem mysterii totius Gabriel admittitur. Qui sacerdotio fungenti repente astans Zachariæ nasciturum ipsi aperit ex anu sterili Baptistam. Tum gratia plenæ Virgini bono nuntio insperatæ salutationis oblato, cætera negotiatione legationis suæ rem denique sic conficit, inter eos ut conveniat: in Spiritu sancto virtuteque Altissimi Virginem Dei Filium parituram. Ut vero jam in virgineis visceribus in similitudinem humani fœtus assumpto corpusculo supersubstantialis est genitus, universa quidem gratulans militia cœlestis sacrum glorificationis hymnum cecinit, at Michael et Gabriel a principio incarnatum assectati præsto semper adfuerunt, qua, pro necessitate rerum, opportuna parentibus objicientes somnia, qua post tentationem in deserto ministrantes, qua passionis tempore confortantes ac quodammodo collaborantes. Neque hoc solum, sed morte crucis corpore solutum, nudaque anima ad subterraneos inferorum penetrantem carceres apparitores isti præcesserunt. Qui etiam impressione subita perculsos tenebrarum principes afflixerunt. Tum ereptas ex eorum vinculis conditori animas adduxerunt, cæteraque sedulitate omni se suumque obsequium ad majestatis ejus pompam et voluntatis omne signum accommodarunt. Ex sepulcro deinde resurrectionem quæ tertia die contigit iis

quos dignandos tanto honore Deus voluit manifestata : sic demum ad cœlos et ad Patrem ascendentem comitari visi sunt. Tum ostenderunt se apostolis duorum virorum specie vestitu albo aperto aere devolantium, secundæ manifestationis ejus qui assumptus fuerat annuntiantes modum. At superioribus potestatibus, Attollite portas, inclamabant, et elevamini, portæ æternales, et introibit Rex gloriæ. Verum num dictis hactenus eorum ministerium circumscriptum est? Minime. Neque enim id cessabit a restitutione Unigeniti ad Patris sui dexteram, usque ad exspectatam consummationem, et eam quæ illo tempore futura est magnificam Filii gloriæ manifestationem. Quo tempore, extremo illo præconio faciendo, et vocalissima Dei jussu inflanda tuba cujus efficaci sono corruptibile ad incorruptibilitatem immutabitur, et creatura omnis surget et sistetur judicanda Creatori, sui ministerii diligentiam approbabunt.

A οὖν ἐνταῦθα τούτοις καὶ ἡ διακονία περιγέγραπται; Οὐδαμῶς. Οὐ γὰρ ἕως τῆς πρὸς τὸν γεννήτορα μόνον τοῦ γεννηθέντος ἀποκαταστάσεως, μέχρι δὲ τῆς προσδοκωμένης συντελείας, καὶ κατ' αὐτὴν δὲ τὴν μεγαλοπρεπῆ τῆς τοῦ Υἱοῦ δόξης ἐπιφάνειαν τὸ τῆς αὐτῶν λειτουργίας ἐπιφαίνοντες δραστήριον, σάλπιγξι μεγαλοφωνοτάταις κελεύσματι θείῳ σαλπιοῦσιν· οὕτως ὥστε τὸ φθαρτὸν μὲν ἀλλοιωθῆναι πρὸς ἀχραντίαν, πᾶν δὲ τὸ πλάσμα τῷ πλάστῃ πριθησόμενον ἀνίστασθαι.

Sed jampridem evagantem eo unde est digressa orationem revocemus. Nam postquam rerum omnium potestas Filio est tradita, per omnem quidem terram dispensationis ejus nuntius et Evangelii sermo instar sonitus tonitrui vocalissime pervasit. At spiritualium harum potestatum hoc agente Providentia ad amplitudinis speciem magnificam prodigiis commendatus confirmatusque est. Deserto enim Israele veteri quod is verbo sacræ fidei restitisset impie ; aut potius receptis in peculiare patrocinium illis omnibus quicunque ex eo populo se dociles ad pietatem præbuerunt, omnibus qui supra modum infrænes ac rebelles erant abjectis, sic demum sanctis divini verbi prædicatoribus ad conversionem gentium promovendam auxiliarem suam operam prolixam et assiduam repræsentarunt, eo successu ut celerrime universa terra cognitione Dei repleretur. Prius tamen ab iisdem istis, ut divina narrat Apocalypsis, draco niger apostata et usque ad repugnandum Deo contumax spiritus cum suis angelis debellatus est, et cœlestibus ejectus sedibus in abyssum ac Tartarum relegatus est. Hujus merito victoriæ conciliatum ipsis præsentis hujusce festi honorem puto. Propterea synaxim archangelorum hodie gratulatione tanta concursuque celebramus. Hoc illi decus meruerunt quo tempore ad divini nutum spiritus tanquam ad imperatoris signum concurrentes, et spiritali quodam impetu atque impressione in patrem malitiæ simul irrumpentes averterunt illum in finem : et juxta divinam Scripturam illudentes ei, sicut fulgur juxta visionem Jesu e cœlo præcipitem exturbarunt. Cæterum quænam sit inter mentes incorporeas belli pugnarumque ratio, ipsæ scilicet præclare noverint. Nos humilitatem cogitationum similitudine sublevantes ex ventorum conflictu vasto inter se cœlo deprælientium nescio quam ad usurpandam hujus luctæ speciem nitebamur. Ut igitur in ventis vehementior infirmiorem superat : sic archangelorum violenta quædam in draconem sustinendo imparem prævalens conspiratio in chaos et caliginem miserum difflavit.

B Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ὅθεν ὁ λόγος προεξέδραμε, πάλιν αὐτὸν ἐπαναχτέον. Ἐπεὶ γὰρ ἡ τῶν ὅλων ἐξουσία εἰς τὰς χεῖρας ὑπῆρχε τῷ Υἱῷ, εἰς πᾶσαν μὲν τὴν γῆν ὁ τῆς οἰκονομίας αὐτοῦ λόγος ὡς φωνὴ βροντῆς ἐναρμονίως ἐξηχεῖτο· ὑπὸ τῶν νοερῶν δὲ τούτων δυνάμεων μεγαλυνόμενος ἐκραταιοῦτο. Τὸν πάλαι γὰρ Ἰσραὴλ ὅτι τῷ λόγῳ τῆς ἱερᾶς πίστεως ἀνιέρως ἀντεῖθετο καταλιπόντες· μᾶλλον δὲ τὸ μὲν ὅτον τοῦ ἔθνους εὐσεβὲς ἀνειληφότες, ὅσον δὲ κομιδῇ δυσήνιον ἐκρίψαντες, οὕτω τοῖς ἱεροῖς τοῦ Λόγου θεολόγοις εἰς τὴν τῶν ἐθνῶν περιποίησιν συνέδραμον, ὡς τάχιστα τὴν σύμπασαν γῆν τῆς ἐπιγνώσεως αὐτοῦ πληροῦσθαι. Πρότερον δὲ διὰ τούτων, ὡς αἱ θεῖαί φασιν ἀποκαλύψεις, ὁ δράκων ὁ μέλας, ὁ θεομάχος νοῦς καὶ ἀποστάτης, C ἅμα τοῖς αὐτοῦ καταπολεμηθεὶς ἀγγέλοις, καὶ τῶν οὐρανίων κατοικητηρίων ῥιφεὶς, ἄβυσσόν τε καὶ τάρταρον οἰκεῖν κατεδεδίκαστο. Τοῦτο καὶ τῆς παρούσης οἶμαι πρόξενον ἑορτῆς, τοῦτο καὶ σύναξιν τῶν ἀρχαγγέλων σήμερον πανηγυρίζομεν. Καθ' ὃν καιρὸν Πνεύματος θείου συνδραμόντες ῥοπῇ, καὶ νοητῶς τῷ τῆς κακίας συῤῥαγέντες πατρὶ ἐτρέψαντό τε τοῦτον εἰς τέλος καὶ κατὰ τὴν ἱερὰν Γραφὴν ἐγκαταπαίξαντες καὶ ὥσπερ ἀστραπὴν κατὰ τὴν τοῦ Ἰησοῦ θεωρίαν ἐξ οὐρανοῦ βάλλοντες ἐξέῤῥιψαν. Ἀλλὰ τίς ὁ τοῦ πολέμου τῶν ἀσωμάτων τρόπος, εἰδεῖεν ἂν ἐκεῖνοι σαφῶς. Εἰκάζομεν δὲ ἡμεῖς ταῖς τῶν ἀνέμων κατ' ἀλλήλων ἐμπτώσεσι τὴν τῶν νοητῶν ἐκείνων πνευμάτων παρωμοιῶσθαι πάλην. Ὥσπερ οὖν ἐν τούτοις τοῦ ἥττονος ὁ σφοδρότερος D ἐπικρατεῖ, οὕτως ἡ τῶν ἀρχαγγέλων βιαία κατὰ τοῦ δράκοντος ἐνισχύσασα πνοὴ τὸν μὲν εἰς χάος καὶ ζόφον ἐξέῤῥιψατο· αὐτοὶ δὲ τὴν ἐκείνου πτῶσιν ἑαυτῶν ἀσφάλειαν τιθέμενοι, ἕτερος πρὸ; τὸν ἕτερον ἐκέκραγον· Μήπως, φασὶ, διὰ τῆς αὐτῆς αἰτίας εἰς τὴν ὁμοίαν ὑπενεχθῶμεν ῥίψιν. Τοιγαροῦν καὶ ἡμεῖς κροτήσωμεν σήμερον τὴν ἧτταν τοῦ δυσμενοῦς. Ἑορτάσωμεν τὴν ἐκ νοῦ οὐρανοῦ, κατὰ τὸ ὑψηλὸν εὐαγγέλιον, τοῦ Σατανᾶ πτῶσιν, καὶ τὴν λαμπρὰν τῶν ἀγγέλων νίκην φαιδρῶς πανηγυρίσαντες ἐπὶ τὰς ἐφεξῆς αὐτῶν ἀριστείας τὸν λόγον καταγάγωμεν.

Quem ejus illi casum suam ipsorum securitatem reputabant, sic se invicem commonentes : Ne forte ob eamdem culpam simile nos ipsi quoque aliquando in exsilium deportemur. Nos vero par-

tem etiam delibemus huic gaudii : et victum impium communi hodie plausu gratulemur. Casum Satanæ juxta divinum Evangelium de cœlo cadentis festa lætitia prosequamur gloriosamque victoriam angelorum hilaritate publica celebrantes ad cæteram rerum ab ipsis præclare gestarum percurrendam seriem orationem admittamus.

Διὰ τούτων ἀπόστολοι, μάρτυρες, ἱερέων τε καὶ ὁσίων κραταιούμενοι χοροὶ, οἱ μὲν τὸ κράτος καὶ θράσος τῆς ἀνέκαθεν ἀσεβείας ἐκριζοῦντες, τὸν εὐσεβῆ τοῦ Θεοῦ Λόγου λόγον ἐνεφύτευσαν τῇ γῇ· οἱ δὲ τυράννων μιαιφονίαις συμπλεκόμενοι καὶ μέχρις αἵματος τούτοις ἀντικαθιστάμενοι, τὰς ἐναγεῖς μὲν θυσίας τῶν δαιμονίων ἀντανεῖλον, αὐτοὶ δὲ θυσία ζῶσα δεκτὴ τῷ τῆς δόξης κεκάρπωνται Θεῷ. Καὶ ἱερεῖς μὲν Κυρίου δικαιοσύνην ἐνδυσάμενοι πᾶν μὲν ἅγος αἱρέσεων ἀπεσκοράκισαν, πᾶσαν δὲ θεολογίαν ἀμώμητον ἡμῖν ἐξέβλυσαν. Ὅμιλος δὲ τῶν ἀσκητῶν ἱερὸς, κατὰ τοῦ νόμου τῆς ἁμαρτίας ὁπλιζόμενοι, καὶ τούτῳ νόμῳ τροπούμενοι δικαιοσύνης, ἐν ὄρει Θεοῦ ἁγίῳ καταπαύουσι Σιών. Καὶ γὰρ πάντες μὲν οἱ ἱεροὶ νόες λειτουγικὰ πνεύματα κατὰ τὴν μέγαν Ἀπόστολον ὑπάρχοντες πρὸς τὴν τῶν σωζομένων ἐφ' ὅλην τὴν γῆν προχειρίζονται διακονίαν· Μιχαὴλ δὲ καὶ Γαβριὴλ τοσούτῳ πιστοτέραν καὶ ἐνεργεστέραν τὴν ἑαυτῶν λειτουργίαν ἀναφέρουσιν, ὅσῳ καὶ πάντων ὑπερκείμενοι σοφίας περιουσίᾳ καὶ λαμπρότητος, μᾶλλον προσηγγίκασι τῇ ὑπερουσιότητι. Διὰ παντὸς δὲ βλέπουσι, ὡς ὁ θεῖος φησι λόγος, τὸ πρόσωπον τοῦ Θεοῦ. Ὥσπερ οὖν αὐτὸς οὗτος ὁ θεάνθρωπος Χριστὸς Ἰησοῦς ἔχει μὲν ἐκ δεξιῶν, ἔχει δὲ καὶ ἐξ εὐωνύμων αὐτῷ συνεδριάζοντας, οἷς ἡ συνεδρία πρὸς τοῦ Πατρὸς δῆλον ὅτι προητοίμασται οὕτω, φημὶ, καὶ τῶν νοερῶν τούτων λειτουργῶν ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ καὶ ἐξ εὐωνύμων αὐτῷ παρεστῶτας ἐξ αἰῶνος παρεστήσατο. Δι' ὧν ὡς οἰκειοτάτων τοῖς ὅλοις ἐντελλόμενος τῶν ὅλων ὑπερφυέστατα κήδεται καὶ προμηθεῖται. Οὕτω τὰς πολυειδεῖς διακονίας, εἴτ' οὖν λειτουργίας τῶν ἀσωμάτων καταθεωρήσαντες, φέρε δὴ λοιπὸν τίς αὐτοῖς ἑφεξῆς ἡ πρὸς τὸν ὑπερούσιον ὁμοιότης, καὶ τίς ἡ διαφορὰ κατανοῶμεν, τῇ τῶν ὀνομάτων κοινωνίᾳ τὴν ἀνόμοιον αὐτῶν, ὡς ἂν εἴποι τις, ὁμοιότητα κατὰ φύσιν τεκμαιρόμενοι. Οὕτω γὰρ ἂν ἡ τούτων γνῶσις ἐναργεστέρα τῷ νῷ καταλειφθείη.

Ἔστι μὲν γὰρ οὐδὲν καθόλου τῶν ὄντων ἀκοινώνητον ὁλοτελῶς ἢ ἀδιάφορον πρὸς τὴν ὑπερούσιον οὐσιαρχίαν· πάντα δ' ὅσα τὸ εἶναι πρὸς αὐτῆς εἴληφε καὶ πρὸς κοινωνίας τισὶ πρὸς ταύτην κεκοινώνηται· καὶ διαφέρει διαφορᾷ δηλαδή. Ἀλλ' ἔστι μὲν οἷς ἡ κοινωνία πλεονάζουσα τὴν διαφορότητα μειοῖ· ἔστι δ' οἷς ἡ διαφορότης ὑπερβάλλουσα τὴν κοινωνίαν ἐλαττοῖ. Οἱ δὲ πλείστῃ μὲν πρὸς τὴν θεαρχίαν κέχρηνται τῇ ὁμοιότητι, διὸ καὶ ταῖς θεωνυμίαις σχεδὸν ἁπάσαις ἀξιοπρεπῶς κατακεκόσμηνται· ἐλάττω δὲ κέκτηνται τὴν ἑτερότητα. Σκεπτέον δὲ

Horum præsenti ope apostoli et martyres, pontificum sanctorumque reliquorum corroborati chori ; illi quidem, robore atque audacia superstitionis, quæ ex inferis emerserat, exstirpata, pietatis semen Dei Verbi verbum in terra severunt. Illi vero cum crudelitate tyrannorum cominus congressi et usque ad sanguinem eis resistentes profana quidem sacrificia dæmoniorum sustulerunt, ipsi vero vivens hostia et acceptabilis Deo gloriæ immolati sunt. At sacerdotes Dei justitiam induti, peste omni hæreseon procul a contagione sinceræ fidei exterminata, sacræ nobis doctrinæ explicationem sanam et irreprehensibilem profuderunt. Cœtus porro sacer Ascetarum adversus peccati legem armati, illamque lege justitiæ permutantes in monte Dei sancto Sion acquiescunt. Cæterum cum illæ omnes sanctæ mentes juxta magnum Apostolum administratorii sint spiritus, omniumque salus qui ubique terrarum hæreditatem capiunt salutis eorum ad ministerii providentiæque partem aliquam pertineat : tanto plus tamen hac in administranda spirituali præfectura fidelitatis industriæque laude Michael et Gabriel supra reliquos excellunt, quanto iisdem omnibus sapientia et nobilitate infra se relictis vicinius ad omnis perfectionis apicem divinitatem similitudo istos propior quam aliorum quemquam dignitasque admovet sublimior. Semper autem, ut divinum Verbum loquitur, vident faciem Dei. Quemadmodum igitur hic ipse Deus simul et homo Christus Jesus a dextris et a sinistris assidentes sibi habet aliquos : eos scilicet quibus tanti consessus honor paratus a Patre est : ita dico spiritualium horum ministrorum adstare ei semper a dextris alterum, alterum a sinistris ad hoc officium quotidianæ apparitionis aut assessus æternæ Dei voluntate electos et adhibitos. Quibus ut familiarissimis internuntiis ac procuratoribus ad omnia utens, universitatem rerum magnifica quadam planeque regia Providentiæ ratione moderatur. Sed jam incorporearum mentium functiones varias ac ministeria satis hactenus contemplati, age hinc deinceps quænam tandem sit illorum cum Deo similitudo, rursus quæ differentia, consideremus. Hancque in eo viam teneamus censeo, ut nominum indicio naturas indagantes attendamus ecqua et qualis inter eos qui communione continentur unius nominis, dissimilis, ut sic loquar, esse possit similitudo naturarum. Sic enim vim, ut opinor, hujus rei perspiciemus clarius.

Nihil prorsus est omnium quod supremo rerum omnium principio aut diversum ita sit ut non in aliquo conveniat; aut rursus ita geminum nullo ut in parte differat. Sic ista temperantur invicem. Est in omni Dei opere character certi lineamenti quod auctorem referat; sunt et insigues item ad discernendum notæ. Verum in quibusdam similitudo tam expressa cernitur differentiam ut omnem pene obruat : in quibusdam ita exstat differentia nullam ut relinquere similitudinis speciem videatur. Nostri autem archangeli prius ad

illud genus pertinent illustrissima Dei similitudine insigniti. Unde merito appellationibus quæ Deo conveniunt pene ornantur omnibus, differentia porro tenuissima dispares. Quod adeo sic demonstratur. Lux est Dominus, rationalis omnis et spiritualis naturæ illuminator. Lux vera quæ illuminat, juxta excelsam theologiam, omnem hominem venientem in hunc mundum. Lux item est Michael, lux Gabriel. Lux uterque pellucens et a Deo splendens. Lux corporeæ omnis repræsentationis expers. Lux non ex accidenti, sed natura fulgens; vivens eadem et divini luminis splendorem referens. Lux secunda, primæ lucis expressum et illustre simulacrum ad similitudinem primi genii splendoris resultans, lux radios ejaculans et fulguris ad modum subjectorum oculos perstringens. Rursus angelus Dominus magni annuntiator consilii. Angelus filius et nuntius paternæ benevolentiæ ac adversus homines amoris. Quid vero Michael et Gabriel? an non et ipsi angeli omnipotentis Domini? An non omnibus sibi naturæ ordine subjectis Dei gloriam annuntiant? An non in omnes gentes mandatum ipsi perferunt Domini? Spiritus est Deus spirans ubi vult et quando et quantum, omnem sensus et cogitationis aciem subtilitate substantiæ ac tenuitate fugiens. Ignis præterea Deus noster est, et ignis omnis malitiæ consumptor, animarumque expurgator omnium, cogitationum quoque omnium illuminator. Posthac et minister in terris visus est. « Ego enim, ait, in medio vestrum sum sicut qui ministrat. » Sed et ipse fecit angelos suos spiritus, leves, agiles, strenuos, et ministros suos flammam ignis, prunas immateriales, micantes, ad omnem vibrandi agendique efficacitatem celeres, purgativam quamdam vim spirantes. Tales sibi ministros et famulos elegit qui non mora et ærumna optatum denique perficiant, sed pernicissimo neque eo laborioso motu quidquid decrevit Deus fieri effectum cumulate repræsentent. Quod si omnes quotquot sunt ad sui similitudinem designavit angelos, multo nimirum potiori ratione existimandus est istos omnium præcipuos ad exactissimam sui ipsius imaginem elimasse. Spiritus ille princeps, immensus, incomprehensibilis, perspicacissimus. Mens omni mente major quæ mentes omnes et potentia produxit et intelligentia penetrat ac pervidet. Omnium tamen conatus ad se vicissim cognoscendam frustrans: quod longe facultatem cognoscendi omnem habitumque transcendat. Mentes isti quoque puræ sunt et liquidæ, et cogitationum bonarum procreatrices quæ naturas quidem omnes se inferiores clarissime cognoscunt. At ipsæ imitatione Dei cognitionem inferiorum mutuam fugiunt. Vita est Deus, vitæ sibi ipsi suæ principium et fons, vitam impertiens omnibus viventibus, ipse a nemine sumens. Quale

A οὗτος. Φῶς μὲν ὁ Κύριος πάσης φωτιστικὸς λογικῆς τῆς οὐσίας καὶ νοερᾶς. Φῶς ἀληθινὸν ὃ φωτίζει, κατὰ τὴν ὑψηλὴν θεολογίαν, πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· φῶτα δὲ Μιχαὴλ καὶ Γαβριὴλ διαυγῆ καὶ θεαυγῆ· φῶτα σωματικῆς ἐμφάσεως πάσης ἀμιγῆ καὶ λαμπρὰ τὴν φύσιν καὶ ζῶντα καὶ θεοειδῆ· φῶτα δεύτερα τοῦ πρώτου φωτὸς ἐναργῆ μιμήματα καθ' ὁμοιότητα τῆς πρωτουργοῦ διαλλόμενα λαμπρότητος, ἀκτινοβολοῦντα καὶ καταστράπτοντα τοὺς ὑποδεδηκότας. Ἄγγελος πάλιν ὁ Κύριος τῆς μεγάλης ἐξαγγελτικὸς βουλῆς, ἄγγελος τῆς πατρικῆς ὁ Υἱὸς εὐδοκίας καὶ φιλανθρωπίας. Τί δὲ Μιχαὴλ καὶ Γαβριήλ; Οὐκ ἄγγελοι Κυρίου παντοκράτορος; Οὐκ αὐτοὶ πρὸς πᾶν τὸ τὴν τάξιν ὑποδεδηκὸς τὴν δόξαν ἀναγγέλλουσι Θεοῦ; B Οὐκ αὐτοὶ πρὸς πάντα τὰ ἔθνη τὸ πρόσταγμα διαγγέλλουσι Κυρίου; Πνεῦμα ὁ Θεὸς, καὶ πνέων ὅπου θέλει, καὶ ἡνίκα, καὶ ὅσον, πᾶσαν αἴσθησιν ἢ νόησιν τῇ τῆς οὐσίας λεπτότητι διαδιδράσκων. Καὶ πῦρ δὲ ὁ Θεὸς ἡμῶν, καὶ πῦρ κακίας μὲν ἐξαναλωτικὸν ἁπάσης, ψυχῶν δὲ πασῶν καθαρτήριον. Καὶ διάκονος ἐπὶ τῆς γῆς ὤφθη. « Ἐγὼ γὰρ, » φησὶν, « ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. » Ἀλλὰ καὶ αὐτὸς ἐποίησε τοὺς ἀγγέλους αὐτοῦ πνεύματα κοῦφα καὶ ἀεικίνητα, καὶ ἐνεργὰ, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγας, ἄνθρακας ἀΰλους, ἀκτινοειδεῖς καὶ δραστηρίους, καθαρτήριον πνέοντας ἐνέργειαν. Λειτουργοὺς δὲ καθίστησι καὶ διακόνους, οὐ χρόνῳ καὶ μόγῳ τὸ σπουδαζόμενον ἐπιτελοῦντας, ὀξυτάτῳ δὲ C καὶ ἀκαμάτῳ ῥοπῇ τὴν Δεσποτικὴν βουλὴν πληροφοροῦντας. Εἰ δὲ τοὺς ἄλλους, πολλῷ δήπου μᾶλλον τοὺς τῶν ὅλων ἀρχικωτάτους πρὸς ἐνεργεστάτην αὐτῷ παρήγαγεν ὁμοίωσιν. Νοῦς ὁ Κύριος ἅληπτος, ἀπερινόητος, εἰλικρινέστατος. Νοῦς ὑπέρνους, νόων μὲν παραγωγεὺς καὶ κατανοητικὸς ἁπάντων, ὑπ' οὐδενὸς δὲ νοούμενος ὡς ἔστιν, τῷ πᾶσαν νοητικὴν δύναμιν ἢ ἕξιν ὑπερεκπίπτειν. Ἀλλὰ καὶ οὗτοι νόες εἰσὶ καθαροὶ καὶ εἰλικρινεῖς, καὶ ἀγαθῶν γεννήτορες ἐννοιῶν, καὶ πάσας μὲν τὰς ὑπ' αὐτοὺς οὐσίας ἀκριβέστατα κατανοοῦσιν· φεύγουσι δὲ καὶ αὐτοὶ θεομιμήτως τὴν τῶν ὑφειμένων κατανόησιν. Ζωὴ ὁ Θεὸς καὶ αὐτοζωὴ, ζωοῦσα μὲν ὅσα μετέχει ζωῆς, οὐ ζωουμένη δέ. Τί γὰρ ἂν καὶ εἴη τὸ τὴν πρώτην ζωὴν ζωῶσαν τὴν ἁπάσης ἀρχίζωον ζωῆς; ζωαὶ δὲ D εἰσὶν οὗτοι, καὶ προσφυῶς ἂν κληθεῖεν ὡς ἔγγιστα τῇ αὐτοζωῇ προσεσχηκότες, καὶ τῆς ἐκεῖθεν ἰούσης ὑπερεμπιπλάμενοι ζωοδωρίας. Καὶ τὴν αὐτὴν εἰκόνα μορφούμενοι τῆς ζωῆς, ἀκραιφνῆ ὁμοιώματα τῆς ζωαρχίας χρηματίζουσιν. Δύναμις ὁ Κύριος, καὶ ἐνέργεια, μᾶλλον δὲ αὐτοδύναμις καὶ αὐτενέργεια πάσης δυνάμεως δυναμωτικὸς, πάσης ἐνεργείας ἐνεργητικός· δύναμις δρῶσα μὲν τήν τε δύναμιν καὶ τὴν ἐνέργειαν· εἰς πάνθ' ὅσα μετέσχηκεν αὐτῆς, πάσχουσα δὲ ταῦτα τῶν πάντων ὑπ' οὐδενὸς, προκαταρκτικὴ (4) τῶν ὅλων ποιήσεων ὑπάρχουσα.

(4) *Προκαταρκτική. Αἰτίας προκαταρκτικὰς τῶν νόσων* eas appellant medicorum pueri quæ ab extrinseco incidunt. Nam eas quæ ex intima ratione temperamenti ac qualitatum corporis exsistunt, προηγουμένας iidem vocare consueverunt. Quæ ad hunc locum intelligendum nonnullum habent usum. Isthic enim προκαταρτικὴ δύναμις vis est aliud a se distinctum ab extrinseco efficiens.

Δυνάμεις εἰσὶ καὶ ἐνέργειαι Μιχαὴλ καὶ Γαβριὴλ, δυνάμεις, οὐ ποιότητες ἀτελεῖς εἶτ' οὖν ἕξεις πρὸς ἐνέργειαν ὁδεύουσαι, ἀλλὰ δυνάμεις ζῶσαι καὶ τῇ οὐσίᾳ σύνδρομον ἔχουσαι καὶ τὴν ἐνέργειαν. Ἐπὶ μὲν γὰρ τῶν ὑλικῶν σωμάτων καὶ φυσικῶν ἰδίᾳ μὲν ὁ τῆς οὐσίας καθ' ὃ ἐστιν ὁρᾶται λόγος, ἰδίᾳ δὲ ἡ ἔμφυτος δύναμις ἐπιτηδειότης, οὖσα πρὸς ἐνέργειαν καὶ παρὰ ταῦτα ἡ ἐνέργεια οἷον οὐσίας ἀποτέλεσμα τυγχάνουσα διὰ τῆς ἐνούσης αὐτῇ δυνάμεως, εἰς τελειότητα προσαγομένη. Ἐπὶ τῶν νοερῶν δὲ καὶ ἀΰλων οὐσιῶν αὐτὴ αὐτῆς ἡ οὐσία δύναμίς ἐστιν ἐνεργής. Καθ' ὃ γάρ εἰσι καὶ δύνανται· καὶ ἄενναον προῖᾶσι τὴν ἐνέργειαν· ὥστε δὴ καὶ οὗτοι πάντων ὑπερκείμενοι τῶν ὑποβεβηκότων δρῶσι μὲν περιουσίᾳ δυνάμεως θεοπρεπεῖς τῆς ὅλης ἐνεργείας, Ὑπ' αὐτῆς δὲ μόνης αὐτοὶ τῆς πρωτουργοῦ δυνάμεως εἶτ' οὖν αὐτενεργείας, ἐνεργοῦνται δυναμούμενοι. Ἅγιος ὄντως ἐκεῖνος καὶ μόνος ἀγαθὸς φύσει, ὃς πηγή τε καὶ ῥίζα παντὸς ἐστιν ἁγιασμοῦ καὶ ἀγαθότητος. Ἅγιοι δὲ καὶ ἀγαθοὶ καὶ οὗτοι. Ἀλλ' ὁ μὲν ἀμεθέκτως καὶ ἀναιτίως, οἱ δὲ μεθεκτῶς καὶ μεταληπτικῶς τῷ πρὸς αὐτὸν τὴν οὐσίαν ᾠκειῶσθαι τῆς ἁγιότητος ὑπερπληρούμενοι καὶ ἀγαθότητος, οἷον αὐτόχρημα τὸ μετεχόμενον πεφύκασιν.

A enim illud tantum esse posset quod vitæ primigeniæ cujus ex origine vitæ omnis usura derivata est, causa atque auctor exstitisse vivendi jure diceretur? Vitæ isti quoque sunt, sicque merito vocentur, ut qui perenni vitæ fonti adhæreant perpetuo, affluentiumque illinc vitæ munerum copia redundent; Vitæ principis imagine in se ad vivum expressa ad naturæ præcellentis exactam similitudinem conformati. Potens efficaxque Deus est aut ipsa potius potestas et efficacitas a se utrumque habens, potestatem omnem corroborans, efficaciam acuens, utriusque auctor omnibus quæ illas cunque participant. Quorum nihil omnium quidquam simile patitur a quoquam, cum nulli non effectioni causa ipse extrinsecus succurrens adjutrixque adsit. Potestates et efficacitates item sunt B Michael et Gabriel. Potestates, non qualitates imperfectæ, aut habitus ad efficacitatem viam munientes: sed facultates vivæ quarum naturæ expeditissima semper agendi vis comes adhæret individua. Nam in materiatis quidem et naturalibus corporibus separatim naturæ ratio, separatim item insita spectatur vis: quæ habilitas est quædam ad facile operandum instruens, tum ipsa denique supervenit expedita proxime facultas, complementum quoddam substantiæ, quam virtutis ejus quæ in se est collatione perficit. Aliter porro se res habet in intellectualibus et expertibus materiæ naturis. Quibus ipsa sua facultatis vicem omnis sibi potestas et efficacitas expedita proxime substantia per se est. Per id enim ipsum possunt quo sunt: ac velut ex perenni fonte æternam inde fundunt efficacitatem; eorum ut omnis (longe nimirum supra causarum infimarum egenam et defatigationi finitimam agendi rationem) ex facultatis abundantia semper redundet operatio. Deo jam dignus efficiendi modus, quo nimirum ab uno hac illi omni ita prompta atque facili sunt ornati potestate. Qui item vere sanctus et solus bonus natura vere dicitur. Quippe sanctitatis et bonitatis omnis fons idem et radix est. Sancti quoque nostri isti simul et boni. At ille propria nullique causæ debita: isti aliunde ducta et participata bonitate, cujus hauriendæ copiosius sua naturalis cum ejus fonte Deo propinquitas magnam ipsis opportunitatem præbuit, ut non jam in illis communicata bonitas, sed ipsa adeo primigenia cernatur.

Ἔτι σοφία πρὸς τούτοις καὶ ἀλήθεια, δικαιοσύνη καὶ σωτηρία καὶ τὰ παραπλήσια πρὸς τῶν θεοσόφων λογίων ἡ θεαρχία προσηγόρευται. Τί δὲ Μιχαὴλ καὶ Γαβριήλ; οὐ σοφοὶ τὰ θεῖα; καὶ τῆς σοφίας τῆς ἄνωθεν τοῖς ἀξίοις διαπορθμευταί; Οὐκ ἀληθεῖς αὐτοὶ καὶ δίκαιοι παρὰ Θεῷ; ἀληθείας δὲ καὶ δικαιοσύνης ἡμῖν βραβευταί; οὐ σωτῆρες κόσμου μετά γε τὸν ὄντως Σωτῆρα πεφήνασι τοῖς σωζομένοις; Ἢ οὐχὶ τὰς τῶν πιστῶν προσευχὰς ὡς εὐώδες θυμίαμα προσάγουσι; Κυρίῳ, κἀκεῖθεν τῶν αἰτουμένων τὴν πλήρωσιν εἰς σωτηρίαν τοῖς εὐχομένοις ἐπιχορηγοῦσιν; Ἢ οὐχὶ καὶ πᾶν τὸ πρόσωπον τῆς γῆς ἐφορῶντες, οὐχ ἥκιστα δὲ τοὺς ἐν ναῷ τούτων ἁγίῳ προσκαρτεροῦντας ἐποπτεύοντες παντοδαπῶν τε νόσων, καὶ πάσης δαιμόνων ἐπηρείας, καὶ πάσης σωμάτων ἐξιῶνται λύμης τε καὶ φθορᾶς; Ὥσπερ γὰρ, εἰ μὴ τολμηρὸν εἰπεῖν, ὅσα κατὰ φύσιν ἐνορᾶται Θεῷ, ταῦτά γε κατὰ τὴν αὐτοῦ εἰσιν οὗτοι μετουσίαν, καὶ ὅσα δὲ πληροῖ οὐσιωδῶς ἐκείνη ἀδιαστάτως τῷ παντὶ παροῦσα, ταῦτα νοεραῖς οὖσαι πτήσεσιν ὡς ὑπόπτεροι νόες κατειλήφασιν· οὕτω καὶ πάνθ' ὅσα δύναται ποιεῖν ἐξ αὐτῆς ἐκείνη, ταῦτα καὶ τούτους τυχὸν ἐν ἐκείνῃ δύνασθαι ποιεῖν·

Ad hæc in divinis præterea oraculis sapientia, C veritas, justitia, salus, et si quid ejusmodi est aliud, Deus appellatur. Quid Michael et Gabriel? an non divinarum rerum præditi sapientia sunt? non ejusdem ad homines si qui tanto sunt digni munere institores velut quidam et interpretes? An non iidem veri et justi apud Deum? Nobis vero nonne illi veritatis et justitiæ præmia dividunt? Non mundi salvatores (secundo quidem loco post Salvatorem verum) salvatis se exhibent? et nunquid orationes fidelium tanquam odorem suave fragrantem Domino admovent? indidemque expetitarum rerum uberem copiam et votorum effecta ad salutem precantibus expediunt? an non in terras late omnes ex quadam velut specula beneficentissimæ providentiæ despectantes universum genus hominum, D et scilicet in eorum curam qui in sancto ipsorum templo religionis officiis constanti pietate repræsentandis perseveranter insistunt, peculiari studio vigilantes, ab morborum omni genere, tum a malorum dæmonum impressione noxia, corruptioneque omni ac pernicie corporum liberant? Quemadmodum enim, nisi id dici videatur audacius,

quæcunque in Deo naturaliter inesse cernuntur, eadem Dei ex ejusdem ipsi consuetudine in sese ducunt atque exprimunt, et quæcunque per se ipsam illa implet natura nullo interclusa locorum intervallo quominus universo præsens orbi sit, eadem illi spatia celerrimarum mentium intellectualibus obeunt volatibus : ita quæcunque per seipsam illa valet, eadem isti forte dici queant posse illius vi perficere, ut quibuscum suas Deus ipsas appellationes rebus utique non vacuas communicet. In omnibus vero, ut semel dicam, divinis proprietatibus quarum ipsi cum conditore rerum omnium communia obtinent nomina, hæc attendenda differentia : ut illi quidem hoc sit proprium a nullo accepisse quod sit esseque ita; atque eum exsistendi supra omnem longe naturam exsistentem obtinere ac tueri principatum, constitutione certissima, firmitate immutabili, stante semper et perdurante constantia, ut nulla illi participatio similitudinis proprietatis in excellentia summæ differentiam adimat. Hi vero non tantum quod omnino sunt, sed quod hujusmodi sunt. Eaque utuntur conditione ac felicitate naturæ illi debent conditori rerum omnium ad insignem quamdam atque expressam sui similitudinem opus suum elaborare cupienti. Enimvero a nullo ipse conditus, atque ut sic dicam ex seipso natus. Illi vero conditi et ejus vi atque efficientia ad hunc exsistendi vel honorem excitati vel fructum. Rursus ille quidem præit celerrima operatione mentis longeque occupat quocunque velocius intelligentiæ creatæ motu consilii omnis boni excogitationisque initia prævertere. Cæterum istos habet assectatores in isto cursu omnium proximos. Qui cognitorum quidem aliqua ipsi per se efficiunt : alia inferioribus potestatibus declarantes illarum ascito concursu et cooperatione perficiunt. Atque illi quidem, utpote Deo, summus religionis cultus adhibetur. Michael et Gabriel sua item observantia ac religiosa veneratione dignantur tanquam ministri ejus igneï, et intelligentiæ natura volucres fulmineæ quadam incitatione, aut divina potius rapiditate motus, omnem supremæ voluntatis nutum obsequio impigro prosequentes. Sed jam ad eorum præcellentem et divinam gloriam considerationem sermonemque vertere parantibus unde aut quæ tandem verba suppetant quæ cum rei exæquari dignitate possint ? Neque enim verbosis disputationibus, opinor, sed mente pura ac Dei Spiritu collustrata ad cognitionem pervenitur divinarum mentium ita perspicuam, ut earum vis omnis ac natura, sic tanquam in speculo, clare cernatur. Incumbendum nobis igitur actioni est et mandatorum observationi, cujus beneficio purificatio corpori, illustratio animæ, deificatio menti sacro quodam modo comparatur. Verumtamen ne contemplationem quidem, et eam quæ sermone atque oratione fit considerationem, negligamus, at eam sane quantum erit in nobis situm omni co-

A

B

C

D

οἷς καὶ ταῖς θεωνυμίαις αὐτῇ κοινωνεῖν. Ἐν πᾶσι δὲ, καθάπαξ εἰπεῖν, τοῖς θεοπρεπεστάτοις ἰδιώμασιν οἷς τῷ ποιητῇ κεκοινωνήκασιν οὕτω τὴν διαφορὰν θεωρητέον, ὥστε τῷ μὲν οὐκ ἔκ τινος εἶναι ἢ οὕτως εἶναι πάσης οὐσίας ὑπερουσίως ὑπεριδρυμένῳ καὶ ἀναλλοιώτως ἀεὶ ἑστῶτι κατὰ πᾶσαν ὑπερφυεστάτην ἰδιότητα· τοῖς δὲ οὐ τὸ εἶναι μόνον, ἀλλὰ καὶ ὁ τοῦ εἶναι τρόπος ἐξ αὐτοῦ πρὸς ὑπερφυῆ τοῦ ποιοῦντος ὁμοιότητα καθισταμένου τοῦ πεποιημένου. Καὶ γὰρ ὁ μὲν ἄκτιστος καὶ αὐτογένεθλος, ὡς ἄν τις εἴποι, οἱ δὲ κτιστοὶ καὶ ἐν ἐκείνῳ τὸ εἶναι λαχόντες. Πάλιν ὁ μὲν ἡγεῖται πάσης τε βουλῆς ἀγαθῆς καὶ ἐννοήματος· οἱ δὲ λίαν ὀξέως συνιοῦσιν ἑφεπόμενοι. Καὶ ἃ μὲν αὐτουργοῦσιν, ἃ δὲ ταῖς ὑφειμέναις δυνάμεσιν ἐκφαίνοντες ταῖς αὐταῖς συνδρομαῖς καὶ συνεργείαις, τὰ πάντα τελεσιουργοῦσιν. Καὶ ὁ μὲν ὡς Θεὸς θεραπεύεται καὶ λειτουργεῖται· Μιχαὴλ δὲ καὶ Γαβριὴλ οἷα δὴ λειτουργοὶ πύρινοι, ἢ νόες πτηνοὶ τὴν φύσιν καθεστῶτες ἐμπύρως ἢ θείως τοῖς θεαρχικωτάτοις θελήμασι διακονοῦσιν. Ἀλλὰ πῶς ἂν εὐεπηβόλως τὴν τούτων θειότητα καὶ δόξαν καταθεωροίημεν; Οὐδὲ γὰρ μακραῖς οἶμαι λόγων διεξόδοις, νῷ δὲ καθαρῷ καὶ Θεοῦ Πνεύματι πεφωτισμένῳ τὴν θεωρίαν τῶν θείων νόων ὡς ἐν ἐσόπτρῳ κατοπτεύεσθαι. Οὐκοῦν ἐπιμελητέον τῆς πράξεως, ἤτοι τῶν ἐντολῶν φυλακῆς, δι' ἧς τῇ σαρκὶ μὲν κάθαρσις, ἔλλαμψις δὲ τῇ ψυχῇ, καὶ τῷ νῷ θείωσις ἱερουργεῖται. Ἀλλὰ μηδὲ τῆς μετὰ λόγον θεωρίας ἀμελῶμεν· ἀντιποιητέον δὲ καὶ αὐτῆς ὅση δύναμις· εἴ γε δὴ μέλλοιμεν τῆς τῶν νόων ὄψεως μετρίως ἐπιβήσεσθαι. Ὁμοίως γὰρ ἀτελὲς καὶ πρᾶξις ἄλογος καὶ λόγος ἄπρακτος. Ἡ μὲν ἀμφίβολος καὶ στυγνὴ, τῆς τοῦ λόγου χάριτος ἀστοχοῦσα καὶ τοῦ φωτισμοῦ· ὁ λόγος δὲ πάλιν εἰκῇ ῥέων εἰς ἀέρα, καὶ τὸν ἐν αὐτῷ κομπάζοντα κενὸν ἀφιεὶς, εἴγε μὴ τῇ πράξει βεβαιωθεὶς ἀῤῥήτως ἐνιδρυθείη· οἷς δὲ τὰ θεωρητέα πρακτέα, καὶ τὰ πρακτέα γέγονε θεωρητέα τούτοις καὶ τὸ εἶναι τελείοις, καὶ ὁμιλεῖν ἀγγέλοις, καὶ τὰς νοερωτάτας αὐτῶν ἐνεργείας καὶ δόξας καταλάμπεσθαι. Διὰ τοῦτο περὶ τὸν λόγον φιλολογητέον, καὶ περὶ τὸν βίον φιλοπονητέον, καὶ τὸν μὲν τῇ μελέτῃ, τὸν δὲ τῇ ἀσκήσει κατορθωτέον ὅτι μάλιστα. Οὕτω γὰρ κατορθούμενοι καὶ τελειούμενοι, καὶ τούτοις οἷα δυσὶ πτέρυξι πτερούμενοι, καὶ γῆθεν ἐπαιρόμενοι, τὸν ὁρώμενον μὲν κόσμον ὑπεραναβαίημεν, τῷ νοητῷ δὲ καὶ ὑπὲρ αὐτὸν ἐστάσει κρείττονι προσηγγικότες τῶν τ' ἄλλων ἱερῶν νόων τῆς φωτοφανοῦς ἐμπλησθείημεν λαμπρότητος, καὶ πρὸ πάντων τῆς ἀρχαγγελικῆς ταύτης ἀκρότητος καὶ θειότητος. Δι' ὧν ἡρέμα καὶ ἡ θεαρχικωτάτη παραγυμνοῦται τριὰς, οἷς μὲν ἑαυτὴν ὡς ἐνὸν μυσταγωγοῦσα, οἷς δὲ μυσταγωγεῖν ἄλλους ὁρωμένη πάντας ἀγαθουργοῖς λάμψεσιν εὐεργετεῖ καὶ ἀγαθύνει. Ἀλλ' ὦ θεωροὶ καὶ λειτουργοὶ τῆς ἀκροτάτης καὶ πάντα νοῦν καὶ λόγον ὑπεραιρούσης ὑπερουσιότητος· ὦ πνεύματα θεῖα καὶ πύρινα καὶ νοερὰ, τῶν κοσμικῶν στοιχείων ἀῤῥαγέστατα στηρίγματα, τῶν τῆς πονηρίας πνευμάτων κραταιότατα συντρίμματα· τῶν σοφῶν οἱ σοφισταὶ, τῶν ἁγίων οἱ

πτερωταί· οἱ πάντων ὁμοῦ τῶν ἐθνῶν ἄριστοι προ- A natu capessamus, si quidem ad aliquam vel mediocrem intelligentiarum notitiam aspiremus. Similiter enim imperfecta sunt, actio infans, et otiosus sermo. Illa quidem perplexa et inconstans, tum tristis quædam, gratiæ ejus et lucis inops quæ doctrina et sermone continetur. Hic vero strepitu inutili per aerem fluens, et auctorem suum ejus ostentatione gloriantem inanem relinquens, nisi actione confirmatus solidam tum demum invictamque obtineat, ut jam optime fundatus in animo, firmitatem. Qui autem hæc conjungunt ita, ut nec contemplatio actionem desideret, nec ista vicissim illius consortio auxiliove destituatur, eisdem et perfectis esse datur, et familiariter angelis uti : tum facultates dotesque omnes illas subtilitate ac splendore suo sensuum frustrantes aciem soliusque mentis intuitum admittentes posse clarissime perspicere. Quare et in idonea paranda instruendaque doctrinæ ac sermonis copia contendendum est, et ad obtinendam perfectionem vitæ laborandum, faciendumque ut illam studio et meditatione, et istam religiosa mentis exercitatione quam diligentissime excolamus. Sic enim utrimque ornati omnibusque absoluti numeris, duabus hisce velut alis, terris evecti, mundum hunc quidem aspectabilem transcendemus, intelligibili vero admoti, imo ultra ipsum abstractione mentis haud paulo feliciori sursum provecti, cum aliarum sacrarum mentium lucidissimis splendoribus implebimur, tum vero præ cæteris archangelicam horum sublimitatem. divinitatemque mirabimur. Cujus visionis tanto fructui hæc accedet insuper utilitas, quod tali contemplatione exercitatis ac præparatis mentibus divinissima jam Trinitas manifestius ostenditur. quibusdam quantum humana capit imbellicitas se cognoscendam exhibens ; quibusdam etiam tantum hoc donum illo cumulans auctario, ut privato fructu multorum ad utilitatem propagato, arcanas illustrationes et mysteriorum sensus communicare aliis docendo posse concedat, ita neminem suæ benificentissimæ illuminationis expertem sinens, sed quamvis diversos omnes uno beneficio suæ manifestationis complectens et beans. At vos, o contemplatores et ministri supremæ omnemque mentem ac sermonem excedentis supersubstantialitatis. O Spiritus divini, ignei, intelligentes. Elementorum mundi firmamenta ac fundamenta solidissima Malignorum spirituum mallei validissimi Qui sapientes sapere docetis. Qui sanctis ut terris evolent pennas aptatis. O cunctarum simul gentium præsides optimi, et providentissimi curatores, plebis Angelorum tribuni, Archangelorum imperatores. Principes in Principatibus, potentes in Potestatibus, valentes in Virtutibus, dominantes in Dominationibus, Thronorum contubernales, sanctorum Cherubim familiares, et supremis omnium Seraphim æquales. O qui hymnum trisagium cum illis omnibus, vel præ illis omnibus, æternis et ter sanctissimis modulationibus omni sanctitate sanctiori Deo concinitis. Replete terram pace Dei, consensum verum et conspirantem in uno Dei colendi atque amandi ritu concordiam Ecclesiis o cœlo procurate. Rejectisque indignis e Christi corpore, in unum spiritum novumque unum hominem reliquorum Dei fidelium multitudinem reformate. Nobis vero præsentem quidem vitam in id quod rectum est dirigite, actionemque nostram omnem, et cogitationem, et locutionem ad amussim divini beneplaciti prorsus exigite. Tum ad extremum ærumnosa ista et misera defunctos vita ne nos funestis tenebrarum angelis magnum ad eorum gaudium relinquatis. Nequaquam, o divinissimi Michael et Gabriel, ne, inquam, ne, quæso vos, ne condonaveritis illis animam Dei laudes confessam, vos vero humiliter ac suppliciter deprecatam, sed tetros quidem dæmonas minaci atque iracundo fremitu rejicite, mihi vero salvatores este boni et invicti, tum ad supremum Deum admissionales mediatoresque longe optimi Christum. Neque prius desistite ab expediendo mihi ad eum aditu, quam me in ipsam Dei requiem induxeritis, et summi votorum omnium compotem factum supremo expetendorum et desideriorum fini ultimo summo bono me conjunxeritis in gloriam Patris, et Filii, et sancti Spiritus in sæcula sæculorum. Amen.

μηθεῖς καὶ κηδεμόνες· τῶν ἀγγέλων οἱ δημαγωγοί, τῶν ἀρχαγγέλων οἱ ἀρχηγοί, οἱ ἄρχοντες ἐν ταῖς ἀρχαῖς, καὶ ἐξουσιάζοντες ἐν ἐξουσίαις· οἱ δυνατοὶ μὲν ἐν ταῖς δυνάμεσι, κύριοι δὲ ἐν ταῖς κυριότησιν· οἱ τῶν θρόνων σύσκηνοι καὶ συνόμιλοι τῶν Χερουβὶμ καὶ ἰσοστάσιοι τῶν Σεραφίμ· ὦ τὸν τρισάγιον ὕμνον σὺν πᾶσιν αὐτοῖς ἢ πρὸ πάντων τρισαγίοις ἀεννάοις τῷ ὑπεραγίῳ προσᾴδοντες ὑμνολογίαις, εἰρήνης Θεοῦ πλήσατε τὴν γῆν. Ὁμόνοιαν ἀληθῆ, ὁμοφροσύνην θεοφιλῆ, ταῖς Ἐκκλησίαις ἄνωθεν βραβεύσατε· καὶ τοὺς ἀναξίου τοῦ σώματος περιελόντες Χριστοῦ εἰς ἓν πνεῦμα καὶ ἕνα καινὸν ἄνθρωπον τὸ πλήρωμα καταρτίσασθε Θεοῦ. Ἡμῖν δὲ τὸν μὲν παρόντα βίον κατευθύνοιτε πρὸς τὸ εὖ B θὲς, πρᾶξίν τε πᾶσαν καὶ λογισμὸν καὶ λόγον πρὸς εὐαρέστησιν συντείνοντες τοῦ Θεοῦ· μεθισταμένους δὲ τῆς πολυπαθοῦς ταύτης ζωῆς καὶ ὀχληρᾶς μὴ ἐᾶτε τοῖς ὀλεθρίοις τοῦ σκότους ἀγγέλοις χάρμα καταλίπητε. Μηδαμῶς, ὦ θειότατοι Μιχαὴλ καὶ Γαβριὴλ, μὴ παραδῶτε ψυχὴν ἐξομολογουμένην Θεῷ καὶ προσαναχειμένην ὑμῖν, ἀλλὰ τοὺς μὲν ἐμβριμήματι θείῳ στερρῶς ἀποῤῥιψάμενοι, αὐτοὶ δέ μοι σωτῆρες ἀγαθοὶ καὶ ὑπέρμαχοι, καὶ πρὸς τὸν ὑπέρθεον εἰσαγωγοὶ καὶ μεσῖται πανάριστοι γεγενημένοι Χριστὸν, μὴ πρὶν ἀποστῆτε τὴν ὡς αὐτὸν ἄγουσαν εἴσοδον ἐξευμαρίζοντες ἄχρις ἂν εἰς αὐτὴν τοῦ Θεοῦ τὴν κατάπαυσιν εἰσαγαγεῖν, καὶ τῷ τῶν ἐφετῶν ἀκροτάτῳ προσαρμόσαι εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. C

MONITUM.

Ut fidem liberemus quam supra col. 361 dedimus, textum Græcum subjicimus *Monodiæ* quam in unanimem fratrem dixit Nicetas Acominatus, Atheniensis metropolita. Prodit ex codice Regio 1234 quem sic describit catalogus : « Codex bombycinus, olim Joannis Hautin, postea Baluzianus, quo continetur Nicetæ Choniatæ Acominati *Panoplia dogmatica* in plures tomos divisa, de quibus videndus clar. Bernardus D. Montfaucon *Palæogr.* p. 326. Hujusce operis publica luce dignissimi pars tantum Latine prodiit. Præmittuntur : 1° Michaelis Choniatæ Athenarum metropolitæ *Monodia* in fratris sui mortem. 2° Fragmentum e libro sancti Augustini qui *Speculum* inscribitur. Is codex Joannis Scutariotæ manu sæculo decimo quarto exaratus est. » Multis lacunis fœdatur ex eo ortis quod folia quædam, aliis propter chartæ inæqualitatem supereminentia, per manus codicem versantium partim contrita et lacerata fuerunt.

ΜΟΝΩΔΙΑ ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΘΗΝΩΝ ΚΥΡΟΥ ΜΙΧΑΗΛ ΤΟΥ ΧΩΝΙΑΤΟΥ ΕΠΙ ΤΩ ΘΑΝΑΤΩ ΤΟΥ ΑΥΤΟΥ ΑΔΕΛΦΟΥ ΤΩΝ ΚΡΙΣΕΩΝ ΕΦΟΡΟΥ ΚΑΙ ΠΡΟΚΑΘΗΜΑΤΟΥ ΤΟΥ ΚΟΙΓ.....ΟΣ ΚΥΡΟΥ ΝΙΚΗΤΟΥ ΤΟΥ ΧΩΝΙΑΤΟΥ.

Ὦ πονηρᾶς ἀγγελίας! ὦ πικρᾶς ἀκοῆς! Ἦ; A ἀδοκήτως μοι ἐπεισπεσούσης, ὥτα μὲν ἀθρόως περιβομβηθέντα ἀμφότερα ἤχησε, καρδία δὲ δειλαία βέβληται μέση, ὀφθαλμοὶ δὲ τὸ ἐκεῖθεν ἀποθλιβὲν αἱματῶδες οἷμαι δάκρυα ἔστ... ὁποῖα καὶ τὰς αἱματοέσσας ψεκάδας ἡ ποίησις ἐτραγῴδησε. Θαῦμα δὲ ὅτι μὴ καὶ τῶν ἐμβροντήτων εἴτε μὴν..... πληκτῶν εἷς ἐγεγόνειν καὶ ὡς στήλη τις ἐπεπήγειν ἄφωνος ὅλως ἀναισθητῶν. Ἀλλ' ἔτι κινοῦμαι καὶ τ.... συμφορὰς ξυνι..... καὶ συμφρονήσας γοερὸν ἀναφθέγγομαι· ἦ τάχα καὶ τοῦτο τῆς τιμωροῦ δίκης κατ' ἐμοῦ μηχάνημα ἵνα μήποτε.... φρονεῖ λεληθημένος καὶ παρακοπεὶς τὴν αἴσθησιν ὡς ἀναλγῆ ἀπαθῶς ὑποίσω τὴν ἐσχάτην ταύτην ποινήν..... ἀρτίαν ἔχων τὴν γνώμην καὶ τῶν ἀνιαρῶν ἐπαίουσαν ὀδυνῶμαι πάσχων καὶ δριμύτερον βασανίζομαι. Ἀνάλγ... δὲ ἅπαν μὴ ἔχον τῶν λυπούντων συναίσθησιν. Καίτοι εἴς τινα στήλην μεταβαλὼν εἴτε λαίνην καὶ μυθικὴν καὶ κωφὰ ῥέουσαν δάκρυα, ἦ.... εἴτε γραφικὴν καὶ καλουμένην.... ἄλις ὁμωνύμως; ἢ φερωνύμως; ἐμοὶ τῷ μωραθέντι ἄλατι καὶ περὶ τοῦτο βλ..... ἔξω καὶ καταπεπατημένῳ ὑπὸ τῶν ἀνθρώπων, οὐδ' οὕτως; ἂν τῆς Ἀδραστείας τὴν Νέμεσιν διαπέφευγα διαρκεστέραν τίσι κ... ὑποσχὼν τοῦτ' αὐτὸ τὸ δι' αἰῶνος ἐκκεῖσθαι πᾶσιν ἐπὶ θεομηνίᾳ στηλιτευόμενος. Ἀλγεινότερα δ' ὅμως πολλῷ ἡ νῦν ποιναία..... δύη πρὸς ἦπαρ κεχώρηκε συνορῶντι σαφῶς; οἷος κακῶν κολοφὼν τῇ τλήμονι ψυχῇ μου ἐπεκώμασεν, οἷα συμφορῶν..... εἰσεφθάρη κορωνὶς, ἡλίκον ἐπηνέχθη δυσπραγίας; κεφάλαιόν τι τοῦ λοιποῦ ἄλγιον πείσομαι.

Ὦ μοι, ἀδελφὲ φίλ..... ὦ μοι, ὅτι διίσται ἀφ' ἡμῶν μήκιστα, καὶ οὐχ ὅσα χθὲς καὶ πρὸ τρίτου τὸ μεταξὺ Ἑλλάδος καὶ Βιθυνίας χάσμα παλαιὸν, ἀλλὰ πολλῷ ἀχανέστερον καὶ πορρώτερον καὶ ὅσον Ἄβης χώρου ζώντων ἀποικίζεται. Φεῦ, ὅτι ἐστέλω ἐνθένδε ὑστάτην ταύτην ἀ..... δημίαν καὶ ᾗ οὐκ ἔστι δεῦρο ἐπάνοδος. Οὔκουν ἐλπὶς ὄψεσθαί σε τὰ φίλτατα τοῦ λοιποῦ ἢ παρ' αὐτῶν ὀφθήσεσθαί τη..... φιλτάτην κεφαλήν. Ἀλλὰ τίς ἂν μοι δοίη τὸν θάνατον ἀντὶ σοῦ; Τοῦτο δὲ ὅπερ ὁ θεῖος Δαυὶδ ηὔξατο, καὶ ταῦτα ἐπὶ παιδὶ..... ἐπαναστάντι αὐτῷ καὶ ζητοῦντι τὴν αὐτοῦ ψυχήν.

Εἰ δ' ἐκεῖνος τῆς οἰκείας ζωῆς ἐπόθει τοιοῦ... ..... θάνατον, πῶς οὐκ ἂν αὐτο.... εὐξαίμην ἀντὶ σοῦ χαίρων τεθνήξεσθαι ἀδελφοῦ φιλτάτου καὶ φιλαδελφοτάτου, ἤδη δὲ καὶ διὰ..... B ἀναχραθάτε σχέσει ἕτερα πολλαπλασίονι. Ἀπὸ τῶν αὐτῶν μὲν γὰρ πατρικῶν σπερμάτων καὶ μητρικῶν αἱμάτων γεγόναμεν..... πρεσβύτατος μὲν ἐγὼ καὶ πρῶτος τὴν πύλην διεληλυθὼς τῆς γενέσεως, ὡς εἶθε καὶ τὴν τῆς ἐξόδου διελήλυθα πρῶ..... μεῦ' ἑτέρως ὁμογνία καὶ πολλοστός. Κἀμὲ μὲν ὁ φιλόστοργος καὶ φιλόλογος πατὴρ ἐξ Ἀσίας εἰς τὸ Βυζάντιον κατέρωτα..... ἀπαγαγὼν ἤδη τῇ τῶν ἐφήβων ἡλικίᾳ πότερον βαίνοντα διατριβαῖς διδασκόν.... ν τήν τε γραμματικὴν π..... καὶ τὴν τοῦ ἐπικοῦ κύκλου χρηστομάθειαν περιδίδωμι, μετὰ δὲ συχνὸν χρόνον κἀκεῖνον ἐννεατῶν .. πεῦ ἡλικίας ἄγοντα χρόνον, ... ταῖς ἐμαῖς φέρων παρέθετο, ἐπισκήψας πάντα γενέσθαι οἱ καὶ πατὴρ καὶ τροφεὺς καὶ παιδαγωγὸς καὶ διδάσ..... C Ἃ δὴ πάντα καὶ γέγονα τάδελφῷ καὶ διὰ πασῶν τούτων σχέσεων ἀναχραθεὶς καὶ τὴν ἀδελφικὴν ὑπερ...

..είνας ταῖς τούτῳ . . . προσθήκαις εἰς ἀκροτάτην φιλαδελφίαν ἐλήλακα. Οὐχ ἧττον δὲ κἀκεῖνος εἰς τὴν αὐτὴν ὑπεροχὴν ἐπέδωκε τοῦ φιλ. . . . . ὅτι μὴ καὶ μάλιστα ὡς εὖ πάσχων πλέον ἢ δρῶν ἕως παρ' ἡμῖν ἐτρέφετο ἤθεσι καὶ μαθήμασιν ἐμπαιδοτριβούμενος.

Ἡνίκα. . . . ἡμᾶς μὲν εἶχον Ἀθῆναι, ἐκεῖνον δὲ μέγα δυνάμενον τὰ βασιλικὰ τηνικαῦτα καὶ τὴν τάξιν τοῦ εὖ ποιεῖν τε καὶ πάσχειν δ. . . . . ψάμεθα. Ἐκείνου μὲν γὰρ πολλὰ καὶ μεγάλα πολλάκις ἐγώ τε καὶ Ἀθῆναι οἴδαμεν ἀπονάμενοι· ἐκεῖνος δὲ ἡμ. . . . . οὐδὲ ἢ βαχύ.

Πλὴν καὶ οὕτως ὁ τῆς φιλαδελφίας σύνδεσμος ὑπέρτονος καὶ ἄρκτος ἀμφοῖν διεγένετο. Εἰ δὲ καὶ κοιν. . . . . ἐνίοτε, φιλητικὸν γὰρ καὶ ἐνοποιὸν τὸ συμπαθὲς, πάρεστιν ἐπιλογίζεσθαι οἷαν . . . . . ἀγάπης πεπορίσμεθα π. . . . . θεις οὐδέπω προσεταιρισάμενοι. Οὔτε . . . . εὑρίσκοντ. . . . . γημα. Μόνοι δὲ συνδιαφέροντες ἀλλήλοις ἡμῖν αὐτοῖς τὰ τῆς ξενιτείας ἀλγεινὰ καὶ τὴν ἐπ' ἀλλοδαπῆς παροικίαν . . . . . συνεικαμένης στέργοντες. Διὰ τὴν αὐτόθεν πολλῶν ἱδρώτων ἀντ- ἀλαττομένην παίδευσιν ἧς ταῖς τεχνολογίαις ἐμμελετῶν . . . .αζόμεθα. Ἐγὼ μὲν περὶ διδασκάλων καὶ πρὸς τὰ πρεσβύτερα τῶν μαθημάτων παραβαλ- λόμενος, ὁ δὲ παρ' ἐμοῦ καὶ καθόσον . . . . .κίας μέτρον ἐχώρει νεοττοτροφούμενος πρὸς τὸ τελεώτερον καὶ ἡρέμα ἥτερούμενος, ἕως διά τε τῶν ἐγκυκλίων καὶ τῆς σοφιστικῆς κουφισθεὶς οἷός τε ἦν κἀπὶ τὰ μετεωρότερα καὶ σεμνότερα θεωρήματα φέρεσθαι.

Ἀλλ' ἐπείπερ τῷδε τῆς ἡλικίας ἀφίκτο ἀνδρούμενος ἐν ᾧ καὶ τῶν τοῦ βίου ὁδῶν συχνῶν οὐσῶν ἔδει μίαν ἐγκρῖναι ἣν . . . . . αὐτῷ, ἐνταῦθα. . . ἀλλὰ πῶς ἂν ἀδακρυτὶ τῆς τότε καινοτομίας μνήμην ποιήσωμαι; ἡ πρώτη τῆς διαζεύξεως σχίζα τετόλμηται . . . ἡ ταυτογνώμων ἀδελφικῆς σχέσεως μονὰς διαιρεθεῖσαν καθ' αἵρεσιν βίου δυάζεσθαι. Ἐγὼ μὲν γὰρ ἅτε περὶ τῶν γονέων ἐκ παιδὸς ὡς ἀπαρχὴ τῆς ἐκείνων τεκνογονίας τῷ ἱερῷ καθιερωθεὶς βήματι πρέπων ἦν ἰδιαστικῷ βίῳ καὶ ἀπράγμονι καὶ μίαν αἰτεῖσθαι περὶ Θεοῦ ἐπισκέπτεσθαι τὸν ἅγιον αὐτοῦ νεὼν καὶ οὐδενὶ προσανέχειν ἀνθρωπίνῳ πράγματι ὅτι μὴ σχολῇ καὶ βίβλοις χαρίζεσθαι. Ὁ δὲ πρὸς τοῦ μὲν σχολαστικοῦ καὶ ψιλὴν θεωρίαν τῶν ὄντων ἐπαγγελλομένου τὸν πρακτικευόμενον καὶ φιλόκοινον καὶ πλείονας ὑποβαλλόμενον ὕλας τοῦ φιλοσοφεῖν ἔμβια εἵλετο καὶ ἠσπάσατο. Ἵνα δὲ πρὸς ἔργου αὐτοῦ καὶ εὔοδα τὰ τῆς προθέσεως γένοιτο, παρεσκευάζετό τε καὶ προσφόρως ἐφωδιάζετο καὶ μὲν δὴ καὶ ὡς ὄργανά τινα εὐφυᾶ καὶ δεξιὰ πολιτείας μετακειρίστο ῥητορικήν τε καὶ νομοτρίβειαν, παρ' ἐμοῦ μὲν τὰ πρῶτα σοφοῖς τὰ πολιτικὰ καὶ πολυειδήμοσιν ἀνδράσι συνιστάμενος, μετὰ δὲ καὶ τύχῃ χρησάμενος. Ἡ δὲ τύχη ἐπεφύη τῷ νεοθαλῷ τὰς βασιλείας βλαστῷ ὡς σμίλαξ ἐπιπλεκομένη καὶ συμπνίγουσα γραφικῶς εἰπεῖν ἡ κατ' Ἀνδρόνικον τυραννὶς, καὶ δὴ τοῖς βασιλείοις εἰσφθαρεῖσα ὅτε καὶ ὁ ἐμὸς ἀδελφὸς τοῖς βασιλικοῖς ὑπογραμματοῦσι συνετέτακτο, δεινὸν ἔπνει καὶ παντὸς θηρίου μισανθρωπότερον, καὶ ὡς λέαινα ἀρτιτόκος τὰς θηρευτικὰς κύνας βλοσυρώτερον ὑποβλέπεται, οὕτω κἀκείνη εἴ τι τῆς βασιλικῆς θεραπείας δεξιὸν ἦν καὶ πιστὸν, ὑφεωρᾶτο δὲ καὶ ἐν σπουδῇ πολλῇ εἶχεν ἐκποδὼν ποιήσασθαι. Τὸ μέντοι καὶ συχνοὺς ἐνί γέ τῳ τόπῳ διαλωβωμένη πεποίηκε.

Ταῦθ' ὁρῶν ὁ μισοτύραννος ἐκεῖνος ἢ γενικώτερον φάναι μισοπόνηρος θ. . . . . ἀνθρωποφάγῳ τυράννῳ ἢ ὑπουργεῖν ταῖς ἐκείνου μιαιφονίαις τὸ μὲν θρασύτερον, τὸ δὲ ἀσεβείας . . . . ὁμιζεν. Ἔγνω δὲ πόρρω Διὸς ἵστασθαι καὶ κεραυνόν.

Ἔνθεν τοι τὰ μὲν βασίλεια ὡς τυραννεῖα καὶ μηκέτι βατὰ τοῖς γε. . . . . σεβεῖν ἐθέλουσιν ἀντιπεριίσταται καὶ ἐπὶ τὴν τῶν νομικῶν δέλτων αὐτομολ. . . μελέτην καὶ ἐπιστήμην καὶ βασιλείων τυραννουμένων μουσεῖα νόμων καὶ ἀρχεῖα Θέμιδος ἀνταλλάττεται, καὶ δὴ τὰ ἐν διφθέραις δι' ἀναγνώσεως φιλοπόνως ἀναλεγόμενος . . . . .οῖς πλαξὶ τῆς ἑαυτοῦ καρδίας μεταγράφεται, καὶ κύρβις ἀποτελεῖται νομοθεσίας ζῶσα καὶ ἄξων ἔμψυχος. Εἶτα βασιλείας διαδεξαμένης . . . . .ὐ τυραννίδα ἐπάνεισι κἀ. . . . . τὰ βασίλεια. Χρῆμά τι πολιτοῦ ἄξιον καὶ συμβαῖνον ἐν νόμῳ πολιτείας ἐπιστασία τοσοῦτῳ, ... τῇ χθὲς τυραννίδι ἀντίξουν ἐδόκει καὶ ἐκ διαμέτρου ἀντίθετον.

Τοῦτο καὶ ἄλλοτε ἄλλην ἀρχὴν κόσμου ἐξιοῦτο. Οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν ἐν Θράκῃ πόλεων ἁρμοστὴς καὶ τῶν ἐκεῖσε στρατιωτικῶν συντάξεων διανομεὺς ἐστέλλετο. Ἀλλὰ ταῦτα μὲν μικρῷ ὕστερον. Ἡνίκα δὲ καὶ βίου ἀρχὴν καταβάλλεσθαι μεθ' ἡμῶν ἐσκέψατο, ἐπεὶ χρὴ, εὖ οἶδα, διατίθεσθαι καὶ καθ' ἑαυτὸν σπουδαῖον εἶναι καὶ ὡς ἔν τινι μικρᾷ πολιτείᾳ τῇ ἰδίᾳ οἰκίᾳ ἐγγεγυμνασμένον τὸν μέλλοντα μεγάλῳ καὶ κοινοτέρῳ ἐνευ. . . . κιμῆσαι πολιτεύματι οἶκον πρώτιστα ἔγνω συστήσασθαι ἀγαγόμενος γυναῖκα τὴν περὶ Θεοῦ δεδομένην οἰκωφελῆ βοηθὸν. . . . . ζευγμένην εἰς ὁμοσαρκίαν παιδουργόν τε καὶ ἀδιάσπαστον, καὶ τὴν τούτου συμπεριφορὰν προῦργου ποιήσασθαι μὴ καὶ ποιμανῇ . . . . . κατὰ τὸ σοφὸν ἀπόφθεγμα. Ὡς οὖν οὐκ ἄδηλος ἦν τοῖς πολλοῖς τοῦτο προθέμενος, πῶς ἂν διηγησαίμην ὁπόσοι καὶ ὅπως; . . . . . ἡμῖν ἐσπουδάκασιν; οὐ τόσοι περὶ τὴν Πηνελόπην μνηστῆρες ἐκώμασαν, ὅσοι περὶ ἐκείνον σχεδόν τι συνέ. . . . . φαγωγοί. Οἱ μὲν θυγατέρας οὐδ' ἀδελφὰς μνηστεύοντες ἀμιλλώμενοι ἀλλήλοις καὶ φιλοτίμως ἀντεπιδεικνύμενοι, δι' ὧν ἕκαστος ἂν δυνηθείη τὸν περιμάχητον καὶ πολυέραστον νυμφι. . . . . περιφάνειαν ἢ κάλλους λαμπρότητα ἢ καὶ ἀμφότερα προὐβάλλοντο· οἱ δὲ φρενῶν ὀλκὴν βαρυτέραν ἀντε. . . . . ὡς κἀμοὶ πράγματα παρέχειν τὸν ἀδελφὸν ἐν ἀμφηρίστῳ γενόμενον καὶ τὴν κρίσιν ἀναπιθέμενον. Κἀκεῖνος δὲ πρὸ πάντων ἑλέσθαι φάσκοντα ὃ ἂν ἡμεῖς ἐγκρινοῦμεν καταγεύσαντες.

Ὦ ψυχῆς φιλαδέλφου καὶ πιστευούσης ἐμοὶ. . . . πάντα καὶ τοῦ ἡμετέρου ὅσα καὶ θείου ἐξηρτημένης βουλήματος· ἔνθα δὴ καὶ εὐαγέστατα διεδείχθη ὅπως τιμὸν θρέμ. . . . καὶ περὶ τὸ χρῆμα τῆς ἀρετῆς εἶχε. Καὶ ὡς οὐδὲν αὐτῷ ἐνόμιζεν ἐρασμιώτερον τῶν πάν-

των οὐδ. . . οὐ πλοῦτον, οὐδ' ἄλλος· οὐ γένος, οὐ δόξα, καὶ ταῦτ' ἐν ἡλικίᾳ τῶν τοιούτων ἀλωσίμῳ καὶ ἀγωγίμῳ περιθέρμων ἐρώτων φιλοκτημοσύνης τε καὶ εὐγενείας καὶ λαμπρῶν σωμάτων.

Πάντων γὰρ τῶν μνηστευόντων καὶ κατεγγυωμένων ὀλβιώτερος φερνὸς ὑπεριδὼν εὐγενεῖ καὶ μεγαλόφρονι λογισμῷ μόνης ἠττήθη τῆς καλοκαγαθίας τῶν ἀοιδίμων βελισσαριωτῶν, οὓς ἡ αὐτὴ διατριβὴ καὶ κοινωνία τῶν αὐτῶν διδασκάλων καὶ μαθημάτων συνψκειώσατο καὶ εἰς φίλους ἑταίρους ἐφήρμοσεν. Ἐκείνων γὰρ ἀδελφὴν περὶ μητρὶ ἀγαθῇ τρεφομένην καὶ θαλαμευομένην ἐνύμφευσα, ὁμοιος ὁμοίοις ἀνακραθεὶς οὐ τόσον κατὰ κῆδος ὅσ[ον] δι' ὁμοήθειαν. Ἀμέλει τοι ὡς ἀδελφοὶ ψυχαῖς, ὡς ἀδελφοὶ σώμασι, κατῴκουν ἐπὶ τὸ αὐτὸ ὁμέστιοι καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ὁσημέραι σιτούμενοι, χαίροντες τοῖς αὐτοῖ, ἀπεχθανόμενοι τοῖς αὐτοῖς, ἀπιόντες ἅμα εἰς δικασπολεῖα, εἰς ἱερὰ, εἰς πανηγύρεις, εἰς τὰ βασίλεια, κἀκεῖθεν αὖθις ἐπανιόντες οὐ καθ' ἕνα, ἀλλ' ὁμόστολον καὶ ὑπ' ἀλλήλων δορυφορούμενοι καὶ κοσμούμενοι, σύνδεσμος συγγενείας ζηλωτὸς καὶ μακαριστὸν ἀγχίστευμα ἐν τοῖς ἁπάντων στόμασι, καὶ παραδείγματα σωφροσύνης διαφανε. . . . προκείμενοι. Βίου μὲν ἀνυμεναίου καὶ ἄζυγος ἡ διαβόητος τῶν ἀδελφῶν ξυνωρίς· γάμου καὶ τιμίου ἐν πᾶσι καὶ κο. . . αμίαντου ὁ ἐκείνων κηδεστὴς, ἐμὸς δ' ἀδελφός. Οὕτως ἐς ἄκρον μυελὸν ψυχῆς συνταχέντες, ὡς ἔφη τις εἰς ἓν ἐκρα. . . σύνταγμα. Περὶ τοσοῦτον ἀχώριστον παρόσον βελισσαριῶται μὲν ὡς τὰ πολλὰ εἶσω τῆς μεγαλοπόλεως· τὰ πρόσφορα. . . εἶχον ἀξιώμασι, διεπολιτεύοντο. Ὁ δὲ ἐμὸς ἀδελφὸς καὶ εἰς ἐπαρχίας καὶ τὰς ἔξω πόλεις, ὡς εἴρηται, παρ' ἄλλοτε ἀλλ. . . . καὶ βασιλέων ἐστέλλετο. Δημόσι' ἅττα ἐπιτελέσων λειτουργήματα. Ὁ γάρ τοι φιλομετάβολος αἰὼν βασιλ. . . . . περιόντας τῆς ἀρχῆς παρέλυσε, καὶ παρὰ τῶν ἐχόντων ἁρπάσας τὰ σκῆπτρα ἑτέροις, καὶ παρ' αὐτῶν ἄλλοις. . . . . ἐνεχείρισε. Ἐμῷ ἀδελφῷ τὰ τῆς τιμῆς καὶ οἰκειώσεως ἡ συνεχὴς αὕτη τῶν βασιλέων διαδοχὴ διετήρησεν ἀδιάδοχα, μᾶλλον δὲ ἐξ ἧς ἀεὶ τοὺς πρὸ αὐτῶν τῇ περὶ ἐκείνων εὐνοίᾳ ὑπερβάλλειν ὥσπερ φιλονεικοῦντες, τὰ τῆς δόξης ἐπέτεινον. Τὸ π. . . . τῆς ἀρετῆς τοῦ ἀνδρὸς δυσωπούμενοι, ἄλλως τε καὶ ὕφεσιν τῆς οἰκείας ἀρχῆς τὴν ὑφαίρεσιν τῆς ἐκείνου τιμῆς ἄριστα κρίνοντες. Ἡ... οἱ πολλοὶ τῶν ἀγεύστων δόξης καὶ ἀφανεστέραν τύχην λαχόντων καὶ οὗτοι περὶ τὰ θύρα; τῶν βασιλείων συνεθλί. . . . καὶ τοῦ παντὸς ἐτιμῶντο τὴν περὶ τῶν κρατούντων τιμὴν, ἣ δημοσίοις ἐπέτρεχον ὑπουργήμασιν ἔρωτι κερδῶν κάτοχοι. Ἀλ. . . . . ἄλλων φιλοκάλων ἀνδρῶν προσήγοντο μεγάλα χαριζομένων τοῖς βασιλεῦσι καὶ μνηστευόντων σφίσι πολλῷ τιμιωτερ. . . . ψηφολόγοι ἔμποροι πολυτίμους μαργαρίτας καὶ σμαράγδους καὶ λυχνίτας κομίζοντες, καὶ ἠξιοῦντο προεδρίας ἀξιωμάτων κ. . . ἢ παρ' αὐτῷ κοσμεῖσθαι ὧν καὶ τὴν ὑπερβάλλουσαν ἀρετὴν πείρᾳ καταμαθόντες οἱ βασιλεῖς, καὶ ὡς κερδῶν μὲν καὶ λ. . . . ὑπεροπτικώτεροί εἰσιν Ἀριστίδου, σωφρονέστεροι δὲ Ἱππολύτου, Βελλεροφόντου τε καὶ Ἰωσήφου, δικασταὶ δὲ ἀδίκαστοι καὶ μ. . . . νεμιμώτεροι, τά τ' ἔνδον τά τε θύραζε τοῖς ἀνδράσιν ἐπίστευον, ταμιείων μὲν καὶ χρυσώνων θύρας καὶ κοιτώνων ἀναπετάσαντες· καὶ τὰ φίλτατα ὡς οἰκειότατα ἐγχειρίσαντες· ἐν ὑπαίθρῳ καὶ κοινοτέρᾳ διοικήσει τῆς πόλεως λογοθέτας . . . . . τρόφους τε καὶ πολιτάρχας προχειριζόμενοι. Ὡς γὰρ βασίλειόν τινα κόσμον τὴν ἐκείνων ἀρετὴν περιετίθεσαν τῇ βα. . . . . τῶν πόλεων, καὶ μᾶλλον αὐτὴν δι' αὐτῶν ἢ ἐκείνους ἐσέμνυνον ἀξιώμασιν ἢ τἀληθέστερον φάναι οἷον τινας κοι. . . . . καὶ σ. . . . ρονιστὰς τῷ καθ' ἑαυτοὺς λαμπροτάτῳ βίῳ εἰς ἔννομ. . . πολιτείαν ἐπιστρέφοντας· ὁποία καὶ ἡ παλαιτάτη Ῥώμη τοὺς τιμητὰς ἦν . . . . . προὐβάλλετο, οἱ δὲ τῆς μεγαλοπόλεως ἐπισχήματ. . . μὲν ἔτι μενούσης καὶ τὸ κράτος αὐχούσης πάγκοινον ἀγαθὸν προὔκειτο καὶ πανσι . . . . . φυρον, εἴπω συνελὼν εὖ μὲν πράσσουσι εὐημερίας ἐρύματα. Ναυαγοῦσι δὲ κατὰ βίον πυρσοὶ καὶ λιμένες σωτήριοι.

Ὦ πῶς ἐπιτροχάδην τηλικαύτας ἀνδρῶν ἀρετὰς ἔπειμι καὶ παρίημι τὰ πλεῖστα, τὸ μὲν συγχεόμενος τῷ πάθει σφοδρυνομένῳ πλέον ἢ κατεπᾳδομένῳ καὶ κοιμιζομένῳ δι' ἀναμνήσεως ὧν εἶχον περιόντες ἀγαθῶν καὶ οἷς συναπῆλθον ἐρήμην καταλιπόντες τὴν καθ' ἡμᾶς γενεὰν, τὸ δέ τι ἀντιάσαιτο καὶ πεφυλαγμένος μή πού τις καὶ τὸν λόγον ἀγιάσαιτο ὡς τῇ ὑποθέσεως λαθόμενον καὶ μεῖζον τοῦ θυλάκου κατὰ τὴν παροιμί[αν] πεποιηκότα τοὔπι.... ἄμμα.

Ἐπεὶ δ' ἡ νέα Σιὼν κατὰ τὴν παλαιὰν ἐγκατα[λει]φθεῖσα..... καὶ ἐκπεπόρθηται καὶ τοῦ ἐν αὐτῇ πληρώματος ὅσον λαθὸν ἢ ψιλωθὲν ἐξεπεπτώκει εἰς τὴν ἐν Βιθυνίᾳ Νίκαιαν μετῳκίσατο, κἀνταῦθα καὶ οὗτοι μεταναστεύουσιν οἱ χθὲς μετὰ χαιρόντων τῶν ἑαυτῶν πολιτῶν χαίροντες, σήμερον μετ' αὐτῶν κλαιόντων κλαίοντες οἱ αὐτοὶ, καὶ ὡς ἐν εὐδαιμονίᾳ κοσμήτορες ἦσαν τῆς πόλεως, οὕτως ἐν δυστυχεῖ ἀποικίᾳ περικλήτορες· οἷς τε γὰρ ἔλεγον καὶ οἷς φιλοσόφως ἔφερον αὐτοὶ καὶ μεγαλοψύχως, τὴν παίδευσιν οὐ μικρῶς ἐψυχαγώγουν καὶ πρὸς τὸ εὐθυμότερον τοὺς ὀλιγοδρανοῦντας μετερρύθμιζον.

Ὥσπερ ἆρα καὶ οἱ περὶ τὸν Ἰεζεκιὴλ τε καὶ Δανιὴλ τοὺς ἐκκαμόντας ἐν Βαβυλῶνι καὶ λέγοντας· Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν· ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν ἀνεκτῶν τε ταῖς χρηστοτέραις προβάσεσι· ἕως μὲν ζῶντας τούτους εἶχον καὶ συλλυπουμένους καὶ παρακαλοῦντας εὕρισκον εὐφορώτερον εἶχον καὶ οὐ πάντη ἐκπεπτωκέναι τῆς ἐνεχαμένης ᾤοντο. Ὦ; ἂν τὰ καλλιστεῖα τῶν τῆς πόλεως ἀναθημάτων ἔτι αὐχοῦντες καὶ τὰ συνεκτικὰ τῆς πολιτείας κεφάλαια· οὐ τεῖχη γὰρ ἔφη τις ὀρθῶς ἔργα τεκτόνων, οὔτε οἰκί[αι] ὑψόφοροι καὶ στοαὶ καὶ ἀγοραὶ μὴ ὄντως εἰδοποιοῦσι πολ... ἀλλ' ἀνδρῶν καλοκαγαθία καὶ κοσμιότης καὶ θεοσέβεια οἷς ὁ κομῶν κἂν παρεπίδημος, κἂν ὑπὸ δρῦν σκηνοῖτο ξεναγὸς γίνηται κρείττονος φύσεως πόλεων ἁπασῶν ἀξιώτερος, ἵνα μὴ λέγω ὡς οὐδ' ὁ πᾶς κόσμος οὐδὲ ἀντάξιος.

Ἆλλ' δὴ πάντα ὡς εὐσεβοῦς συστατικὰ πόλεως ἐκεῖνοι παρόντες ἀνεπλήρουν καὶ μόνον βλεπόμενοι καὶ τοῦ τῆς πολίτας .....ἐμίμνησκον σχήματος ὡς ἔμ-

ψυχοι ἐκείνης θεσμοὶ καὶ οἷόν τις ἀκρόπολις τῆς Κωνσταντινουπόλεως ἔτι σωζομένη ἀπόρθητος. Ἐπεὶ δὲ ἡ .....υμασία τῶν περὶ πᾶσι σεμνολογουμένων ἀδελφῶν δυὰς εἰς.... ἐν οὐρανοῖς μετεκλήθη πολίτευμα μικρῷ πρότερον, εἶτα καὶ ὁ .....υσὶν ἐκείνοις παρεζευγμένος ἐμὸς ἀδελφὸς τῷ κύκλῳ τῆς αὐτῆς γερουσίας ἐγγεγραμμένος συμπαρελήφθη καὶ εἰς τὴν αἰωνίαν μετετάξατο σύγκλητον, τότε δὴ ᾔσθοντο οἱ ἐν Νικαίᾳ μεγαλοπολῖται τῆς ἑαυτῆς ἀπαγωγῆς, τότε συμφρονήσαντες ἐπέγνωσαν ἑαυτοὺς γυμνοὺς τὴν καταστολὴν τῆς ἑαυτῶν δόξης ἀπαμφιασάμενοι, τότε φυγάδας καὶ μετανάστας ἀπολιτεύτους τε καὶ ὅλως ἀπόλιας ....θεν καὶ περιπαθέστερον ὠλοφύραντο ὡς τηνικαῦτα κατάκρας ἐαλωκυίας τῆς πόλεως καὶ τὰ τιμαλφέστατα τῶν αὐτῆς ἀποθέτων ....εσυλημένης καὶ τῶν ὀλβιωτάτων θησαυρισμάτων τελείαν πεπονθυίας λάπαξιν, φεῦ! οἷος Χριστιανικὴς πολιτείας σύνδεσμος ἐῤῥήκται .....λίκου πόλεως ἰμάντωσις πέπτωκε, οἷα συστοιχία ἀγαθῶν ἀνατέτραπται, οἷον καλοκαγαθίας ἔντριτον σχοινίον ἐπίτασις μὲν συμφορῶν οὐκ ἐῤῥιξε κατὰ τὸ σοφὸν ἀπόφθεγμα, οὔτε περιστάσεων βία διέσπακε, θάνατος δὲ τὴν χρυσέαν τῶν ἀνδρῶν τούτων σειρὰν ἀναλύων καὶ καθ' ἕνα ἐκτέμνων διέφθειρε, καὶ μὲν δὴ πρώτου οἰχομένου τοῦ πραοτάτου καὶ ἀγαθοῦ Μιχαὴλ τῆς εὐκόλου καὶ ἁπλουστάτης ἐκείνης ψυχῆς ὅσον καὶ οἷον ἡ ἀποικία τῆς μεγαλοπόλεως ἐκόφατο. Ἐψυχαγωγεῖτο δ' ὅμως ἔτι πλουτοῦσα τὸν πολυειδήμονα Ἰωάννην τὸν μέγαν... βουλῇ καὶ εὐσυνέσει πόλιν καὶ πολιτείας ἄριστης ἔμψυχον ἄγαλμα.

Ὡς δὲ καὶ τουτονὶ προτεθέντα τἀδελφῷ μεταμικρὸν ....μίωτο καὶ προσεπένθησεν ἐπὶ τῷ λοιπῷ καὶ τρίτῳ σεμνυνομεν... Νικήτᾳ τῷ τὰ ἐκείνων πάντα καλὰ συλλαβόντι ἑαυτῷ ἐμῷ ἀδελφῷ μετέωρος ταῖς ὑπολοίποις ἐλπίσιν ἐσάλευεν. Ἐπεὶ δὲ καὶ τουτονὶ πρυσαπέβαλε τοῦσχατον ναυαγήσασα, νῦν ὑπ' ἀμέτρου. καταποθεῖσα λύπης πεπόντωται κατεδῦσα ὑπόβρυχα. Μέγα δὲ Ἀσίας ἐπ' αὐτῷ ἦρτο πένθος ...ἐπῆχησε δὲ γοερὸν Εὐρώπη συνανοιμώξασα ὡς τὴν κοινὴν ζημίαν ἐπύθετο. Εἰ δ' ἑκατέρων ἠπείρων ...λη τίς μοῖρα ὅσην ἡ πεῖρα τῆς σῆς καλοκαγαθίας ἔγευσας ἡ φήμη τὰ ὦτα περιεβόμβησας ....ωτὸν σὸν ὠλοφύραντο θάνατον, ὦ φιλτάτη καὶ ἱεροτάτη ψυχή, τί ποτ' ἂν ἡμεῖς οὐ πεισόμεθα καὶ ὁράσομεν σχετλιάζοντες, οἱ μετὰ παντοδαπῆς, ὡς εἰπομεν, σχέσεως τῇ καθ' αἷμα οἰκειώσει πιεζόμενοι ὡς ὁμόγυιοι ἔτι τε μυρίων περὶ σοῦ χαρίτων ἀπολελαυκότες εἰς πλήσμιον καὶ πρό γε τῆς σῆς ἀρετῆς φιλοτιμούμενοι καὶ μέγα ἐπὶ σοὶ φρονοῦντες καὶ σεμνυνόμενοι, εἶτα νῦν ἑαυτοὺς αἴφνης ἰδόντες τοῦ περὶ σοῦ ψιλωθέντος ἀπολαμπρύσματος γένος πολυσχιδὲς καὶ πολλαχοῦ τῆς Ἀσίας καὶ καθ' Ἑλλ... κεχυμένον καὶ εἰς ὄνομα λαμπρὸν αἰρόμενον διὰ σοῦ καὶ ἐξευγενιζόμενον, οὓς ἔδει μὴ διεσπάρθαι νῦν καὶ κατ' οἶκον πενθεῖν ἰδίᾳ ἕκαστος, ἀλλ' εἰς ταυτὸ συνελιυθότας καὶ τὸν σὸν περιστάντας τύμβον, ὑπ' ἐμοὶ κορυφαίῳ δυστήνῳ καὶ θρήνων ἐξάρχοντι πολύκλαυτον ξυναυλ... καὶ οἰκροτατ... ἁρμόσασθαι καὶ μέγα πένθος ἐγεῖρσι καὶ οἷον ἡ περὶ τὸν Ἰωσὴφ παρεμβολὴ

A τὸν Ἰακὼβ ἐπένθησε θάπτουσα. Οὕτω γὰρ ἂν οὐ πάντη τοῦ κατ' ἀξίαν θρηνεῖν ἐνελίπομεν. Νῦν δ' ἐσκεδασμένοι, γυνὴ μὲν ἡ ἀξία σοῦ καὶ δικαία μετὰ σοῦ ἐξικέσθαι εἰς γῆρας τὸ ᾠδόμενον κορωνόδιον ἐν γωνίᾳ που ἐνδαπέδου μέσῃ χοροῦ, παίδων ἀφηλίκων καὶ ἀνήβων καθημένη μελανείμων τὴν ἑαυτῆς μὲν χηρείαν παίδων δὲ ὀρφανίαν ἐλεεινῶς ὀλοφύρεται. Τῶν δὲ προγενεστέρων παίδων ἄλλος ἔρρων ἀλλαχῇ καθ' ἑαυτὸν οἰμώζει καὶ μοναυλίαν κλαυθμυρίζεται. Τῶν δ' ἄλλως οἰκειουμένων καὶ καθ' αἷμα οἱ ἐν Ἀσίᾳ τὰ τῆς τραγῳδίας πρὸς τοὺς ἐν Ἑλλάδι διένειμαν.

Ἀδελφὸς δ' ἐγὼ πολυτλήμων καὶ πολύθρηνος χθὲς μὲν καὶ πρώην ἄλλου πένθους ἐποιούμην ὑποθέσεις ἐπί τε κοιναῖς καὶ ἰδίαις ἐμαυτῷ συμφοραῖς καὶ μάλιστα οἷς ὀλβιώτατον καὶ ὀνομαστότατον (ναὸν, ναὶ, ἅγιε δέσποτα, ὡς τρισόλβιον τοῦτο τὸ τῆς Θεομήτορος τέμενος καὶ τοιούτου προστάτου δι' αἰῶνος δεόμενον) ἱερὸν Ἀθήνῃσι πιστευθεὶς καὶ τοῦ ἐν αὐτῷ προϊστάμενος θυσιαστηρίου πνευματικοῦ καὶ πιστὸν τὸν ὅτι καὶ πολυειδῆ προσισχομένου διηνεκῶς θείαν ἐνέργειαν εἶδον, οἵ μοι! ἱεροσυλούμενον καὶ ἀποκοσμούμενον. Ἐμὲ δὲ τὸν ἐκεῖσε πεφυτευμένον τὰ πρῶτα πρὸς δεκάδων ἐτῶν τριῶν καὶ ὑπερέκεινα ἐκ τῆς αὐλῆς Κυρίου ἀποσπώμενον ὡς αὐαλέον ἤδη καὶ ἄγονον παντὸς ἀγαθοῦ γεράνδρυον τῆς Ἰταλικῆς ἀέλλης σφοδρότερον ἐμπνευσάσης; μοι καὶ νῦν μὲν εἰς πολυῤῥοθίους ἀκτὰς ἢ περίῤῥυτον σκόπελον ἐλαυνόμενον, νῦν δ' ἐπὶ φάραγγα ὑπώρειον πρὸ τοῦ κοινοῦ κλύδωνος ἐξεβρασσόμην. Ἔνθα παρέριμμα μεταν
C άστου ἀπόκληρος, ἀνέορτος, ἄπολις, ἀγροιώτης ὡς ἐρημική τις ὀλολυγὼν ἐπίκλαυτον κατ' ἐμαυτὸν ᾄδων τἀμὰ καὶ κοινὰ κακά. Νῦν δ' ἀλλὰ τῶν τοιούτων ὡς οὐκέτι κλαυτέον μοι μόνον οὐκ ἐπιλέλησμαι.

Ὁ δὲ τῆς φιλτάτης κεφαλῆς θάνατος ἐκεῖνος τελευταῖος ἐπιπεπτωκὼς ὡς ἡ δεκάτη τῶν Αἰγυπτίων πληγὴ ἡ τῶν πρωτοτόκων ὄλεθρος πάντα κοπετὰ εἰς ἑαυτὸν ἐφειλκύσατο, πᾶσαν οἰμωγὴν, πᾶν γοερὸν μέλος, ὅλον καὶ σύμπαν δάκρυον. Ἔοικε γὰρ ἐκεῖνα μὲν προβαλέσθαι μοι ὁ ὁδοποιῶν τρίβον τῇ ὀργῇ αὐτοῦ οἷόν τινα κολαστέρων περιστατικὸν γυμνάσιον, μέγιστον δὲ ἀγῶνα τοῦτον ἐπενηνοχέναι καὶ ὕστατον καὶ οὐ τὸ παράπαν ἀκίνδυνον. Τ.... ἐκεῖνα ἀμυχαῖα καὶ οὐ πάνυ δυσούλωτά μοι τὰ πλήγματα τοῦ δε....
D καὶ τοῦ βάθους τῆς ψυχῆς καθικνούμενα ἢ τάχα μὲν πειρατέρων ἀνέβη κα... θεήμην ἐπισημαινόμενον ἐμπρησμὸν καὶ τῶν ὀμμάτων προκαλούμενο; δάκρυα καὶ πῦρ κατέφλεγεν ἐπ' ἐκείνῳ θλίψεων, νῦν δὲ τὰ καυστικὰ καὶ μονιμώτερα πυρὰ τῆς κολάσεως ἀνῆφθησαν ἄνθρακες οὓ ποτέ μοι δοκῶ σβεσθησόμενοι ἢ τοῦ.... ἐγκάρδιον αἷμα παυσόμενοι, ὥστε με αὐτὸ τὸ δάκρυον ἐπέλιπεν εἴτε περὶ τὸ ἀναλωθῆναι τοῖς φθάσασι κακοῖς τὸ ἐν τῇ κεφαλῇ μου ὕδωρ ὑπεκρυὲν, εἴτε περὶ τὸν νῦν μᾶλλον πεπληγέναι ὡσεὶ χόρτον καὶ τελέως αὐανθῆναι τὴν πολυπαθεστάτην καρδίαν μου, κἀντεῦθεν μήτε δακρύων λιβάδας πενθίμων λόγων κρουνὸν ἐξ αὐτῆς ἀναδίδοσθαι ὅσον ἤθελε τὸ τοῦ πάθους μέγεθος καὶ παρ' οὗ τὸ ἐγκυμονούμενον ἄλγος τῇ ψυχῇ ἐκκενούμενον ῥᾴτερόν ποτε γίνοιτ' ἄν.

Ἀνάγκη τοίνυν ἀτέγκτοις ὀφθαλμοῖς καὶ στεναγμοῖς ἀλαλήτοις ἄχθος ὠδῖνος φέρειν ἀνέκφορον καὶ ᾧ συναποθανοῦμαι τὸ βραχυήμερον τῆς μογερᾶς βιοτῆς ἐξανύσας· ὑπόλει... καὶ κεῖσομαι οὐκ οἶδ' ὅποι βαράθρων γῆς ἢ κόλπων θαλάσσης ῥιφεὶς καὶ προτεθήσομαι τἀδελφῷ, ὁ γεραίτερος τῷ νεωτέρῳ, ὁ ἐσχατογέρων τῷ καθεστηκότι καὶ ὠμογέροντι.

Ἀνέφικτε καὶ ἀτέκμαρτε θεία πρόνοια, ἡ λόγοις ἀῤῥήτοις οἰακίζουσα θεῖά τε καὶ ἀνθρώπινα πράγματα πῶς τῷ τῶν σῶν κριμάτων ἀβύσσῳ ἐγκυδιστῆσαι; Ἐπινήξασθαι μὲν οὖν παρήσει τις νοῦς, κἂν εἴη φιλοσοφώτατον λύων σύνδεσμος καὶ ἀναγγέλλων κρατούμενα. Ἐκφέρομαι γὰρ περὶ τοῦ πάθους ἐρεθιζόμενος περὶ κεκινδυνευμένον τι καὶ προπετὲς φθέγξασθαι. Ἵνα τί ὁ μὲν πολιοχρόταφος καὶ ἄχθος ἀρούρης ἐτώσιον καὶ γῆρας; Ἕλκων βαρὺ καὶ ὅλον ὃ ψησιν ἕλκυς καὶ ἐφ' ὃ πᾶσαι τῆς φύσεως κῆρες συνέῤῥευσαν περιλείπομαι ἔτι δεῦρο..... γῆς ἀξύντ... τῷ παντὶ καὶ μηκέθ' ὡραῖον ἡλίῳ μαινόμενος; θέαμα. Ὃς δὲ οὕπω ἵκετο γήρως οὐδὲν δικαιότερος δ' ἦν ἐπιδιῶναι μακρότατα, ἅτε γυναικὸς καὶ τέκνων οὐκ ὀλίγων σωτὴρ καὶ γένους λαμπτὴρ καὶ μέγα ὄφελος κόσμῳ κἀμοὶ δόξης καὶ καυχήσεως στέφανος καὶ ζωῆς αὐτῆς συνοχεύς, οὕτος οὐ καθ' ὥραν, περιῤῥονῶν λέγω, προήρπαστο ἐπὶ ζημίαν, ἀλλοτρίων τε μυρίων καὶ τοσῶνδε προγενῶν. Οὐ γὰρ ἀλλότριον μόνον ἦν ἀγαθὸν ὡς ὁρίζονται οἱ σοφοὶ τὸν δίκαιον, ἀλλά γε δὴ καὶ ἡμέτερον.

Ποῦ ποτέ εἰσι νῦν ὅσοι τε οἰκεῖοι κατὰ γένος καὶ ὅσοι τὸ συγγενὲς προποιούμενοι, ἐκείνῳ προσήρχοντο καὶ περὶ βασιλέων ἐκείνου μεσ.... καὶ τὰς αἰτήσεις θᾶττον καὶ προῖκα δεχόμενοι οἴκαδε χαίροντες ἐπανῆεσαν; Καὶ πλείονας τῷ δι' οὗ ἢ παρ' ὧν εὖ πεπόνθασι ἥδεσαν χάριτος οἱ πλείους καὶ πάντες οὐδ' εἰς ὄψιν ἦκον ἐνίοτε.

Δεῦρ' ἴτε πάντες καὶ συνεφαψάμενοι τοῦ θρήνου καὶ τὰ παρ' ἡμῶν ἐγκώμια ταῖς ἐμαῖς οἰμωγαῖς συναρμόσατε, ἵνα τὴν τοῦ δικαίου τοῦδε μνήμην μετ' ἐγκωμίων ποιήσωμεν, καὶ μὴ μόνον δακρύσωμεν, ἀμφοτέροις γὰρ πρέπον, δικαίου γὰρ θάνατος μὲν δάκρυα προκαλεῖται καταλιπὼν περιαλγῆ μετάμελον, μνήμη δὲ περὶ τῶν ζηλουύντων ἀρετὴν ἐγκωμίοις συνδιαπλέ..... εἶδει σφόδρα παρθένος ἐκείνη ἦν.... μεγαλοπόλεως.... καὶ διαπαζομη πρὸς βίαν ἀπῆγε πολέμιος βάρβαρος . ...ότατος.... ἐκεῖνος διάπυρος ἐραστὴς ὡς εἶδεν, ὡς ᾤχτειρε τὴν τλήμονα παρεχρῆμα ἐπιδραμὼν ὡς Φινεὲς οὐκ εἶχε ἀμύνεσθαι καὶ..... αὐτῷ ζήλῳ παραθερμανθεὶς καὶ αὐτὸς, τῆς κόρης δ' ἀντιλαβόμενος οἰκείαν εἶηται ταύτην γαμετὴν, ἐκεκράγει καὶ ὡς συζύγου διαζευγνύμενος καὶ τὰ δεινότατα πάσχων ἐσχετλίαζε, καὶ οὐκ ἀνῆκε ταύτην ἁπλῶς ἀμφοτέραις κατέχων καὶ ἀνθέλκων καὶ πρὸς πολέμιον ἔρωτι μεθύοντι καὶ θυμῷ μαινόμενον παγκρατιαζόμενος ἕως τῶν βιαίων ἐκείνου χειρῶν τὴν παρθένον ἐξελὼν τῷ τεκόντι παρθένον ἐξεσωκε. Παρίτω νῦν κἀκείνη καὶ σὺν κωκυτῷ ἀνολολυξάτω καὶ ἀνακαλείσθω τὸν ὑπερμεμοχημένον αὐτῆς σωτῆρα, τὸν ῥύστην ἀπαγωγῆς καὶ προστάτου παρθενίας καὶ ἀφθορίας φύλακα. Ὦ μεγίστου τοῦδε καὶ ἀξυμβλήτου τοῖς παλαιοῖς ἀριστεύματος. Ἐῤῥύσατό ποτε καὶ Ἡρακλῆς Ἱπιόνην παραβεβλημένην ἀναλίῳ θηρὶ, ὡς δ' αὕτως καὶ Ἀνδρομέδαν Περσεύς. Ἀλλὰ ὡπλισμένοι καὶ σίδηρον προβεβλημένοι πρὸς τὰ κήτη παρεβάλλοντο, καὶ σφίσιν αὐτοῖς τὰς παρθένους ἐμνήστευον. Ὁ δὲ ψιλὸς ὁμόσε κεχώρηκεν ὡπλισμένῳ θηρίῳ καὶ ψεύδη ὅσα καὶ προβλήματα χρησάμενος ὁ ἀληθινὸς ὄντως καὶ ἀψευδὴς ἄνθρωπος οὗτος, ἀνέπαφον τὴν κόρην τῷ πατρὶ ἀνεσώσατο.

Συμεὼν δὲ καὶ Λευΐ τῶν βιασαμένων τὴν ἀδελφὴν ἀπήλλαξεν, ἀλλὰ μετὰ φθορὰν καὶ περιυβρισμένην ἤδη καὶ πόλις καὶ διὰ κύκλου ἀγκυλογνώμονος καὶ μετὰ μυρίων φόνων καὶ ὅλης πόλεως ὅλεθρον, ὥστε οὐδὲ παρεξετασταίον τούτους πρὸς τὸν ἐπαναγαγόντα τὴν ἀπαγομένην ῥήματι μόνῳ ἀναιμωτὶ καθαρὰν καὶ ἀνύβριστον. Ἰὼν μὲν οἶδα τοῦ Ἀβραὰμ τὸν καλὸν εἰσποιηθέντα διὰ τῆς πίστεως, ἀλλὰ θαρσήσας εἴποιμ' ἂν τῶν περὶ τὸν Ἀβραὰμ πατέρων μέγ' ἀμύμονα τοῦτον εἶναι, καθόσον Ἀβραὰμ μὲν πρὸς Φαραὼ πρότερον καὶ Ἀβιμελὲχ ὕστερον ἀδελφὴν οὐ γυναῖκα ἑαυτοῦ τὴν Σάῤῥαν ἔλεγεν· ὡς δὲ καὶ τὴν Ῥεβέκκαν ὁ Ἰσαὰκ δειματούμενος καὶ δειλαινόμενος γυναῖκα ἑαυτῶν καλεῖν μὴ δι' αὐτὰς καὶ τεθνήξονται, οὗτος δὲ τὴν παρθένον καὶ μήπω γυναῖκα ὠνόμαζεν ἑαυτοῦ καὶ πρὸς ἑαυτὸν ἐπεσπᾶτο ἀντιποιούμενος, καὶ εἰ θανεῖν δεήσοι, μὴ ἀναινόμενος. Εἰ δὲ καὶ Δανιὴλ σώζει Σωσάνναν ἐπιμένων βιαίων ἐραστῶν τε καὶ παρανόμων δικαστῶν, ἀλλὰ καθῆστο δικαστὴς πρότερον καὶ διελάμβανεν ἀπ' ἀλλήλων τοὺς βιαστὰς καὶ ἀνὰ μέρος ἐπυνθάνετο καὶ τοῖς σφῶν αὐτῶν ῥήμασιν ἁλισκομένους ἐλέγχων λίθοις βάλλειν ἐκέλευε, καὶ οὕτω τὴν σώφρονα παρανόμου καταδίκης ἀπήλλαττε. Τὸ δ' ἐμὸν ὡράϊσμα ὁ καθ' ἡμᾶς τῶν ἐπιθυμιῶν οὗτος ἀνὴρ οὐ δικάζων ὡς Δανιὴλ, ἀλλὰ βίας μοιχικῆς γραφόμενος τὸν πολέμιον, οὐδὲ τὸν ἀδελφὸν βιαζομένης ὡς οἱ περὶ τὸν Ἀβραὰμ ὑποκρινόμενος, οὔτε μὴν ὡς Δαυῒδ ψευδόμενος τὸν ἐκβληπτον, ἀλλὰ τὸν ἄνδρα τῆς μήπω ἐγνωκυίας ἄνδρα σοφώτερον ἅμα καὶ ἀνδρικώτερον παρεκρούσατο τὸν ἐπηρεαστικὸν καὶ ἀπέωσεν. Οὕτω τῶν πάλαι ποτὲ σεμνότερα πολλῷ τὰ ἡμέτερα διηγήματα, καθότι κατὰ Χριστὸν καὶ τῆς νομικῆς δικαιοσύνης πολὺ περισσεύοντα. Ὡς γάρ τοι Χριστὸς ὑπὲρ τῆς Ἐκκλησίας ἑαυτὸν παρέδωκε καίπερ μηδέπω οὔσης Ἐκκλησίας οὐδὲ νυμφευθείσης πω τῷ Χριστῷ, ἔτι γὰρ ἁμαρτωλῶν ὄντων ὑπὲρ ἡμῶν ἀπέθανε Χριστὸς, ὥς φησιν ὁ Ἀπόστολος, καὶ αὐτὴ δὲ ὡς ἔτι περικειμένη τὸ ἐξ ἀσεβείας αἶσχος, Μέλαινα, φησί που, εἰμὶ, θυγατέρες Ἱερουσαλὴμ, οὕτω καὶ ἐμοὶ ἀδελφὸς ὑπὲρ τῆς οὐκ οὔσης αὐτῷ γυναικὸς οὔτε μὴν ὅλως ἐσομένης τὸ καινότερον μόνον οὐ θανατῶν εἰ... ἐπέῤῥιψεν ἑαυτὸν κίνδυνον καὶ τῆς παιδὸς προσχήματι δόξας ἀν... ὤπτο πατὴρ πράγματι καὶ πατὴρ πολλῷ τοῦ τεκόντος φιλοστοργότερος καὶ σωστικώτερος. Ἐκεῖνος μὲν γὰρ τοῖς πολιορκηταῖς προέμενος ᾤχετο φεύγων, οὗτος δὲ πρὸς ὕβριν καὶ δουλείαν ἀπαγομένη παρέστη καὶ τῶν ἐσχάτων κακῶν παρακινδυνεύσας ἀπήλλαξεν.

Ὦ σοφώτατε ἀδελφὲ, ὄντως εἰς τὴν βασιλείαν τῶν

οὐρανῶν μεμαθήτευκας· ὅθεν καὶ ἡ γλῶσσά σου ταχεῖαν τῆς ἀπαγομένης ἐλευθερίαν ὡς γραμματέως ὀξυγράφησε κάλαμος, οὐ μὴν δὲ ἀλλὰ καὶ ὡς σπαρτίον κόκκινον χεῖλη σου· λόγῳ γὰρ συνεστραμμένῳ καὶ βραχεῖ καὶ ὑπὸ ζήλου πυρακτουμένου χεῖρας ξυνέδησαν βαρβάρου καὶ βίαιον ὅρμημα καὶ ἡ λαλιά σου ὡραία οὐκ ἀώρως τὸν ἄνδρα ψευσαμένη, ἀλλ' εἰς καιρὸν πλασαμένη καὶ παρανόμων γραψαμένη τὸν βίαιον. Ὦ πῶς ἠνέσχου ὁ μήπω πρότερον ψεύσασθαι; ἴσα γὰρ θανάτῳ τὸ ψεῦδος ἐστύγηκας. Ἡ δῆλον ὅτι ὡς εἶλου θανεῖν εἰ δεήσοι ἐπὶ σωτηρίᾳ κινδυνεύσεις ἀνθρώπου οὕτως ἠνέσχου καὶ ψεύσασθαι καὶ ψεύστης ὁ φιλαλήθης γενέσθαι καὶ οὔποτε τὰ χείλη μιάνας ψεύδεσι. Κατὰ ζῆλον δὲ Χριστοῦ καὶ τοῦτο διεπράξω δήπουθεν, ὃς ὑπὲρ ἡμῶν ἁμαρτία καὶ κατάρα γέγονεν, οὕτω τοῖς πᾶσι πάντ' ἐγίνετο, ἀπροστατεύτοις προστάτης, χήραις κηδεμὼν ὡς ἀνήρ, ὀρφανοῖς πατὴρ, πένησιν ἀδελφὸς, φίλοις ὡς φιλέταιρος πιστότατος, συγγενέσι φιλοικειότατος, τἀδελφῷ καθ' ὑπερβολὴν ὑπερβάλλουσαν φιλαδελφότητος. Οὔκουν ἐχρῆν ἡ γυναῖκα ἐκείνου χηρείαν, ἢ τέκνα ὀρφανίαν ἐν ἀκαιρίᾳ τοιᾷδε παθεῖν (ἔπεισι γάρ μοι καὶ αὖθις ληρεῖν), οὔτε τὸν ἀδελφὸν ἐμὲ καὶ τῆς παρ' ἐκείνου λοιπῆς ψυχαγωγίας ἐκπεσεῖν καὶ δυστηνοτέραν ἀντλεῖν βιοτὴν καὶ μογερωτέραν τοσούτῳ νῦν ὅσῳ περιὼν ἐκεῖνος ὑπλαφρον εἰργάζετο πρότερον. Εἰ γὰρ μὴ παρῆν καὶ συνῆν, ἀλλά γε καὶ μόνον ζῆν ἀρκούμενος ἀνέψυχεν ἐκεῖθεν ὥσπερ τινὰ ζωογόνον ἐπιπνέων αὔραν. Καὶ ὡς θεῖος Δαυὶδ ἀπαρνήνασθαί ποτέ φησι παρακληθῆναι τὴν ἑαυτοῦ ψυχὴν, μεμνῆσθαι δὲ τοῦ Θεοῦ καὶ παραχρῆμα εὐφρανθῆναι· οὕτω καὶ αὐτὸς ἀχθέμενος τοῖς παροῦσιν ἀνιαροῖς, εἴ ποτέ τις ἐπέμφθη μοι ἀγγελία ὑφάπτουσα μνήμης ἀδελφικῆς ἐμπύρευμα, ἔτι τε ζῶν ἐκεῖνον καὶ εὖ πράττειν εὐαγγελιζομένη, θαυμασίαν τινὰ παραυτὰ παράκλησιν εὕρισκον. Εἰ δὲ καὶ γράμμα ποτὲ τῆς φιλτάτης ψυχῆς καὶ χειρὸς ἐδεδέγμην, τότε δὴ, τότε καὶ ὄψιν ἐκείνην ἡδίστην καὶ γλυκερὰν ὁμιλίαν ἐφανταζόμην καὶ ὅλην αὐτὴν τὴν αὐτάδελφον ὦμην κεφαλὴν ἀπέχειν καὶ περιπτύσσεσθαι, καί μου τὸ περικεχυμένον τῆς ψυχῆς θλίψει ὡς νέφος ὥσπερ τινὸς θαυμασίας αἰθρίας αἴφνης ῥαγείσης κατε... παρῴχετο, καὶ φῶς γλυκυθυμίας περιέλαμπε. Νῦν δὲ ἀλλ' ἐπὶ τῷ θανάτῳ ἐκείνου ὠδῖνες ᾅδου περικυκλοῦσί με, καὶ σκότος ἀθυμ.... βαθὺς καὶ θανάτου προβάλλει σκιὰ, ἐπείπερ ἔδυ καθάπαξ ὁ ἐμὸς ἐκεῖνος ἥλιος. Ὦ οἵαν ἀπεβαλλόμην ἱερὰν ἄγκυραν, ἢ πρότερον μὲν τὴν Ἀθήνῃσιν Ἐκκλησίαν οἰακίζοντι παρείχετο παντὸς περιεῖναι κλύδωνος· νῦν δὲ πολλοῖς φορουμένῳ κυμάτων διαύλοις καὶ ποντουμένῳ ἀνεῖχέ μοι τὴν ψυχὴν καὶ συνεῖχε τὸ ζῆν. Ἐκείνης γὰρ ἐκκρεμάμενος ἠνειχόμην ἐς δεῦρο τὸν παροιμιαζόμενον βίον ἀβίωτον καὶ τῷ θανάτῳ ὤκνουν ὑπακοῦσαι πάλαι καλούσῃ. Νῦν δ' ἐπείπερ ἐκείνη φροῦδη τί ἐμοὶ καὶ τὸ ζῆν τοῦτο, ἢ πῶς ἀναβλητέον ἔσται μοι τὸ μὴ οὐ καταδῦναι ἤδη πρὸς ᾅδην ἁπάσαις ὀδύναις ὑπέραντλον; εἰς τοῦτο γάρ μοι, ὡς ἔοικεν, ἡ δύσμορος ζωὴ παρατέτασται, ἵνα μακροτέρας ἐκτίσω δίκας καὶ διὰ πάντων διέξωμαι ἀλγεινῶν, κἀκ τοῦ ἐν Χριστοῦ χειρὶ τοῦ πλήρους οἴνου ἀκράτου κεράσματος πίωμαι πολλάκις ὡς πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. Ἀλλ' ἐπεὶ νῦν καὶ τὸν τρυγίαν ἐκκενώθην, συνεκπέπωκα, ἤδη ἐς τὸ χρεὼν ἅπειμι διηντλημένως μὲν τὰ; ἐν σώματι θνητῷ δίκας ἁπάσας σχεδόν.

Οὐκ εὔθυμος μέντοι καὶ χαίρων μεταβαίνω, ἔνθεν δὲ ὡς τὴν ἀπαλλαγὴν τοῦ ζῆν εἰς ἀγαθόν τι μεταβολὴν πάντως εὑρήσων· φοβεῖ γάρ με τὸ προσέρπον δέος ἕτερον, μὴ κἀκ... ἀπιὼν βαρυτέραις εὐθύναις ὑποκείσομαι, βίον βεβιωκὼς οὐκ ἀνέγκλητον. Καὶ δεινὸν μὲν καὶ τοῦτο, δεινότερον δὲ πολλῷ εἰ κἀκεῖ διαστήσομαι τἀδελφοῦ, ἀλλὰ μεγίστῳ καὶ χαλεπωτέρῳ χάσματι, ὃ μέσον ἐστήρικται τοῦ τε χώρου τῶν ἐν ᾅδῃ βασανιζομένων κατ' τῆς εὐδαίμονος τῶν μακαριστῶν ἀνδρῶν λήξεως, εἰς ἣν μετατάξασθαι τὸν ἀδελφὸν πεπίστευκα, εἰδὼς ὅπως μὲν εἰς ἀρχέτυπα παραδείγματα ἐκείνων τὸν ἑαυτοῦ βίον ἀπευθύνων διεκόσμησεν, ὅπως δὲ καὶ ἐν γῇ διατρίβων ἔτι, ἐκείνοις, ὡς ἔξὸν, ἰδίᾳ συνεῖναι καὶ συναγάλλεσθαι τὰ ὑπολείμματα ἁγίων σωμάτων ἐκείνων καὶ τὰ ἐκτυπώματα συλλέγων, συνοικιζόμενός τε καὶ ταῖς ἀνωτάτω τιμαῖς σεβόμενος· εἰς γὰρ οὐδεὶς ἦν ἁπάντων δικαίων τῶν ἐγγεγραμμένων ὅλῳ τῷ κύκλῳ τῶν ἡμερῶν τοῦ ἐνιαυτοῦ, ὃς οὐ τῇ αὐτοῦ μνήμονι ἡμέρᾳ ἑορταστικῶς ἐκυδαίνετο ἰδίᾳ παρ' ἐκείνου θυσιάζοντος πνευματικῶς, καὶ γεραίροντος ὕμνοις καὶ παγκάρποις ὡραίων ἀπάργμασιν. Οὐ γὰρ ἠγάπα δημοσίᾳ πανηγυρίζων, εἰ μὴ καὶ ἐν τῇ κατ' οἶκον ἑαυτοῦ ἐκκλησίᾳ ἀφοσιοῖτο τῷ ἑκάστῳ τετιμημένῳ δικαίῳ, ὡς τὴν ἐνιαύσιον, ὡς φωνὴν ἀγαλλιᾶσθαι, καὶ σωτήριον ἐν τῇ σκηνῇ, καὶ τοῦ δικαίου ἐκείνου ψαλμικὸν διηνεκῶς ἐξακούεσθαι. Φίλος οὖν διὰ ταῦτα εὖ οἶδα παρὰ φίλους ἀφίκετο, καὶ εἰς τὰς αὐτὰς αὐτοῖς αἰωνίας σκηνὰς εἰσήλασε, καὶ συνεμφορεῖτο τῆς ἀπεράντου μακαριότητος. Ἐντυγχάνει δὲ δήπου καὶ περὶ ἡμῶν θαρσῶν, τά τε ἄλλα καὶ ὡς φιλάδελφος, οὕτως ὁ τοὺς ῥυπῶντας καθαίρων, ὡς πῦρ χωνευτήριον καὶ ὡς πόα πλυνόντων, καὶ ἡμῶν διὰ τῶν ἐνταῦθα πειρασμῶν, ὡς διὰ πυρὸς καὶ ὕδατος ἀποσμήξῃ, καὶ εἰς τὴν αὐτὴν ἐξαγάγῃ ἀναψυχὴν, καὶ δικαιώσας διὰ τῆς Παρθένου δώσει κατοικεῖν ἐπὶ τὸ αὐτὸ, καὶ ἐν τόπῳ σκηνῆς θαυμασθῆναι αἰωνίως.

ΘΕΟΔΩΡΟΥ
ΤΟΥ ΛΑΣΚΑΡΙ
ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΟΥΚΑ
ΤΗΣ ΦΥΣΙΚΗΣ ΚΟΙΝΩΝΙΑΣ
ΛΟΓΟΙ ΕΞ.

—

THEODORI LASCARIS
FILII SUMMI JOANNIS DUCÆ
DE NATURALI COMMUNIONE
LIBRI SEX.

(Græca nunc primum prodeunt ex cod. ms. Reg. MMIV, de quo Catalogus : « Codex membranaceus in quo continentur Theodori Lascaris imp. de communicatione physica libri sex Græce nondum editi. Is codex sæculo XIII exaratus videtur. » Latine vertit et edidit Claudius Auberius sub hoc titulo : « Theodori Ducæ Lascaris, imp. Cæs. Joannis Aug. filii, De communicatione naturali libri VI, admiranda philosophia referti, nunc primum in lucem prolati et in Latinam linguam versi a Claudio Auberio, Triuncuriano, ex J. Sambuci V. C. bibliotheca. Basileæ anno 1561, in-8° (Bibl. imp. Paris. R. 1755).

—

HYPOTHESIS GENERALIS
SEX SERMONUM THEODORI DUCÆ
DE NATURALI COMMUNIONE
Confecta a Claudio Auberio Triuncuriano.

—

Res omnes uno quodam societatis vinculo continentur. Neque hoc de iis duntaxat rebus quæ sub sensum cadunt et ex elementis constant, verum etiam de intelligentiis seu mentibus, de animis, animorum potestatibus, de hominibus ipsis inter se, denique de omni liberalium ac ingenuarum scientiarum et artium doctrina dictum velim. Quod si quis genera rerum diligenter intueatur, nullo negotio id quod diximus deprehendet. Et ut ab iis rebus quæ sensus nostros non fugiunt, exordiamur, qui aliquam operam in philosophiæ studio posuerunt, norunt res omnes naturales natura contineri et uniri vi ejusdem, quæ quidem natura tanquam Dei optimi maximi ministra in rebus naturalibus principium est motus ac quietis. Est igitur natura in hoc mundo elementari tanquam centrum, in quo uniuntur omnia naturalia, non solum illa, quæ simplicia appellamus corpora, verum etiam composita et mixta, adeoque singularia ipsa : ut hoc modo verum sit quod veteres illi subobscure dixerunt : Unum esse multa et multa unum. Ac primum quidem orbes cœlestes hoc universum amplectuntur, suoque motu cient hæc inferiora. Sequuntur deinde quatuor elementa, quæ proportione amica inter se conspirant, eunt redeuntque in se, inter se et ex se mutuo oriuntur. Deinde ex quatuor elementis, reliqua componuntur, ac primum quæ mixta vocantur, ut lapides et metalla. Quatuor elementis respondent χυμοὶ in herbis et plantis, in corporibus animantium, atque adeo in præstantissimo corpore animato hominis quatuor humores, bilis flava, bilis

atra, sanguis et pituita, tanta est naturæ vis in rerum naturalium temperationibus. Sed jam ad secretiorem considerationem veniamus. Sunt in animantibus rationis expertibus tria : phantasia quædam, irarum ardor quidam, cupiditas quædam; in homine ratio quæ phantasiam nobilitat, deinde θυμὸς et ἐπιθυμία quæ duo eo sunt nobiliora quod rationem moderatricem et gubernatricem habeant. Tria hæc λόγος, θυμὸς et ἐπιθυμία, ut sunt animæ humanæ partes essentiales, intensionem et remissionem non suscipiunt. Nam ratione οὐσίας Socrates non est magis λογικὸς quam Plato, aut magis θυμικὸς, aut magis ἐπιθυμητικός. Sed ratione copulationis animæ et materiati corporis physici, organici, dicuntur hæ potestates qualitates non οὐσιώδεις, et proinde intensionem ac remissionem suscipiunt : adeo ut hic illo λογικώτερος, θυμικώτερος et ἐπιθυμικώτερος dicatur. Itaque bilis flavæ nimia copia hominem θυμικώτερον reddit. Pituita nimia hominem minus θυμικὸν, quam par est, efficit. Sanguinis abundantia hominem ἐπιθυμικώτερον, interdum etiam lætiorem reddit. Atra bilis hominem tristiorem efficit. Præterea λόγος præsertimque πρακτικὸς interveniente phantasia, utitur sensibus tanquam instrumentis. Idcirco ratione qualitatis et potestatis non οὐσιώδους recipit intensionem et remissionem, adeo ut unus altero λογικώτερος vel minus λογικὸς dicatur, interdum etiam idem seipso λογικώτερος dicitur, non ratione potestatis essentialis, sed propter meliorem corporis physici organici statum. Purgato enim cerebro, præsertim cum noxiis humoribus infestatur, aliquis ad ratiocinandum aptior reddi potest. Et quoniam quatuor humores in corporibus humanis plurimum possunt, ut patet, non immerito connectuntur conjugationes λόγου, θυμοῦ, ἐπιθυμίας, cum conjugationibus quatuor humorum, nempe bilis flavæ, bilis atræ, sanguinis ac pituitæ. Quas quidem conjugationes si quis diligenter pervestiget, nonaginta duas reperiet, etiam non annumerata simplici conjugatione, nec illa quæ simplici respondet. Nam septem aliæ conjugationes quæ in unitate sola intensionem ac remissionem suscipiunt, nullum aut perobscurum habent usum, quæ tamen si addantur simplici ac nonaginginta duabus, centum conjugationes constituent. Ex quibus intelligitur ratio συμπαθείας et ἀντιπαθείας hominum inter se, quæ ex animæ et corporis organici physici copulatione exsistit. Nemo vero putet nos tribuere causam omnis vitiositatis pravæ temperationi corporis organici physici. Nam quomodo τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει καὶ ἡ σκοτία αὐτὸ οὐ καταλαμβάνει, nunc non est nostrum ostendere. Ad supremam enim theologiam pertinet hæc tractatio. Cumque in republica fines præstantissimi sint τὰ τῶν ἀρχιτεκτονικῶν τέλη, sintque Ἀρχιτεκτονικοὶ imperatores, reges, principes et magistratus, videndum est imprimis et curandum, ut educatio, κοινωνία et vitæ ratio τῶν ἀρχιτεκτονικῶν ἀνδρῶν, ad ἀρχιτεκτονικὸν τέλος referatur. Qualis enim est ἡ σοφία inter omnes scientias, talis ἡ φρόνησις ἐν ταῖς πολιτικαῖς ἀρεταῖς. Et ut quædam scientiæ propter nobilitatem et accurationem magis accedunt ad sapientiam : ita quoque artes quædam et scientiæ, quarum usus in republica cernitur, magis accedunt πρὸς τὴν ἀρχιτεκτονικὴν, quales sunt ἡ στρατηγικὴ, ἡ ἰατρική. Nam, ut ait auctor noster, τρεῖς κοινωνίαι τῷ ἄρχοντι ἁρμοδιώτατοι, φιλοσοφία, στρατεία, ἰατρικὴ, μετὰ τῶν ἰδιωμάτων αὐτῶν. Idem paulo ante dixerat : Ὁ βασιλεὺς οὐ κοινωνεῖ τοῦ λιθοξόου, ἀλλ' ἀποδέχεται, ὥστε τὸ ἀποδέχεσθαί τινός ἐστι, καὶ οὐχ ὅλης τῆς κοινωνίας· ὅπου γὰρ τὸ κοινωνικὸν ὄνομα κεῖται, τῶν κοινωνούντων δηλοποιεῖ συμφωνίαν. Porro sapientia prudentiæ tanto præstat, quanto mens animæ. Idcirco etiam Aristoteles sexto De moribus divine dixit : Ἀλλὰ μὴν οὐδὲ κυρία γέ ἐστι τῆς σοφίας οὐδὲ τοῦ βελτίονος μορίου, ὥσπερ οὐδὲ τῆς ὑγείας ἡ ἰατρική· οὐ γὰρ χρῆται αὐτῇ, ἀλλ' ὁρᾷ ὅπως γένηται. Deinde subjicit verissimam sententiam : Ἐκείνης οὖν ἕνεκα (nempe τῆς σοφίας) ἐπιτάττει, ἀλλ' οὐκ ἐκείνῃ. Postremo acutissime ludificatur illos, si qui forte reperiantur, qui temerario judicio prudentiam sapientiæ audeant anteferre : Ἔτι ὅμοιον, inquit, κἂν εἴτις τὴν πολιτικὴν φαίη ἄρχειν τῶν θεῶν, ὅτι ἐπιτάττει περὶ πάντα τὰ ἐν τῇ πόλει. Ex quibus intelligitur sapientiam esse reginam omnium scientiarum, omniumque artium, præsertim cum prudentia ipsa illius causa omnia administret. Idcirco dicebat Aristoteles, Εἰ δὴ θεῖον ὁ Νοῦς πρὸς τὸν ἄνθρωπον, καὶ ὁ κατὰ τὸν Νοῦν βίος πρὸς τὸν ἀνθρώπινον θεῖος. Verum tamen illud constat quod doctissimus M. Tullius dixit : Omnes artes, omnesque scientias, communi quodam societatis vinculo contineri. Ex quo exsistit κοινωνία sapientum inter se itemque ἐπιστημόνων, denique artificum, secundum illud quod est magis et minus. Nam reipublicæ gubernator potius communionem ac societatem inibit cum duce exercitus, vel cum medico quam cum cerdone. Et sapiens vir cum viro prudente potius communionem constituet, quam cum artifice. Eodem modo de reliquis judicandum est. Hactenus igitur de communione elementorum et rerum ex elementis compositarum atque adeo de communione hominum inter se. Quoniam autem rerum inter se communicatio maxime in figurarum coordinatione cernitur, sciendum est figuram orbicularem maxime accommodatam esse ad continendum et complectendum, quia nimirum ex omnibus figuris est capacissima, ἀκλινεστάτη καὶ μάλιστα τεταγμένη. Idcirco orbes cœlestes hanc figurationem obtinent. Secundum orbicularem constituimus quadratam figuram. In tertiis consistit triangulum æquilaterum. Quamobrem omnium mundanarum figurarum orbicularis longe est præstantissima propter eas causas quas attulimus, et propter alias plures quas Plato et Aristoteles afferunt. At in ortu rerum aliæ figuræ habent locum quia τὸ εὐθὺ τῇ γενέσει in primis convenit. Quia vero res omnes in orbiculari illa figuratione quodammodo suam perfectionem adipiscuntur, idcirco sic κατ' ἀνάκαμψιν τῆς γενέσεως elementa ipsa et res quæ ex ele-

mentis constant, figuræ illius orbicularis præstantiam imitari conantur. Superest, ut his diligenter consideratis, videamus, quibuscum societatem ineamus. Clamat sapientia : Fili mi, recede a malorum orbita, tere limina sapientum : et sapientissimus Paulus cum Menandro asserit, pravorum consuetudine bonos mores depravari ac corrumpi. Quamobrem illi qui in administranda republica sunt ἀρχιτεκτονικοὶ videant cum quibus communionem constituant, ne forte Nerones et Heliogabali evadant : ac verius sint monstra quam homines. Denique singuli homines in republica eadem hæc præcepta pro suo genere vitæ ac instituto diligenter observent, ut veram beatitatem tandem omnes assequamur.

SYNOPSIS

SEU REPETITÆ SIGILLATIM HYPOTHESES

SEX THEODORI DUCÆ SERMONUM

AUCTORE EODEM.

—

PRIMI SERMONIS.

In primo sermone ostendit omnia unum esse propter naturam, ac rursus singula dividi inter se, ac distribui in natura : nec ex naturalibus extra naturam esse quidquam. Ex quibus intelligitur naturam esse communem omnibus rebus naturalibus, et in ea generalem communicandi modum situm esse. Deinde intra naturam distributiones temperationum consistere, et per temperationes secundario modo res inter se communicare. Hi duo sunt modi nobis in primis observandi. Addit præterea per temperationes res non uniri absolute, sed secundum proprietates magis cognatas. Et quoniam, ut ait Socrates, Ὄμμα τῆς ψυχῆς ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων ἀποτυφλούμενον καὶ κατορυττόμενον, ὑπὸ τῶν μαθημάτων μόνων ἀναζωπυρεῖσθαι καὶ ἀνεγείρεσθαι πέφυκε, idcirco ostendit in numeris ac figuris utrumque communicandi modum. Quemadmodum enim τὸ σημεῖον, referente Proclo, πάσης ἐξηγῆται σειρᾶς καὶ πάντα ἑνοῖ τὰ μεριστὰ καὶ συνέχει καὶ ὁρίζει τὰς προόδους αὐτῶν καὶ παράγει, καὶ περιλαμβάνει πανταχόθεν, ita etiam rerum naturalium omnes partes natura unit, continet et terminat. Et ut circulus πολυγωνίαν figurarum complectitur, ita etiam natura rerum naturalium multitudinem et varietatem continet.

SECUNDI SERMONIS.

In secundo sermone de elementorum communione agit, quam quidem communionem seu ἕνωσιν ejusmodi esse docet, ut sit ὅλη τοῖς ὅλοις δι' ὅλων καὶ οὐκ ἐν μέσῳ τινῶν. Ostendit etiam quomodo secundum rationes harmonicas elementa communicent inter se, nempe secundum duplam rationem, sesquialteram et sesquitertiam. Deinde transit ad temperationes, mistionesque illarum rerum quæ ex quatuor elementis constant. Ac primum agit de temperationibus quæ cernuntur in inanimatis, ut in metallis et in lapidibus. Deinde transit ad temperationes illarum rerum quæ partim animatæ partim inanimatæ videntur, cujusmodi sunt plantæ. Tertio ad temperationes, quæ in animalibus cernuntur, accedit.

TERTII SERMONIS.

Cum homo sit præstantissimum illud animal, in quod omnes communionis modos natura contulit, operæ pretium fuit de temperationibus hominum agere. Has igitur hoc in libro accuratissime pertractat; quas nonaginta duas esse asserit, præter simplicem et illam quæ simplici respondet. Galenus, lib. I *De temper.* sapienter monet, a bene temperata constitutione incipiendum esse, nisi quis velit in errorem induci. Nam si cum bene temperata alias temperationes comparaveris, nullo negotio quod in quavis excedat, deficiatve, reperies. Quare primo de illis quæ ut simpliciter temperatæ aut intemperatæ constitutiones considerantur, dicendum est. Simplex est illa, quæ neque intensionem neque remissionem habet, sed æqualiter habet illa septem A B C, præterea E F G H. Sed quoniam ejusmodi constitutio perfectissime æqualis vix reperitur, idcirco illa constitutio, quæ ad hanc perfectissime æqualem proxime accedet, erit in primis optabilis. Ille temperatissimus homo est, inquit Galenus, qui corporis habitu medius est inter gracilitatem, crassitudinem, duritiem, mollitiem, itemque calorem et frigus. Idem animo quoque me-

dius est inter audaciam et timorem, inter misericordiam et invidiam. Est etiam alacer, φιλόφιλος, humanus et prudens, et quoniam comparatio in his conjugationibus locum habet, circumspecte videndum est, quid cum quo conferamus.

QUARTI SERMONIS.

Quoniam ἐπιτάσεως καὶ ἀνέσεως vis permagnum habet usum in conjugationibus, uti supra demonstratum est, in hoc quarto sermone accuratissime probat ἐπίτασιν καὶ ἄνεσιν, hoc est intensionem ac remissionem esse τοῦ ποιοῦ, non autem οὐσίας καὶ τοῦ ποσοῦ. Ἐπιδέχεται δὲ, inquit Aristoteles, τὸ μᾶλλον καὶ τὸ ἧττον τὰ ποιά· λευκὸν γὰρ μᾶλλον καὶ ἧττον ἕτερον ἑτέρου λέγεται, etc. In hoc etiam sermone docet propter qualitatem res dici similes et dissimiles. Ὅμοια δὲ ἡ ἀνόμοια, inquit Aristoteles, κατὰ μόνας τὰς ποιότητας λέγεται· ὅμοιον γὰρ ἕτερον ἑτέρῳ κατ' ἄλλο οὐδὲν, ἀλλ' ἢ καθ' ὁποιόν ἐστι. Sed quorsum hæc? Nimirum ut sciamus intensionem ac remissionem, similitudinem ac dissimilitudinem habere locum in enumeratis conjugationibus, non ratione οὐσίας, sed ratione τοῦ ποιοῦ καὶ τῆς ποιότητος, quod etiam supra monuimus.

QUINTI SERMONIS.

In quinto sermone gravissime ac sapientissime disserit de hominum communionibus inter se. Convenit homini, inquit Galenus, ut sit sapientissimus. Alibi decet bene et æqualiter temperatum esse prudentem. Cum autem similitudo temperationum conjungat et consociet homines inter se, quo præstantior fuerit temperatio, ratione cujus similes inter se communicant homines, eo præstantior erit conjunctio seu consociatio. Porro hic rursus duo sunt communicandi modi nobis diligenter observandi. Unus est κατὰ τὴν σοφίαν, alter est κατὰ τὴν πολιτικὴν φρόνησιν. Discrimen hoc elicitur ex discrimine σοφίας καὶ φρονήσεως, quod quidem discrimen cum multis in locis, tum x, De moribus, ab Aristotele assignatur his verbis : Συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ, καὶ αὕτη τῇ φρονήσει, εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαὶ κατὰ τὰς ἠθικάς εἰσιν ἀρετὰς, τὸ δ' ὀρθὸν τῶν ἠθικῶν κατὰ τὴν φρόνησιν. Συνηρτημένει δ' αὗται τοῖς πάθεσι, καὶ περὶ τὸ σύνθετον ἂν εἶεν, αἱ δὲ τοῦ συνθέτου ἀρεταὶ ἀνθρωπικαὶ, καὶ ὁ βίος δὲ ὁ κατ' αὐτὰς καὶ ἡ εὐδαιμονία, ἡ δὲ τοῦ Νοῦ κεχωρισμένη. De communione politica idem Arist. lib. VIII De moribus, quo in loco τὰς πολιτικὰς κοινωνίας καθ' ἑκάστην τῶν πολιτειῶν elegantier expendit.

SEXTI SERMONIS.

In sexto comparat scientiam cum arte, et naturam cum temperatione, docetque artem ad scientiam perinde se habere atque temperationem ad naturam. Præterea monet naturam et scientiam esse conjungendas, ut scientia naturam quasi informet. Denique constituit τάξιν quandam, ex qua poterimus cognoscere illud quod est magis aut minus τεταγμένον, hoc est, magis aut minus secundum naturam et scientiam. Quod ut perficiat, utitur mathematicis figurarum comparationibus, docetque figuram sphæricam esse supra alias omnes τεταγμένην, deinde quadratam figuram, postremo triangulum æquilaterum. Quod igitur in mathematicis figuris sphærica figura, id est in rebus humanis sapientiæ et prudentiæ cum natura conjunctio, et quod in illis est quadrata figura, in his est scientiæ cum natura conjunctio. Postremo quod in illis æquilaterum triangulum, in his est artis cum temperationibus naturalibus conjunctio. De præstantia sphæricæ figuræ hæc Aristoteles, Περὶ οὐρανοῦ β'· Ἅπαν δὴ σχῆμα ἐπίπεδον ἢ εὐθύγραμμόν ἐστιν ἢ περιφερόγραμμον, καὶ τὸ μὲν εὐθύγραμμον ὑπὸ πλειόνων περιέχεται γραμμῶν, τὸ δὲ περιφερόγραμμον ὑπὸ μιᾶς. Ἔτεὶ δὲ πρότερον τῇ φύσει ἐν ἑκάστῳ γένει τὸ ἓν τῶν πολλῶν καὶ τὸ ἁπλοῦν τοῦ συνθέτου, πρῶτον ἂν εἴη τῶν ἐπιπέδων σχημάτων ὁ κύκλος, etc. Quod si quis auctoris nostri factum ausit reprehendere quod mathematica physicis admisceat, respondebit Proclus : Πρὸς δὲ τὴν φυσικὴν θεωρίαν τὰ μέγιστα συμβάλλεται ἡ μαθηματικὴ, τήν τε τῶν λόγων εὐταξίαν ἀναφαίνουσα καθ' ἣν δεδημιούργηται τὸ πᾶν, καὶ ἀναλογίαν τὴν πάντα τὰ ἐν τῷ κόσμῳ συνδήσασαν, ὥς πού φησιν Τιμαῖος, καὶ φίλα τὰ μαχόμενα, καὶ προσήγορα καὶ συμπαθῆ τὰ διεστῶτα ποιήσασα καὶ τὰ ἁπλᾶ καὶ πρωτουργὰ στοιχεῖα καὶ πάντη τῇ συμμετρίᾳ καὶ τῇ ἰσότητι συνεχόμενα δείξασα. Quæ porro in extremo libro dicuntur περὶ τοῦ τριγωνισμοῦ circuli, non possum adduci, ut credam illa esse nostri auctoris, cum quia sunt præter institutam disputationem addita, tum etiam quia sunt puerilia. Nam verba hæc, τὰ γοῦν ατ, τη, ηβ, βω, σχ, χα, τμήματα τὰ ἐκ τῆς κύκλου περιφερείας καὶ τῶν τριγώνων πλευρῶν γινόμενα, ἑστωσαν ἴσα τοῖς δυσὶ τριγώνοις τηδ' χωγ' quid aliud habent, quam αἴτημα λίαν εὐηθες, ut loquitur Aristoteles? Additur deinde ratio quæ ignavum ingenium arguit, δηλοῖ γὰρ αὐτὸ καὶ ἡ αἴσθησις, cum demonstratione opus fuerit. Quamobrem credo ego addita esse illa a Græculo quodam : quod etiam quilibet ex contextus serie nullo negotio conjicere potest.

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΛΑΣΚΑΡΙ

ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΟΥΚΑ

ΤΗΣ ΦΥΣΙΚΗΣ ΚΟΙΝΩΝΙΑΣ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

—

THEODORI LASCARIS

FILII SUMMI IMPERATORIS DOMINI JOANNIS DUCÆ

DE NATURALI COMMUNIONE

SERMO PRIMUS.

—

α'. Ἐκ πολλῶν μὲν πραγμάτων καὶ ἄλλως γνόντες οἱ ἄνθρωποι ὅτι τὸ φύσει κρεῖττον τοῦ θέσει, ὑπερέχει τε καὶ τοῦ τύχῃ, καὶ ἐξ αὐτῶν δὴ νοῆσαι δύνανται, ὧν ἐπείγομαι λέξαι νῦν, καὶ οὐκ ἂν ἄλλως ἔχειν εἴπῃ τις τοῦτ' αὐτὸ ἢ ὡς ἡ φυσικὴ ἀκολουθία καὶ ἀληθὴς παραστήσει τήμερον δι' ἐμοῦ. Ἔστι μὲν οὖν φύσις καὶ κίνησις ἐν τῇ φύσει, ὡσαύτως δ' ἔστι καὶ μερισμός· πρὸς γὰρ Ἀριστοτέλην καὶ Πυθαγόραν καὶ Ἑρμογένην καὶ Ὅμηρον κοινῶς ἡ διαίρεσις, ὥσπερ καὶ αἱ στιγμαὶ μετροῦνται στιγμαῖς, καὶ τοῖς ἀριθμοῖς ἀριθμοί. Τῇ μὲν γὰρ κινήσει εἰσὶ μέρη κινήσεως καὶ τοῖς μέρεσι διαφορὰ, καὶ οὐ θέσις ἐστὶν αὐτῶν ἡ ὀντότης, ἀλλὰ ποιότης ἡ κατὰ φύσιν, ὥσπερ οὐδὲ τῇ φύσει ἡ κίνησις, ἀλλὰ τὸ εἶναι ἀρχὴν μὲν κινήσεως, περιέχειν δὲ καὶ ἄρχειν καὶ αὐτῆς στάσεως· καὶ φύσις μὲν οὖν κινεῖ πάντα τὰ ἁπλῶς καὶ καθέκαστα, ἰδιότησι [καὶ] μερισμῷ συνάπτουσα θάτερα, οἷον ἂν ληφθῇ κατ' ἰδιότητα φυσικῶς μέρη, ὡς ἐν τῷ πυρὶ τὸ καυστικὸν καὶ φωτιστικὸν, καὶ ἐν τοῖς ἄλλοις τὰ οἰκεῖα. Πότερον οὖν οὐκ ἀρχὴ τῶν ἐνύδρων· ἡ ἀρχὴ τῶν χερσαίων, οὔτε τῆς ἐκείνων κινήσεως; ἡ τῆς τούτων κινήσεως; καὶ πότερον οὐκ ἀρχὴ σχημάτων γραμμαὶ, οὐδ' ἀρχὴ σχήματα τῶν γραμμῶν, ἀλλὰ τῶν ἄμφω στιγμή; Εἰ δ' οὕτως ἐστὶν, ἆρα ἡ ἐκ τῆς φύσεως κίνησις ἐν γραμμαῖς καὶ σχήμασι στιγμή· οὐδὲ γὰρ εἴπῃ τις φύσιν σχημάτων αὐτὴν, ἀλλὰ κινηθεῖσαν ἐξ ἀρχῆς φυσικῆς. Τῶν ἄλλων οὖν ἁπάντων ὡσαύτως ἐχόντων καὶ τῶν πρώτων ἀρχῶν τούτων οὐσῶν γνωρίμων, πολλῷ μᾶλλον τὸ κατὰ φύσιν, κρεῖττον ἡ φύσις ἧτις ὑπερέκεινα πάντων ἐστὶ, μὴ ἐντελῶς ὡς ἀρχὴ ποιεῖ, τὰ μετ' ἐκείνην ἡμῖν, ὅτι δὲ ἐνταῦθα καὶ κίνησις καὶ μερισμὸς εἰς διάφορα, πρόδηλον. Ἀριστοτέλην γὰρ καὶ Ὅμηρον διαστέλλει κατὰ τὴν ὥραν ἡ κίνησις· εἰ γὰρ ἡ α πρὸς τὴν γ διὰ τῆς β διέλθῃ, ὄντως ἐν συνεχεῖ κινήσει διέρχεται, καὶ διαστέλλεται τὸ λοιπὸν ἡ α στιγμὴ πρὸς τὴν γ παρὰ τῆς β, δι' ἧς κατὰ συνέχειαν τὸ συμφυὲς ἐστιν αὐταῖς· τοῦτο δὲ κίνησις

1. Cum ex multis aliis rebus intelligunt homines, illud quod natura est et constat, multo præstantius esse eo quod positione ac fortuna constat, tum ex iis quæ dicere aggredior, possunt animadvertere. Ac nemo sane hoc ipsum aliter se habere dixerit, quam quæ modo naturalis ac vera consecutio hodie per me manifestum exhibebit. Ac primum naturam dicimus esse et motum in natura, eodemque modo distributionem esse. Nam Aristoteles, Hermogenes, et Homerus inter se communi ratione dividuntur, quomodo etiam puncta punctis mensurantur et numeri numeris. Nam motui partes motus assignantur; et partibus discrimen, neque ipsa entitas, ut ita dicam, per quam hæ res sunt, est positio: cum positio sit qualitas quæ ex natura est: non secus atque id quod est natura ipsa, non dicimus esse motum, sed naturam dicimus esse principium motus et quietis; ita ut contineat se principatum gerat. Natura igitur movet omnia quæcunque sunt absolute, adeoque singularia ipsa, proprietatibus ac distributione connectens utraque. Ut si exempli gratia proprietatum partes sumantur; quales sunt in igni urendi et illustrandi proprietates: et in aliis quæ ipsorum propria sunt. Utrum igitur principium terrestrium non est principium aquatilium? Itemque utrum principium

καὶ ὠρικὴ ποσότης διὰ κινήσεως· διαφορὰ τοίνυν οὖν Ἀριστοτέλει καὶ Ὁμήρῳ κατὰ κίνησιν καιρικήν. Ἐν μὲν οὖν τῇ κινήσει συνέχειά τίς ἐστι μερισμῷ καθυποβαλλομένη ἢ χρόνου ἢ τρόπου ἢ ποιότητι τοῦ κινουμένου, οἷον ὡς νοῦ πρὸς πτηνόν. Ἐν δὲ τῇ φύσει μερισμοὶ κράσεων κατὰ τὸ ἄλλο τε καὶ ἀλλοῖον καὶ ἄλλως. Ἐν δὲ ταῖς κράσεσιν οὐ διαίρεσις μερισμὸς, ὡς ἐπὶ τῆς φύσεως ταῖς κράσεσιν ἡ διαίρεσις μερισμὸς, ἀλλ' ἕνωσις μερισμὸς, ὅ τισι φανῇ ὡς κτινόν· ὡς γὰρ μερισμὸς τῶν συνθέτων ἐκ τῶν ἁπλῶν ἡ τῶν μερικῶν ἕνωσις, οὕτω δὴ καὶ τῶν κράσεων ἕνωσις, διαίρεσις κράσεων. Ἐκεῖθεν γὰρ ἡ διαίρεσις κοινὸς μερισμὸς, ἐνταυθοῖ δὲ ἡ διαίρεσις ἕνωσις, ἐπειδὴ μερικῶν ὑποκειμένων ἐστὶ διαίρεσις. Ἀπὸ γὰρ τοῦ πρώτου στοιχείου *α* ἕως τοῦ ἐσχάτου ω μερίζων τις οὐχ ἑνοῖ τὰ μέρη τῇ διαιρέσει· ταῖς τρισὶ δὲ μερίσιν εἰ λάβοιμεν αὐτῶν μερισμὸν, μᾶλλον τῶν μερῶν ἕνωσιν λάβωμεν, ὥστε ἡ μὲν φύσει διαίρεσις ἕνωσις, ἡ δὲ κατὰ κρᾶσιν ἕνωσις μᾶλλον διαίρεσις. Κατὰ ταυτὸ γοῦν τὰ φύσει διαιρούμενα ἢ χρόνῳ ἢ τόπῳ ἢ ποιότητι, οὐ κατὰ φύσιν διαιροῦνται· φύσις γὰρ τοῖς πᾶσι κοινὴ, ἀλλὰ κατὰ μερισμὸν κράσεων, πλὴν ἀρχούσης τῆς φύσεως· συμβάλλονται γὰρ αἱ κράσεις ὡς μερικαὶ καθότι κράσεις κράσεσιν ἑτέραις, ἐπειδὴ καὶ αὗται μερικαὶ, οὐ μὴν δὲ κρᾶσις πᾶσα ἐν πάσῃ κράσει. Τὸ γὰρ μουσικὸν φυσικὸν, τὸ σκυτευτικὸν ἐν τῇ φύσει· ἔστω τοίνυν τὸ σκυτευτικὸν μουσικὸν, ἢ ὅτι ἡ φιλοσοφία τῆς φύσεως, ἡ ποίησις ἐκ τῆς φύσεως. Ἔστω τοίνυν Ἀριστοτέλης

A ὁ Ὅμηρος, ἢ ὅτι ἡ κίνησις. Ἐν τῇ φύσει ἡ στάσις τῆς φύσεως· ἔστω ἄρα ἡ στάσις κίνησις· ἔχει δὲ ἀδυνάτως εἶναι αὐτά· ἁπλῶς γὰρ αἱ κράσεις ἐνοῦσθαι ἄτοπον, ἰδίως δέ γε εὑρίσκεται· ἑνωτικὸν γὰρ ἐν ἑτέρου, τὸ λευκόν τε καὶ τὸ ξανθὸν, καὶ τὸ μουσικὸν συγγενὲς τοῦ ἀριθμητοῦ, καὶ τὸ φιλόσοφον τοῦ θεολογικοῦ, καὶ τὸ ποιητικὸν τοῦ ῥητορικοῦ, καὶ ἡ στάσις τοῦ σωφρονικοῦ, καὶ τοῦ ἀνδρικοῦ ἡ κίνησις, ὡσαύτως καὶ ὁ κναφεὺς τοῦ σκυτέως, καὶ ἄλλων ἄλλα, κατ' ἰδιότητα συγγενῆ.

β'. Δύο γοῦν οἱ ἑνωτικοὶ τρόποι· ὁ κατὰ φύσιν καὶ ὁ κατὰ κρᾶσιν. Κοινὸς οὖν πάντων ὁ εἷς· κοινωνοῦσι γὰρ πάντα, ὅταν εἰς τὴν ποιότητα ἀναχθῶσιν, ἢ εἰς τὴν οὐσίαν, ἢ εἰς τὸ εἶδος, ἢ εἰς τὴν ὕλην, ἢ εἰς τὴν

B φύσιν κυρίως τε καὶ καθολικῶς, ἀλλὰ μερικῶς καὶ ἰδίως καὶ οὐ καθότι ποιότης, ἢ καθότι οὐσία, ἢ καθότι εἶδος, ἢ καθότι ὕλη ἑνοῖ, ἀλλὰ καθότι τί τινι συμβάλλεται, καὶ τὰ στοιχεῖα καθότι τῆς φύσεως κοινωνοῦσι, καὶ τὸ ὕδωρ οὐ φθείρει τὸ πῦρ, οὔτε τὰ ἄλλα τὰ μὴ ὁμότροπα, ὅτι δὲ πυρὶ μερικῷ ἐκρεύσει ὕδωρ ἐν αὐτῷ μερικὸν χάρτα φθείρει αὐτό· τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις φθείρονται, ἔστιν ὅπου δὲ καὶ τὰ φάρμακα κατ' ἰδιότητα σωμάτων καὶ κράσεων κοινωνεῖν τε καὶ ὠφελεῖν, ποῦ δὲ καὶ φθείρειν διὰ τὸ αὐτὸ ἐν ἐκείνοις ἀνοίκειον. Ὅμως καὶ ἐν μετάλλοις κοινωνία εὑρίσκεται, ἐν ἄλλοις δὲ καὶ διάστασις, κἀνὸν δὲ οὐκ ἦν, εἴπερ καὶ τὰ ἐν τῇ γραμμῇ σημεῖα οὐ πανταπασιν ἑνοῦνται κατὰ συνέχειαν· τὸ γὰρ πρῶτον τῷ τρίτῳ οὐχ ἑνοῦται εἰ μὴ διὰ τοῦ δευτέρου,

motus illorum non est principium motus horum? Præterea, utrum figurarum lineæ non sunt principium: neque figuræ linearum sunt principium? An potius linearum ac figurarum punctum est principium? Quod si ita est: utrum motus ille qui a natura in lineis ac figuris exsistit, est punctum? Nemo enim dixerit punctum esse figurarum naturam, sed potius a naturali principio motum habuisse. Cum igitur omnia alia eodem modo se habeant, et hæc principia sint omnibus nota, sane natura (cum sit eo quod est ex ipsa multo præstantior, quippe quæ præter omnia sit) non vulgari modo nobis illa quæ sunt infra se, tanquam principium et causa efficit. Quod autem in natura sit motus et distributio in ea quæ inter se differunt, D nemini est obscurum. Motus enim qui in hoc tempore conficitur distinguit Aristotelem et Homerum. Nam si motus *a* ad motum *c* per motum *b* perveniat, omnino continuata progressione motus conficitur. Et rursus punctum *a* distinguitur a puncto *c* per punctum *b*, per quod propter continuationem duo extrema inter se cohærent. Hoc autem est motus et horæ quantitas in motu. Quare discrimen intercedit inter Aristotelem et Homerum propter motum temporaneum. Est igitur in motu cohærentia quædam quæ subjicitur distinctioni, aut temporis, aut modi, aut ejus quod ex qualitate movetur, verbi gratia, ut si motum mentis cum motu alatilis conferas. In natura vero distributiones

C temperamentorum exsistunt ex eo quod est aliud, et ex eo quod est dissimile: itemque aliis modis. At in temperationibus divisio non est distributio (ut in natura illa temperationum divisio est distributio), sed distributio ipsa est communio, quod quibusdam tanquam absurdum videri possit. Ut enim singulorum seu particularium communio est distributio illorum compositorum quæ ex simplicibus constant, eodem modo communio temperationum est temperationum divisio. Illic enim divisio est communis distributio, hic vero ipsa divisio est communio, cum proprie subjectorum particularium sit divisio. Nam a primo elemento *α* usque ad extremum ω, qui distribuit, non unit partes dividendo; at si trium partium distributionem sumimus, potius partium unionem sumimus. Quare divisio illa quæ naturæ ratione constituitur est unio. At ipsa unio quæ fit secundum temperationem est potius divisio. Ex quo intelligitur illa quæ natura sunt et constant, cum dividuntur tempore, modo, aut qualitate, non dividi secundum naturam (nam omnibus natura communis est), sed secundum distributionem temperationum, natura tantum principatum gerente. Nam conferuntur temperationes ut particulares eo quod temperatio cum aliis temperationibus componitur, quandoquidem et ipsæ sunt particulares. Verum non omnis temperatio cum omni temperatione. Nam quod musicum est in natura, esset quoque coriarium in natura: esto igitur coriarium.

musicum; aut id quod est philosophia in natura, esto poesis in natura: esto igitur Aristoteles Homerus; aut quod est motus in natura, quies in natura, esto igitur quies motus. Hæc autem fieri nequeunt. Nam absolute temperationes uniri absurdum est. At secundum proprietates hoc fieri reperitur. Nam unum uniendi alterius vim habet, ut album et flavum, et quod est musicum est cognatum ei quod est numerabile, et philosophia theologiæ, et poetica arti dicendi, et tranquillitas temperantiæ, et fortitudini motus. Eodemque modo fullo coriario, et allis alia propter proprietatem sunt cognata.

2. Quare duo sunt modi uniendi, unus qui est secundum naturam, alter qui est secundum temperationem. Nam omnia communicant inter se cum revocantur, aut ad qualitatem, aut ad essentiam, aut ad formam, aut ad naturam, idque præcipue atque universe. At secundum proprietates alter est modus; neque enim hic unit naturaliter et universe, sed particulariter et proprie, neque quatenus qualitas, aut quatenus essentia, aut quatenus forma, aut quatenus materia unit, sed quatenus aliquid cum aliquo componitur. Quanquam etiam elementa ratione naturæ inter se communicant, et aqua non interimit ignem, nec interimit alia quæ non sunt ejusdem modi. Sed cum pars aquæ obruit partem ignis, tunc pars illa aquæ interimit partem illam ignis; contraria enim contrariis interimuntur. Fit etiam nonnunquam ut pharmaca propter proprietatem corporum et temperationum communicent inter se et prosint, nonnunquam etiam interimant propter diversam ipsorum inter se proprietatem. Similiter etiam in metallis communicatio reperitur, in aliis vero discrepantia. Quod certe non est novum, quandoquidem nec in linea puncta omnia omnibus punctis

uniuntur per continuationem. Nam | primum tertio non unitur, nisi per secundum; eodem modo etiam reliqua, ut etiam in solido, siquidem non secundum naturam duntaxat ipsius termini uniuntur, verum etiam secundum temperationem. Nam cubi continuatio, habita ratione superficierum, non est naturalis, sed beneficio numeri vincitur naturaliter.

3. Ponatur igitur senarius in cubo, eodem modo octonarius (1). Esto vero etiam punctum ad quod referantur omnes lineæ, tam quæ ab inclinationibus angulorum, quam quæ ab æqualibus lineis ducuntur. Ducatur ab *a* inclinationis angulo linea recta in *b* punctum, eodem modo aliæ rectæ lineæ ab aliis inclinationis angulis quæ sunt in superficie, nempe ab *c e f* in idem punctum *b*. Eadem ratione ducantur aliæ rectæ lineæ ab aliis cubi partibus in punctum *b*. Numerentur omnes lineæ et cum ipsis punctum etiam componatur, sane necessario circulum efficient. Rursus ducatur linea recta a linea *k* in punctum *b*. Eodem modo ducantur etiam aliæ rectæ lineæ a tribus lineis rectis quæ sunt in eadem parte, nempe ab *l m n* in punctum *b*. Consimiliter igitur a reliquis lineis reliquarum cubi partium lineæ rectæ ducantur in *b* punctum. Numerentur etiam hæ omnes et cum his punctum ponatur, necessario quoque circulum efficient. Cum igitur ab omnibus cubi partibus lineæ ductæ in *b* punctum referantur ad circularem numerationem, sequitur esse in cubo, propter numerum, naturalem partium continuationem. Secetur etiam cubus in superficies, et esto senarius plana superficies, multiplicetur que numerus, rursus qui inde factus est multiplicetur, tandem reperiemus ut numerus *a* ad *b* se habet, ita *b* ad *g* se habere. Comperimus igitur continuationem partium cubi referri ad

(1) Nempe sexies sex sexies, aut octies octo octies, ita ut senarius aut octonarius sit unus ex tribus numeris ex quibus senarius constat.

ὡσαύτως καὶ τὰ ἑξῆς, ἢ καὶ τῷ στερεῷ εἰ οὐ κατὰ φύσιν μόνον ἑνοῦνται τὰ αὐτοῦ πέρατα, ἀλλὰ καὶ κατὰ κρᾶσιν· ἡ γὰρ τοῦ κύβου συνέχεια κατὰ μὲν τὰς ἐπιφανείας οὐ φυσικὴ, κατ' ἀριθμὸν δὲ συνδέδεται φυσικῶς.

γ'. Τεθήτω γοῦν ἑξὰς ἐν αὐτῷ, ὡσαύτως καὶ ὀγδοὰς, ἔστω δὲ καὶ σημεῖον εἰς ὃ ἀφορῶσιν ἅπασαι αἱ γραμμαὶ, αἵ τε ἀπὸ τῶν κλίσεων, καὶ αἱ ἀπὸ τῶν ἴσων γραμμῶν· ἀχθήτω ἀπὸ τῆς *a* κλίσεως εὐθεῖα γραμμὴ εἰς τὸ *β* σημεῖον, ὡσαύτως καὶ ἑτέρα εὐθεῖα γραμμὴ ἀπὸ τῶν ἐν τῇ αὐτῇ ἐπιφανείᾳ κλίσεων, ἤγουν τῆς *γ ε ζ* ἐπὶ τὸ αὐτὸ *β* σημεῖον· κατὰ τὸν αὐτὸν λόγον ἀχθήτωσαν καὶ ἐκ τῶν ἑτέρων τοῦ κύβου μερῶν εὐθεῖαι γραμμαὶ πρὸς τὸ β σημεῖον, ἀριθμηθήτωσαν αἱ γραμμαὶ πᾶσαι καὶ συντεθήτω ταύταις καὶ τὸ σημεῖον καὶ ποιήσουσι κύκλον ἐξανάγκης· πάλιν ἀχθήτω ἀπὸ τῆς *κ* γραμμῆς ἐπὶ τὸ *β* σημεῖον εὐθεῖα γραμμὴ, ὡσαύτως ἀχθήτωσαν καὶ ἕτεραι γραμμαὶ εὐθεῖαι ἀπὸ τῶν ἐν τῷ αὐτῷ μέρει εὐθειῶν γραμμῶν τριῶν τῆς *λ, μ, ν*, ἐπὶ τὸ *β* σημεῖον. Ὁμοίως γοῦν ἀχθήτωσαν καὶ ἐκ τῶν εἰς

A τὰ ἕτερα μέρη τοῦ κύβου εὐθειῶν γραμμῶν εὐθεῖαι γραμμαὶ ἐπὶ τὸ *β* σημεῖον, ἀριθμηθήτωσαν καὶ αὗται πᾶσαι καὶ συντεθήτω ταύταις καὶ τὸ σημεῖον, καὶ ποιήσουσιν ἐξ ἀνάγκης καὶ αὗται κύκλον. Ἐπεὶ δὲ ἐκ πάντων τῶν τοῦ κύβου μερῶν αἱ πρὸς τὸ *β* σημεῖον εὐθεῖαι γραμμαὶ σὺν τῷ σημείῳ εἰς ἀπαρίθμησιν κυκλικὴν ἀναφέρονται, ἔστιν ἄρα κατὰ ἀριθμὸν εἰς τὸν κύβον φυσικὴ συνέχεια τῶν μερῶν. Τμηθήτω γοῦν καὶ εἰς ἐπιφανείας ὁ κύβος, καὶ ἔστω ἑξὰς ἡ ἐπίπεδος ἐπιφάνεια, καὶ πολλαπλασιασθήτω ὁ ἀριθμὸς καὶ πάλιν πολλὰ πλασιασθήτω οὗτος, καὶ εὑρεθήσεται ὡς ὁ *a* πρὸς τὸν *β*, ὁ *β* πρὸς τὸν *γ*· εὑρίσκονται ἄρα καὶ κατ' ἐπιφανείας εἰς ἀπαρίθμησιν κυκλικὴν συνεχῆ τὰ μέρη αὐτοῦ. Ἐπεὶ

B δὲ αἱ κατὰ παντὸς μέρους αὐτοῦ ἁρμονίαι ἀριθμῷ εἰς κύκλον ἀνάγονται, ὁ δὲ κύκλος τῶν ἄλλων σχημάτων φυσικώτερος καὶ μονοειδέστερος καὶ οὐ μικτὸς καὶ ἁπλοῦς καὶ ἐκ μερῶν οὐ πολλῶν, ἀνάγκη πᾶσα κατ' ἀριθμὸν φυσικὴν νοεῖν τὴν τοῦ κύβου συνέχειαν, ἐπεὶ εἰς κύκλους ἀνάγεται.

δ'. Θεωρηθήτω γοῦν καὶ κατὰ συνεχεῖς ἐπιφανείας,

εἰ αὐταὶ πρὸς αὐτὰς ἀλλήλαις συνέχειαν ἔχουσι, καὶ ὁποίαν, καὶ πῶς. Ἔστω τοίνυν $a\,\beta\,\gamma\,\delta\,\varepsilon\,\zeta$ ὁ κύβος, ἁπλωθήτω ἡ a ἕως τῆς ἑκατέρας αὐτῆς β τε καὶ τῆς γ, καὶ ἡ δ πρὸς τὴν β τε καὶ τὴν γ, καὶ ἡ ε πρὸς τὴν $a\,\beta\,\gamma\,\delta$, καὶ ἡ ζ ὁμοίως πρὸς τὴν $a\,\beta\,\gamma\,\delta$· ἑνοῦνται γοῦν αὗται πρὸς τὰς κλίσεις, αἱ δὲ θέσεις καὶ ἑνώσεις αὐτῶν οὐ κυκλικαί, ὥσπερ καὶ ἐπὶ τῶν ἀριθμηθεισῶν γραμμῶν, ἀλλὰ γεγωνιωμέναι καὶ κλίσεις ἔχουσαι· ἡ Α γὰρ ὅλη ἕως ὅλης τῆς Β, καὶ αὖτη ἕως ὅλης τῆς Γ, καὶ αὖτη ἕως ὅλης τῆς Δ, καὶ ἡ Ε ἕως ὅλων τῶν Α Β Γ Δ, καὶ ἡ Ζ ὁμοίως ἕως ὅλων αὐτῶν Α Β Γ Δ. Φαίνεται γοῦν ἐκ τούτου ὅτι ἅπτονται μὲν, εἰς ἑαυτὰς δὲ διόλου οὐ στρέφονται κυκλικῶς εἴτουν φυσικῶς. Τμηθήτωσαν γοῦν αἱ ἐπιφάνειαι δι' ὅλου τοῦτου κύβου πάχους, καὶ συλληφθήτωσαν κατὰ τὸ ἀνάλογον ἐξίσου ὅλα τὰ τμήματα· ἐκτέθειται γοῦν ἡ Α διάμετρος τῇ Γ, καὶ ἡ Β τῇ Δ, καὶ ἡ Ε τῇ Ζ· ἔστω γοῦν ἡ μετὰ τὴν Α Η, καὶ ἡ μετὰ τὴν Γ Θ, καὶ ἡ μετὰ τὴν Β Ι, καὶ ἡ μετὰ τὴν Δ Κ, καὶ ἡ μετὰ τὴν Ε Λ, καὶ ἡ μετὰ τὴν Ζ Μ, καὶ πάλιν ἡ μετὰ τὴν Η Ν, καὶ ἡ μετὰ τὴν Θ Ξ, καὶ ἡ μετὰ τὴν Ι Ο, καὶ ἡ μετὰ τὴν Κ Π, καὶ ἡ μετὰ τὴν Λ Ρ, καὶ ἡ μετὰ τὴν Μ Σ· τεθήτω γοῦν ἡ a πρὸς τὴν β γ ἐπιφάνειαν, τετμήσθω δὲ ἐνδεκαμερῶς, ὡσαύτως καὶ ἡ δ πρὸς τὴν a γ ἐπιφάνειαν ἐνδεκαμερῶς ἑκατέρα τε καὶ ἑκατέρα, ὁμοίως τετμήσθω ἐνδεκαμερῶς, ἤγουν ἡ $a\,\beta\,\gamma\,\delta\,\varepsilon\,\zeta$, τετμήσθω δὲ ἐννεαμερῶς καὶ ἡ $\eta\,\theta\,\iota\,\varkappa\,\lambda\,\mu$, τετμήσθω δὲ ἑπταμερῶς καὶ ἡ $\nu\,\xi\,o\,\pi\,\rho\,\sigma$, καὶ ἐνωθήτωσαν αὖθις κατὰ τὸ ἀνάπαλιν ἡ $\nu : \sigma :: \xi : \rho :: o : \pi :: \eta : \mu :: \theta : \lambda :: \iota : \varkappa :: a : \gamma :: \beta : \delta :: \varepsilon : \zeta$, καὶ συνέστηκε πάλιν ὁ τρηθεὶς κύβος τεμνόμενος· ἄρα κύβος εὑρίσκεται καὶ συντιθέμενος καὶ ἑνούμενος, καὶ πάλιν κύβος εὑρίσκεται. Ὡς γὰρ ἡ $a\,\beta\,\gamma\,\delta\,\varepsilon\,\zeta$ πρὸς τὴν $\eta\,\theta\,\iota\,\varkappa\,\lambda\,\mu$, οὕτως ἡ $\eta\,\theta\,\iota\,\varkappa\,\lambda\,\mu$ πρὸς τὴν $\nu\,\xi\,o\,\pi\,\rho\,\sigma$, ἑκατέρα τῆς ἑκατέρας ὑπεροχὴν ἀνάλογον ἔχουσα. Εἰ δὲ καὶ εἰς πλείους τομὰς ἢ ἐλάττους κατὰ τὴν αὐτὴν ἀναλογίαν εἰς συνεχεῖς ἐπιφανείας τέμνειν τις τὸν κύβον πειράσεται, τὰ αὐτὰ καὶ οὕτος εὑρὼν, κύβον εἶναι ἐάσει αὐτόν.

ε'. Ἐδείχθη γοῦν καθὼς ἔδει ἐν τῷ κύβῳ διττὴ συνέχεια, ἡ κατὰ κύκλον καὶ ἡ ἐξάεδρος. Ἔστω γοῦν ἡ κατὰ κύκλον καὶ ἀριθμητὴ φυσικὴ, ἡ δὲ κατὰ τὸ ἄλλο σχῆμα κατὰ κρᾶσιν καὶ μίξιν· αἱ γὰρ κράσεις μικταὶ, τὰ δὲ γεγωνιωμένα σχήματα ἔμφασιν ἔχουσι μίξεως, διὰ τοῦτο τὸ τοῦ κύβου σχῆμα καθότι γεγωνιωμένον μικτόν. Εἰ δ' ὅτι καὶ τοῦτο τῆς φύσεως καὶ ὁ κύκλος τῆς φύσεως καὶ κοινωνεῖν κατ' αὐτὸ εἴπῃ δηλαδή τις, στέρξω αὐτό· ἐν γὰρ τῇ φύσει καθότι τῆς φύσεως ἑνοῦνται ἅπαντα, ὥσπερ καὶ εἰς τὸ σημεῖον αἱ ἀπὸ τῆς περιφερείας τοῦ κύκλου γραμμαὶ εἰσερχόμεναι.

gationibus, et in individuis quæ ex illis temperantur. Neque igitur plures quisquam reperiet conjugationes, nisi captiose agat: neque rursus pauciores nisi manca et imperfecta cognitione præditus: cum nobis omnes sint numero comprehensæ, nec ulterius progredi liceat: nempe *a b c e f g h* temperant simplicem hominem, quandoquidem simplicem conjugationem constituunt. Simplicem autem hominem et simplicem conjugationem pro eodem usurpo, nempe pro perfecte temperato homine, seu perfecte temperata conjugatione. Aliarum vero conjugationum unaquæque suam habet proprietatem. Omnes igitur homines sunt nonaginta duo: et simplex nempe perfectus: itemque illi qui ex septem simplici conjugationi respondentibus temperantur. Porro omnes atque adeo simplex sunt infiniti, non secundum aliud atque aliud, sed quatenus alius quispiam est atque dissimilis: nam aliud essentiam significat, et aliud individuum: dissimile vero intensionem et remissionem. Omnes igitur aliusmodi purgationes, quæcunque secundum intensionem et remissionem sunt temperatæ, in termino septem consistunt: nempe *a b c e f g h*. Aliæ quidem sunt quotquot ex transpositionibus et permutationibus conjugationum constant. At dissimiles sunt quotquot in unaquaque conjugatione intra ipsius terminos consistunt habentque latitudinem et coarctationem. Nemo enim distinguit inter iracundum et cupidum secundum illud quod est magis et minus: quandoquidem hæc latitudo non est definita et certa. Non quod omnis latitudo sit indefinita, sed quia illud quod est indefinitum interdum etiam latitudinem habet; interdum vero est latitudo, coarctatur etiam, quia *a* secundæ conjugationis comparatum cum alio *a* ejusdem conjugationis tum remissionem tum etiam intensionem suscipit. Neque vero natura ita comparatum esset, nisi omnia individua *a* ejusdem conjugationis secundæ essent necessario propter videlicet intensionem et remissionem. Utrum igitur in his conjugationibus omne individuum includitur et comprehenditur? et omnes sunt nonaginta duo cum simplice et illis septem qui pari vi parique facultate conjugationi simplici respondent; utrum etiam intensionem et remissionem qualitates in suis quæque conjugationibus suscipiunt? uniuscujusque vero conjugationis individua sunt infinita; non quod sint extra ipsas conjugationes, sed propter intensionem et remissionem quarum utraque intra conjugationes ipsorum consistit? Hoc igitur nostro sermone septem partium animalis ratione præditi communionem conati sumus ostendere, cujus quidem doctrinæ usum in communionibus rerum naturalium longius latiusque diffusum habere possumus. Porro illud ad quod unaquæque conjugatio individuum quod facit facere solet, ostendere non gravabimur, etiamsi tractatio hæc negotii et molestiæ plena sit. Ac plures quidem alii in hac scientia exercitati potuissent melius non eo modo quo nos, sed quo pacto maxime oportuit intra ipsas conjugationes, aut aliter hæc omnia explicare et pertractare. At conjugationes alias præter illas nemo poterit reperire, quocunque modo immutet et transponat: quia perfectissime permutatæ et transpositæ sunt. Verum nos utcunque uniuscujusque conjugationis individuum explicemus, et hanc quoque

ὅτε δὲ καὶ χρειττόνως, μὴ μεμφθῶμεν παρά τινος ἐξετάσαντες. Οἶδασι γὰρ οἱ διερχόμενοι ἐπιστήμην πῶς δεῖ φυσιολογεῖν καὶ πῶς οἰκεινομεῖν τε καὶ συλλογίζεσθαι· διὸ πᾶσι μὲν καὶ πάντη καὶ κατὰ πάντα τῷ Σταγειρίτῃ πειθόμεθα, φυσιολογικῇ δὲ καὶ αὐτοὶ ἐπιβάλλομεν φειδοῖ τοῦ ἀνδρὸς, ἀναιροῦντες ταύτην τὴν δόξαν ἐκ ταύτης (1) τῶν χαρακτηρισμάτων. Οὐδὲ γὰρ, ἀνδρεῖος ὁ μεγάλα ἔχων τὰ ἀκρωτήρια, φάσκομεν, ἀλλὰ τὸν οὕτως ἡρμοσμένον ἢ οὕτως ταῖς συζυγίαις· ἐκεῖ γὰρ σχημάτων διαφορὰ, ἐνθαδὶ δὲ χυμῶν καὶ ψυχῆς μερῶν ἰδιώματα, καὶ διὰ τοῦτο τὸ συναγόμενον ὁποῖόν ἐστι καταληπτόν. Διὸ περὶ μὲν τῆς τῶν συζυγιῶν τάξεως καὶ εὑρέσεως καὶ θέσεως καὶ ἐναλλαγῆς ἀποδεικτικῶς εἰπόντες οὐκ ἂν ἐρυθριάσαιμεν πώποτε, ὅτιπερ εἰρήκαμεν κατὰ φύσιν, φυσιολογήσειν δὲ ταύταις κατ' ἄτομον, οὔτε μὴν ἀνασταλῶμέν ποτε οὔθ' ὑποσταλῶμεν αὐτῷ καὶ ἐπὶ τούτοις, οὔθ' ὑπὸ τὴν κάτω φορὰν ἀχθησόμεθα, ἀλλ' ἐνδεχομένως φυσιολογήσαντες ὡς εἰκὸς τὴν διάκρισιν τοῖς σοφοῖς ἀναθήσομεν, τοῖς δέ γε μεθ' ἡμᾶς ἀνερευνᾶν βουλομένοις τὰ ἐνδεχόμενα οὔτε ἡμεῖς κωλύσο-

A

B

C

D

μεν, οὔτε τὸ ἀναγκαῖον· οἱ δ' ὅτι οἱ μετὰ τούτους αὐτοῖς περὶ τὸ φυσιολογεῖν ἀναντιῤῥήτως φιλοτιμήσονται, διὸ ἣν ἐκεῖνοι πρὸς τοὺς ἔξης τὴν ἐν ταῖς γραφαῖς συγγνώμην ἐθέλουσιν, ἐξ αὐτῶν ἡμεῖς ἐξαιτούμεθα. Τοῦτο δὲ οὔτε δειλίᾳ ὡς πέφυκε γέγραφα, ὡς τὴν κατ' ἐμὲ γενεὰν ἐμὲ εἰδέναι μέχρι καὶ τῶν ἀῤῥήτων ἐντὸς τῆς φιλοσοφίας γιγνώσκειν ἀφιλονείκως, οὔτε τὸ κρυπτὸν εἴχόν τε καὶ κερδωτικὸν οἷα πάσχουσι οἱ πολλοὶ, τὴν συνείδησιν ἀπατῶντες καὶ γελαστοὶ γινόμενοι τῷ γελᾷν (2) καὶ ἐν εἰκείοι, ἀρκύσις ἀγχονιζόμενοι· ἀλλὰ φιλόσοφος ὢν καὶ τὸ ταπεινοῦσθαι γινώσκων καλὸν, καὶ τὸ μέτριον ἀρετὴν, καὶ τὰ μέσα ἀκρότητας, καὶ τὰς ἀκρότητας ἐν μεσότητι, καὶ πρὸς τούτοις καὶ ἐπὶ τούτοις ὅτι θνητὸς, ὅτι πρὸς συνδούλους βοῶ, ὅτι πρὸς ἐπιστήμονας διατίθεμαι, ὅτι εἷς καὶ μόνος ἐστὶν ὁ κυρίως καὶ ὄντως σοφὸς οὕτως δὴ λέγω, πᾶσαν δὲ τὴν γνώμην ἡμῶν τοῖς χρειττόνως εὑρίσκουσι προσκολλῶμεν. Τὴν χάριν δὲ τοῦ βιβλίου τῆς ἐπιστήμης δὴ ταύτης ἐξαυτῆς σὺν τῇ συγγνώμῃ αἰτούμεθα· ἴδιον γὰρ φιλοτιμεῖσθαι τοῖς ὁμοίοις οἱ ὅμοιοι δωρήματα τὰ κατάλληλα.

partem naturalis scientiæ levi brachio attingamus, et quasi præeamus illis qui hunc campum ingredi voluerint idque interdum leviore brachio, ut diximus, interdum etiam accuratius, ne forte in alicujus reprehensionem nostri perscrutandi studium incurrat. Nam qui philosophiam litteris persequuntur, norunt quo pacto in scientia naturali versari oporteat : quo pacto distribuere et colligendo concludere necesse sit. Idcirco in omnibus, omnino et secundum omnia Stagiritæ obtemperamus, nos quoque scientiæ naturalis studiosi rationes viri illius ad tenue et ad concisum elimatas fusius explicamus, elicientes hanc opinionem ex illa quæ per insignitas corporis notas colligitur. Neque enim dicimus hunc in modum : Fortis ille est qui magnas habet extremitates ; sed, Qui hoc vel illo modo secundum jugationes temperatus est. Nam ex insignitis corporis notis figurationum discrimen consideratur : hic autem humorum et partium animæ proprietates expenduntur. Quo fit ut illud quod ratione concluditur, facile intelligatur. Cum igitur de conjugationum ordine, inventione, collocatione et permutatione accurate diximus, nunquam erubescemus, quod convenienter naturæ principiis docuimus de temperationum conjugationibus, illud in individuis ipsis ostendere : neque hoc ipsum unquam renuemus neque subterfugiemus : neque vero ad infima quæque descendemus, sed postquam utcumque perscrutati fuerimus, accuratiorem dis-

quisitionem sapientibus relinquemus. Quod quominus faciant neque a nobis, neque a fato aliquo impedientur. Equidem hoc certo scio, fore ex posteris aliquos qui non contradicendi studio eamdem in hac philosophiæ parte operam ponant. Quare quam illi veniam a posteris suis libenter exspectabunt, hanc nos ab ipsis petimus. Neque vero ignaram et somniculosam operam in his conscribendis posuimus, et meum hoc sæculum testari potest res plerasque occultas et ab ipsa natura involutas mihi apertas et manifestas exsistere : quam sane cognitionem insolenter et intemperanter præ me ferre nolim. Neque hæc arcana mecum habui astute, ut solent multi qui conscientiam suam ipsi fallunt, ipsi se ridicule insanos ostentant, ac suis ipsi retibus suffocantur. Sed cum ego sim philosophus, sciamque modestiam esse cum honestate conjunctam et moderationem esse virtutem : itemque quæ sint media, quæque extrema in humanis actionibus : præterea cum sciam me mortalem esse mihique opem conservorum esse implorandam : me cum sapientibus versari, unum denique esse perfecte et vere sapientem : ideo in hanc sententiam sermonem meum concludo : ut nostram sententiam adjungamus sententiæ illorum qui meliora reperient. Gratiam vero propter doctrinam et sententiam nostram hoc libro comprehensam deposcimus. Est enim æquum ut similes a similibus mutua studiorum munera studiose exspectent.

—

Diagramma adjiciendum tertio sermoni Theodori Ducæ, in quo numerum conjugationum ob oculos ponere voluimus.

Ἡ ἁπλῆ καὶ πρώτη συζυγία.

α β γ. ε ζ η θ

Ἡ β' τάξις. 1 α β γ. ε ζ η

2 α β γ. ζ η θ
3 α β γ. η υ ζ
4 α β γ. ε θ ζ

(1) Ἀναιρεῖν δόξαν ἐκ δόξας, id est, *opinionem ex opinione elicere.*
(2) Lego γελαστοὶ τῶν γελαστῶν.

Ἡ γ' τάξις.
5 α β γ. ε ζ
6 α β γ. ζ η
7 α β γ. η θ
8 α β γ. θ ε
9 α β γ. ε ζ
10 α β γ. ζ θ.

Ἡ δ' τάξις.
11 α β γ. ε
12 α β γ. ζ
13 α β γ. η
14 α β γ. θ

Ἡ ε' τάξις καὶ πρώτη τῶν ἄλλων τάξεων.
15 α β. ε ζ η θ
16 α β. ε ζ η
17 α β. ε ζ θ
18 α β. ζ η θ
19 α β. η θ ε
20 α β. ε ζ
21 α β. ζ η
22 α β. η θ
23 α β. ζ θ
24 α β. θ ε
25 α β. ε η

Ἡ β' τάξις, β' τῶν ὅλων.
26 β γ. ε ζ η θ
27 β γ. ε ζ η
28 β γ. ε ζ θ
29 β γ. ζ η θ
30 β γ. η θ ε
31 β γ. ε ζ
32 β γ. ζ η
33 β γ. η θ
34 β γ. θ ζ
35 β γ. θ ε
36 β γ. ε η

Ἡ γ' μετὰ ταύτην, ἑβδόμη τῶν ὅλων.
37 α γ. ε ζ η θ
38 α γ. ε ζ η
39 α γ. ε ζ θ
40 α γ. ζ η θ
41 α γ. η θ ε
42 α γ. ε ζ
43 α γ. ζ η
44 α γ. η θ
45 α γ. θ ζ
46 α γ. θ ε
47 α γ. ε η

Ἡ α' τάξις τούτων, ὀγδόη των ὅλων.
48 α. ε ζ η θ
49 α. ε ζ η
50 α. ζ η θ
51 α. ε ζ θ
52 α. η θ ε
53 α. ε ζ
54 α. ζ η
55 α. η θ
56 α. θ ζ
57 α. θ ε
58 α. ε η

A *Ἡ β' τάξις τούτων, ἐννάτη τῶν ὅλων.*
59 β. ε ζ η θ
60 β. ε ζ η
61 β. ζ η θ
62 β. ε ζ θ
63 β. η θ ε
64 β. ε ζ
65 β. ζ η
66 β. η θ
67 β. θ ζ
68 β. θ ε
69 β. ε η

Ἡ γ' τούτων, δεκάτη τῶν ὅλων.
70 γ. ε ζ η θ
71 γ. ε ζ η
72 γ. ζ η θ
73 γ. ε ζ θ
74 γ. η θ ζ
75 γ. ε ζ
76 γ. ζ η
77 γ. η θ
78 γ. θ ζ
79 γ. θ ε
80 γ. ε η

Ἄλλη τάξις α', ἑνδεκάτη τῶν ὅλων.
81 α. ε
82 α. ζ
83 α. η
84 α. θ

Ἡ β' τούτων, δωδεκάτη τῶν ὅλων.
85 β. ε
86 β. ζ
87 β. η
88 β. θ

Ἡ γ' τούτων, τρισκαιδεκάτη τῶν ὅλων.
C 89 γ. ε
90 γ. ζ
91 γ. η
92 γ. θ

Ἑπτὰ ἕτεραι συζυγίαι αἵτινες ἔχουσιν ἐν μονάδι μόνῃ ἐπίτασιν ἢ ἄνεσιν.
ἡ κατ' ἐπίτασιν α
ἡ κατ' ἐπίτασιν β
ἡ κάτ' ἐπίτασιν γ
ἡ κατ' ἐπίτασιν ε
ἡ κατ' ἐπίτασιν ζ
ἡ κατ' ἐπίτασιν η
ἡ κατ' ἐπίτασιν θ

Significatio litterarum.
α, λόγος,
β, θυμὸς,
γ, ἐπιθυμία,
ε, αἷμα,
D ζ, χολὴ ξανθὴ,
η, χολὴ μέλαινα,
θ, φλέγμα.

(1) Hujus loci obscuritas illustrabitur hunc in modum: Cum fit distributio in quatuor ordines, tunc tredecim ordines respectu quatuor ordinum, non amplius ordines, sed συζυγίαι appellantur. Rursus cum fit distributio in nonaginta tres συζυγίας, tunc tredecim συζυγίαι non amplius συζυγίαι, sed τάξεις appellantur respectu nonaginta trium conjugationum. Cæterum, ut monet Galenus, cum conjugatione illa quæ est æqualis omni ex parte, estque intensionis ac remissionis expers, reliquas comparare debemus. Idque observandum in singulis ordinibus.

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΛΑΣΚΑΡΙ

ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΟΥΚΑ

ΤΗΣ ΦΥΣΙΚΗΣ ΚΟΙΝΩΝΙΑΣ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

—

THEODORI LASCARIS

FILII SUMMI IMPERATORIS DOMINI JOANNIS DUCÆ

DE NATURALI COMMUNIONE

SERMO QUARTUS.

—

α'. Τοσαυταχῶς οὖν τὰς ἐν ἀνθρώποις χυμῶν τε καὶ ψυχικῶν μερῶν κοινωνίας εὑρόντες γεγράφαμεν, ὡς ἔδει, ἐρευνήσαντες πρίν· οὐ περικλείομεν δὲ τὰ ἰδιώματα τῶν τε κατὰ λόγον ἐργαζομένων, τῶν τε κατὰ θυμὸν, τῶν τε κατ' ἐπιθυμίαν, καὶ τῶν ἑκάστῳ ἀφωτιωμένων χυμῶν ἐν ποσῷ· τοῦτο γὰρ οὐκ ἔχει τις χώραν εὑρεῖν, ἀλλὰ μόνον τὸν ἀριθμὸν, καὶ τὴν σχέσιν, καὶ τὴν ποιότητα ἀπεδείξαμεν. Τὸ γοῦν, πόσαι καὶ ὁποῖαι αἱ κοινωνίαι τῶν ἀμφοτέρων, ψυχῆς δηλαδὴ καὶ χυμῶν, ἐδείχθη, πόσον δὲ μία ἑκάστη ἔχει τὸ ποσὸν εὑρεθῆναι ἀδύνατον· ποσοῦ γὰρ οὐκ ἐπίτασις καὶ ἄνεσις, ἀλλ' ἴσον καὶ ἄνισον· οὗ σφάλλει δὲ τοῦτο τὴν ἐπιστήμην. Ἐπεὶ γοῦν αἱ κατ' ἀριθμὸν κοινωνίαι εἰσὶ δεδειγμέναι, ὡσαύτως καὶ μιᾶς ἑκάστης ἡ ἰδιότης· εἰ γὰρ καὶ τοῦ λογικοῦ λογικὸς ὑπερέχει, καὶ τοῦ θυμικοῦ θυμικὸς, καὶ τοῦ ἐπιθυμητικοῦ ἐπιθυμητικὸς, πλὴν καὶ οἱ ἀμφότεροι ἢ ἐπιθυμητικοὶ ἢ λογικοὶ ἢ θυμικοί εἰσι, κἂν εἷς τούτων ἔχῃ ὅσην ἂν ἔχῃ τὴν κατὰ τὸ κοινὸν ποιὸν ἐπίτασιν, ὁ κρίνων δὲ διὰ τοῦτο οὐ παρασφάλλει ὥστε ἐπιθυμητικὸν τὸν θυμικὸν

1. Tot numero humorum in hominibus et partium animi inventas a nobis communiones et investigatas prius, ut oportuit, tradidimus. Proprietatibus vero agentium tum ex ratione, tum ex irascente vi atque facultate, tum denique ex cupiditate itemque proprietatibus humorum unicuique assignatorum, certam ac definitam quantitatem non attribuimus. Hoc enim reperiri non potest : sed demonstravimus duntaxat numerum, habilitatem et qualitatem. Quot sunt igitur communiones utrorumque, nempe animi et humorum, a nobis ostensum est. Quantam autem quantitatem unaquæque communio habeat, definite nemo reperire potest. Nam quantitatis non est intensio et remissio, sed æqualitas et inæqualitas. Nemo vero hoc modo considerans a scientia aberrare potest. Quoniam igitur quot sint numero communiones ostensum est, eodem modo uniuscujusque communionis proprietas declarata est. Si enim rationis compos rationis compoti excellere potest, etiam iracundus iracundo, et cupidus cupido, ita tamen ut ambo sint aut cupidi aut rationis compotes, aut iracundi. Et quamvis unus habeat quantamcunque habere possit communis qualitatis intensionem : non tamen falletur qui ex illis quæ

λεσθαι, καθαρῶς δὲ διακρίνει τὸν ἐπιθυμητικὸν ἐκ τοῦ θυμικοῦ. Εἰ δὲ καὶ τὰ εἴδη τῶν καθεκάστων πλάτος ἔχει, ὥστε λέγεσθαι ἐν ἑκαστον εἶδος ποιότητι τὴν ἐπίτασιν κατὰ τὸ ἄπειρον, οὐκ ἄλλη κἀξ αὐτοῦ ἡ ἰδιότης γενήσεται, ἐσεῖται δὲ ἡ αὐτὴ, ἀποδειχθήσεται δ οὕτως καὶ τοῦτο, πρὸς τὸ δεῖξαι τούτῳ τῷ σχήματι, ὅτι τὸν θυμικὸν πρὸς θυμικὸν ἡ τῆς ποιότητος ἐπίτασις οὐκ ἄλλον τοῦ θυμικοῦ εἶναι τοῦτον ποιεῖ. Δεῖ γοῦν ἀποδεῖξαι ὅτι οὐκ ἄλλο καὶ ἄλλο ταῦτα διὰ τοῦ ποσοῦ τῷ ἴσῳ καὶ τῷ ἀνίσῳ.



Ἔστω τοίνυν τὰ τοῦ σχήματος τετράγωνα ἡ Α Β Γ Δ τὸ μεῖζον τετράγωνον, ἡ δὲ Ε Ζ Η Θ τὸ ἔλασσον τετράγωνον· ἔστωσαν γοῦν ἡ Α Β Γ Δ στιγμαὶ ἐξ ὧν πρὸς ἑκατέρας τὴν Χ Φ Ψ Ω ἑνοῦνται· ἡ Α γοῦν τῇ Β καὶ αὐτὴ τῇ Γ καὶ αὐτὴ τῇ Δ, καὶ αὐτὴ Α· ἔστωσαν ἡ Ψ Φ Φ Ω Ω Χ Χ Ψ καὶ ποιήσουσι τὸ ἔλασσον τετράγωνον Ε Ζ Η Θ· ἔστωσαν γοῦν καὶ τὰ Ν Ρ Λ Π σημεῖα, μέσα τῶν Ε Ζ Η Θ σημείων, ὡς καὶ τὰ Ψ Φ Ω Χ τῶν Α Β Γ Δ σημείων· ὡς γοῦν ἡ Α πρὸς τὴν Β, ἡ Ε πρὸς τὴν Ζ, καὶ ὡς ἡ Β πρὸς τὴν Γ, ἡ Ζ πρὸς τὴν Η, καὶ ὡς ἡ Γ, πρὸς τὴν Δ, ἡ Η πρὸς τὴν Θ, καὶ ὡς ἡ Δ πρὸς τὴν Α, ἡ Θ πρὸς τὴν Ε, καὶ πάλιν ὡς τὸ ἐπιζευχθὲν Ψ Φ Β τρίγωνον πρὸς τὸ Ν Ζ Ρ τρίγωνον, οὕτως καὶ τὸ Ψ Χ Α τρίγωνον πρὸς τὸ Π Ε Ν τρίγωνον, καὶ ὡς τὸ Χ Ω Δ τρίγωνον πρὸς τὸ Λ Π Θ τρίγωνον, οὕτως καὶ τὸ Ω Φ Γ τρίγωνον πρὸς τὸ Λ Ρ Η τρίγωνον. Ὑπάρχει γοῦν τὸ Ψ Φ Β τρίγωνον ὅμοιον τῇ ποιότητι τῶν Ν Ρ Ζ τριγώνῳ, πλὴν δ' ἀλλ' οὐ τῷ ἴσῳ, καὶ καθεξῆς τὸ Ψ Χ Α τρίγωνον τῷ Π Ν Ε τριγώνῳ, ὡσαύτως δὲ καὶ τὸ Χ Ω Δ τρίγωνον τῷ Λ Π Θ τριγώνῳ, καὶ τὸ Ω Φ Γ τρίγωνον τῷ Λ Ρ Η τριγώνῳ, καὶ πάλιν εἰς τὸ ἐπιζευχθὲν Ν Ρ Λ Π τετετράγωνον, ἀγκείσθωσαν κατὰ τὴν τούτου τοῦ Ν Ρ Λ Π πρὸς τὰ Ψ Φ Ω Χ τάξιν, τὰ Τ Υ Κ Σ σημεῖα, ἐπιζεύχθωσαν δὲ καὶ ταῦτα τῷ Τ Υ Κ Σ καὶ ἐσεῖται καὶ ταῦτα ἴσα τὰ τρίγωνα· ὡς γοῦν τὸ Π Λ Θ τρί-

diximus, judicare voluerit; ita ut cupidum cum iracundo confundat, sed cupidum ab iracundo sincere vereque distinguat. Et quamvis individuorum formæ (1) latitudinem habeant adeo ut unaquæque forma intensionem in infinitum suscipere possit, tamen non ideo alia proprietas evadet, sed eadem manebit. Quod autem dicimus, hunc in modum demonstrabitur: Subjecta figura volumus ostendere intensionis qualitatem non efficere ut iracundus ab iracundo alius dici et definiri possit. Oportet igitur demonstrare per quantitatis æqualitatem et inæqualitatem hæc aliud atque aliud non evadere.



Ex quadrangulis igitur hujus figuræ esto majus quadrangulum A B C D; E F G H minus quadrangulum. Sint igitur A B C D puncta a quibus utrinque lineæ cum V X Y Z copulentur. Sint igitur æquales, linea quidem A lineæ B, et hæc lineæ C, et hæc lineæ D, et hæc lineæ A. Puncta igitur V X Y Z ponantur media inter A B C D, et conjungantur inter se Y X. XZ. ZV. VY efficientque minus quadrangulum E F G H. Sicut igitur N O P Q puncta media inter puncta E F G H, quemadmodum V X Y Z puncta erunt media inter puncta A B C D. Ut igitur linea A se habet ad lineam B, ita linea F ad lineam C; et ut linea C ad lineam D, ita linea G ad lineam H; et ut se habet linea D ad lineam A, ita linea H ad lineam E. Rursus ut se habet conjunctum triangulum Y X B ad triangulum N F O, ita triangulum Y V A ad triangulum Q E N. Et ut se habet triangulum Q H P, ita triangulum Z X C ad triangulum P O G. Est igitur triangulum Y X B qualitate simile triangulo U F O, sed non æquale. Deinde triangulum Y V A simile est triangulo QEN; itemque triangulum V Z D simile est triangulo L G H: denique triangulum Z X C simile est qualitate triangulo P O G. Rursus conjuncto quadrangulo N O P Q inscribantur puncta S T K L, eodem situ quo interjecta sunt puncta N O P Q, in quadrangulo Y X Z V. Connectantur etiam illa puncta STKL: erunt hæc quoque æqualia triangula. Ut igitur triangulum QPH se habet ad triangulum YVA, ita TLP ad QPH. Ut autem se habet triangulum POG ad triangulum VZD, ita etiam TKO ad triangulum POG. Et ut triangulum ONF se habet ad triangulum ZXC, ita quoque triangulum KNS ad triangulum NOF: Et ut triangulum NQE se habet ad XYV, ita etiam SQL se habet ad QNE. Ita ut utrumque utrimque ex inæqualitat e æqualiter excel-

(1) Non hic de formis essentialibus agitur, sed de formis qualitatum in individuis

γωνον πρὸς τὸ Ψ Χ Α, οὕτως καὶ τὸ Τ Σ Π πρὸς τὸ Α
Π Α Φ, ὡς δὲ τὸ Α Ρ Η τρίγωνον πρὸς τὸ Χ Ω Δ, οὕτως καὶ τὸ Σ Κ Λ πρὸς τὸ Α Ρ Η, καὶ ὡς τὸ Ρ Ν Ζ τρίγωνον πρὸς τὸ Ω Φ Γ, οὕτως καὶ τὸ Κ Υ Ρ πρὸς τὸ Ν Ρ Ζ, καὶ ὡς τὸ Ν Π Ε τρίγωνον πρὸς τὸ Φ Ψ Β, οὕτως καὶ τὸ Υ Τ Ν πρὸς τὸ Π Ν Ε, ἑκάτερον ἑκατέρου τὴν ὑπεροχὴν ἔχον ἴσην, κατὰ τὸ ἄνισον, καὶ τοῦτο κατὰ τὸ ἄπειρον, ἀλλὰ καὶ ὡς τὸ Α Β Γ Δ τετράγωνον πρὸς τὸ Ε Ζ Η Θ, οὕτως καὶ τὸ Ν Ρ Α Π πρὸς τὸ Τ Υ Κ Σ ἑκάτερον ἑκατέρου κατὰ τὸ ἄνισον ἐξίσου ὑπερέχον τε καὶ ὑπερεχόμενον· ὡς γὰρ τὸ Α Β Γ Δ πρὸς τὸ Ε Ζ Η Θ, οὕτως καὶ αὐτὸ πρὸς τὸ Ν Ρ Α Π, καὶ αὐτὸ, κατὰ τὸν αὐτὸν λόγον, πρὸς τὸ Τ Υ Κ Σ· καὶ ἐπεὶ γοῦν τοῖς ἐπὶ τὰ ἄκρα σημείοις Α Β Γ Δ τὰ μέσα σημεῖα Ψ Φ Ω Χ ἐπιζευχθέντα, ἐξανάγκης ποιοῦσι τετράγωνον, καὶ τὰ μέσα τούτων, B
κατὰ τὴν αὐτὴν ποιότητα, ποιήσουσι τὸν Ρ Α Π, ὡσαύτως καὶ τὰ μέσα τούτων τὸ Τ Υ Κ Σ, ἀλλὰ καὶ τὰ Ψ Φ Β Φ Ω Γ Ω Χ Δ Χ Ψ Α τρίγωνα τὰ κατὰ Ψ Φ Ω Χ ἐνούμενα κατὰ τὰ μέσα σημεῖα Ν Ρ Α Π τὰ ἐγκείμενα πρὸς τὰς Ψ Φ Φ Ω Ω Χ Χ Ψ γραμμὰς ἐπιζευχθέντα κατὰ τὴν αὐτὴν καὶ ταῦτα ἀναλογίαν τῶν ἄνω κατὰ τὸ ἄνισον, ὅμοια δὲ ὑπάρξουσι τῇ ποιότητι καὶ τὰ μέσα τούτων ἄρα σημεῖα τὰ ἐγκείμενα ταῖς Ν Ρ Ρ Α Α Π Π Ν γραμμαῖς ἐπιζευχθέντα, ἀκολουθοῦντα ἀκολουθήσουσι τῇ ποσότητι, οὐκ ἐν ἀνέσει τοῖς προγενεστέροις, ἀλλὰ τῷ ἴσῳ καὶ τῷ

ἀνίσῳ, ὅμοια δὲ καὶ αὐτὰ ἐστίται τούτοις ποιότητι, ὥστε οὐκ ἄρα τὸ κατὰ τὸ μεῖζον τετράγωνον, ἢ τρίγωνον, ἢ ἕτερόν τι ποιότητος εἶδος, τοῦ ἐλάσσονος διαφέρει ποιότητι, ἀλλ' ἔστι ταυτὸν κατὰ τὴν ποιότητα, καὶ ἐπεὶ τὸ ἴσον καὶ ἄνισον, ὡς εἴρηται, τοῦ ποσοῦ οὐκ ἄλλην ποιεῖ τὴν ποιότητα, καὶ τὸ Α ἄρα Β Γ Δ ἐπιθυμητικὸν ἢ θυμικὸν ὅμοιόν ἐστι κατά γε ποιότητα τῷ Ψ Φ Ω Χ ἐπιθυμητικῷ ἢ θυμικῷ, καὶ τοῦτο τῷ Ν Ρ Α Π, καὶ τοῦτο τῷ Τ Υ Κ Σ, καὶ τὰ τρίγωνα κατὰ τὸν αὐτὸν λόγον, καὶ ὁ θυμικὸς καὶ ὁ ἐπιθυμητικὸς, ἄρα ὡσαύτως καὶ ὁ λογικὸς καὶ οἱ μικτοὶ καὶ οἱ πάντες κατὰ τὴν τάξιν αὐτῶν, καὶ ἐδείχθη ταῦτα καθὼς ἔδει δειχθῆναι παρὰ τοῦ ἡμετέρου λόγου. Δηλοῖ δὲ αὐτὴ ἡ ἀπόδειξις ὅτιπερ οὐδὲ μία συζυγία τῶν κοινωνῶν τῷ ἐπιστήμονι ἄλλη φανῇ, κατά γε τὸν τῆς ποιότητος λόγον, ἐπειδὴ καὶ ταῦτα τὰ τρίγωνα καὶ τετράγωνα κἂν μείζω καὶ ἐλάττω ὦσιν, ἀλλὰ καὶ τὰς γραμμὰς καὶ τὰς γωνίας καὶ τὰ ἐμβαδὰ κοινῶς ἔχουσιν ὅμοια πρὸς τὸ ἑκάστου ποσόν· μεῖζον γὰρ καὶ ἔλασσον τριγώνων οὐκ ἔχει διαφοράν, εἰ μὴ κατὰ τὰ τοῦ τριγώνου εἴδη, ἅτερ εἰ καὶ διαφέρει, διαφέρει τῷ ἑτεροειδεῖ, τὸ δὲ ὁμοειδὲς, εἴτε μεῖζον εἴτε ἔλαττον, οὐκ ἄλλο, καὶ θυμικὸς ἄρα, ἢ ἐπιθυμητικὸς, ἢ λογικὸς, ἢ φλεγματικὸς, ἢ αἱματικὸς, ἢ μελαγχολικὸς, ἢ ξανθοχολικὸς, ἢ καὶ τῶν μεμιγμένην ἐχόντων κάξ ἀμφοτέρων τὴν κρᾶσιν κατὰ τὰς πρὶν τῶν συζυγιῶν κοινωνίας σημειωθείσας, οὐ κατὰ τὸν τῆς ἐπιτάσεως;

lat, atque hoc in infinitum produci potest. Præterea ut quadrangulum A B C D se habet ad quadrangulum E F G H, ita quoque quadrangulum N O P Q ad S T K L. Ita ut utrumque utroque ex inæqualitate æqualiter majus sit et minus. Ut enim quadrangulum A B C D se habet ad quadrangulum E F G H, ita quoque ipsum ad quadrangulum NOPQ: et ipsum eadem ratione ad quadrangulum S T K L. Quoniam igitur media hæc puncta Y X Z V connexa cum punctis quæ sunt in extremitatibus, nempe cum A B C D, necessario efficiunt quadrangulum. Et rursus intermedia horum puncta ex eadem qualitate efficiunt quadrangulum N O P Q: eodem quoque modo horum intermedia puncta efficient quadrangulum S T K L, atque triangula Y X B: X Z C: Z V D: V Y A, quæ conjunguntur et uniuntur in Y X Z V circa puncta intermedia D
N O P Q, interjecta lineis Y X. X Z. Z V. V Y. cum sunt inter se connexa ex eadem proportione cum superioribus, quamvis inæqualia, similia sunt inter se qualitate. Ergo intermedia horum interjecta lineis N O. O P. P Q. Q N, connexa inter se similia erunt superioribus qualitate, sed proportione respondebunt illis ex quantitatis æqualitate et inæqualitate. Ex quibus intelligitur majus quadrangulum aut triangulum et quodvis aliud genus figuræ differre a minore si quantitatem species, sed si qualitatem, non differre. Et quoniam quantitatis æqualitas et inæqualitas aliam qualitatem figuræ non efficit, A B C D, quod est cupidum esse aut iracundum simile est in qualitate, huic nempe Y X Z V, quod

est etiam cupidum esse aut iracundum: et hoc C
ipsum huic, nempe N O P Q: rursus hoc ipsum huic S T K L. Eadem ratione qualitate triangula non differunt, sed quantitate. Eodem quoque modo rationis compotes et temperati qualibet temperatione homines eamdem rationem eumdemque ordinem servabunt. Hæc enim omnia nostro sermone demonstrata sunt ut oportuit demonstrari. Nostra autem hæc demonstratio declarat nullam conjugationem copulationum scientia investigari posse præter illas quas numeravimus, si qualitatis rationem species. Quamvis enim illa triangula et quadrangula majora et minora sunt, verumtamen suas lineas, suos angulos, sua denique spatia inter se similia habent, quacunque quantitate singula illorum sint prædita. Majus enim et minus triangulum non differunt inter se nisi ex trianguli forma, quæ si differunt, propter diversitatem formæ differunt: sed si similitudinem figuræ species, seu majus seu minus sit triangulum, aliud non erit. Iracundus ergo aut cupidus aut ratione præditus, aut pituitosus aut sanguineus, aut melancholicus, aut si qui habent mistam ex utrisque temperationem, ex descriptis supra conjugationum copulationibus. Exterius ordinis non erunt quam cujus sunt propter intensionis aut remissionis rationem, quoniam non sunt alii sed dissimiles. Omnes igitur ordines reperti sunt. Porro unusquisque ordo latitudinem habet ut accretionem et diminutionem suscipere possit. Nec iden alia communis qualitatis species seu aliud individuum evadet propter intensionem et remissionem.

ἡ ἀνέσεως λόγον ἑτέρας οὗπερ ἔστι φανῇ τάξεως ὅ τι ἔστιν· οὐκ ἄλλος γὰρ, ἀλλ' ἀλλοῖος. Πᾶσαι γοῦν αἱ τάξεις εὑρέθησαν. Ἔχει δὲ πλάτος ἑκάστη, ὥστε δέχεσθαι καὶ τὴν αὔξησιν καὶ τὴν ὑποβίβασιν, καὶ οὐκ ἂν ἄλλο τὸ τῆς κοινῆς ποιότητος εἴτε εἶδος, εἴτε ἄτομον γεννήσεται διὰ τὴν ἐπίτασιν ἢ τὴν ἄνεσιν. Ἡ γὰρ ἄνεσις καὶ ἐπίτασις οὐ ποσοῦ, ἀλλὰ ποιοῦ, τὸ δὲ ἄλλο οὐσίας, ἡ ἐπίτασις δὲ οὐκ οὐσίας, οὐδὲν ἄλλο λοιπὸν ἐπιτάσεως ὅτι καὶ ἡ ἐπίτασις ἐν οὐδεμιᾷ οὐσίᾳ· ἡ οὐσία δὲ ἐν παντὶ ἄλλῳ. Ἡ ἐπίτασις γοῦν ἐν οὐδενὶ ἄλλῳ, καὶ τὸ Α ἄρα παντὶ τῷ Β, τὸ δὲ Γ οὐδενὶ, τῷ Β τὸ Α ἄρα, οὐδενὶ τὸ Γ, ὅτι καὶ τὸ Α Β Γ Δ πρὸς τὸ Ψ Φ Ω



Χ οὐ τοῦ ποσοῦ ἐπιτάσει διαφέρει· ποσῷ γὰρ οὐκ ἐπίτασις, ἀλλὰ τὸ ἄνισον, ὅπερ οὐκ ἄλλο τοῦ Α τὸ Α ποιήσει, ὡς τὸν ἴσον ὁρισμόν· οὐδὲ γὰρ ἄλλον μὲν ὁ Α Β Γ κύκλος ὁρισμὸν δέξεται τοῦ Κ Λ Μ Ν Ξ· ἀμφοτέρων γὰρ εἷς ἐστι κοινός· σχῆμα γάρ ἐστιν ὁ κύκλος ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἡ καλεῖται περιφέρεια, πρὸς ἣν ἀφ' ἑνὸς τοῦ ἐντὸς τοῦ σχήματος σημείου κειμένου, πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. Εἴτε γοῦν τὸ Β τῷ Α ἴσον, εἴτε ἄνισον, τὸν αὐτὸν δέξεται ὅρον, ὧν δὲ ὁ ὅρος κοινὸς, κοινὸς καὶ ὁ τῆς οὐσίας ἐστὶ λόγος, καὶ τὸ τρίγωνον οὕτως καὶ τὸ πολύγωνον, καὶ ἐπὶ τοῦ ἀρτίου τοῦτο καὶ περιττοῦ. Εἰ δὲ καὶ χρυσῷ ἄργυρος ἑνωθείη, καὶ αὖθις, οὐ διαφορὰ τούτοις ἄλλη κἀκ τῆς ἑνώσεως γενήσεται, εἰ μὴ ἡ κατὰ ποιότητα. Ὁ μὲν γὰρ ἑνωθεὶς πρὸς τὸ λευκὸν ἔλθῃ, ὁ δὲ πρὸς τὸ πυρῶδες, οὐδεὶς δὲ τὴν ἑνοῦσαν ἀλλοιωθῇ πρὸς τῶν ἄλλων ἰσότητα ἢ ἀνισότητα· μενεῖ γὰρ ἑκάστῳ τὸ ἑκάστου ποσὸν, ὥστε οὐδεμία ἐπίτασις ἢ ἄνεσις τὸ ἄλλο φέρει τινὶ γενήσεσθαι οὗπερ ἐστίν· ἐκεῖ γὰρ σύνθεσις ποιοτήτων· διὰ τοῦτο οὐδὲ ἁπλοῦν, ἀλλὰ σύνθετον τὸ συνελθόν ἐστι, ποιότητι δὲ εἰκότως ἡ ἄνεσις καὶ ἡ ἐπίτασίς ἐστι, ποσοῦ δ' οὔ. Οὐκ ἄλλο γὰρ, ἀλλ' ἀλλοῖον ἐκεῖνο· οὔτε γὰρ χρυσὸς, οὔτε ἄργυρος μόνον μίγμα, ἀλλ' ἐξαπλάσιος ἄργυρος τῇ ἑνώσει τοῦ ἐξαπλασίου χρυσοῦ κατὰ μὲν τὸ ποιὸν ἀλλοιώσει τε καὶ ἀλλοιωθῇ, ποσῷ δ' οὔ. Διὰ τοῦτο οὐ τῷ ποσῷ, εἰ σκοπεῖ τις, ἴδῃ ἂν ποτε τὴν ἐπίτασιν ἢ τὴν ὕφεσιν, ἀλλ' ἐν τῷ ποιῷ. Δείξω δὲ τοῦτο οὕτως. Πρότασις· δεῖ γοῦν δεῖξαι ὅτι ἐν τῇ τῶν ποιοτήτων συνελεύσει, ἐπισυμβαίνει ἐπίτασις κατὰ τὸ ἀλλοῖον, οὐκ ἀεὶ δὲ, τὸ δὲ ποσὸν οὐκ ἔχει ἐπίτασιν. Ἔκθεσις· ἔστω τοίνυν τὸ Α Β Γ ποσὸν, ὁμοίως δὲ καὶ τὸ Δ Μ Ν, δεῖ δὲ ἐν τοῖς ἀμφοτέροις σημείοις μὴ ὑπάρχειν

Nam intensio et remissio non sunt quantitatis sed qualitatis. Aliud autem ad essentiam pertinet, ad quam non pertinet intensio. Ex quo efficitur aliud nullo modo pertinere ad intensionem, quandoquidem in nulla essentia est intensio, at essentia est in omni alio, intensio ergo in nullo alio erit. Omni igitur B conveniet A; at nulli B C conveniet. Nulli ergo C conveniet A. Quandoquidem neque A B C D differt ab V X Y Z propter quantitatis intensionem; nam in quantitate non est intensio sed inæqualitas: quæ quidem inæqualitas aliud A ab A non efficiet cum eamdem definitionem habeat utrumque, ut neque circulus A B C definitionem aliam et diversam a definitione majoris circuli K L M N O suscipiet. Utriusque enim circuli una est definitio communis. Nam circulus est figura plana una linea comprehensa quæ circumferentia appellatur, ad quam omnes a centro figuræ ductæ lineæ rectæ æquales inter se sunt. Sive igitur B sit æquale ipsi A, sive inæquale, definitionem eamdem suscipiet. Quorum autem definitio communis est, ratio quoque essentiæ illorum est communis. Idem quoque observatur in triangulo, in multangulo: itemque in pari et impari. Quod si argentum cum auro uniatur, non alia exsistet differentia ex hac copulatione, quam illa quæ ex qualitate est. Aurum enim copulatum albedinem accepit, et argentum album flavum auri colorem. Neutrum vero, neque aurum neque argentum, quantitatem, quam habuit, ob aliorum æqualitatem et inæqualitatem cum alia commutavit; unicuique enim sua manet quantitas. Quare nulla intensio aut remissio efficit ut aliquid aliud sit quam quod est. Illic enim est qualitatum compositio. Idcirco quod ita copulatur non est simplex sed compositum. Porro merito remissio et intensio qualitatibus inesse dicuntur, quantitati vero inesse negantur. Nam quod intenditur et remittitur aliud non evadit, sed dissimile. Aliud quidem est sexcuplum argentum copulatum a sexcuplo auro copulato. Ac ex qualitate quidem mutabuntur et dissimilia evadent, sed ex quantitate nequaquam. Quare si quis diligenter consideret, nunquam animadvertet intensionem aut remissionem quantitati inesse, sed qualitati. Quod ita esse hunc in modum demonstrabo. Oportet igitur demonstrare in qualitatum

τινὰ δεῖξαι ἐπίτασιν καθὸ ποσά. Ἔστω γοῦν ὁρμὴ τις ἡ Α καὶ ἡ ἑτέρα Λ, αἱ δὲ πρὸς ταύτας Β καὶ Μ αὔξησις, καὶ ἡ Γ καὶ Ν ἐπίτασις· εἰ γοῦν τῇ αὐξήσει Β Μ ἡ Γ Ν ἐπίτασις, ἢ ὡς δεκάσι δεκάδες, ἢ ὡς μονάδες μονάσι, καὶ ἡ Β Μ τῆς Α Λ ἔσται ἐπίτασις, ἢ ὡς δεκάδες δεκάσιν, ἢ ὡς μονάδες μονάσι, τρία γοῦν εἰσι τὰ τεθέντα, ὁρμή, αὔξησις, ἐπίτασις· ἡ ὁρμὴ γοῦν ὡς μονάς, ἡ αὔξησις ὡς δυάς, ἡ ἐπίτασις ὡς τριάς· κατὰ γοῦν τὰς συνθέσεις καὶ τοὺς σπερματικοὺς λόγους, ἡ μὲν πρώτη, στιγμὴ καὶ δύναμις μήκους, ἡ δευτέρα, γραμμὴ καὶ δύναμις πλάτους, ἡ δὲ τρίτη, ἐπιφάνεια καὶ δύναμις βάθους. τὰ δὲ τρία δύναμις σώματος, τὸ δὲ σῶμα ποσοῦ, τὸ ποσὸν δὲ ἐν τοῖς τρισὶ περιάγεται, καὶ εἰ μὲν σῶμά πως ὑπερβῇ τοὺς ὅρους, εἰ καὶ ἄλλο



τοὐτῳ συνέλῃ, ἀδύνατον, εἰ δὲ ἀσώματον, ἡ ποιότητός ἐστι, καὶ οὐκ ἄλλο γενήσεται τὸ ἐπιταθὲν, ἀλλ' ἀλλοῖον ἡ μονάδων συνέλευσις, ἢ ἑνὸς καὶ ἑνὸς, καὶ εἰ μὲν ποιὸν, ὡς λευκότης καὶ μελανότης, ἢ γλυκύτης καὶ ἀλυκότης, οὐδὲ οὕτως ἐπιτεθῇ λευκότης, γὰρ λευκότητος λευκοτέρα οὐκ ἔστι, καὶ τὰ ἕτερα· ἐν ἀτόμῳ δὲ ἡ ποιότης ποιεῖ ἐπίτασιν· σταφυλὴ γὰρ ροιᾶς γλυκυτέρα, ἢ ροιὰ σταφυλῆς, ἢ λευκὸν τοῦ λευκοῦ· λευκὰ δὲ πάντως ὑπάρχει θάτερα. Ἡ γοῦν ἰσχὺς τῆς ποιότητος τὸ μὲν αὔξει κατὰ ποιότητα, τὸ δὲ ἐλαττοῖ, αὐτὴ δὲ ἡ γλυκύτης ἢ ἡ λευκότης οὔτε ἐπιτάττεται οὔτε ἐλαττοῦται, μένει δ' ἀεὶ ἡ αὐτή. Κατὰ τὸν αὐτὸν γοῦν καιρὸν οὔτε γλυκὺ καὶ μὴ γλυκὺ, οὔτε λευκὸν καὶ μὴ λευκὸν, τί φανήσεται πώποτε, κἂν ἐν ἄλλῳ καὶ ἄλλῳ τῷ ἐν ποιότητι δέχηται τὴν ἐπίτασιν καὶ ἄνεσιν· καὶ εἰ μὲν οὖν λευκὸν ἐνωθῇ καὶ μέλαν ὕφεσιν πάσχουσιν· ἀλλοιοῦνται γὰρ ταῖς ἀκρότησιν· αἱ ἐναντίαι γὰρ ποιότητες θραύουσι τὰς ἀκρότητας, εἰ μιχθῶσι, τὰ; ἑνούσας αὐταῖς, ἔσται δὲ τὸ μίγμα ἀλλοῖον καὶ οὐκ ἄλλο. Οὔτε γὰρ τὸ λευκὸν μὴ λευκὸν πάντη, οὔτε τὸ μέλαν πάντη οὐ μέλαν, ἀλλὰ πῶς μέλαν, πῶς δ' οὔ; καὶ τὸ ἕτερον, κατὰ τὸ αὐτὸ, οἷον τὸ τῆς σηπίας μέλαν καὶ τὸ ἄλευρον ἐνωθέντα, τὸ λευκὸν καὶ τὸ μέλαν τὸ ἐν αὐτοῖς ἀμειφθήσεται. Ἐπεὶ γάρ εἰσιν ἐναντία, καὶ τραπῶσι, καὶ τὸ μὲν ἐκ τοῦ ἐναντίου ὑποστήσεται ὕφεσιν τοῦ εἶναι λευκὸν, τὸ δὲ τοῦ εἶναι μέλαν, τῷ δὲ ἴσῳ καὶ τῷ ἀνίσῳ, οὐκ ἀμειφθήσεται, ὥστε τὸ μεδίμνου ποσὸν οὐκ εἰς κύλικος ἐλθεῖν, ἢ προσλαβεῖν θάτερον ἐκ θατέρου ὡς ὁπόσων τι, ἀλλὰ

compositione inesse intensionem ex alteratione, ut ita dicam: idque non semper; quantitati vero quatenus est quantitas intensionem nunquam accidere. Esto igitur *a b c* quantitas: similiter etiam *l m n* quantitas. Oportet ostendere in utriusque punctis, seu terminis non inesse intensionem quatenus quantitate sunt prædita. Esto igitur appetitio aliqua quæ sit *a*, et altera quæ sit *l*. Ad has appetitiones referantur *b* et *m* quæ sint accretio, itemque *c* et *n*, quæ sint intensio. In accretione igitur quæ est *b m* inest intensio quæ est *c n*, aut ut denarii numeri insunt denariis, aut ut unitates insunt unitatibus; et *b m* erit intensio hujus *a l*, idque eodem modo quo denarii insunt denariis, aut unitates insunt unitatibus. Hic ergo tria posita sunt, appetitio, accretio, intensio, ut ternarius numerus. Quare si compositionem spectes et rationes ad propagandum progredientes, primum locum obtinebit punctum, seu vis atque facultas ad longitudinem progrediens: secundum locum obtinebit linea, seu vis atque facultas ad latitudinem progrediens; tertium locum superficies obtinebit, seu vis atque facultas ad altitudinem progrediens. Porro hæc tria vim atque facultatem habent ad corpus constituendum, corpus autem ad quantitatem perfectam constituendam comparatum est; quantitas autem sub his tribus comprehenditur. Quod si sit aliqua res corpus, quo pacto extra hos terminos tres egredietur? Quod si dicas alterum corpus cum altero corpore uniri, hoc fieri nequit. Rursus si incorporeum aliquid accedere dicas, aut qualitas adveniet, atque hoc modo res intensa alia non evadet, sed dissimilis; aut unitates advenient, atque agglutinabuntur, nempe unitas una et altera unitas. Quæ quidem unitates si sint qualitates abstractæ, et uni altera addatur, ut albedo, nigredo, dulcedo, salsedo; neque hoc modo erit intensio qualitatis, nam albedo albedine non est magis alba. Idem de cæteris dicendum est. At qualitas in individuo intensionem efficit: Uva enim granato est dulcior; aut granatum uva est dulcius, itemque album albo est magis album, utraque vero omnino sunt alba. Quare vis qualitatis hoc quidem auget secundum quandam qualitatem, illud vero minuit. At ipsa dulcedo et albedo neque intenditur neque remittitur, sed eadem manet. Eodem igitur tempore nihil unquam dulce et non dulce, album et non album exsistere poterit, quamvis in alio atque alio suscipiat ex qualitate intensionem et remissionem. Quare si album et nigrum uniantur, id sine remissione fieri nequit; extremitates enim mutantur seu aliusmodi evadunt: nam in contrariarum qualitatum temperationibus et admistionibus extremitates ipsæ frangi solent. Erit autem mistio aliusmodi non alia. Neque enim album est quod omnino album non fuit, neque nigrum quod omnino nigrum non fuit, sed partim nigrum, partim non nigrum. Et quod est alterum eodem modo, veluti sepiæ nigredo et farina inter se copulata albedinem et nigredinem

μενεῖ ἓν ἕκαστον εἰς τὸ ὅσον ἂν ἐκ πρώτης τύχης ὑπάρχῃ ποσὸν, κἂν εἰς ἄλληλα περιχωρήσειεν. Ὡς γὰρ ὁ πέντε ἐκ τριάδος καὶ δυάδος ἐστὶν, ἀλλ' οὔτε γοῦν ὁ τρία τέσσαρα, οὔτε ὁ δύο τρία διὰ τὴν ἕνωσιν, ἀλλὰ καὶ μετὰ τὴν ἕνωσιν ὁ συνελθὼν ἀλλοῖος μὲν, οὐκ ἄλλῳ δὲ ποσῷ ὥρισται, ἢ τῷ τῶν συνελθόντων εἰς αὐτόν· οὔτε γὰρ ὁ τρία τέσσαρα, οὔτε ὁ δύο τρία· τοῦτο γὰρ εἰ δυνατὸν ὑπῆρχε γενέσθαι, ὑπῆρξεν ἂν ὁ πέντε ἑπτὰ, ὅπερ ἄτοπον· οὕτω καὶ ἐν λευκῷ καὶ μέλανι οὐ ποσότης, ἀλλὰ ποιότης ἔχει λαβεῖν τὴν ὕφεσιν ἢ τὴν ἐπίτασιν. Ἐπεὶ γὰρ καὶ αὐτὸς ὁ πέντε, εἰ καὶ κατὰ ποσὸν ὑποστῆναι ὕφεσιν πέφυκε, τὸ ἐλάχιστον τῇ αὐτῇ ἐγένετο ἣν ὑπέστη μονάδι· ἐλαττωθεὶς γὰρ ἕκαστος πάντως τῶν συνελθόντων γενήσεται ὁ τρία δύο, καὶ ὁ δύο ἕν, εἰ γοῦν κατ' ἐπίτασιν ὁ τρία τέσσαρα, καὶ ὁ δύο τρία ἔσται, καὶ ὁ συνελθὼν ἐκ τούτων πέντε ἑπτὰ, ὅπερ ἄτοπον, ὡσαύτως κατ' ἄνεσιν ἢ ὁ τρία δύο, καὶ ὁ δύο ἕν, καὶ ὁ συνελθὼν πέντε τρία· ἀδύνατα δὲ ταῦτα καὶ ἄτοπα. Εἰ δὲ ὁ τρία μὲν τέσσαρα, ὁ δὲ δύο ἕν, πεντὰς μὲν νομισθῇ, ἀλλοιωθῇ δὲ τὸ εἶδος· οὐδὲ γὰρ συνέλευσις μονάδος καὶ τετράδος ὁ πέντε, ἀλλὰ δυάδος καὶ τριάδος ἀληθῶς· οὐδὲ γὰρ ἀκραιφνὼς περιττὸς ἡ μονὰς, οὗτος δὲ περιττοῦ καὶ ἀρτίου ἐστί. Πρῶτον γὰρ οὕτως γένεσις· ἓν εἶτα δύο, A καὶ ἐξῆς τρία· τὸ ἓν γοῦν καὶ ἓν συντεθὲν δύο, ἄρτιον γοῦν τοῦτο, τὸ δὲ ἓν καὶ δύο τρία, περιττὸν, τὸ δὲ ἓν καὶ τρία τέσσαρα, ἄρτιον δεύτερον, τὸ δὲ ἓν καὶ τέσσαρα πέντε ἀρτιοπέριττον. Σκόπησον γοῦν ἐν πᾶσι τὸ ἄτοπον, εἰ μὲν ἡ μονὰς ἑτέραν λάβῃ μονάδα καὶ ἡ τετρὰς ἄλλην καὶ ἐπιταθῶσιν ἑξὰς ἡ πεντὰς, ἄτοπον· εἰ δὲ ἡ μὲν τετρὰς ὕφεσιν ἑνὸς πάθῃ, ἔσται τετρὰς ἡ πεντάς· οὐδὲ γὰρ ὕφεσιν ἡ μονὰς δέξαιτ' ἄν· τοῦτο γὰρ οὐ πεντάδα, ἀλλὰ πέντε ἀριθὸν ἀνέλυσεν ἂν εἰς οὐδὲν, καὶ τοῦτο ἄτοπον· εἰ δὲ ἡ μὲν μονὰς προσλάβῃ ἑτέραν μονάδα, ἡ δὲ τετρὰς μονάδος ὕφεσιν ὑποστῇ, τριὰς πάντως γενήσεται· πεντὰς γοῦν τότε οὐχ ὅτι ἐκ μονάδος καὶ τετράδος; ἀλλ' ἐκ δυάδος τε καὶ τριάδος, τοῦτο φυσικὸν.

B β'. Ὥστε τὸ μὲν ποιὸν ἐπίτασιν δέχεται καὶ ἄνεσιν, τὸ δὲ ποσὸν οὔ· συνέβη γὰρ ἐνταῦθα γενέσθαι τῇ τάσει καὶ ὑφέσει τοῦ ποσοῦ τὴν πεντάδα τετράδα, καὶ τριάδα, καὶ ἑπτάδα, ὅπερ ἀτοπώτατον· τὸ γὰρ ἄρτιον καὶ περιττὸν ἑνωθὲν οὐδὲν ἄτοπον ἐποίησεν· ὑπάρχει γὰρ ὁ δύο δύο, καὶ ὁ τρία τρία, τοῦτο ποσοῦ· ἔμειναν γὰρ οὗτοι εἰς τὸ ἴσον καὶ ἄνισον, ἀλλὰ τῇ συνελεύσει τῆς ποιότητος πρὸς ποιότητα ἑτέρα συνέβη μικτὴ ποιότης· οὔτε γὰρ ὁ ἄρτιος πάντη ἄρτιος, οὔτε ὁ περιττὸς μὴ καὶ ἄρτιος·

suam inter se contulerunt. Etenim quoniam sunt contraria, etiam frangentur, atque unum quidem ex contrariis aliquid de albedine remittet, alterum vero de nigredine. Sed ex æqualitate et inæqualitate non accidet illa commutatio, ut medimni quantitas non potest in quantitatem calicis transire aut unum alterius quantitatem assumere, sed unumquodque in ea quantitate manet, quam primo habuit, etiamsi inter se conjungantur; ut enim quinarius numerus constat ex ternario et binario, sed non ideo tria sunt quatuor, neque duo tria propter copulationem, contra vero qui conjungitur numerus post copulationem dissimilis quidem evadit, sed alia quantitate non definitur, quam copulatorum inter se numerorum quantitate. Neque enim tria sunt quatuor, neque duo tria, nam hoc fieri nequit; quinque enim essent septem, quod est absurdum: ita etiam in albo et nigro non quantitas, sed qualitas potest recipere remissionem et intensionem. Quandoquidem si numerus ipse quinarius ex parte quantitatis posset suscipere remissionem, eadem hac remissione, quam susciperet, minimum quid evaderet. Nam ex copulatis numeris quilibet numerus unitatum substractione minor factus, evaderet ex ternario binarius et ex binario unitas. Si igitur per intensionem tria evadant quatuor et duo tria, idem accidet numero ex his duobus quinque septem composito; quod est absurdum. Eodem modo per remissionem tria duo evaderent et duo unum; idem quoque accideret numero ex his duobus quinque tribus constituto, quæ quidem fieri nequeunt et sunt absurda. Quod si pro tribus quatuor et pro duobus unum, quinarius quidem numerus efficietur, sed forma commutata fuerit. Neque enim copulatio unitatis et quaternarii numeri proprie quinarium efficit, sed binarii et ternarii. Unitas enim revera non est numerus impar; quinarius autem ex impari et pari constat. Ita enim primum dicis, unum, deinde duo, deinde tria. Unum ergo cum uno compositum, duo sunt; estque hic numerus par: porro unum et duo, tria sunt. Estque hic numerus impar primus. Rursus unum et tria, sunt quatuor; estque hic numerus par secundus. Unum et quatuor quinque, qui debet esse impar secundus ex pari et impare constans. Considera igitur in omnibus quod sequitur absurdum. Si unitas alteram unitatem assumat et quaternarius alium numerum, et intendantur senarius aut quinarius numerus, absurdum fuerit. Rursus, si quaternarius unius remissionem suscipiat, quinarius erit quaternarius. Neque enim unitas remissionem suscipere poterit. Quod si fieri posset, non solum quinarius, verum etiam quilibet numerus in nihilum dissolveretur; quod etiam absurdum est. Quod si unitas alteram unitatem assumat, duo fient; et si quaternarius unitatis substractionem suscipiat, omnino ternarius numerus evadet. Constat igitur quinarius non ex unitate et quaternario, sed potius ex binario et ternario; idque secundum naturam.

C D 2. Ex quibus omnibus efficitur in qualitatem cadere intensionem et remissionem, in quantitatem vero nunquam. Posset enim, si hoc verum esset, per intensionem et remissionem quantitatis, quinarius esse quaternarius, ternarius et septenarius, quod longe absurdissimum est. Par quidem nu-

ὕφεσις γοῦν ἐνταῦθα τῶν ποιοτήτων καὶ ἀλλοίωσις, ἐκεῖ δὲ ποσόν, λαβὸν χώραν ἐπιτάσεως καὶ ἀνέσεως, πολλὰ ἔφερεν ἄτοπα· ἐποίησε γὰρ τὴν πεντάδα ἐπτάδα καὶ ἑξάδα καὶ τετράδα καὶ τριάδα, ὅπερ ἄτοπον καὶ σοφιστικόν. Τοῦτο τοίνυν δεῖ νοεῖν ἡμᾶς καὶ ἐπὶ τῶν ῥηθέντων λευκοῦ καὶ μέλανος· τὰ μὲν ποιὰ ἀλλοιοῦνται, τὸ δὲ ποσὸν οὐδέποτε ἀλλοιοῦται· οὐδὲ γὰρ ἐπίτασις καὶ ἄνεσις ἐν ποσῷ, ἀλλ' ἴσον καὶ ἄνισον. Εἰ μὲν οὖν ὕλη τὰ πράγματα θεωροῦνται, τοῖς τρισὶ πέρασι τοῦ ποσοῦ περικλείεσθαι θεωροῦνται· οὐ γὰρ ἀμειφθείη τὸ τοῦ ἀλεύρου μεδίμνου ποσὸν εἰς τὸ τῆς σηπίας κυάθου μέλαν ποσόν, ἀμείψις δ' ἐγένετο τούτων, καὶ τῇ ἀμείψει συνέδη ὕφεσις, ἐν ἄλλῃ δὲ ποιότητι ποιότης ἐνωθεῖσα ἑτέρα ποιήσει ἐπίτασιν, οἷον ἄρτιος ὁ τέσσαρα, καὶ ὁ δύο, καὶ ὁ μὲν ἰσομερής, ὁ δὲ προμήκης. Ἄνισοι γοῦν καὶ εἰ ἐνωθῶσιν, ἀλλοίως γεννῶσι καὶ ὁ δύο καὶ ὁ τέσσαρα, καὶ ἀμειφθῇ μὲν ὁ ἰσομερὴς εἰς τὸν προμήκη, καὶ κατὰ μὲν τοῦτο ἀλλοῖος γενήσεται, προμήκης γάρ· κατὰ δὲ τὸ ἄρτιον, οὔτ' ἄλλος οὔτε ἀλλοῖος, ἄρτιοι γὰρ καὶ οἱ συνελθόντες καὶ ὁ ἐξ αὐτῶν, ὥστε τὸ μὲν ποιὸν καὶ ἠλλοιώθη ἐνθαδὶ καὶ ἐπίτασιν ἔλαβε, τὸ δὲ ποσὸν οὐκ ἠλλοιώθη· πάντες γὰρ τὸ οἰκεῖον ποσὸν παρεφύλαξαν, ὁ δύο τὸ δύο, ὁ τέσσαρα τὸ τέσσαρα, καὶ ὁ ἓξ τὸ ἓξ εἶναι, τὸ δὲ ποιὸν ἠλλοιώθη καὶ ἐπετάθη· ὁ γὰρ προμήκης, λαβὼν τὸν ἰσομερῆ, ἤμειψεν αὐτὸν εἰς τὸ πρόμηκες, εἰ δὲ καὶ ὅτι ἡ *α β γ* τῆς *β γ* ἄνισος καὶ ἀλλοία εἴπῃ τις, ἴσως ἔσται οὐ διὰ τὴν ἐπίτασιν ἢ τὴν ἄνεσιν, ἀλλὰ διὰ τὸ μεῖζον καὶ τὸ ἔλαττον· τοῦτο γὰρ οὐ ποσοῦ, ἀλλὰ τοῦ πρός τι, ὡς καὶ Ἀριστοτέλης ἐν *Κατηγορίαις* φησίν. Οὔτε γὰρ, κατὰ τὸν αὐτοῦ λόγον, ἐπίτασις καὶ ἄνεσις τοῦ ποσοῦ ὅτι τῆς ποιότητος, οὔτε τὸ μέγα καὶ τὸ μικρὸν ὅτι τοῦ πρός τι, ἴδιον δὲ τοῦ ποσοῦ τὸ ἄνισον καὶ τὸ ἴσον, εὕρῃς δὲ καὶ ἐν ἄλλοις εἴτ' ἐπίτασιν εἴτ' ἄνεσιν τοῦ ποιοῦ, τοῦ ποσοῦ δὲ δεῖ τὸ ἴσον, τὸ ἄνισον, ὥστε ἄνισος καὶ ὁ ἓξ καὶ ὁ δέκα κατὰ τὸ ποσόν· ἀλλοῖος δὲ κατὰ τὸ ποιόν· καὶ ὁξώδους ποιότητος εἴδη πολλὰ ἂν εὕρῃς ἐπιτεταμένα καὶ ὑφειμένα τῷ ποιῷ, ποσῷ δ' οὔ, ἀλλ' ἴσα καὶ ἄνισα. Τίς δὲ τὰ μὴ ὁμοειδῆ συγκρίνει, ἀλλὰ τὰ ἑτεροειδῆ; Καὶ συκομορέα σμικρὰ λέγεται καὶ μεῖζον κλῆμα, ὥστε κατὰ τὸν αὐτὸν χρόνον τὸ αὐτὸ πρᾶγμα μέγα καὶ μικρὸν, καὶ ἐναντίον αὐτὸ εἰς ἑαυτὸ, ὅπερ τῶν ἀδυνάτων. Τὰ μὲν οὖν τῶν ἐν γεύσει τε καὶ ὁράσει, ἤγουν γλυκύτητος, ἀλυκότητος, θερμότητος, ψυχρότητος, λευκότητος οἷον καὶ μέλανος, ἀκοῆς τε καὶ ἀφῆς, τραχὺ καὶ λεῖον, καὶ τὰ ἐν ὀσφρήσει δυσώδη καὶ εὐώδη καὶ μέσα καὶ ἀναποδείκτως ἡ ἐνάργεια δηλοῖ ὅτι περ τοῦ ποιοῦ, ὁποίως δὲ καὶ τὰ τῶν χρω-

merus cum impari compositus nihil inusitatum constituit. Sic enim duo sunt semper duo ; et tria, tria ; quod est quantitatis proprium. Nam hi numeri permanserunt etiamsi æqualitatem et inæqualitatem susceperint. Sed cum qualitas cum qualitate copulatur, exsistit altera mista qualitas. Neque enim par numerus omni ex parte exsistit, neque impar qui non etiam aliqua ex parte par. Hic igitur est qualitatum remissio et commutatio. At illic quantitate intensionem et remissionem suscipiente, multa absurda exsistebant. Nam ex illa ratione quinarius erat septenarius, senarius, quaternarius, ternarius' quod est absurdum et sophisticum. Hoc igitur considerare nos oportet etiam in prædictis, albo scilicet et nigro. Nam qualitate prædita qualitatis commutationem suscipiunt. Quantitatis vero nulla potest esse ejusmodi commutatio, quandoquidem in quantitate intensio et remissio locum non habent, sed æquale et inæquale. Si igitur ex materia res naturales considerantur, his tribus quantitatis terminis circumscribi et concludi cernuntur. Neque enim commutari poterit medimni farinæ quantitas in cyathi nigrum sepiæ sanguinem continentis quantitatem, sed potuit in his qualitatis exsistere aliqua commutatio, quam quidem commutationem consecuta est remissio et intensio. Porro qualitas altera cum altera copulata intensionem efficiet, ut quatuor est numerus par, itemque duo. Atque ille quidem ex æqualibus partibus constat, hic vero altera parte est longior. Sunt igitur inæquales. Quod si duo hi numeri copulati fuerint, aliusmodi evadent. Copulabuntur enim binarius et quaternarius numerus. Ac numerus quidem ex æqualibus partibus constans in altera parte longiorem commutatus fuerit. Atque idcirco aliusmodi evadet, nempe altera parte longior. Sed si hos numeros quatenus sunt pares consideres, neque alii neque aliusmodi evadent. Nam qui copulati sunt inter se numeri sunt pares, et qui ex ipsis compositus est, est par. Quamobrem in his qualitas quidem commutata est et intensionem suscepit, quantitas vero non est commutata. Omnes enim suam quantitatem conservarunt, ita ut duo sint duo : quatuor, quatuor, et sex, sex. At qualitas commutata est et intensa. Nam altera parte longior assumptum numerum ex æqualibus partibus constantem, mutavit in altera parte longiorem numerum. Quod si quis dicat lineam *a b c* quia est inæqualis lineæ *b c* etiam fore fortasse dissimilem ; respondemus hoc non accidere aut propter intensionem aut remissionem, sed propter illud quod est majus et minus ; quod quidem non ad quantitatem, sed ad relationem pertinet quemadmodum etiam Aristoteles in Categoriis docet. Ut enim intensio et remissio non ratione quantitatis, sed ratione qualitatis rebus accidunt, ita etiam magnum et parvum non ratione quantitatis aut qualitatis, sed ratione relationis rebus accidunt. At quantitatis æquale et inæquale proprium est. In aliis quoque rebus animadvertere possis intensionem et remissionem esse qualitatis, æquale vero et inæquale semper ad quantitatem pertinere. Quare senarius et denarius numerus sunt inæquales ex quantitate, dissimiles vero sunt ex qualitate. Ac odoriferæ qualitatis multa genera reperire possis intensa et remissa ex qualitate, æqualia vero et inæqualia ex quantitate. Quis autem comparat inter se illa

μάτων. Οὐδεὶς γὰρ ἐρωτᾷ ἐν τῷ τριγώνῳ τῷ δείνῳ λευκῷ, πόσην ἂν ἔχῃ τὴν λευκότητα ἡ αὐτοῦ ἐπιφάνεια πρὸς τὸ δεῖνα· τὸ γὰρ ποσὸν ποσοῦ. Τὸ δὲ λευκοτέρα τούτου ἢ ἐκείνου τοῦ τριγώνου ἡ ἐπιφάνεια ἐπιτάσεως. Τῆς ποιότητος γοῦν ἡ ἐρώτησις· ἄνεσις γὰρ καὶ ἐπίτασις τοῦ ποιοῦ. Περὶ δὲ τῶν ἐν ἀριθμῷ ποιοτήτων εἴρηται.

γ'. Ἔγνωσται δὲ καὶ ποσοῦ τὸ ἴσον εἰς αὐτοὺς καὶ τὸ ἄνισον, ὡσαύτως καὶ τῶν ἐν τῷ στερεῷ, τῶν δὲ μονάδων καὶ τοῦ ἑνὸς καὶ τῆς γραμμῆς τε καὶ ἐπιφανείας οὕτως γνωστὴ ἡ μὲν μονὰς καταχρηστικῶς λέγεται καὶ ἕν. Ἔστι δὲ κυρίως μονὰς ἡ νοητὴ καὶ ἐκτὸς ὕλης, ἧς οὐδεὶς ἂν ἐξετάσῃ ποσοῦν· ἄλλος γὰρ οὖσα, πῶς ἐν ἐκείνῃ ποσόν; Χῦμα γοῦν νοητὸν ἐκ ταύτης ἀπείρων μονάδων, σχέσεις δέ τινες καὶ συνδεσμοί, ἐξ ὧν τὸ διωρισμένον ποσὸν εὑρέθη τε καὶ διώρισται· ποσὸν μὲν ἐν ἀριθμοῖς διωρισμένον συνέβη, αἱ σχέσεις δὲ καὶ ἑνώσεις καὶ οἱ σχηματισμοὶ τοῦτο ἔδωκαν. Εὑρίσκεται δὲ καὶ ἐν αὐτοῖς τοῦτο· αἱ μὲν γὰρ αἰσθηταὶ μονάδες ἄλλον ἔχουσι λόγον, αὗται δὲ ἄλλον· ἐν γὰρ ταῖς αἰσθηταῖς μονάσι καὶ ταῖς νοηταῖς καὶ κοινωνίᾳ καὶ διαφορὰ, ὅτι γὰρ ὁ τριάκοντα ἑξ τετράγωνος ἀριθμὸς καὶ ἐν ὕλῃ θεωρούμενος στερεός ἐστιν, ὡς καὶ ἐν μὴ ὕλῃ ἀληθές· ἔχουσι δὲ καὶ οἱ ἄμφω καὶ στιγμὴν καὶ γραμμὴν καὶ ἐπιφάνειαν καὶ στερεόν. Σκόπει δὲ τὸ διάφορον, ὅτι ὁ ἐν ὕλῃ θεωρούμενος καὶ ἀναλυόμενος τὰ τρία ἔχει τοῖς μέρεσιν· ἓν γὰρ τὸ ἐν αἰσθητοῖς ἡ μονὰς, τὸ δὲ ἕν ἔχει τὰ πέρατα τὸ $a\,\beta\,\gamma$, καὶ ὁμοῦ δὲ τοῖς μέρεσι συνελθὸν, ἔχει πάλιν τὸ $a\,\beta\,\gamma$, καὶ ἡ λαμβανομένη τούτου οἷον γραμμὴ ἔχει τὸ $a\,\beta\,\gamma$ ἐν τοῖς διωρισμένως κειμένοις σημείοις αὐτῆς, καὶ ἡ τεθεῖσα ἐπιφάνεια τὸν αὐτὸν τρόπον ἐν ἑνὶ ἑκάστῳ σημείῳ ἔχει τὸ $a\,\beta\,\gamma$, καὶ ὅλον τὸ στερεὸν ἔχει τὸ $a\,\beta\,\gamma$· ἐπειδὴ γὰρ ἐν ὕλῃ μονὰς, ἓν ἐστιν, ὡς καὶ Θέων καὶ Πλάτων καὶ Πυθαγόρας βοῶσι. Τὸ δὲ ἓν ἔχει τὸ $a\,\beta\,\gamma$ εἶναι ὕλη, ἄρα μονὰς ἔχει τὸ $a\,\beta\,\gamma$, ταῦτα δὲ καὶ τῷ στερεῷ, καὶ τῇ ἐπιφανείᾳ, καὶ τῇ γραμμῇ, καὶ τῷ σημείῳ κοινά· οὐδὲ γὰρ ὑπὲρ ταῦτα οὐδ' ὑπὸ ταῦτα, ἕτερα πέρατα κἂν ὅσον οἷόν τε ᾖ τὸ ποσὸν, τὸ δ' ἄλλο τούτου· ἐκεῖνα τὰ πάντα κοινὰ ἄτερ τοῦ ἐν μορίοις τοῖς ἐλαχίστοις διαφόρου. Πλάτος γὰρ καὶ μῆκος καὶ βάθος καὶ γραμμὴ καὶ ἐπιφάνεια, κοινὰ τῇ ὁμοιότητι. Τάξει δὲ πλὴν καὶ νοήσει, οὔθ' ὕλῃ δὲ, ἀλλ' οὐδ' ἀϋλίᾳ· τὸ μὲν γὰρ ἔνυλον, τὸ δὲ ἄϋλον, σημείῳ δὲ οὐ κοινὴ ἡ ὁμοιότης αὐτῶν· τοῦ μὲν γὰρ ἑνὸς τὸ σημεῖον ὡς ἓν ἔχει τὸ $a\,\beta\,\gamma$· ὑλικὸν γὰρ τὸ ἕν· τὸ δὲ ἀσώματον ὂν ἀδιάστατον πάντῃ, μονὰς δὲ τοῦτο· οὔτε γὰρ τῇ σχέσει ὅτε οὐ σὺν ἄλλοις ἀπαριθμεῖται τὸ $a\,\beta\,\gamma$ ἔχει, οὔτε ὡς τοῦ ἑτέρου τὸ

quæ non sunt ejusdem formæ, sed alterius ? Et sycomorea parva dicuntur, itemque palmes major dicitur. Quare eodem tempore eadem res magna erit et parva et sibi contraria ipsa, quod sane fieri nullo modo potest. Quæ igitur ad gustatum et visum pertinent, nempe dulcedo, salsedo, calor, frigus, albedo, nigredo ; itemque quæ ad auditum et tactum pertinent, asperum et leve ; denique quæ ad odoratum, graveolentia et beneolentia, et horum omnium media, evidentissime et procul omni dubio qualitates esse cernuntur et judicantur. Consimiliterque illa quæ ad colores pertinent. Nemo enim interrogat de hoc vel illo triangulo quantam albedinem ipsius superficies habeat cum hujus vel illius trianguli superficie comparata; nam quantum ad quantitatem pertinet. At cum hujus trianguli superficiem illius superficie magis albam esse dicimus, hoc ipsum est intensionis. De qualitate igitur interrogatio instituitur quia intensio et remissio sunt qualitatis. Atque hæc de qualitatibus quæ sunt in numeris dicta sunto.

3. Porro quantitatis æqualitas et inæqualitas in ipsis numeris perspicua est : eodemque modo in solidis alicujus numeris. Unitatum autem, unius, lineæ, et superficiei æqualitas et inæqualitas hunc in modum cognosci potest. Ac unitas quidem et unum non proprie usurpantur ut idem significent. Unitas autem proprie est illa, quæ sola mente percipi potest, estque extra materiam cujus quantitatem nemo possit pervestigare. Cum enim sit materiæ expers, quomodo suscipiet quantitatem ? Ergo flumen infinitarum unitatum, quod sola mente percipi potest, ab hac ipsa manans, habilitates quædam sunt et copulationes ex quibus discreta quantitas eruta est et expressa : nam quantitatem discretam in numeris inde habemus, quam habilitates, copulationes et figurationes propagarunt. In his enim discreta quantitas reperitur. Unitates enim quæ sub sensum cadunt aliam habent rationem. Hæ vero unitates quæ sola mente percipiuntur, aliam quoque habent rationem; nam in unitatibus tam quæ sub sensum cadunt quam quæ sub intellectum est communio et differentia. Verum enim est triginta sex, quadratum numerum, sive in materia consideretur sive extra materiam, esse solidum numerum. Atque ambo habent punctum, lineam, superficiem et soliditatem. Sed considera discrimen. Quod nimirum ille quadratus numerus, qui in materia consideratur et in materiam dissolvitur, tria habeat intervalla cum partibus materiatis; nam unitas est unum concretum quatenus unitas in rebus sub sensum cadentibus consideratur. Porro unum habet tres terminos seu tres fines *a*, *b*, *c*; atque hoc unum cum partibus concretum, habet rursus *a b c*. Et hujus unius concreti sumpta quælibet linea habet *a*, *b*, *c*; idque in punctis ipsis distincte positis. Et posita superficies eodem modo in unoquoque puncto habet *a*, *b*, *c*; et totum denique solidum habet *a*, *b*, *c*. Quoniam autem unitas est in materia, unum est concretum, ut Theon, Plato, et Pythagoras clare docent. Unum autem quia est materiatum habet *a*, *b*, *c*; unitas ergo concreta habet etiam *a*, *b*, *c*; atque hæc solidi superficiei, lineæ, et puncti sunt communia. Neque enim supra aut infra sunt alii termini, seu fines, quantumcunque et qualecunque sit ipsum quantum.

πρὸς φθορὰν συσκευάζει, εἰ μὴ παραλόγως ἀδικεῖται παρὰ τῶν ἀδικεῖν ἐθελόντων. Φυσικὴ δὲ κοινωνία παιδεία ἀεί, εἴτε μερικῶς, ὡς τοῖς τέκτοσιν, ἐπειδὴ καὶ μερικωτέρα ἐκεῖσε ἡ φυσικὴ σχέσις, εἴτε καθολικῶς, ὡς ἀγαθὸς προαιρέσει κοινωνεῖ παντὶ ἀγαθῷ· τοῦτο γὰρ παιδείας. Οὐ λέγομεν δὲ ὅτιπερ ὃς οὐκ οἶδε παιδείαν οὐ κοινωνεῖ οἷς κοινωνεῖ φιλοσόφως, ἀλλ' ὅτι ὁ καλῶς πράττων φιλοσοφεῖ. Τοῦτο δὲ τὸ καλῶς πράττειν τὸν στρατηγὸν, ἢ τὸν ἄρχοντα, ἢ τὸν τεχνίτην, ἢ τὸν φίλον φιλοσοφίας καὶ σοφίας ἐστί· ταῦτα γὰρ ἀπηχήματα οἷον τῆς πρώτης ἐστίν. Οὐδεμία γὰρ μάθησις, εἰ μὴ ἐκ προϋπαρχούσης γνώσεως, οὐδεμία δὲ γνῶσις ἀγαθὴ ἄτερ παιδείας τινὸς μέρους· πανταχόσε γάρ ἐστι καὶ γνῶσις καὶ παιδεία, ἔχουσι δὲ ἀλληλένδετον τὴν εἰς τὰ πράγματα κατάληψιν. Καὶ ποῦ μὲν ἔστι τὰ τῆς παιδείας γνωστὰ, ποῦ δὲ ἄγνωστα οἷον ὅτι στρατηγίαν τις παιδευόμενος ἀναγκαῖα καὶ ἐνδεχόμενα καὶ ψευδῆ παιδεύεται γινώσκειν, καὶ τὰ μὲν ὅπως ἐκφεύγειν τὰ δὲ γινώσκειν καὶ πράττειν, ἢ ὅτι οὕτως δεῖ πολιορκεῖν ἢ κατοχυροῦν τὰ φρούρια καὶ κατὰ τοὺς ἄλλους λόγους. Τοῦτο δὲ μέρος ἐστὶ φιλοσοφίας. Ἡ γὰρ φύσις τὴν ἐπιστήμην δι' ὅλου τοῦ λογικοῦ ζώου διέσπειρε, πῇ μὲν τεχνώσασα, πῇ δὲ δοῦσα δυνάμει, πῇ δὲ καὶ ἐντελεχῶς οὐ πᾶσαν, ἀλλὰ μέρος, πλὴν ἐξ ὅλης καὶ τοῦτο. Κἂν γοῦν καὶ ὁ στρατηγὸς οὐκ οἶδε τὴν ἐπιστήμην, ἀλλ' εἴπερ κατὰ τοὺς ἀληθεῖς πράττει τύπους, φιλοσοφεῖ κἂν ἀγνώστως· ἔστι δὲ τοῦτο θυμοσόφου ἀνδρὸς, αὐτοφυῶς τὸ καλὸν κἀγαθὸν γινώσκοντος. πλὴν δὲ καὶ ἀκούσματά τινα σχόντος, ἀδήλως μὲν εἰς τὸν νοῦν εἰσελθόντα. Πεφύκασι γάρ τινα εἰσέρχεσθαι φιλοσοφίας εἰς τὸν νοῦν λόγια, λεγόμενα μὲν ὡς τύχοιεν, δεχόμενα δὲ κἂν ἀτέχνως, ἀλλὰ φύσεως εἰλικρινείᾳ φυσικῶς. Δεκτικὸς γὰρ ὁ νοῦς, κἂν οὐ πρὸς αὐτὸν ἔχοντά τις τοῦτόν τι λέγῃ. Τὴν φυσικὴν γοῦν κοινωνίαν καὶ παιδεία οὐ λέλοιπε· τὴν κατὰ κρᾶσιν δὲ, ὁτὲ μὲν, ὁτὲ δ' οὔ. Κοινωνεῖ μὲν οὖν πᾶς παντὶ φυσικῶς τε καὶ κατὰ κρᾶσιν. Ἔστι δὲ καὶ ὅπου κατὰ κρᾶσιν, καί τι καταφύσιν, καὶ ὅπου κατὰ φύσιν καί τι κατὰ κρᾶσιν. Εὑρίσκεται δὲ ὅτι τοῦ μᾶλλον φυσικωτέραν ἔχοντος τὴν κοινωνίαν καὶ ἡ ἐνοῦσα κρᾶσις αὐτῷ ἔλλογος, τοῦ δὲ κατὰ κρᾶσιν μᾶλλόν καὶ ἡ οὖσα ἐκεῖσέ τις φυσικὴ δύναμις διαλελυμένη ἐστὶ καὶ ἀλλοῤῥεπής· καὶ τοῦτο γνώριμον. Ταῦτα δὲ δέονται ἑτέρας διασαφήσεως, ὥστε δεῖξαι κἀκ ταύτης, πῶς ἔστι τὸ κρεῖττον· ἔστι δὲ αὕτη.

enim natura aut eruditio aliquid ad interitum comparat, nisi forte præter rationem injuria afficitur ab illis qui injuriam inferre volunt. At in naturali communione semper inest eruditio, sive in parte, ut cum fabri inter se communionem constituunt (quandoquidem hæc naturalis relatio, quæ est inter fabros, est aliquando magis ; particularis) sive generaliter, ut cum aliquis de instituto bonus communionem constituit cum omni bono proboque viro. Hoc enim est eruditionis. Porro non negamus illum qui non est eruditus, participare eruditionem quam participat ex philosophia. Imo virum illum cujus actiones honestæ et præclaræ sunt philosophari asserimus ; nam ut imperator aut dux aut amicus omnia ex virtute et honestate agat, itemque artifex, istuc philosophiæ et sapientiæ est ; hæc enim sunt veluti primæ sapientiæ quædam relatæ imagines. Nulla enim disciplina est, quæ non ex præcedente cognitione exsistat. Porro, nulla cognitio bona quæ sit alicujus eruditionis expers ; nam longe lateque per omnia cognitio et eruditio diffunduntur. Et connexæ sunt inter se rerum cognitiones ac comprehensiones. Ac in quibusdam rebus cognosci possunt facile illa quæ sunt eruditionis, contra nonnunquam cognosci nequeunt : ut si quis eruditur in arte ducendi exercitum, ita eruditur ut discat necessaria, et illa quæ usu venire possunt, adeoque quæ falsa sunt in hac disciplina, hæc quidem ut vitet, illa vero ut cognoscat et exsequatur ; ut quod oporteat ita obsidere urbes, aut propugnacula munire et cætera ex iisdem rationibus. Hoc autem ad philosophiam ut pars refertur. Nam natura scientiam in toto animali rationis participe disseminavit, ita ut partim scientiam in homine fabricata sit, partim etiam vi et potestate dederit, si non absolute universum, at certe partem aliquam, quæ quidem pars de tota excisa est. Quamvis igitur dux exercitus scientiam ignoret, verumtamen ex veris informationibus agens philosophatur, etiamsi, ut dixi, nescius. Est autem hoc viri philosophi qui sua sponte quod honestum et bonum est cognoscit. Nec fieri posse negamus ut quædam auditione ita perceperit aliquis ut vix in animum suum irrepsisse illa persenserit ; possunt enim quædam philosophica præcepta in mentem influere, quæ temere quidem ab aliquo pronuntiata sunt, sed ab audiente etiamsi non de industria at naturæ bonitate suscepta sunt ; nam ex natura mens quidlibet suscipere potest, quamvis quæ pronuntiantur audientis et suscipientis causa non dicantur. Naturalem ergo communionem eruditio non deseruit. Communionem vero illam, quæ est ex temperatione interdum quidem, interdum vero non deseruit ; nam omnes communicant inter se ex natura et temperatione. Porro usu venit interdum, ut in quibus temperatio superiores partes obtinet, in illis locus aliquis naturæ relinquatur et in quibus superiores partes obtinet natura, in illis quoque temperationi locus aliquis relinquatur. Verum quo quis magis naturalem habet communionem, eo melius constitutam et compositam habet temperationem. Contra, quo magis ex temperatione communio constat eo magis vis naturalis atque facultas, qua præditta est, imbecilla et ad aliud, quam par est, proclivis est, quod etiam notum est. Sed hæc alia declaratione opus habent ut ostendamus etiam quo pacto ex hac communione constituatur aliquid præstantius. Declaratio autem hæc est.

ζ'. Ἀλέξανδρος μὲν Ἀριστοτέλει κοινωνεῖ, Ἑρμογένει δὲ Μάρκος· ἀμφότεροι τοῦν βασιλεῖς καὶ σοφοὶ, καὶ οἱ φίλοι, παιδείας μεστοὶ, διαφέρουσι δέ γε. Μηδεὶς δὲ ἀπατηθῇ μὴ παιδείας φίλους εἶναι τοὺς βασιλεῖς, κἂν ὁ μὲν τῆς ἀκροτάτης, ὁ δὲ τῆς πολὺ ταύτης ὑποδεεστέρας· εἰσὶ γὰρ ἄμφω φιλολόγοι καὶ φιλολόγιοι. προσκείσθω δὲ καὶ τὸ λόγιον· εἶχον γὰρ καὶ τοῦτο κατὰ πολὺ αὖτη ἡ κοινωνία φυσικὴ, ἔχει δὲ τὸ κρεῖττον ἡ ταύτης διαφορὰ κἀξ ἐπιτάσεως καὶ τοῦ ἑτεροίου. Ὁ μὲν γὰρ φιλόσοφος καὶ ῥήτωρ καὶ πᾶν ἄλλο, ὁ δὲ ῥήτωρ καὶ πολυΐστωρ. Ἐπίτασις γοῦν ἐν τῷ ἑνὶ, πολλὰ μέρη ἢ καὶ πάντα ἔχοντι, καὶ οἷον τὴν ὅλην τοιότητα, ἑτεροιότης δὲ, ὅτι καὶ τὰ μέρη ἀλλοῖα ὄντα ἔχει συναγαγὼν, ὑπάρχει δὲ καὶ Ἀλεξάνδρου ὑπηρεσία καὶ βασιλεία ῥήτορες καὶ Μάρκου φιλόσοφοι. Ἐρᾷ δὲ ὁ μὲν Ἀριστοτέλους, ὁ δὲ Ἑρμογένους ἀγαθοὶ γοῦν πάντες. Ἔχει δὲ ἡ ἀναλογία εἰς αὐτοὺς πολλὴν τὴν ἰσχύν· ὡς γὰρ φιλοσοφία ῥητορικῇ, Ἑρμογένει Ἀριστοτέλης, ὡς δ' Ἑρμογένει Ἀριστοτέλης, Ἀλέξανδρος Μάρκῳ· ὡς ἄρα φιλοσοφία ῥητορικῇ, Ἀλέξανδρος Μάρκῳ. Ἔστι μὲν οὖν ἡ διαφορὰ οὐκ ἄλλοις λόγοις, ἀλλ' ἀλλοίοις, ἐπειδὴ ποιότης τί; ἐστιν ἡ καθόλου ἐπιστήμη. Ἡ γοῦν ἐπίτασις καὶ ἄνεσις τὸ τιμιώτερον ἔφερε, πάντες δὲ καὶ πᾶσαι καλοκαγαθίας μεσταί. Ἔστι δὲ τούτοις ἡ κοινωνία καὶ κατὰ κρᾶσιν οἷον καὶ κατὰ φύσιν, ἐπειδὴ ὅτι καὶ οἱ πάντες παιδείας ὑπῆρχον κοινῶς ὅτι δὲ καὶ τῆς κρείττονος καὶ ὅσον τῆς κρείττονος καὶ φυσικωτέρας. Ὑπάρχει δὲ καὶ Τίτῳ Ἀπολλώνιος φίλος, Ἰάμβλιχος καὶ Πορφύριος, Νέρων δὲ καὶ αὐλητῆρες καὶ αὐλήτριαι. Καὶ ὅτι μὲν καὶ ἡ τῶν ἀνδρῶν φιλοσοφία τῆς φύσεως, καὶ ἡ ἐμπνευστὴ τέχνη τῆς φύσεώς ἐστι. Παράλογον δὲ ὁλικῶς κοινωνεῖν τὸν ἄρχοντα ταῖς ᾠδαῖς· ἐκλελυμένης γὰρ τοῦτο καὶ ἐκτεθηλυμένης ἐστὶ ψυχῆς· φίλους δ' ἔχειν τοὺς βασιλέας σοφοὺς, ἄριστον. Ὡ, γοῦν τὰ τῶν ἀνδρῶν τέλη πρὸς τὰ τῶν αὐλητριῶν καὶ αὐλητήρων, οὕτως καὶ οὗτοι πρὸς ταύτας· ὡς δὲ οὗτοι πρὸς ταύτας, καὶ Τίτος ὁ τῶν σοφῶν φίλος πρὸς τὸν γυναικωνιτικὸν Νέρωνα. Ὡς ἄρα φιλοσοφία πρὸς τὰ τῆς μουσικῆς ἀποπτώματα, οὕτω καὶ ὁ σοφὸς Τίτος πρὸς τὸν ἄσεμνον Νέρωνα. Φασί τινες δέ ποτε Τίτον ἀκοῦσαι, τούσδε τοὺς φιλοσόφους ἱστασθαι περὶ τὰς πύλας αὐτοῦ οὔσας ἐσαλισμένας βασιλικῶς, καὶ φάναι· Αἱ ἐμαὶ θύραι πᾶσι σοφοῖς ἀνεῳγμέναι εἰσὶ, τοῦ ἑνὸς περὶ τῶν δύο αὐτῶν μηνύσαντος καὶ εἰσελθεῖν αὐτοὺς εἰ ἀρεστὸν αὐτῷ ἐρωτήσαντος. Νέρων δὲ στεφόμενος ἀναιδῶς ἐπὶ τὸ θέατρον ἀσέμνως ἐλήρει. Αἱ τῶν κατ' ἐπιστήμην κοινωνίαι καὶ οἷον φυσικώτεραι· ἆρ' οὖν πολὺ τιμιώτεραι καὶ κρείττους τῶν κατὰ κρᾶσιν καὶ ἀλογωτέρων, ὡς καὶ τὸ τῶν ἀρχόντων ἔδειξε τέλος.

7. Alexander quidem cum Aristotele communionem constituit, et cum Hermogene Marcus; ambo igitur sunt reges et ambo sapientes; ambo illi reges eruditionis sunt studiosi et ambo sapientes, ac illi quidem cum quibus amicitiam constituunt, eruditione abundant, ita tamen ut unius eruditio ab alterius eruditione differat. Nemo vero errore deceptus neget reges esse eruditionis studiosos. Quamvis enim Alexander supremæ illius philosophiæ, Marcus autem eruditionis multo inferioris sit studiosus, ambo tamen meliorum litterarum et eloquentiæ sunt perquam studiosi. Addidimus ambos eloquentiæ quoque fuisse studiosos. Magnos enim in ea progressus fecerant. Atque hæc est naturalis communio, cujus differentia habet præstantiam et excellentiam ex intensione et dissimilitudinis ratione; nam unus philosophus est et rhetor et omniscius, alter vero est rhetor et multæ lectionis vir. Est igitur in uno intensio, quia philosophiæ multas partes, atque adeo omnes habet et quasi totam illam qualitatem induit. Præterea ex ratione dissimilitudinis discrimen assignatur, quod Aristoteles omnes philosophiæ partes easque varias et dissimiles simul collectas comprehensas habeat. Ac Alexander quidem infinitos pœne famulos habet et est rex, habet quoque philosophos. Marcus autem est similiter imperator et rhetores habet. Ille quidem Aristotelem amat, hic vero Hermogenem. Sunt igitur omnes hi inter se probi. Valet etiam propositio in his plurimum. Ut enim philosophia se habet ad artem dicendi, ita se habet Aristoteles ad Hermogenem et Alexander ad Marcum. Est igitur differentia non quod aliæ sint rationes, sed dissimiles, quandoquidem generalis scientia est qualitas quædam. Intensio ergo et remissio effecerunt ut aliquid præstantius exsisteret. Omnes autem illi, et omnes illæ scientiæ virtute et probitate abundant. Porro intercessit illis communio ex temperatione, quemadmodum etiam ex natura, quia omnes eruditi fuerunt; sed quatenus temperatio illorum ad præstantiorem eruditionem ferebatur, eo magis naturalis fuit. Consimiliter Titus Apollonium, Jamblichum et Porphyrium amavit, Nero vero tibicines et tibicinas. Et quia virorum philosophia ad naturam refertur, etiam ars inflandi tibias ad naturam refertur, sed hoc præter rationem ut imperator se totum cantilenis tradat, hoc enim dissoluti et effeminati est animi; sed reges sapientum virorum amantes esse, res est optima maximeque laudabilis. Ut igitur se habent virorum fines ad fines tibicinum et tibicinarum, ita quoque duo viri se habent ad tibicines et tibicinas; et ut viri se habent ad fines suos, ita etiam se habent Titus sapientum studiosus ad dissolutum et effeminatum Neronem; et ut philosophia se habet ad musices quisquilias, ita etiam sapiens Titus se habet ad illaudatum Nerorem. Porro cum renuntiatum esset Tito philosophos illos pro foribus stare (erant enim fores regio more occlusæ et obseratæ) uni philosophorum illorum indicanti, ut si placeret intromitterentur, Titum respondisse perhibent quidam; volo, inquit, meas fores omnibus philosophis esse apertas. At Nero impudenter corona redimitus in conspectu theatri turpiter saltavit. Annon igitur communiones quæ ex scientia exsistunt magis sunt naturales multoque majore in pretio habendæ? Annon

η'. Τὸ μὲν οὖν φύσει ἀεὶ τοῦ θέσει καὶ κρεῖττον καὶ τιμιώτερον, εἰ μή τις παραλογίζεται τὰ πράγματα, καὶ γένους ἢ πατρίδος ἢ τεκόντος εὐγενείᾳ ἀπατώμενος παραλόγους ποιεῖ τὰς κοινωνίας αὐτοῦ. Πᾶσι γὰρ τοῖς σοφοῖς καὶ τοῖς σοφῶς πράττουσιν ἀρεταὶ καὶ βίοι ἐξετάζονται, ἡ ἀληθὴς καὶ θεία εὐγένεια. Τὰ δ' ἄλλα θέσει καὶ πόρρω τοῦ φύσει ὄντα παραθεωροῦνται. Διδάσκουσι γὰρ καὶ οἱ τοὺς ἀγῶνας καὶ τὰ βραβεῖα ποιοῦντες καὶ διδόντες τὴν νίκην, καὶ οἱ τὰ συμπόσια τελοῦντες τὴν νίκην. Ὅτι μὲν οὖν οὐκ ἴσοι τῷ γένει εἴ τε οἱ ἀθλοῦντές εἰσιν, εἴτε οἱ πίνοντες, πρόδηλον· ἴσοι δὲ τῇ τιμῇ, ὥστε οὐδεὶς ἂν λήψηται τὸ γέρας, εἰ μὴ ὁ νικήσων καὶ μόνος κατά τε τὰ ἆθλα καὶ τὸν πότον. Κοινωνὸς δὲ τῶν ἀθλούντων ὁ κορυφαῖος, καὶ τῶν πινόντων ὁ αὐτῶν ἔφορος, ὡς ἔφορος καὶ γὰρ τούτων ἐστίν. Ἆρ' οὖν ἐνταῦθα καὶ κρᾶσις τε καὶ παιδεία, καὶ οὗ μὲν φυσικωτέρα ἡ νίκη, οὗ δὲ θέσει καὶ μόνον. Ταῖς ἀμφοτέραις δὲ κρᾶσίς ἐστι, καὶ τῇ μὲν μέθῃ τριβὴ ἀλογωτάτη, τῇ δὲ ἀθλήσει παιδεία τις· φύσιν γὰρ τὸ ἆθλον συνιστῶν φιλοτιμούμενος, τοῦτο συνίστησιν· ἐκεῖ γὰρ μάχης ἔργα, δίσκος, δίαυλος, πυγμή, πάλη καὶ ἅλμα, χρήσιμα πάντα, πολιτείᾳ καὶ κόσμῳ καὶ βίῳ ὠφέλιμα, κἂν εἴη ἐκ τῶν τοιούτων τις αὐτῷ ἡδονή. Ὁ δὲ Σαρδαναπάλειος καὶ Διονυσιακὸς ἔφορος μόνον τὴν ἄλογον ἡδονὴν βλέπων, εἰς οὐδὲν τέλος καταλήγει τὸ τούτου σπούδασμα· τιμᾷ δὲ ὁ μὲν τοὺς ἀθλοῦντας, ὁ δὲ τοὺς πίνοντας. τὸ μὲν πρῶτον φυσικώτερον, τὸ δ' ὕστατον ἀτιμότατον. Οὐκ ἔστιν ἄρα τοῦ θέσει τὸ φύσει κρεῖττον; Καὶ μήν, πᾶς εἴπῃ, ἔχει γὰρ πολλὴν τὴν ἀλήθειαν. Εἰσὶ δὲ καὶ ἄλλα τινά, πῶς μὲν ἐξεχόμενα τούτων, πῶς δὲ διαφέρονα, ἃ διὰ βραχέων εἴπομεν, οἷον ἐγγυτάτω τῆς πρώτης στρατηγίας· μετὰ δὲ ἰατρική, φιλάνθρωπος γὰρ καὶ αὐτή. Κοινὴ δὲ γεωργική. Καὶ τὴν μὲν γεωργικὴν, εἰ κατὰ τοὺς ἀληθεῖς τις ἴδῃ λόγους, μεστὴν εὑρήσει παιδείας. Μὴ σκόπει δὲ ὅτι οὐκ οἴδε τοὺς λόγους ὁ γεωργὸς, ἀλλὰ σκόπει ὅτι κατὰ λόγον ἡ τέχνη γίνεται. Ὥσπερ γὰρ καὶ κυβερνητικὴ ἐκ τῆς πρώτης ἔχει τὰ σημεῖα, οὐκ οἴδε δὲ ὅπως γίνοιντο ταῦτα ὁ κυβερνήτης, οὕτως καὶ ὁ γεωργὸς, ἐκ τῆς πρώτης ἔχων τὰς ὡς εἰκὸς πράξεις δεδιδαγμένος, πράττει μὴ ἐξετάζων· ἀποδεικτικοῖς γὰρ λόγοις καὶ ἀναγκαίοις ἡ πρώτη συνῆξε ταύτην τὴν τέχνην. Ἐπειδὴ τὸ πλῆθος αὐτὴν ἐργάζεσθαι ἔμελλεν ὁμολογούμενα δί τινα δόγματα παραδοῦσα τοῖς πρώτοις, πρὸς τοὺς ἐφεξῆς ταῦτα μεταδίδονται ἄχρι νῦν ἀδασανίστως καὶ ἀνεξετάστως. Μαρτυρεῖ δὲ καὶ ὁ ποιητὴς Ἡσίοδος, ὅτι περ τῆς πρώτης ἡ γεωργική ἐστιν ὡς καὶ πᾶσαι· ἐξετάζει γὰρ καὶ καιροὺς καὶ τόπους καὶ λόγους καὶ πράγματα, καὶ ἐξετάσας οἷον παράδοσίν τινα ποιεῖται εὐγενεστέραν. Καὶ τοῦτο διὰ τὴν

A

B

C

D

sunt præstantiores communicationibus illis quæ ex temperatione, non ex ratione exsistunt, ut etiam duorum illorum imperatorum fines ostendunt?

8. Quod igitur natura constat semper est præstantius et dignius eo quod positione constat, nisi forte aliquis fucum rebus facere velit et generis, patriæ et parentum nobilitate deceptas, præter rationem communicare soleat; nam virtutes et vita honesta omnibus sapientibus et sapienter agentibus habentur et sunt vera ac divina nobilitas. Alia vero omnia negliguntur sapientibus, nulloque in pretio habentur, quæ nimirum positione constant, et ab eo quod natura constat longissime distant; nam qui certamina constituunt et præmia proponunt docent victoriam et qui in conviviis potando certant victoriam sibi proponunt. Quod autem non sint genere æquales tum exercitationis causa certantes, tum etiam potantes inter omnes constat: sed æquales sunt præmio quod nullus præmium accipiat, nisi solus ille qui victor fuerit, sive in certaminibus sive in compotationibus. Ac in certaminibus quidem qui princeps est communionem instituti cum certantibus init et cum potantibus ipsorum præses; nam illorum princeps est ut horum præses. Annon igitur hic est temperatio et eruditio? Et quo magis ad naturam accedit in certaminibus victoria eo præstantior. Quo autem magis constitutione constat illa in compotationibus victoria eo ignobilior. Porro in ambabus victoriis inest temperatio; ac in temulentia tempus præter omnem rationem ponitur, in certaminibus vero est quædam eruditio; nam qui præmium certaminis constituit naturali et laudabili studio ductus, illud constituit. Ibi enim disco, cursu, pugna et lucta omnes exercentur et in aliis rebus reipublicæ mundo atque vitæ utilibus ex quibus voluptas honesta quædam exsistit. At præses ille Sardanapalius et Bacchicus voluptatem rationis expertem duntaxat sibi proponens, ad nullum finem honestum et laudabilem pervenit. Ac ille quidem certantes honore afficit, hic vero potantes. Et illud quidem magis ad naturam accedit, istud vero postremum est turpissimum. Nunquid igitur quod natura constat est præstantius eo quod positione? Certe compellente veritate quilibet fatebitur. Sunt autem etiam alia quædam quæ partim cum his cohærent, partim ab iisdem differunt. Ut ars ducendi exercitum primæ architectonicæ est proxima. Deinde medicina. Nam hæc quoque homines plurimum juvat. Agricultura vero est communis. Ac si quis agriculturam ex veris rationibus consideret, plenam eruditionis esse comperiet. Nemo vero offendatur eo quod agricola rationes non novit; is potius artem agriculturæ ex ratione exsistere diligenter notet. Quemadmodum enim ars gubernandæ navis signorum cognitionem a prima accepit, quorum tamen rationem reddere nequit, ita etiam agricola a prima illa scientia, ut est necesse, doctrinam actionum accepit: agit autem rationes non investigans. Nam prima scientia certissimis et verissimis conclusionibus hanc artem confecit. Cum autem vulgus hanc artem exercere vellet, sententiæ quædam ab omnibus receptæ, ab illa prima scientia quasi per manus traditæ et ad posteros propagatæ sunt, quarum quidem sententiarum rationes nemo scrutatur. Testatur etiam Hesiodus poeta artem agriculturæ ut et omnes artes, a prima illa scientia manasse;

ὑπόθεσιν, καὶ περὶ μὲν ταύτης ἐς τόσον. Εἴπωμεν δὲ περὶ ὧν ὑπεσχέθημεν.

η'. Στρατηγία μὲν οὖν τέχνη καλὴ καὶ πρωτίστη, χρυσοχοϊκὴ δὲ περιττή. Κοινωνεῖ δὲ Κῦρος μὲν παιδείᾳ τῷ οἰκείῳ στρατεύματι διδάσκων αὐτὸ τὸ λιτὸν καὶ πρὸς περιττὰς ἀπέριττον χρήσεις. Κροῖσος δὲ Πακτωλοῦ ῥύσει πολὺν συναθροίσας χρυσὸν, ποιεῖται πρὸς χρυσοχόους τὰς κοινωνίας, διὰ τὸν μαχαρισμὸν, οὗπερ οὐκ ἠξιώθη κἂν παρὰ Σόλωνος, χρυσοῦς τινας τρίποδας κατασκευάζων καὶ πλίνθους. Κρᾶσις ἤδη τούτοις καὶ κοινωνία· καὶ ἡ μὲν φυσικωτέρα, ἡ δ' ἄλλη ἐς τόσον βασιλεῖ ἀπρεπής. Τὸ μὲν γὰρ διδάσκειν τὸ στράτευμα τὸν βασιλέα καρτερίας ὑπόδειγμα ἑαυτὸν δεικνύοντα φιλόσοφον. Βασιλέα γὰρ οὐ λαοῦ, ἀλλὰ σὺν τούτῳ καὶ τῶν παθῶν αὐτὸν δείκνυσιν· ἐξ οὗ συνάγεται ὅτι βασιλεῖς παθῶν τοὺς ὑπὸ χεῖρα ποιεῖν ἐθέλει. Ὦ τοῦ μακαρισμοῦ! Τὸ δὲ τρίποδας κατασκευάζειν χρυσοῦς καὶ πλίνθους καὶ ὅλας λαμίας χρυσοῦ, ὑφασμάτων, μαργάρων ἐμπιπλᾷν, οὔτε ἑαυτὸν βασιλέα δείκνυσιν ὁ τοῦτο ποιῶν, οὔτε βασιλέας; ποεῖ τοὺς βασιλευομένους, πασῶν ἡδονῶν δέ γε καὶ μάλιστα δούλους. Ἴσθι δὲ καὶ τὸ τέλος τῶν ἀμφοτέρων, πιστὸν εἰς ἀπόδειξιν ὃ καὶ πρόδηλον. Ὁ μὲν γὰρ ἐκ μικροῦ μέγας διὰ τὸ ἕλλογον ἀπὸ περάτων ἕως περάτων· ὁ δὲ ἰδιώτης καὶ ἄχρυσος καὶ ἀπὸ περάτων καὶ περάτων ἕως στιγμῆς, ὥστε ἡ κατὰ φυσικωτέραν χρᾶσιν κοινωνία, καὶ μᾶλλον ἀγαθὴ τῆς μόνον κατὰ χρᾶσιν καὶ θέσιν. Ἴσοι γὰρ τῇ τιμῇ οὗτοι, ἐπεὶ βασιλεῖς, ἀλλ' ὁ μὲν μεγαλοφυὴς καὶ μεγαλοφυῶν κοινωνὸς, ὁ δὲ μικρόνους καὶ κωπηλικῶν κοινωνός· ὠνόμασται γάρ ποτε καὶ Τραϊανὸς πατὴρ διὰ τὸ ἀγαθὸν, Νέρων δὲ θηρίον, Ξέρξης δὲ κάπηλος, ὅτι ἄγαν ἐν τῷ τὰς φύσεις καπηλεύειν ἐθεοποίει αὐτὸν, πλατάνους κατασκευάζων χρυσᾶς εὐφυλλούσας, ἢ μᾶλλον σὺν αὐτῷ τάχιον φυλλορροούσας. Ὥστε αὐτὸ θέσει τινὰ τούτων ἢ ἑτέρων καί τι μυρίων ὄντων ἐδόξασε, κἂν ἐδοξάζετο θέσει, ἀλλὰ τὸ φύσει, ὅπερ καὶ τίμιον καὶ κυρίως καὶ ἰδιαίτατα τιμιώτατον. Ἐρᾷ δὲ καὶ βασιλέως ὑφάντης τοῦτο φυσικόν· ἀνάγεται γὰρ τὸ ἐλάχιστον πρὸς τὸ ὅλον, καὶ βασιλεὺς ἀποδέχεται λιθοξόον. Τοῦτο φιλάνθρωπον· φέρει γὰρ τὸ ὅλον τὰ μέρη. Σκόπησον δὲ ὅτι ἕλλογα ταῦτα· οὐκ εἶπον γὰρ ὅτι κοινωνεῖ βασιλέως ὑφάντης, ἀλλ' ὅτι ἐρᾷ, ἀλλ' οὐδὲ βασιλεὺς τοῦ λιθοξόου ἀλλ' ἀποδέχεται ὥστε τὸ ἀποδέχεσθαι, τινός ἐστι καὶ οὐχ ὅλης τῆς κοινωνίας. Ὅπου γὰρ τὸ κοινωνικὸν ὄνομα κεῖται, τὴν τῶν κοινωνούντων δηλοποιεῖ συμφωνίαν. Τοιοῦτος γάρ ἐστιν ἕκαστος οἷσπερ ἥδεται ξυνὼν, ὡς καὶ τὸ φίλος τί ἐστιν ἄλλος αὐτός· κοινωνεῖ μὲν γὰρ τοῖς ὁμοίοις, ἀποδέχεται δὲ καί ποτε τὰ μὴ ὅμοιά τις, οἷον ἵππον ἢ βοῦν ἢ κύνα. Οὐδεὶς γὰρ κοινωνεῖ ἵππῳ τινὶ, καὶ οὐδεὶς οὐ

nam tempora, locos, rationes, et res scrutatur, quibus investigatis doctrinam quamdam nobiliorem tradit. Hoc in præsentia exemplum proponere voluimus. Ac de agricultura quidem hactenus. Dicamus vero de illis, de quibus nos dicturos polliciti sumus.

8. Ars igitur ducendi exercitum honesta est et præclara, at ars aurificum est superflua. Porro Cyrus cum suo exercitu eruditionis ratione communicat, docens ipsam frugalitatem et in usu superfluo moderationem. Crœsus autem, ex Pactolo magna vi auri collecta, constituit communionem cum aurificibus, hoc modo beatum se fore existimans. Qua tamen beatitate, quam sperabat se consecuturum, a Solone dignus non est judicatus, cum tripodes quosdam aureos et lateres quoque aureos sibi conficiendos curaret. Est igitur in ambobus temperatio ac communicatio, ac una quidem magis ad naturam accedit, altera vero regem non decet. Est enim regis docere exercitum continentiam et abstinentiam, seipsum exhibens philosophum. Nam non solum populi regem sed etiam perturbationum se ostendit; ex quo fit ipsum velle quoque suos milites perturbationum reges efficere. O veram beatitatem! Atqui tripodes et lateres aureos facit, et conclavia ipsa omni ex parte auro, texturis et unionibus complet: non ipse se regem ostendit, neque qui hoc facit illos quos regit reges efficit, cum perturbationibus et voluptatibus turpissime serviant. Porro amborum finis facillime ostendi potest, et nemini est obscurus. Unus enim ex parvo magnus evasit, a fine usque ad finem, idque per prudentiam et sapientiam: alter vero a fine et fine usque ad punctum: idiota et auri expers evasit. Quare communio illa quæ est ex temperatione naturali, multo melior et præstantior est ea, quæ est ex temperatione et constitutione. Nam reges isti honore sunt æquales. Sed unus est magnanimus ac fortis, et magnanimorum ac fortium socius; alter vero est angusti animi et cauponum socius. Et Trajanus olim appellatus est pater propter bonitatem, Nero fera, Xerxes caupo, quoniam naturas rerum cauponando se Deo parem reddere volebat: cum platanos aureas sibi conficiendas curaret virentibus foliis, seu potius cum ipso fluxis. Quare illud, quod constitutione constat neutrum illorum regum, neque aliorum hominum quamvis infinitorum, quemquam gloriosum reddidit. Sed fac gloriosum reddi aliquem eo quod positione constat multo magis sane eo quod natura est et constat, quod non solum honore dignum est, sed etiam in primis longeque dignissimum. Textor autem amat regem: nimirum hoc est naturale, cum illud, quod est minimum, ad totum referatur. Rex quoque lapicidam suscipit, nimirum hoc humanum est. Nam totum partes suas non abjicit. Considera vero quam bene hæc cum ratione quadrent. Non dixi textorem communionem constituere cum rege, sed regem amari a textore. Neque rex lapicidam amore prosequitur, sed suscipit duntaxat. Quare suscipere est aliquo modo non penitus et omnino communicare. Ubi enim communionis nomen auditur, concentus inter communione junctos declaratur. Talis enim est unusquisque, quales sunt cum quibus versari li-

κοινωνεῖ ἀνθρώπῳ τινί· ἔστι δέ τινι μὴ κοινωνεῖν ἀνθρώπῳ τινί, ἀλλ' ἀποδέχεσθαι οἷόν τις στρατιώτης ἀποδέχεται ὑέλαφον, οὐ κοινωνεῖ δέ· στρατιώτῃ δέ τινι κοινωνεῖ, ἵππῳ δὲ, ἢ λίθῳ, ἢ μαργάρῳ, ἢ ἑτέρῳ τινὶ οὐ κοινωνεῖ, κοινωνεῖ δὲ καὶ ταῖς τροφαῖς διὰ τὴν σύστασιν. Τοῦτο δὲ κοινὸν μὲν, ἔχει δὲ καί τινα διαφοράν· ἄλλοι γὰρ ἄλλας, καὶ ἄλλα; ἕτεροι, οὐδεὶς δὲ οὐ κοινωνεῖ τροφῆς ἢ ἀποδέχεται. Ἐναργὲς δὲ καὶ ἐκ τῶν τροφῶν, ὅτι καὶ φύσις καὶ κρᾶσις, καὶ τιμιωτέρα ἡ φύσις τῆς κράσεως· εἰς τι γὰρ καὶ τροφαῖς ἡ διαφορὰ καὶ ἔν τισι, τὰς δὲ κοινὰς καὶ φυσικωτέρας οἱ μᾶλλον αἱροῦνται. Ἔχει μὲν οὖν κατὰ πάντα, ὡς ἐδείχθη, τὸ φύσει τοῦ θέσει τὴν ὑπεροχήν· κοινωνεῖ δὲ καὶ ἰατρῷ ὁ βασιλεὺς, τοῦτο φυσικὸν καὶ φιλάνθρωπον· τρεῖς γὰρ κοινωνίαι τῷ ἄρχοντι ἁρμοδιώτατοι, φιλοσοφία, στρατεία, ἰατρικὴ μετὰ τῶν ἰδιωμάτων αὐτῶν, καὶ τῆς μὲν μιᾶς, κοινῆς οὔσης καὶ διεπούσης πάντα πολλαχῶς, ὡς δεῖ κοινωνεῖν ταύτῃ, διασαφήσαντες εἴπομεν. Σωτήριος γὰρ ἐστι πασῶν καὶ πάντων αὕτη, καὶ διὰ τοῦτο δεῖ κοινωνεῖν ταύτῃ τὸν ἄρχοντα, ἐπειδὴ σωτὴρ καὶ ἐπιμελητὴς ψυχῶν καὶ σωμάτων ἐστὶ, τῶν δυοῖν ἐὲ, ὡς μετὰ ταύτην σωμάτων οὐσῶν σωτηρίων, ἐπὶ μείζονι καὶ ἐλάττονι τρόπῳ. Ἡ μὲν γὰρ τοῦ ὅλου

A ζώου φύλαξ ἀνθρώπου, ἡ δὲ παρὰ μέρος. Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων, περὶ δὲ στρατηγοῦ, εἷς μυρίοι, δηλονότι εἷς πάντες· οὐ γὰρ εἶπε μύριοι, ἀλλὰ μυρίοι, τοῦτο δὲ τὸ πάντες δηλοῖ. Πρώτη μὲν οὖν ἡ στρατιωτικὴ ἧς ἐστι καὶ ἐξ ἧς παρὰ τῆς πρώτης καὶ ὁ φύσει στρατηγὸς, δευτέραν δὲ κρίνομεν τὴν ἰατρικὴν, μετὰ δὲ ταύτας οὐ κοινωνεῖν δεῖν ταῖς ἄλλαις τὸν ἄρχοντα λέγομεν ἀλλ' οἰκονομεῖν, ἐπιτάσσων ὥσπερ ἐξ ἀκρωρείας τινὸς καθήμενος ὅπως κατ' ἐπιστήμην καὶ φύσιν τὸ πᾶν διέπηται, καὶ περὶ μὲν τοῦ πρώτου ταῦτα, τῶν δ' ἄλλων τὰ ἑπόμενα καὶ ὅσον τὰ ἕλλογα. Χρῄζει γὰρ καὶ ὁ ἐλάχιστος βάναυσός τινος λογικότητος. Ὅς γοῦν οὕτως, ὡς εἴρηται, βιοτεύει, μακάριος ὃς δ' οὐ φαῦλος. Ἐπεὶ δὲ πανταχόσε τὸ φύσει τοῦ θέσει κρεῖττον B εὑρέθη ἐκ πάντων τῶν ἐν τῷ κόσμῳ ὄντων, μηδεὶς ἀπατάσθω τιμᾶν τὸ μὴ τίμιον ἢ κοινωνεῖν αὐτῷ· μία γάρ ἐστιν ἡ ἀληθὴς εὐγένεια καὶ τιμὴ ἐν ἐμψύχοις τε καὶ ἀψύχοις ἐν λογικοῖς καὶ ἀλόγοις καὶ πᾶσιν, ἡ φύσει εὐγένεια, καὶ μία κοινωνία ἡ κατὰ φύσιν καὶ ὅσον πρὸς ἐπιστήμην, αἱ δ' ἄλλαι οὐκ ἀγαθαί. Ταῦτα γοῦν ἐξετάσαντες, πρῶτον εἴπομεν ἃ καὶ κεφαλαιωδῶς ἀπάρτι ἐν ἕκτῳ λόγῳ δηλωποιήσαντες τὴν πραγματείαν ἐντελεχῶς ἀπολύσομεν.

bens solet : quid enim est aliud amicus quam alter ipse? Nam similes cum similibus societatem constituere solent. At suscipit non similia aliquando aliquis, ut equum, bovem, canem : nemo enim cum equo communionem instituit. Et nullus non communionem init cum aliquo homine. Usu autem venit aliquando, ut homo cum aliquo homine communionem non ineat, sed eum suscipiat, ut miles aliquis hyeldopsum suscipit, sed non communionem init : at cum milite aliquo communionem init, cum equo vero aut lapide, aut unione aut aliqua ejusmodi re non init communionem aut societatem. Præterea, cum alimentis communionem init propter corporis constitutionem, sed est aliquod discrimen. Alii enim alios sibi cibos optant. Nemo vero non participat alimentum, aut ipsum suscipit; atque ex alimentis intelligunt omnes esse naturam et temperationem : ac naturam quidem temperatione esse præstantiorem. Nam discrimen alimentorum ad aliquem finem spectat et in quibusdam consistit. Communia autem et magis ad naturam accedentia elementa sapientes sibi potius eligunt. Excellit igitur in omnibus illud quod natura est et præstat ei quod est positione. Porro, rex quoque cum medico communionem init. Tres enim sunt communicationes imperatori accommodatissimæ, philosophia, militia, medicina cum suis quæque proprietatibus. Ac nos quidem satis declaravimus quo pacto multis modis communionem illam et per omnia permeantem scientiam participare debeamus. Ipsa enim est omnium scientiarum et omnium hominum conservatrix, cujus compotem oportet esse imperatorem, quandoquidem animorum et corporum est servator et curator. Cum autem duæ sint

C artes, quæ cum illa suprema hominum corpora conservant, idque majore et minore modo : una quidem est custos totius hominis : altera vero ex parte. Nam, ut ait Homerus, vir medicus multis aliis præstat. Cum autem de duce exercitus agit. Unus, inquit, est instar innumerabilium, nimirum est unus omnes : neque enim dixit μύριοι, sed μυρίοι. Quod satis intelligitur ex eo quod dicit, omnes. Ars igitur militaris est prima quam deinde consequuntur reliquæ : et qui natura est dux : secundum vero ab illa medicinam esse judicamus cum aliis, quæ consequuntur communionem inire non debet imperator, sed illas regere tanquam ex arte quadam imperans, ut omnia ex scientia et natura efficiantur. Ac de prima quidem scientia hæc dicta sint. Aliæ vero consequuntur quo magis cum ratione conveniunt. Nam ars vel minima sedentaria rationis ope indiget. Qui igitur ita vivit (ut dictum est) beatus est : qui aliter, miser. Quoniam autem ex omnibus quæ in universo mundo D sunt illud quod natura constat præstantius esse, eo quod positione constat, compertum est : nemo in errorem inducatur ut colat illud, quod non est colendum, illudque participet. Una enim vera nobilitas est, verusque honor in animatis et inanimatis, in ratione præditis et rationis expertibus, nempe illa nobilitas quæ natura constat, et una communicatio est, nempe illa quæ ex natura est : idque quatenus ad scientiam requiritur, aliæ vero non sunt bonæ. Hæc igitur primum a nobis investigata attulimus quæ summatim in sexto sermone sequenti complexi, tractationem hanc omnibus numeris absolutam reddemus.

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΛΑΣΚΑΡΙ

ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΟΥΚΑ

ΤΗΣ ΦΥΣΙΚΗΣ ΚΟΙΝΩΝΙΑΣ

ΛΟΓΟΣ ΕΚΤΟΣ.

—

THEODORI LASCARIS

FILII SUMMI IMPERATORIS DOMINI JOANNIS DUCÆ

DE NATURALI COMMUNIONE

SERMO SEXTUS.

—

Ἀναγκαῖαι καὶ πρῶται πάντων φύσις καὶ ἐπιστήμη· τῇ μὲν γὰρ συνάγεται πᾶσα κρᾶσις, τῇ δὲ πᾶσα παιδεία· αἷς ἐστι τὸ φύσει τε καὶ τὸ θέσει. Λέγω δὲ φύσει πᾶν ὅ τι καλὸν, θέσει δὲ τὸ δεικτικὸν καλοῦ καὶ μὴ καλοῦ καὶ κακοῦ. Πότερον οὖν τὸ φύσει πολλαχῶς τοῦ θέσει ἀποδειχθὲν τιμιώτερον δηλοποιεῖν ὅτι καὶ τὸ κατ' ἐπιστήμην τοῦ κατὰ τέχνην ἐστὶ τιμιώτερον; Ὡς γὰρ εἰς φύσιν κρᾶσις, οὕτω δὴ καὶ εἰς ἐπιστήμην τέχνη, καὶ ὡς τιμιωτέρα κράσεως φύσις, οὕτω τιμιωτέρα τέχνης ἡ ἐπιστήμη· διὰ τοῦτο καὶ τὸ κατ' ἐπιστήμην γιγνόμενον τιμιώτερόν ἐστι τοῦ κατὰ τέχνην γιγνομένου, ὡς καὶ τὸ κατὰ φύσιν τοῦ κατὰ κρᾶσιν. Δεῖ γοῦν διὰ ταῦτα ἀρετῆς κοινωνεῖν· τοῦτο γὰρ μίγμα καὶ ἐπιστήμης καὶ φύσεως. Δεῖται γὰρ αὕτη τῶν ἀμφοτέρων· ὅσον γάρ τις εὖ γε φύσεως ὤν, εἰ μή τοι καὶ ἐπιστήμην ἢ μέρος καὶ οἷον ἀπήχημα ταύτης ἔχει, οὐκ ἂν ποτε ἀρετὴν ἐργάσεται ἀν, ὥσπερ οὐδὲ ὁ μόνον ἐπιστήμης ἀκούσας, οὐκ ἔχει δὲ φύσιν ἐργάσεται ἀγαθόν. Ἀδύνατον δὲ ἐπιστήμην εἰδέναι τινὰ καλῶς κἀγαθῶς, εἰ μὴ καὶ φύσιν ἔχει πάνυ χρηστήν. Ὑποβάθρα μὲν οὖν ἐστι φύσις καὶ οἷον ὕλη, ἐπιστήμη δὲ εἶδος οἷον καὶ ἔκφανσις. Ὥσπερ γὰρ καὶ λίθους ἀδιαφόρους τῷ σχήματι βλέπομεν καὶ εὖ γε μάλα ἑτέρους μονοειδῶς ἐσχηματισμένους, καὶ διακρίνομεν ὅπως ἐκεῖσε τὸ εἶδος τὴν ὕλην ἐμ . . . . . ἢ φυτὰ ἢ ἑτερά τινα, οὕτω δὴ καὶ τοὺς βίους διακρίνειν δυνάμεθα, εἴθ' οὕτως καὶ κοινωνεῖν τοῖς βιοῦσιν· εἰς γὰρ τὰ σφαιροειδῆ ἢ τετράγωνα σχήματα ἔχοντα νοοῦμεν ὅτι ἀγαθῶς ἐκεῖσε τὸ εἶδος

Omnium rerum maxime necessariæ et primæ sunt natura et scientia; ad illam enim omnis temperatio revocatur, ad hanc omnis eruditio: quibus deinde inest illud quod natura est et constat et quod positione. Quod natura constat illud appello, quodcunque honestum est et bonum. Quod positione constat illud appello, quod honestum et non honestum atque malum suscipere potest. Utrum igitur quod natura constat præstantius esse eo, quod positione multis modis demonstratum est? Quod si verum est manifestum erit, illud quod est ex scientia eo quod est ex arte, esse præstantius. Ut enim temperatio se habet ad naturam: ita quoque ars se habet ad scientiam. Et ut natura est temperatione præstantior, ita etiam scientia est arte præstantior. Quamobrem illud quod ex scientia efficitur præstantius est eo quod ex arte efficitur, ut etiam illud quod est ex natura præstantius est eo quod est ex temperatione. Quare oportet nos virtutis esse participes; hæc enim est naturæ et scientiæ admistio. Natura enim utraque, nempe virtute et scientia eget. Nam quo aliquis est natura feliciore, nisi scientiam aut scientiæ partem, aut ipsius scientiæ imaginem quamdam habeat, nihil unquam poterit ex virtute agere, ut etiam qui scientiam duntaxat percepit, nec habet naturam, boni nihil præstare potest. Fieri autem nequit ut aliquis bene et laudabiliter scientiam teneat, nisi natura omnino bona sit præditus. Natura igitur velut fundamentum et materia; scientia vero est forma et veluti patefactio. Ut enim lapides figura non differentes cernimus et alios artificiose et uniformiter figuratos, atque discernimus quo pacto illic forma materiam informavit, tum plantas, tum etiam quælibet alia, ita quoque vivendi genera discernere possumus: deinde cum hoc aut illo modo viventibus communionem habere. Cum enim animadvertimus formam illam de bonitate prædican-

ἐμόρφωσεν ἢ τὰ τρίγωνα, ἐξαίρετον δὲ τὸ πρῶτον καὶ οἷον ὅλην τὴν τοῦ εἴδους ἔχον ἰσχύν· ἐπειδὴ δὲ πᾶσα ἡ αὐτοῦ ἐπιφάνεια πρὸς τὸ κέντρον ἢ πρὸς ὄγκον ἐξίσου ἐκδέχεται λεῖψιν ἢ ἐπίτασιν, οὐκ ἄνισοι συμβῶσιν εὐθεῖαι αἱ πρὸς τὸ κέντρον ἐρχόμεναι, οὔτε μὴν αἱ πρὸς τὸν ὄγκον τεινόμεναι διὰ τὴν πρόσθεσιν ἢ τὴν λεῖψιν, ἀλλ' ἴσαι ἀλλήλαις μένουσιν. Ἀλλὰ καὶ πᾶσα διάμετρος περαιουμένη διὰ τοῦ κέντρου αὐτοῦ ἴση ταῖς πάσαις ἐστὶ, κἂν τοῦ ἐλάττονος, κἂν τοῦ μείζονος. Πρῶτος μὲν οὖν τὸ εἶδος κατὰ ποιὸν κρειττόνως τὴν σφαῖραν ἐμόρφωσε, δευτέρως δέ γε τὸ τετράγωνον, διαφέρει δὲ ὅτι τὸ μὲν ἀεὶ καὶ παντα-



χόθεν, τάς τε διαμέτρους τὰς τε πρὸς τὸ κέντρον εἰσερχομένας γραμμὰς, διδλόν φέρει ἐξίσου, τὸ δὲ τὰ μὲν μέρη ἴσα ἔχει καὶ, εἰ τέμνοιτο, ἢ αὖξοιτο, ἴσα καὶ πάλιν ἔχει τὰ μέρη, πλὴν τὰς διαμέτρους ἀνίσους πρὸς τὸ κέντρον ἔχει τε καὶ ἴσους. Ἐπειδὴ γὰρ αἱ μὲν σχηματισθεῖσαι ἴσον αὐτὸ καὶ πάλιν ποιοῦσιν, αἱ δὲ τούτου διπλάσιον, δεῖξαι δὲ δεῖ οὕ-

B

C

D

τως αὐτὸ, ἔστω τὸ Α Β Γ Δ τετράγωνον, διάμετροι δὲ ἡ Β Γ Ν Ω τέμνουσι δὲ συζευγνύμεναι αὗται κατὰ τὸ κέντρον Χ τὸ ὅλον εἰς τε δύο τραπέζια καὶ τρίγωνα θ' ὡσαύτως δύο, ἐκβεβλήσθω ἡ Ν Α ἕως τῆς Σ· ἔστω δὲ ὡς ἡ Ν Α ἡ Α Σ· ἐκβεβλήσθω δὲ καὶ ἡ Ω Γ καὶ ἡ Γ Ψ ὡς ἡ Α Γ· ἀχθήτωσαν δὲ καὶ ἀπὸ τοῦ κέντρου εὐθεῖαι πρὸς τὰ Θ Μ καὶ αὖθις ἐκβεβλήσθω



ἡ Θ ἕως τῆς Σ ὡς τὸ Θ καὶ τὸ κέντρον Χ ἀχθήτω δὲ καὶ ἡ Σ Ρ ἕως τῆς Ψ· καὶ ἔστι τὸ τῆς Ν Ω διαμέτρου, ἴσας ἔχον τετράγωνον τὰς πλευρὰς ἴσον τῷ Α Β Γ Δ τετραγώνῳ. Ὡς γὰρ μέσον τῆς Ν Ω τὸ Χ κέντρον, οὕτως δὴ καὶ τῆς Β Α μέσον τὸ Ν ὡσαύτως δὲ καὶ τῆς Δ Γ τὸ Ω, ἀλλὰ καὶ τῆς Γ Α τὸ Θ καὶ τῆς Β Δ τὸ Μ. Ἐπεὶ δὲ τὸ Μ Χ διάστημα ἴσόν ἐστι τῷ Χ Θ καὶ τὸ Θ Ρ ἴσόν ἐστι τῷ Χ Μ τὰ δὲ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσά ἐστι, καὶ τὰ ἄρα Μ Χ, Χ Θ, Θ Ρ, διαστήματα ἴσα ἀλλήλοις ἐστὶ, καὶ ἐπὶ τὸ Χ κέντρον

dam, informasse globosas, triangulares, et quadratas figuras, tum illud in mentem revocamus quod diximus. Est autem prima illa figura sphærica præstantissima, quæ veluti totam formæ vim obtinet. Quoniam enim tota ipsius superficies ad centrum, et ad molem est æqualiter composita et æqualiter suscipit subtractionem et additionem, sane rectæ lineæ, quæ ad centrum deferuntur, inæquales esse non poterunt, neque etiam illæ quæ ad molem tenduntur, sive addas sive adimas, sed æquales inter se manebunt. Quin etiam omnis diameter ducta per centrum ipsius, est æqualis omnibus diametris, tum in minore, tum etiam in majore globo. Primum igitur forma ex qualitate præstantius globum informavit. Secundo loco quadratum. Differunt autem inter se, quod sphæra omni ex parte diametros et ad centrum ductas lineas habeat æquales. Quadratum vero partes habet æquales et sive secetur sive accretionem suscipiat, æquales rursus habet partes exceptis diametris quos per centrum ductas partim æquales habet, partim inæquales, quandoquidem ex diametris quadratorum quædam in figuras redactæ æquale quadratum rursus efficiunt, aliæ vero duplum. Quod hoc modo demonstrandum est. Esto ABCD quadratum, diametri vero duo BC, NO quæ secent in centro P. Totum quadratum in duo trapesia eodem-

que modo in duo triangula. Linea autem NA producatur usque Q. Esto autem linea AQ [illegible],



Producatur quoque linea OC usque ad S et esto linea CS ut linea OC. Præterea ducantur lineæ rectæ a centro ad T et M, ac rursus T producatur usque ad R : sitque centrum P ut centrum T; producatur etiam linea QR usque ad S : quadratum diametri NO latera æqualia habens erit æquale quadrato ABCD. Ut enim diametri NO centrum est P, ita etiam lineæ BA medium N : eodemque modo lineæ DC medium est O. Præterea lineæ CA medium est T, et lineæ BD medium est M. Quoniam autem intervallum quod est inter M et P æquale

ἐστὶ τοῦ Α Β Γ Δ τετραγώνου, οὗ διάμετροι αἱ Ν Ω Α
Μ Θ ἔστι δὲ διαστήματα ἴσα τῇ Μ Χ, Χ Θ, Θ Ρ
ἀναγκαίως καὶ τὸ Θ κέντρον ἐστὶ τοῦ Ν Ω Ψ Σ καὶ
ἐπεὶ ὡς πρὸς τὸ Χ τὸ Α Β Γ Δ ἐστὶν, ἀλλὰ καὶ τὸ Ν
Ω, Ω Θ καὶ πρὸς τὸ Θ τὸ Ν Ω Ψ Σ, ἀλλὰ καὶ τὸ Α Γ
Χ Ρ, καὶ τὸ Ν Σ Ψ Ω, ἄρα τετράγωνον τὸ ἐκ τῆς Ν Ω
διαμέτρου συνεστακὸς, ἴσόν ἐστι τῷ Α Β Γ Δ τετρα-
γώνῳ· ὧν γὰρ ἴσα τὰ μέρη, καὶ ἴσά ταῦτά ἐστι. Τὸ
ἄρα τῆς ἐκ τῆς γραμμῆς ἀρχομένης Ν Ω διαμέτρου
τετράγωνον, ἴσας ἔχον πλευρὰς, ἴσόν ἐστι τῷ Α Β Γ Δ
τετραγώνῳ οὗπερ ἐστὶ διάμετρος ἡ Ν Ω. Καὶ ἐδείχθη
παρ' ἡμῶν τοῦτο καθὼς ἔδει. Δειχθήσεται δὲ καὶ τὸ
διπλάσιον. Ἔστι δὲ οὕτως·

β'. Ἡ τοῦ τετραγώνου διάμετρος τρισὶν ἴσαις
ταύτῃ συζευχθεῖσα εὐθείαις διπλάσιον ποιήσει τε-
τράγωνον, οὗ ἐστὶ διάμετρος. Δεῖ δὴ δεῖξαι ὅτι
αὐτὴ ἡ διάμετρος τρισὶν ἴσαις ταύτῃ συντεθεῖσα
πλευραῖς, διπλάσιον ποιήσει τετράγωνον τοῦ οὗ ἐστὶ
διάμετρος. Γεγράφθω τὸ Α Β Γ Δ τετράγωνον, καὶ
ἀχθήτω διάμετρος ἡ Β Γ καὶ ποιήσει ὁμοια τὰ Β Δ,
Γ Α, Β Γ. Ἤχθω ἀπὸ τῆς Β Γ διαμέτρου γραμμὴ
εὐθεῖα ἐπὶ τὴν Κ ἴση ταύτῃ, ὡσαύτως καὶ ἀπὸ τῆς
ἐπὶ τὴν Α ἴση ταύτῃ, ἀλλὰ δὴ καὶ ἀπὸ τῆς Α ἐπὶ
τὴν Γ κατὰ τὸν αὐτὸν λόγον, καὶ ἀπὸ τῆς Γ ἐπὶ τὴν
Β, τετμήσθω δὲ κατὰ διαμέτρου τὸ ἐκ τούτων τετρά-
γωνον· ἤχθω γοῦν ἀπὸ τῆς Β ἐπὶ τὴν Α διάμετρος,
ἀλλὰ καὶ ἀπὸ τῆς Γ ἐπὶ τὴν Κ αἱ τέμνουσι κατὰ τὸ Δ
κέντρον ἀλλήλας. Εἰ ἄρα Γ Β τῇ Β Κ ἴση ἐστὶν, ὑπ-
άρχει δὲ βάσις τοῦ Β Γ Δ τριγώνου, καὶ ἡ Β Κ βά-
σις ἐστὶ τοῦ Δ Κ Β τριγώνου, καὶ ἡ ἄρα Γ Δ πλευρὰ,
ἴση ἐστὶ τῇ Β Δ καὶ Κ Δ ἴση ἐστὶ τῇ Δ Β πλευρᾷ, καὶ
ἡ Β Δ ἴση ἐστὶ τῇ Γ Δ. Ὧν δὲ αἱ πλευραὶ ἴσαι, καὶ
αἱ βάσεις ἴσαι, ἴσαι καὶ αἱ γωνίαι· ὧν γὰρ ἴσα τὰ
μέρη, καὶ ταῦτα ἴσά ἐστι. Τῷ ἄρα Γ Β Δ τριγώνῳ
ἴσόν ἐστι τὸ Β Κ Δ τρίγωνον. Ἐπεὶ γοῦν τὸ Β Δ ἴσόν
ἐστι τῷ Γ Β Δ τριγώνῳ, ἔστι δὲ ἥμισυ τοῦ Α Β Γ Δ
τετραγώνου τοῦτο, καὶ τὸ Δ Β Γ τρίγωνον τοῦ Β Γ
Λ Κ τετραγώνου ἴσόν ἐστι τῷ Α Γ Β τριγώνῳ. Καὶ
ἐπεὶ τοῦ μὲν Β Κ Λ Γ τετραγώνου τὸ Κ Δ Β τρί-
γωνον τέταρτόν ἐστιν· ὑπάρχει δὲ ἴσον τῷ Β Γ Δ
τετραγώνῳ καὶ τὸ Δ Β Γ. Ἄρα τετάρτου τοῦ Β Κ Λ
Γ τετραγώνου ἴσόν ἐστι τῷ Α Β Γ τριγώνῳ τῷ τοῦ
Α Β Γ Δ ἡμίσει. Ἐπεὶ γοῦν τὰ τοῦ Β Κ Λ Γ δύο τέτα-
ρτα ἴσά εἰσι τοῖς δυσὶν ἡμίσεσι τοῦ Α Β Γ Δ οὗ ἐστι
διάμετρος ἡ Γ Β, καὶ τὸ Β Κ Λ Γ διπλάσιόν ἐστι τοῦ
Α Β Γ Δ· ὃ γὰρ οὗ ἴσον ἥμισυ, τὸ ὅλον αὐτοῦ διπλά-
σιον· ἡ ἄρα τοῦ τετραγώνου τῶν γωνιῶν διάμε-
τρος τετραγώνου τεθεῖσα πλευρὰ διπλάσιον αὐτὸ
ποιεῖ, τοῦ οὗπερ ἐστὶ διάμετρος, ὅπερ ἔδει δεῖξαι.

γ'. Οὐχ οὕτως δὲ καὶ ἐπὶ τῆς σφαίρας, ἀλλ' ἄλ-
λως, καὶ διὰ τοῦτο ἄρα μονοειδέστερον τὸ κυκλικὸν
σχῆμα τοῦ τετραγώνου τε καὶ ἰσότερον. Ἐκεῖ γὰρ

est intervallo quod est inter PT, erit quoque TR
æquale ipsi PM. Atqui quæ eidem sunt æqualia, illa C
sunt inter se æqualia. Quare intervalla MP, PT,
TR, æqualia inter se erunt. Et quoniam P est cen-
trum quadrati ABCD, cujus diametri sunt NO,
MT, sunt autem intervalla MP, PT, TR, æqualia
inter se, necessario T centrum erit quadrati NOSQ.
Et quoniam ut se habet ABCD quadratum ad
suum centrum P : et præterea NO, MT ad idem
centrum : ita quoque NOSQ se habet ad T, cen-
trum : et præterea AC, PR : quadratum ergo NQ,
SO, quod ex diametro NO constitutum est æquale
quadrato ABCD. Quorum enim partes sunt æqua-
les, et ea inter se æqualia. Quadratum ergo quod
ex diametro NO, tanquam linea initiali, constitui-
tur, latera æqualia habens, est æquale quadrato
ABCD, cujus diameter est NO. Atque hoc a nobis D
demonstratum est ut est ut oportuit. Demonstrabi-
tur etiam ex altera diametro duplum quadrati effici
hunc in modum.

2. Quadrati diameter tribus sibi æqualibus rectis copulata, efficiet quadrati, cujus est diameter duplum. Oportet autem demonstrare hanc ipsam diametrum hac ratione cum æqualibus sibi lateribus conjunctam, effecturam duplum quadrati illius cujus est diameter. Describatur A B C D quadratum. Ducatur diameter B C et efficiat similia B D C A. Ducatur ab eadem B C diametro linea recta in K quæ sit ipsi diametro æqualis. Eodem modo K in L quæ sit illi æqualis, præterea L in C eadem ratione, et a C in B; secetur vero diametris quadratum ex his constitutum. Ducatur igitur a B in L diameter : præterea A C in K quæ in centro D sese mutuo secent. Si igitur C B est æqualis lineæ B K, est autem ipsa basis trianguli B C D : est quoque B K basis trianguli D K B. Ergo latus C D est æquale lateri B D et latus K D est æquale lateri B D, et latus B D est æquale lateri C D. Quorum vero latera sunt æqualia et bases sunt æquales, anguli quoque sunt æquales. Quorum enim partes sunt æquales et illa quoque inter se sunt æqualia. Ergo triangulo C B D æquale est triangulum B K D. Quoniam igitur triangulum B K D est æquale triangulo C B D. Est autem dimidium quadrati A B C D. Triangulum quoque D B C quadrati B C L K est æquale triangulo A C B. Et quoniam quadrati quidem B C L K triangulum K D B tertia pars est, est autem æquale triangulo A B C D. Quarta pars ergo quadrati B K L C, quæ est D B C, est æqualis triangulo A B C, quod est dimidium quadrati A B C D. Quoniam igitur duæ quartæ partes quadrati B K L C, sunt æquales duabus dimidiis partibus quadrati A B C D cujus est diameter C B, colligitur B K L C esse duplum quadrati A B C D. Nam cujus dimidium est æquale alteri toti, totum illius dimidii est alterius duplum. Quare diameter angulorum quadrati facta quadrati latus duplum efficit illius cujus est diameter, quod oportuit demonstrare.

3. Sed in sphæra non ita, sed aliter se res habet: atque ideo figura circularis est magis uniformis et magis æqualis, quam triangulum. Nam in circulo

καὶ αἱ διάμετροι καὶ αἱ πρὸς τὸ κέντρον εὐθεῖαι καὶ ἡ ἐκ τοῦ κέντρου κἂν ἐλαττῶνται, κἂν αὔξῃ, ἀεὶ ἴσαι εἰσί, τὸ δὲ τετράγωνον κατὰ τὰς διαμέτρους οὐχ οὕτως ἔχει. Ἡ γὰρ ἐκ τῆς γραμμῆς ληφθεῖσα διάμετρος τεθεῖσα πλευρὰ ἴσον τῷ οὗ ἐστι διάμετρος ποιεῖ τετράγωνον, ἡ δὲ κυρίως διάμετρος ἡ ἐκ τῶν γωνιῶν ποιεῖ διπλάσιον. Εἶπω δὲ καὶ ἄλλο, ὅπως δείξω ὅτι τὸ εἶδος χρειττόνως τὸ κυκλικὸν εἰδοποίησε σχῆμα τοῦ τετραγώνου καὶ πάντων πρὸς τὸ δεῖξαι, ὅτι τὰ τοῦ κύκλου μέρη ἅπαντα ἴσα πρὸς τὸ κέντρον καὶ αὐτοῦ τετραγώνου· δεῖ δὲ τέμνειν διὰ τῶν διαμέτρων αὐτῶν καὶ δεῖξαι ὅτι ἴσα τὰ μέρη πάντα αὐτοῦ. Ἔστω ὁ Β Γ κύκλος, κέντρον δὲ τούτου τὸ Χ. Διαστήματα δὲ τὸ Α Γ Β Δ καὶ ἤχθω ἀπὸ τῆς Α περατουμένη εὐθεῖα ἐπὶ τὴν Γ διὰ τοῦ Χ, ὡσαύτως καὶ ἀπὸ τῆς Δ ἐπὶ τῆς Β αἵ εἰσι τοῦ Β Γ κύκλου διάμετροι. Κέντρῳ δὲ πάλιν τῷ Β, κύκλος γεγράφθω ὁ Ν Η, διάμετρος δὲ ἡ Χ Ν, ἑτέρα δὲ ἡ Φ Η. Ὡσαύτως δὲ κέντρῳ τῷ Δ κύκλος γεγράφθω ὁ Χ Θ, διάμετρος δὲ ἡ Λ Θ, ἑτέρα δὲ ἡ Ρ Χ. Καὶ αὖθις κέντρῳ τῷ Γ, κύκλος γεγράφθω ὁ Η Μ, διάμετρος δὲ ἡ Χ Μ, καὶ ἄλλη ἡ Θ Η. Καὶ πάλιν κέντρῳ τῷ Α, κύκλος γεγράφθω ὁ Φ Χ, διάμετρος δὲ ἡ Ε Χ, καὶ ἑτέρα ἡ Λ Φ. Λέγω γοῦν ὅτι τὰ τῶν τοῦ Β Γ κύκλου πέρατα διαμέτρων Β Γ Δ Α κέν-

A τρα ἐστὶ τῶν Φ Ν Η Η Μ Θ Θ Ρ Λ Λ Ε Φ κύκλων, καὶ ἁπάντων τούτων πέρας τὸ Χ Τὰ γοῦν τοῦ Β Γ



B κύκλου πέρατα τῶν διαμέτρων Β Γ Δ Α κέντρα ἐστὶ τῶν ἑτέρων κύκλων, τὸ δὲ Χ πέρας αὐτῶν. Ἐπεὶ δὲ πέρας τῶν Β Ρ Γ Δ Α κέντρων ἐστὶ τὸ Χ ὑπάρχει δὲ τὸ τῶν ἡμίσεων αὐτῶν διαμέτρων, ἀναγκαίως ὑπάρχει καὶ τὰ Ν Μ Ρ Ε πέρατα τῶν ἐκτὸς ἡμικυκλίων ἡμίσεια τῶν Ν Χ Μ Χ Ρ Χ διαμέτρων·

diametri et lineæ rectæ ad centrum ductæ, et quæ a centro ducuntur, sive minor sive major fiat circulus, semper sunt æquales. At quadratum ratione diametrorum non ita se habet. C Nam sumpta illa quæ est linearum ratione diameter et latus effecta æquale quadratum efficit ejus cujus est diameter. At quæ proprie dicitur diameter, nempe angulorum ratione dicta diameter efficit quadrati duplum. Dicamus etiam aliud ut ostendamus formam circularem præstantiorem esse quadrato et aliis quibuslibet figuris. Ad ostendendum omnes circuli partes æquales esse ad centrum non autem quadrati partes : oportet secare circulum diametris ipsis. Esto B C circulus, centrum vero hujus sit X. Intervalla vero sint A C B D. Ducatur linea ab A per X quæ terminetur in C: eodem modo a puncto D in punctum B ducatur altera linea, sintque ambæ diametri circuli B C. Rursus circum centrum B circulus describitur N K : sitque D una diameter X N, altera vero H K. Eodem modo circum centrum D describatur circulus X T : sitque una diameter L T, altera vero R X. Rursum circum centrum C circulus describatur KM, sitque diameter una X M, altera vero T K. Et rursus circum centrum A circulus describatur H X, sitque diameter una E X, altera vero L H. Dico igitur in circulo B C fines seu terminos diametrorum nempe B C D A esse centra circulorum H N K, K M T, T R L, L E H, et horum omnium centrum esse X. Extremitates ergo diametrorum quæ sunt B C D A in circulo B C, sunt aliorum circulorum centra.

Circulorum vero istorum omnium terminus est X. Quoniam autem terminus diametrorum B C, D A



est centrum X. Est autem etiam centrum dimidiarum diametrorum, necessario quoque N M R E qui sunt termini seu extremitates exteriorum semicirculorum sunt dimidiæ partes diametrorum N X, M X, E X. Quoniam autem X B est dimidia diameter integræ diametri D X B, quandoquidem hujus centrum est X, B X quoque erit dimidia diameter integræ diametri N X, in circulo N H. Quoniam enim circuli A K centrum est B quorum vero dimidia sunt æqualia, tota inter se quoque sunt æqualia : sane diametri inter se erunt æquales (1). Eadem ratio est etiam aliarum diametrorum in aliis circulis. Nam diametri integræ X M dimidia pars est X E. Quoniam enim

(1) Locus in Græca mendosus est.

ἐπειδὴ δὲ τῆς τοῦ Β Ι κύκλου διαμέτρου Δ Χ Β Α ἡμισύ ἐστιν ἡ Χ Β ἐπειδὴ κέντρον ἐστὶ τούτου τὸ Χ, καὶ ἡ Β Χ ἡμισύ ἐστι τῆς Ν Χ διαμέτρου τοῦ Ν Η κύκλου· ἐπειδὴ γὰρ ὑπάρχει τούτου κέντρον τὸ Β ὧν δὲ ἴσα τὰ ἡμίσεα καὶ τὰ ὅλα ἴσά ἐστι, κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἐπὶ τῶν ἄλλων· τῆς γὰρ Α Χ Γ διαμέτρου τοῦ Β Γ κύκλου ἡμισύ ἐστιν ἡ Χ Γ ἐπειδὴ κέντρον ἐστὶ τούτου τὸ Χ, καὶ ἡ Γ Χ ἡμισύ ἐστι τῆς Μ Ι Χ διαμέτρου τοῦ Η Μ κύκλου· ἐπειδὴ ὑπάρχει τούτου κέντρον τὸ Γ· ὧν δὲ ἴσα τὰ ἡμίσεα, καὶ τὰ ὅλα ἴσα ἐστίν. Ὡσαύτως καὶ τῆς Β Χ Δ διαμέτρου τοῦ Β Γ κύκλου ἡ Χ Δ ἡμισύ ἐστι τῆς Φ Χ διαμέτρου τοῦ Χ Θ κύκλου, ἐπειδὴ κέντρον ἐστὶ τούτου τὸ Δ· ὧν δὲ ἴσα τὰ ἡμίσεα, καὶ τὰ ὅλα ἴσά ἐστιν. Ὡσαύτως δὲ καὶ τῆς Γ Χ Α διαμέτρου τοῦ Β Γ κύκλου ἡ Χ Α ἡμισύ ἐστιν, ἐπειδὴ κέντρον ἐστὶ τούτου τὸ Χ καὶ ἡ Α Χ ἡμισύ ἐστι τῆς Ε Χ διαμέτρου τοῦ Φ Χ κύκλου, ἐπειδὴ κέντρον ἐστὶ τούτου τὸ Α· ὧν δὲ τὰ ἡμίσεα ἴσα, καὶ τὰ ὅλα ἴσά ἐστι, καὶ ἡ ἄρα Ν Χ διάμετρος τῇ Β Δ ἴση ἐστὶ, καὶ ἡ Μ Χ τῇ Λ Γ ἀλλὰ καὶ ἡ Φ Χ τῇ Β Δ καὶ ἡ Ε Χ τῇ Α Γ καὶ ἑκατέρα τῇ ἑκατέρᾳ ἴσαί εἰσι· τὰ γὰρ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἴσά ἐστι, καὶ ὧν τὰ μέρη ἴσα, καὶ τὰ ὅλα ἴσά ἐστι. Καὶ τῶν ἄρα ἴσων διαμέτρων οἱ κύκλοι ἴσοί εἰσι, καὶ πάντα τὰ τοῦ κύκλου πέρατα ἴσά ἐστιν. Ἐπεὶ δὲ καὶ τὰ τῆς σφαίρας πέρατα δέχονται τοὺς αὐτοὺς κύκλους καὶ πέρατα, ὧν θάτερα θατέρους καὶ κατὰ τῆς σφαίρας μέρη πάντα ἴσά ἐστι, καὶ πᾶσα ταύτης διάμετρος τῷ ταύτης κέντρῳ

περαιουμένη· Ἀλλὰ καὶ ἣν συστήσεις σφαῖραν ἴση ἐστὶ τῇ ἧς ἐστι διάμετρος, καὶ ὃ σχῆμα ποιήσουσιν αἱ τῆς διαμέτρου εὐθεῖαι ταύτῃ ἴσόν ἐστι, καθὰ δὴ καὶ τοῦ κύκλου· συνέστησαν γὰρ αἱ Θ Γ Η Φ Β Η Λ Α Φ Θ Δ Λ τῶν κύκλων διάμετροι τὸ Φ Η Θ Λ τετράγωνον, τοῦτο δὲ ποιήσουσι καὶ αἱ τῆς σφαίρας διάμετροι ὅπερ ἔδει δεῖξαι.

δ'. Τοῦτο δὲ οὐχ εὕρῃ τις εἰς πᾶσαν γραμμὴν καὶ τὸ μὴ τοῦ τετραγώνου τὰς διὰ τοῦ μέσου καὶ κέντρου ἠγμένας, καὶ αὖθις πρὸς τὸ δεῖξαι ὅτι οὔτε ἴσον τῷ τετραγώνῳ πᾶσα διάμετρος διὰ τοῦ κέντρου καὶ μέσου ἠγμένη, τὸ αὐτὸ ποιεῖ οὗ διάμετρος, οὔτε ἕτερον ἴσον καὶ τῷ αὐτῷ· δεῖ γοῦν ἀνίσους τὰς τοῦ τετραγώνου δεῖξαι διαμέτρους· καὶ τὰ ἐκ τούτων



μενα σχήματα, εἴτε κύκλους εἴτε τετράγωνα. Ἔστω τὸ Α Β Γ Δ, προαπεδείχθη ὅτι ἡ Β Γ διάμε-

circuli K M centrum est C, integræ diametri M X dimidia pars erit C X in circulo K M. Quoniam enim hujus circuli centrum est C: quorum vero dimidia sunt æqualia, tota etiam sunt æqualia, etc., ut dictum est, de diametro B X D in circulo B C. Eodem modo X D est dimidia pars integræ diametri circuli X T R. Quorum vero dimidia sunt æqualia, etc. Et ut C X A integræ diametri in circulo B C dimidia pars est X A, quandoquidem centrum hujus circuli est X, ita in circulo quoque H X erit A X dimidia pars integræ diametri E X. Quorum autem dimidia sunt æqualia inter se, tota quoque sunt æqualia. Quare diameter N X erit æqualis diametro B D et diameter M X erit æqualis diametro A C. Præterea diameter R X erit æqualis diametro D B, et diameter E X similiter æqualis diametro A C, et singuli singulis æquales sunt. Quæ enim eidem sunt æqualia, inter se sunt æqualia. Et quorum partes sunt æquales, integra quoque inter se sunt æqualia. Circuli ergo æqualium diametrorum sunt æquales, et omnes circuli extremitates sunt inter se æquales. Quoniam autem sphæræ extremitates eosdem circulos capiunt, quorum singillatim partes inter se sunt æquales, eorum quoque omnes simul partes erunt æquales et quælibet hujus diameter illius centro terminabitur. Quin etiam si sphæram constituas, erat æqualis sphæræ, cujus diameter est æqualis, et quam figuram efficient rectæ diametri lineæ, ea ipsa figura erit ex

illa ratione æqualis diametris ut etiam diametri circulorum erant æquales. Nam circulorum diametri fuerunt T C K, H B K, L A H, T D L, ex quibus fit quadratum H K L T. Hoc autem efficiunt sphæræ diametri, quod oportuit demonstrare.

4. Hoc autem quod in circulo ostendimus, non cadit in omnem lineam quadrati, et omne quadrati segmentum, quæ per medium et centrum ducuntur. Atque hoc idem valet ad probandum, non omnem quadrati diametrum per centrum et medium ductam idem quadratum efficere cum eo cujus est diameter, neque omnem quadrati diametrum alterum efficere quadratum æquale ei cujus est diameter. Oportet



igitur ostendere inæquales esse quadrati diametros: esse quoque inæquales figuras, quæ ex his confi-

ἀμέτως ἀλλήλων κοινωνεῖν, τὰς δὲ διὰ τῶν ἐν μέσῳ τῶν πόρρω καὶ ὅσαι μὴ ἐγγίζουσιν αὐταῖς. Ψυχὴ μὲν γὰρ νοερὰ πρώτη, οὐκ αὐτὸ δὲ τοῦτο, τὸ [63] εἶναι ψυχή. Ἐπεὶ κατά γε τοῦτο οὐχ ἡ μὲν μᾶλλον, ἡ δ' ἧττον· πᾶσαι γὰρ ἐξίσου ψυχαί· ἀλλ' ὅτι ἀκήρατος, καὶ ἀεὶ ζῇ καὶ νοεῖ καὶ γνησίως ἔχει πρὸς τὸ πρῶτον αἴτιον, καί γε τὰς περὶ αὐτὸ [64] φύσεις καὶ νοερὰς. Δευτέρα δ' αἴσθησις καὶ ἡ κατὰ ταύτην ψυχή, ἅτε δὴ καὶ δεκτικὴ [65] τῆς πρώτης, καὶ δυναμένη συμμίγνυσθαι ταύτῃ, καὶ συναναχερᾶσθαι, καὶ μετ' αὐτῆς ἐνεργεῖν. Τρίτην δὲ θετέον, τροφῶν μόνον ἀντιληπτικήν (22). Εἰ δέ γε καὶ αἰσθήσεως καὶ αὐτῆς δὴ ταύτης τῆς θρεπτικῆς ἔστιν ἕτερον μέσον, ἀτελὲς μὲν τὴν αἴσθησιν καὶ ὀλίγον αὐτῆς μετέχον, τὸ δὲ λοιπὸν [66] ἅπαν κατὰ τὰ φυτά· καὶ οὕτω δὴ μεσιτεῦον, οὐκ ἀκοινώνητον παντελῶς εἶναι ποιεῖ τὴν τῶν αἰσθανομένων φύσιν πρὸς τὴν ἐν τοῖς τρεφομένοις μόνον καὶ αὐξανομένοις ζωήν. Ἔστω δὴ οὖν καὶ τοῦτο καὶ λεγέσθω τέταρτον εἶδος ψυχῆς· καὶ γοῦν οὕτω ψυχὴ ψυχῆς ἄλλης ἄλλη προσηρτημένη [67], ἥ τε ἄνω κάτεισιν ἐπὶ τὴν παντελῶς κάτω, τῇ τῶν ἐφεξῆς μεθέξει καὶ κοινωνίᾳ, καὶ αὖτη πάλιν αὖ κάτωθεν ἄνεισιν ἐπὶ τὴν πρώτην, ἐξαφθεῖσα τῶν μέσων καὶ δι' αὐτῶν τούτων ἀνενεχθεῖσα, ὡς ἂν δὴ καὶ ὁ πᾶς κόσμος οὗτος καὶ κινήσεως καὶ ζωῆς μετέχων, συννεύσει πρὸς ἑαυτὸν ἄνω δὴ βλέπει [68] τῆς πρώτης αἰτίας οὐδαμῶς ἀπερρωγὼς (23), οὐδὲ τὸν [69] πρὸς αὐτὸν ἐν οὐδενὶ καταλύσας ἔρωτα οὐδέ γε τὴν ἔφεσιν, πάντων τῶν τοιούτων μερῶν ἐκείνου δὴ τοῦ πρώτου καὶ μόνον ὄντος ἐφιεμένων [70].

Γ'. Οὐ μὴν ἀλλὰ περὶ ψυχῆς μὲν καὶ τῶν ταύτης εἰδῶν εἴρηται· καὶ ὅτι τὸ μὲν αὐτῶν νοερὸν ὂν καὶ ἁπλοῦν ἐστι καὶ ἀθάνατον [71], τὰ δ' ἐκ συνθέσεως γεγονότα, καὶ φθορᾷ καὶ ῥεύσει καὶ λύσει δουλεύει· ἔτι δὲ καὶ ὅτι μήτε ὁ ἐν τῷ ζώῳ τοῦ ἀνθρώπου νοῦς προϋπῆρξεν αὐτοῦ τοῦ [72] ζώου, καὶ προϋφέστηκεν, μήτε τὸ ζῶον τόδε τοῦ νοῦ, ἀλλ' ὁμοῦ ταῦτα. Εἰ δ' ἐκ μιᾶς καὶ τῆς αὐτῆς ἀρχῆς καὶ κινήσεως μὴ βούλει θνητὸν ἅμα καὶ ἀθάνατον γεγενῆσθαι [73], ἀλλὰ τῶν δύο θάτερον, ἢ προϋπάρχειν δηλονότι τὸν νοῦν ἢ μηδ' ἐν ζώῳ θνητῷ εἶναι (δεῖ γὰρ τοῦ μὲν φθαρτοῦ ἄλλην ἀρχὴν καὶ αἰτίαν εἶναι, ἑτέραν δ' εἶναι τὴν τοῦ ἀφθάρτου), λεκτέον ἂν ἡμῖν εἴη καὶ περὶ τούτου τόγε δοκοῦν. Χλόην ὁρῶμεν καὶ καλάμην καὶ σῖτον· οὔτε δ' ἡ χλόη καλάμη, οὔθ', ἡ καλάμη σῖτος· πότερον οὖν ὁ σῖτος πρὸ τῆς καλάμης [74], ἢ ἡ καλάμη πρὸ τῆς χλόης, ἢ ὁμοῦ ταῦτα, καὶ χλόη καὶ καλάμη καὶ σῖτος; Εἰ μὲν γὰρ ὁ σῖτος πρὸ τῶν λοιπῶν, πόθεν γενόμενος, καὶ ἐκ ποίας ἄλλης ἀρχῆς καὶ αἰτίας ἢ ἐξ ὧν ἐκεῖνα; εἰ δ' αὐτὰ ταῦτα πρὸ τοῦ σίτου, ποίαν ἄλλην ἔσχε τὴν αἰτίαν, ἑτέραν οὖσαν τῆς προενεγκούσης τὸν σῖτον; καὶ ὅλως εἰ μὴ ἐκεῖνα, πῶς οὗτος; ἐξ ἐκείνων γάρ· εἰ δὲ μὴ οὗτος, πῶς ταῦτα; ἐξ αὐτοῦ γάρ· καὶ ἄμφω δὴ ταῦτα συνορῶμεν, τόν γε σῖτον

Variæ lectiones

[63] τὸ deest in Vat., male. [64] περὶ αὐτοῦ Vat. [65] sic Vat. Vind. male δεικτική. [66] καὶ τὸ λοιπὸν Vind. [67] προσηρτημένης Vat. male. [68] βλέποι Vat. [69] τῷ Vat. [70] ὑπ' ἐκείνου καὶ συνεχομένην addit Vat. [71] καὶ — ἀθάνατον male exsulat e Vat. [72] τοῦ abest a Vat., male. [73] καὶ σῶμα καὶ ἀσώματον add. Vat. [74] οὔθ' — καλάμης desunt in Vind.

Notæ.

(22) Ad hæc et sequentia adhiberi potest locus in *Phædro* cap. 25 : Ἡ ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου, κ. τ. λ.

(23) Id est ἀπεσχισμένος. Vid. Suid. in v. I, p. 255, ibiq. Gregorii Nazianzeni hæc, τῆς φίλης ἀπερρωγὼς συζυγίας.

πρὸ ἐκείνων, κἀκεῖνα πρὸ τούτου, καὶ οὔτε σίτου μηδαμῆ μηδαμῶς ὄντος οὐκ ἂν γένοιτο οὔτε χλόη οὔτε καλάμη, ἀλλά τινα ὄντα παρ' αὐτὸν τὸν σῖτον, οὔτε ἐκείνων μὴ γεγενημένων, γένοιτ' ἂν καὶ ἀποτεχθείη σῖτος, ὥστ' ἔστιν ὁμολογεῖν, ἐκ μιᾶς ἀρχῆς καὶ αἰτίας καὶ κινήσεως τῆς αὐτῆς ἕτερον καὶ ἕτερον εἶναι, καὶ οὐ μᾶλλον[75] πρότερον θάτερου ἢ ὁμοῦ ταῦτα. Εἰ δὲ μὴ τὸ μὲν τούτων φθαρτὸν, τὸ δὲ ἄφθαρτον, ἀλλ' οὐδ' ἡμεῖς φαμεν νοῦν καὶ ζῶον σίτόν τινα καὶ ἄχυρα (24) εἶναι, ἀλλ' ὅτι χαλεπὸν οὐδὲν τῇ φύσει, μᾶλλον δὲ τῷ δημιουργῷ ταύτης. οὐδέ γ' ἐργῶδες, ἐκ μιᾶς, ὡς εἴρηται, κινήσεως καὶ αἰτίας ἕτερον καὶ ἕτερον ἐν ταυτῷ προβάλλεσθαι. Καὶ ὡς ταῦτα τὸ μὲν μακροβιώτερον ὡς ὁ σῖτος τῆς ἧς ἔφημεν χλόης καὶ καλάμης καὶ διαρκοῦν ἐπὶ πλέον, τὰ δ' οὐ τοσοῦτον ὑφιστάμενα χρόνον, οὕτω δὴ καὶ φθαρτὸν καὶ ἄφθαρτον ὁμοῦ γεγενῆσθαι. Δύναμις γάρ τις ὥσπερ ἐν τῷ σπέρματι τοῦ σίτου ἐστὶ κειμένη τελεσιουργὸς τῶν ἐξ αὐτοῦ πάντων, τέως μὲν ἀφανὴς, ὕστερον δὲ καταφαινομένη τῶν ἐξ αὐτῆς τελεσθέντων, οὕτω δὴ δύναμις ἔστι καὶ ἐν τῇ πρώτῃ ἀρχῇ καὶ αἰτίᾳ τοῦ ζώου τῶν ὕστερον ἐξ αὐτῆς πάντων. Καὶ μέχρι μὲν ἐν αὐτῇ ταῦτα[77] ἵσταται τῇ δυνάμει, οὔτ' οὐδὲν τούτων οὐθ' ἡ δύναμις καταφαίνεται, εἰς ἐνέργειαν (25) δὲ προαχθέντα, τότε δὴ καὶ ταῦτα φανερὰ, καὶ ἡ ἔχουσα μὲν δύναμις, ἐγκρύπτουσα δὲ, ἐκ μὲν[78] τοῦ θνητοῦ μόνου ζώου, καὶ θνητὸν μόνον ζῶον, ἐκ δὲ τοῦ, τὸ μὲν θνητοῦ[79], τὸ δ' ἀθανάτου, ζῶον εἰκότως, θνητὸν ὁμοῦ καὶ ἀθάνατον.

Δ'. Ὅτι δ' ἔνεστι τῷ ἀνθρώπῳ νοῦς καθ' ἑαυτὸν ὑφεστὼς καὶ μήτι γε μηδαμῶς φθίνων, καὶ διαφέρει γε τούτῳ φύσις ἡμῶν τῶν λοιπῶν ζώων καὶ ἀνοήτων, ἐκ τῶν ἐνεργειῶν δῆλον. Τὰ μὲν γὰρ αἰσθήσει μόνῃ καὶ φαντασίᾳ ζῶσιν, ἣν καὶ ἀτελῆ δή[80] τινα νοῦν φατε, τοῦ τελείου μὲν ἐγγὺς ἰοῦσαν καὶ πρὸς αὐτὸν ἔχουσαν[81] γνησίως καί γε ἐνδάλμασί τισι πρὸς αὐτὸν[82] τείνουσι κεχρημένην, τῆς δ' αὐτοῦ φύσεως καὶ ἐνεργείας παντάπασιν ἀπολειπομένην, καὶ εἴ τι δ' ἄλογα σοφίζονται ζῶα, κατὰ ταύτην σοφίζονται[83] σωστικὸν μόνον τῆς φύσεως, καὶ τοῦ διαμένειν τὸ γένος, οὕτω τοῦ δημιουργοῦ ὄντος, ὃς δὴ καὶ εἰς τὸ εἶναι ταυτα παραγαγὼν, καὶ βούλεται ταῦτα διαμένειν καὶ εἶναι. Καὶ τοίνυν τὸ φρόνιμον αὐτῶν μέχρι τοῦ ἐξευρεῖν τραφῆναι, ἢ βλάβην ἢ ἐπιβουλὴν φυγεῖν, φθείρουσαν τὴν ζωήν. Ὡς τὰ τῆς μελίσσης ἔργα, καὶ τὰ τῶν ἀραχνῶν νήματα,

A tum; ac nisi frumentum esset, non esset herba neque calamus, sed quædam præter frumentum, et, nisi illa essent, neque esset ac gigneretur frumentum; ita ut confitendum sit ex uno principio et causa ac eodem motu aliud et aliud esse, neque potius aliud aute aliud sed ea simul. Si autem non eorum aliud est corruptibile et aliud incorruptibile, neque nos dicimus mentem et animal, frumentum quoddam et paleam esse, sed nihil esse naturæ difficile, a fortiori vero hujus creatori neque laboriosum ex uno motu et causa, ut dictum est, aliud et aliud simul produci; et quemadmodum alia quidem diutius, ut frumentum diutius quam herba et calamus, permanent, alia autem non tantum tempus subsistunt, ita et corruptibile et incorruptibile simul facta esse. Quemadmodum enim inest vis quædam in frumenti semine, quæ omnia ex eo procedentia perficit, primum quidem invisibilis, deinde autem suis productionibus manifestata, sic et vis est in primo principio et causa animalis quæ omnibus ex se procedentibus revelatur. Ac dum quidem in ea hæc subsistunt potentia, neque eorum ullum neque potentia manifestatur; cum autem effectu producta sunt, tunc et illa manifesta sunt, et quæ ea continet potentia, abscondens quidem et ex mortali tantummodo animali mortale tantum animal, ex illo autem quod ex parte mortale est, ex parte autem immortale, animal mortale simul et immortale producens.

C 4. Inesse autem homini mentem in se subsistentem neque unquam pereuntem, et ea præstare nostram naturam cæterorum animalium ac irrationabilium naturæ ex operationibus patet. Alia enim sensu tantum et phantasia vivunt, quam imperfectam quamdam mentem dicitis, perfectæ quidem propinquam cognationemque cum ea habentem, formisque ad eam tendentibus utentem, sed ejus naturæ et operationi omnino inferiorem; et si quid sapiunt irrationabilia animalia, secundum eam sapiunt quantum necesse est ut naturam servent et genus permaneat, concedente Creatore, qui ad exsistentiam adducens ea vult permanere et esse. Ac igitur eorum prudentia usque eo procedit ut cibum inveniant perniciemque ac periculum vitent D quæ vitam corrumpunt. Ut apis opera, et aranearum telæ, et gruum per somnum custodia ac

Variæ lectiones.

[75] μὴ μᾶλλον Vat. [76] θάτερον Vind., sed θατέρου in marg. [77] πάντα Vat. [78] οὖν add. Vat. [79] μόνου — τὸ μὲν θνητοῦ absunt a Vind., male. deest in Vat. [80] δὴ abest a Vat. [81] ἔχουσα male Vat. [82] πρ. αὐτ. [83] σοφίζεται h. l. Vat.

Notæ.

(24) Ἄχυρα. Sic Vat.; χόρτον Vind. Illud prætuli, quoniam alibi etiam ἄχυρον et σῖτος inter se opponuntur. Vid. Evangel. Matth. III, 12; Luc. III, 17, ibiq. interpr. tt. Χόρτον esse ex glossemate natum, hinc quoque intelligas quod Alexandrini interprr. Isai. XXX, 24, pro pabulo (χόρτῳ) usurpant. Cf. Bielii *Thes.* I, p. 271.

(25) Ἐνέργειαν Vind. Quod antea κίνησιν iterato dixit Nathanael: vid. de hoc discrimine doctum interpretem Græcum *Topicorum* Aristotelis, p. 378 Sylb., quem locum descripsit Suidas I, p. 742. Ex alio interprete Aristotelis alia exhibet Zonar. *Lex Gr.* p. 723 seq., docente Tittmanno. Sequitur ibid. p. 725 seq. luculentus in eamdem rem locus Gregorii Nysseni.

tutela contra eos qui male et insidiose vigilant, et formicarum thesauri, et granorum scissiones ac divisiones ad germinationem concisorum, et canis satiatus et ciborum reliquias abscondens, ut rursus habeat quod manducet, si nihil aliud occurrerit; et eo usque procedit amentium animalium prudentia, nihil autem ultra valet, ut neque cogitare, neque rationabiliter agere, sed neque quidquam eorum quæ ultra sensum sunt cupere, neque ad ea vel per ea studium habere possint. Hominis autem mens et inprimis est intelligens, et sensus comprimit, eosque regit, et omnem amorem et cupiditatem evacuat; qua ratione cognationem cum intelligibilibus quæ supra sunt et omni materia expertibus habet. Hæc sunt hujus qui proprie homo est, hæc sunt intelligentis animæ studia, ad quæ non aspicit neque properat ulla irrationabilis natura. Quomodo enim quæ sensibus tantum inservit neque supra eos ullo modo tolli potest aut quidquam contemplari, eadem via, qua mens, procederet? Mens enim sola cum intelligibilibus conjungitur, sensus autem nullus illa attingit, longe autem ab iis abest, neque iis qui corruptibiles sunt, curæ est quidquam incorruptibilium: anima autem immortalis neque irrationabili vita ac sensu læsa, a quonam summo desiderio expetetur nisi a semper exsistentibus? in quibus et animas Plotinus primum esse dicit, aliis motibus ad alia conversas, et inde decidere ubi versabantur, fieri ut quædam labantur, corpora ornare volentes, et ideo inferius descendere, sed re infecta inornatas evadere. Sed nos non ita; quid autem statuerimus de ipsa intelligenti anima, jam dictum est.

καὶ γερόντων καθ' ὕπνους [84] φυλακαὶ καὶ ἄμυναι κατὰ A
τῶν κακῶς καὶ σφαλερῶς φυλασσόντων καὶ μυρμήκων [85] δή τινες θησαυροὶ, καὶ τομαὶ κόκκων καὶ διαιρέσεις τὰς ἐκφύσεις ἅμα γε συντετμημένων, καὶ κύων κορεσθεὶς καὶ τὰ τῶν βρωμάτων λείψανα κρύπτων, ἵν' αὖθις ἔχῃ [86] φαγεῖν, ἑτέρων αὐτῷ μὴ γεγονότων, καὶ μέχρι δή τούτων τὸ πολὺ τῆς τῶν ἀφρόνων ζώων φρονήσεως, ἄλλο δ' οὐδὲν πλέον, οὔτε νοῆσαι δεδύνηται [87], οὔτε πρᾶξαι, ἀλλ' οὐδ' ἐπιθυμῆσαι οὐδενὸς τῶν ὑπὲρ τὴν αἴσθησιν, οὐδέ γε περὶ ἐκεῖνα καὶ δι' ἐκεῖνα οὐδεμίαν σπουδὴν θέσθαι [88], ἀνθρώπου δὲ νοῦς καὶ τὸ πρῶτον φρόνιμον, μῦσαι (26) μὲν τὰς αἰσθήσεις, ὑπεράνω δ' αὐτῶν γενέσθαι [89], καὶ τὸν ὅλον ἔρωτα καὶ τὴν ἐπιθυμίαν ὅλην [90] κενῶσαι, ὅποι δὲ [91] καὶ γνησίως ἔχει νοητῶν ὄντων τῶν ἐκεῖσε πάντων καὶ ἀκηράτων. Ταῦτα τοῦ κυρίως ἀνθρώπου, B
ταῦτα νοερᾶς ψυχῆς τὰ σπουδάσματα, πρὸς ἃ οὔτε βλέπει οὔτε φθάνει οὐδεμία φύσις ἄλογος οὖσα. Πῶς γὰρ αἰσθήσει μόνῃ δουλεύουσα, καὶ οὐδὲν ὑπὲρ ταύτην ἀρθῆναι δυναμένη οὔτ' ἰδεῖν ὅποι [92] νοῦς ἐμβατεύει (27); Νοῦς γὰρ μόνος τοῖς νοητοῖς σύνεστιν, αἴσθησις δ' οὐδεμία τούτων ἐφικνουμένη, καὶ μακρὰν αὐτῶν ἄπεστιν, οὐδὲ μέλει [93] ταύτῃ φθαρτῇ γε οὔσῃ οὐδενὸς τῶν ἀφθάρτων. Ψυχὴ δ' ἀθάνατος καὶ μὴ λωβηθεῖσα (28) μηδὲν ἐξ ἀλόγου ζωῆς καὶ αἰσθήσεως, τίνος ἂν ἄλλου, ἢ τῶν ἀεὶ ὄντων ἐν ὀρέξει καὶ πόθῳ γένοιτο; Ἐν οἷς καὶ τὰς ψυχὰς Πλωτῖνός φησι πρῶτον οὔσας, ὀρέξεσιν ἄλλαις ἐφ' ἕτερα τραπείσας, ἐκείνων τε ἐκπεσεῖν καὶ ἐν οἷς ἐγένοντο, ἔστιν ἃ; τούτων σφαλῆναι, κοσμῆσαι μὲν ταῦτα [94] βουληθεῖσας καὶ πρὸς τοῦθ' ἑκάσθαι κάτω, ὁμοῦ δ' ἀποτυχεῖν τούτου, καὶ ἀκόσμους ταύτας γεγενῆσθαι (29). Ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλ' ὅσον ἐσμὲν ἐπεγνωκότες [95] ψυχῆς νοερᾶς αὐτῆς ἕνεκεν, ἤδη λέλεκται

5. *Dicendum* nobis est et de scientia, quomodo fiat, iis qui de illa nihil sciunt, num aliud sit mentem esse, aliud scientiam esse. Etenim si necesse esset ubi vita ibi mentem esse; ubi autem mens, ibi et scientiam: si omnibus animalibus insit mens, scientia et illis inesset, geometriam, arithmeticam

ε'. Λεκτέον δ' ἡμῖν ἂν εἴη καὶ περὶ ἐπιστήμης ὅπως ποτὲ γίγνεται, μηδὲν περὶ αὐτῆς εἰδόσι, καὶ εἰ χωρὶς μὲν ἔστι [96] νοῦν εἶναι, χωρὶς δ' ἔστιν ἐπιστήμην εἶναι· καὶ γὰρ εἰ πᾶσα δήπουθεν ἀνάγκη ὅπη δὴ [97] ζωὴ, ἐνταῦθα καὶ νοῦν εἶναι· ὅπη δὲ νοῦς, ἐνταῦθα καὶ ἐπιστήμην εἶναι, ζώοις δὲ πᾶσιν ἔνεστι

Variæ lectiones.

[84] ὑπνὸν Vat. [85] μύρμηκες Vind. [86] ἔχοι Vat. [87] δεδύνηται Vat. [88] ποιῆσαι Vat. [89] γενῶσθαι Vind. [90] ἐκεῖ addit Vat. [91] ὅπη δὴ Vat. [92] ὅπη Vat. [93] μέλλει Vind. frequenti confusione. [94] ταύτας Vat. [95] καὶ addit Vat. [96] μέν ἐστι Vat. [97] ὅποι δὴ Vind. et sic ubique.

Notæ.

(26) Hæc solertiæ animalium exempla hujus ætatis scriptores a Plutarcho, Æliano, aliis hodieque obviis auctoribus sumpsisse vel unus Manuel Philes unumquemque doceat, qui Nathanaelis nostri æqualis illud carmen de proprietate animalium conscripsit.

(27) Id est, in quæ mens *penetrat* s. *inquirit*. Proprium verbi usum nullus locus disertius declarat quam hic Aristidis *Orat. in Minerv.* I, p. 10 Jebb.: Καὶ τῶν ἀνθρώπων ὅσοι θεοφιλεῖς οὐκ Ἄτη πατεῖ τὰς κεφαλὰς, Ἀθηνᾶ δὲ ἀνέχει καὶ ἐμβατεύει, τηροῦσα τὸ σύμβολον τῆς γενέσεως. (Colorem ex *Convivio* Platonico duxit Aristides, vid. cap. 18, 5, 6, p. 59 seq. Wolf.) Ille significatus *scrutandi* in Xenophontio *Symposio* obvius IV, 27. De cujus tamen loci lectione ambigunt editores. Minus jam ambigitur de interpretatione sententiæ Paulinæ epist. Coloss. II, 18, ἃ μὴ ἑώρακεν ἐμβατεύων, quam certatim expresserunt Ecclesiæ Christianæ Patres. Vid. interprett. ad l. l. et Suicer. *Thes. eccles.* t. I, p. 1097. Adde Zonaræ *Lex. Gr.* in ἐμβατεῦσαι, p. 706. Cyrilli *Lex. ms.* Brem. apud Biel. *Thes.* I, p. 516, et Jacomellum ad Joan. Chrysost. *De Sacerdot.*, p. 53 seq. Atque ipse Nathanael Apostoli verba videri possit ante oculos habuisse.

(28) Passive vulgato modo construxit verbum λωβᾶσθαι Nathanael.

(29) Præter librum Plotinianum *De genio*, quod supra monuimus, h. l. *De pulchro ipso* librum manifesto respicit Nathanael, et quidem caput octavum.

νοῦς, ἐπιστήμη ἂν καὶ ἐν τούτοις εἴη, καὶ γεωμετρεῖν ἂν εἴη ταῦτα καὶ ἀριθμεῖν καὶ δίκαιον καὶ ἄδικον καὶ καλὸν καὶ φαῦλον εἰδέναι κύνας καὶ γεράνους καὶ μύρμηκας, καὶ τὰ λοιπὰ τῶν ζώων· καὶ τί μὲν γραμμή, τί δὲ σημεῖον εἰδέναι· καί γε τοὺς περὶ τριγώνων καὶ τετραγώνων φιλοσοφεῖν λόγους, ἄλλων δή τινων αὐτῶν ἐν ἐπιστήμαις ὄντων, καὶ ἄλλων τῶν κατ' αἴσθησιν ὄντων. Καὶ πολλὰ δή τινα πολυπραγμονεῖν αὐτοῖς γένοιτο περὶ τετραγωνισμοὺς (30) κύκλων καὶ περὶ ἀστέρας δ' ἂν σφίσιν [26] γένοιτο κεχηνέναι, τροφῆς ὠλιγωρηκόσι, καὶ τοῦ βλέπειν κάτω (31), καὶ συνόδους αὐτῶν καὶ ἀποστάσεις, καὶ τὰ ἐντεῦθεν συμβαίνοντα μὴ ἀγνοεῖν ἐθέλειν, μηδ' αὖ εἴ τι ἕτερον [27] περὶ φύσεως καὶ τῶν μετ' αὐτὴν [1] ἐξεύρηται νῷ [2] καὶ λόγῳ. Καὶ δὴ τόνδε τὸν λόγον [3] Πλάτων ὁ μέγας καὶ Πλωτῖνος οὐδὲν ἂν εἶεν κυνῶν καὶ γεράνων καὶ μυρμήκων διενηνοχότες. Πῶς δὲ καὶ φαίημεν ἐν αὐτοῖς τὰς ἐπιστήμας ἀναμνήσεις εἶναι μνήμῃ μόνῃ κεχρημένοις, ἀνάμνησιν δ' ἐπ' οὐδεμίαν ἀφικέσθαι δυναμένοις; τίνι δ' αὐτῶν καὶ ἄνθρωπος ἂν ἀποσταίη [4], καὶ μὴ οὐχὶ ταυτὸν [5] εἴη οὗτός τε κἀκεῖνα, πάντων τῶν αὐτὸν ὁριζόντων τε [6] καὶ γνωριζόντων, κἀκείνοις δὴ προσόντων; Νοῦ μὲν γὰρ δεκτικὸν καὶ ἐπιστήμης αὐτὸν δὴ μόνον τὸν ἄνθρωπον ὁριζόμενοί [7] φαμεν εἶναι, λογικὸν ὄντα, καὶ τούτῳ διαιροῦμεν τῶν ἄλλων· εἰ δὲ μὴ τούτων ἄνθρωπος μόνος, ἀλλὰ καὶ τὰ ἄλογα [8] οὐδὲν ἧττον νοὸς μετέχει, καὶ λόγου ἂν μετέχοιεν εἰκότως, εἰ καὶ μὴ ἐκτός γε προχωροῦντος, ἀλλ' αὐτοῖς ἐνόντος, καὶ εἴη ἂν οὕτως οὐδαμῶς ἥκιστα διαφέρον λογικὸν ἀλόγου, καί γε νοῦν τὸν μὲν, εἰ φαμεν μετ' ἐπιστήμης εἶναι, καὶ ταύτην ἐξ αὐτοῦ εἶναι, καὶ ὁ ἐν ἡμῖν νοῦς ἔστιν οὗτος, τὸν δ' ἐν τοῖς λοιποῖς ζώοις μήτ' ἀφ' ἑαυτοῦ νοεῖν μηδ' ἐπιστήμης δεκτικὸν μηδεμιᾶς λέγοιμεν εἶναι, διαιροῦμεν ἂν οὕτως, καὶ νοῦν [9] τὸν μὲν εἰδότα καὶ δημιουργὸν ἐπιστήμης λέγοιμεν ἄν, τὸν δὲ μηδ' ὑπ' αὐτοῦ δεδυνημένον [10] τοῦ γ' ἐπισταμένου πεπαιδεῦσθαι, μήτε διδιάχθαι, καὶ εἴη ἂν ὁ τοιοῦτος νοῦς εἰπεῖν ἄνους, καὶ πάντ' ἂν ἄνω καὶ κάτω γένοιτο (32), καὶ ἀτόπως ἔχει, εἴγε λόγον μὲν ἄλογον θείημεν, νοῦν δ' ἄνουν. Ἀλλ' ἰτέον ἐπὶ τὸ πρῶτον, ὃ δὴ καὶ ζητητέον ἡμῖν ἔφαμεν [11] εἶναι, ὅπως ποτ' ἐπιστήμη δηλονότι τοῖς μηδὲν μηδαμῶς περὶ αὐτῆς εἰδόσιν ἔστιν ἐγγινομένη. Τάχα γάρ, εἰ μὴ ἐξ ἀναμνήσεως, οὐδαμόθεν ἂν ἄλλοθεν δόξειεν εἶναι· εἰ

justum et injustum, bonum et malum noscerent canes, ciconiæ, formicæ et cætera animalia. Et scirent quid sit linea et quid signum; et dissererent de triangulis et de quadratis, in quibus alia in scientia continentur, alia sensibus subjacent. Et multum inquirerent de quadratura circuli, et de stellis multa curiose investigarent, cibum dedignantes infraque spectare nolentes, earumque congressus et defectiones, et ea quæ inde accidunt ignorare nolentes, neque si quid aliud de natura et iis quæ supra naturam sunt, inveniri possit mente et ratione. Atque secundum id magnus ille Plato et Plotinus nihil a canibus et gruibus et formicis differrent. Quomodo autem diceremus in iis scientias recordationes esse, cum sola memoria utantur, neque ad ullam recordationem pertingere possint? Quomodo ab illis homo distingueretur neque unum et idem cum iis esset, si quidquid eum definit ac constituit, ad illos quoque pertineret? Mentis capacem et scientiæ solum hominem definientes esse dicimus rationabilem, et eo ab aliis illum sejungimus; si autem non modo homo, sed et irrationabilia mentis participia essent, et rationem merito participarent, non quidem extra procedentem, sed in iis exsistentem; atque ita non differret rationabile ab irrationabili, etsi mentem alteram esse diceremus cum scientia eamque scientiam ex mente, et mens nobis inest; alteram autem mentem diceremus in cæteris animalibus esse neque per se cogitare valentem neque scientiæ capacem, et divideremus ita, diceremusque mentem esse scientem et scientiæ effectricem, alteram autem, quæ non potest ab ipsa sciente doceri neque instrui, et foret talis mens quasi amens, et omnia susque deque ruerent et ridicula promeremus, siquidem rationem irrationalem ponderemus, mentem vero amentem. Sed ad primum eundum quod nobis inquirendum esse diximus, quomodo scientia in iis qui de ea nihil noverunt, effingatur. Forte enim, nisi ex recordatione, non aliunde esse videretur. Si igitur scientia nihil aliud est quam eorum quæ prius animæ nota sunt, recordatio, et priusquam anima corporibus unita sit; si, postquam unita est et corporibus commista, memoria quodammodo, simulque cum ea scientiæ cognitio abigatur, deinde rursum ad eam anima redeat memoriam et scientiæ

Variæ lectiones.

[26] αὐτοῖς addit Vat. [27] μηδ' ἂν εἴ τις ἕτερον Vat. [1] καὶ ὑπὲρ αὐτὴν addit Vat., bene. [2] νοῖ Vat. [3] καὶ γοῦν τόνδε δὴ τ. λ. Vat. [4] Sic Vat. ἀποστάλη Vind. [5] ταὐτὸ Vat. [6] τε abest a Vat. [7] αὐτὸν δὴ καὶ μόνον ὁριζόμενοι τὸν ἄνθρωπον Vat. [8] εἰ δὲ μὴ ταῦτα ἄνθ. μ. ἀλλὰ τί γε καὶ ἄλογα Vat. [9] νοῦς Vind. [10] ξεδυνημένου Vat. [11] ἔφημεν Vat.

Notæ.

(30) Neque enim ea ætate illa de quadratura circuli quæstio exstincta fuit, quæ antiquitus tot præclara ingenia exercuerat. Quorum virorum magnum sanequam numerum recenset Gerardus Vossius *De scientiis mathematicis* cap. 16, § 36, p. m. 73.

(31) Platonicum. Cæterum huic disputationi de ἐπιστήμῃ cet. adhibe Aristotelem in *Eth. Nicom.* cap. 6, p. 103 seq. Sylb.

(32) I. e. *confunderentur, perturbarentur*, ut passim usurpant optimi quique. Sed formula varie tractata et pluribus verbis addi solita, vid. Xenoph. *Cyrop.* I, 3, 4; Luciani *Timon.* p. 94; *Vitar. auct.* p. 96 Bip. Platon. *Gorg.* § 64 (p. 482. p. 115 Heind.), ibiq. Findeis. et Heind.; *Phædon.* p. 96, 172 seq. Heind. hujusque not.

recordationem, id esset firmum et omnino celebratum et validum ad hoc demonstrandum, nempe animas corporibus præexstitisse. Sed non omnino huic adhærendum, tanquam nihil opponi possit. Forte enim nobis diversum supponentibus, imo vero contrarium bene succederet. Cum enim anima sit immortalis ac semper moveatur, si ejus motus et operationes immortales cogitemus, recte cogitabimus. Quid igitur? nos ponere vis scientiam facultatem animæ esse in ea ab initio exsistentem, vel aliquid aliud ipsi postea additum, sed prinsquam corpori uniatur? Et quid hoc aliud esset præter cogitationem, et unde supervenïens, cum anima perfecta sit et perfectæ sint ejus facultates et motus? Sed nihil poter's dicere neque quidquam demonstrare. Si enim cogitatio facultas animæ est, omnes autem animæ, quæ semper in motu est, facultates immortales sunt, scientia quæ est cogitatio, et ipsa animæ facultas erit; non possumus vero prorsus eam eredere oblivione corrumpi, neque rursum corruptam et emortuam denuo quasi reviviscere. Etenim neque anima in aliis corruptionem passa est neque unquam patietur. Ex lis igitur quæ tu supponis, et id necessario accidit, ex iis autem quæ dicimus illud firme et recte demonstratum erit, nempe nullam animæ cogitationem quæ hujus facultas sit effluere, neque scientiam ipsam effluere et corrumpi. Sed neque modo inest animæ, modo non inest; reliqui enim animalis proprium est capax scientiæ fieri, anima immittente ac donante, rursumque scientiam amittere et rursum recipere ac rursum absque ea manere, et id sæpius; quod pati et aquam videmus, quæ frigida est, deinde calefacta, rursum quod erat, frigida fit; anima vero quoad scientiam ac mentem nihil tale patitur, quia neque quoad vitam patitur. Hæc enim duo essentiales animæ facultates sunt similiter se habentes, vivere nempe et cogitare, quemadmodum ignis proprium est urere et lucere, et nihil horum amittit, quandiu ignis remanet. Neque vitæ hujus ulla est corruptio neque mentis. Corruptionem autem scientiæ et quæ secundum eam est memoriæ et cogitationis supponere et cogitare nobis hoc modo non licet; non licet utique supponere ac cogitare mentem corrumpi. Est igitur semper in anima scientia omnis et quæ secundum eam est memoria et cogitatio.

A γοῦν ἐπιστήμη μηδὲν ἕτερον, ἀνάμνησις δὲ τῶν πρότερον μὲν ἐγνωσμένων ψυχῇ, καὶ πρὶν ἢ ταύτην [13] ἐνεῖναι τοῖς σώμασιν, ἐπεὶ δ' ἐνεῖται καὶ τούτοις συμπέφυρται, τῆς μνήμης ὥσπερ ἐκτριβείσης, καὶ ἡ τῆς ἐπιστήμης συνεκτέτριπται γνῶσις, εἶτ' αὖθις ἐπ' αὐτὴν ψυχὴ πάλιν ἦκει τήν τε μνήμην καὶ τὴν τῆς ἐπιστήμης ἀνάμνησιν [14], τοῦτ' ἂν εἴη τὸ καὶ γενναῖον καὶ πάνυ τι [15] θρυλλούμενον καὶ ἰσχυρὸν εἰς ἀπόδειξιν τοῦ προϋφεστάναι τὰς ψυχὰς τῶν σωμάτων. Ἀλλ' οὐ πάνυ τι τούτῳ γε προσεκτέον [16], ὡς μηδεμιᾶς ὀηλονότι μηδαμῶς ἀντιθέσεως οὔσης. Τάχα γὰρ ἄν τι καὶ ἀλλοῖον ἡμῖν [17] ὑποθεμένοις, καὶ τόγ' ἐναντίον, ὀρθῶς ἐκβαίη [17a]. ἀθανάτου γὰρ τῆς ψυχῆς οὔσης καὶ ἀεὶ κινουμένης (33), ἀθανάτους δή τινας καὶ τὰς κινήσεις καὶ ἐνεργείας αὐτῆς

B εἴπερ νοοῖμεν [18], ὀρθῶς ἂν νοοῖμεν. Τί γοῦν ἐπιστήμην ἡμᾶς καὶ βούλει τιθέναι ἐνέργειαν ψυχῆς καὶ ταύτῃ ἐξ ἀρχῆς ἐνοῦσαν, ἢ ἄλλο τι καὶ ὕστερον μὲν αὐτῇ προσγεγενημένον, πρότερον δὲ τοῦ ταύτην ἐγγενέσθαι τῷ σώματι; Καὶ τί γε τοῦθ' ἕτερον παρὰ τὴν νόησιν ὑποληπτέον, καὶ πόθεν ἐπεισιὸν ἄλλοθεν, τελείας τῆς ψυχῆς οὔσης, τελείων καὶ τῶν ἐνεργειῶν αὐτῆς καὶ κινήσεως; Ἀλλ' οὐδὲν ἂν ἔχοις εἰπεῖν, οὐδ' ἂν ἀποδείξαις. Εἰ γὰρ [19] νόησις μὲν ἐνέργεια ψυχῆς, πᾶσαι δ' ἐνέργειαι ψυχῆς ἀεὶ κινουμένης ἀθάνατοι, ἐπιστήμη δὲ νόησις οὖσα, εἰκότως ἂν καὶ ἐνέργεια ψυχῆς εἴη· οὐ δεῖ δὲ [20] πάντως ἡμᾶς οὐδὲ ταύτην νομίζειν ὑπὸ λήθης ἐφθάρθαι, οὐδ' αὖ φθαρεῖσαν καὶ ἐκλιποῦσαν

C αὖθις ὥσπερ ἀναβιώσκειν, ἐπεὶ μηδὲ [21] ψυχὴ τοῦτ' ἐν ἄλλοις φθορὰν ἔπαθεν οὐδ' οὐ μήποτε πάθῃ [22]. Ἐκ μὲν οὖν ὧν αὐτὸς ὑποτίθης, καὶ τοῦτ' ἐστὶν ἐξ ἀνάγκης συμβαῖνον, ἐκ δ' ὧν ἡμεῖς φαμεν, ἐκεῖνο μᾶλλον ἂν εἴη εὖ μάλα καὶ καλῶς ἀποδεδειγμένον, μήτε δηλονότι μηδεμίαν νόησιν ψυχῆς οὖσαν ἐνέργειαν αὐτῆς ἀπερρυηκέναι μήτ' ἐπιστήμην συναποῤῥυῆναι [23] ταύτῃ καὶ διεφθάρθαι. Ἀλλ' οὐδὲ ποτὲ μὲν ἐνεῖναι τῇ ψυχῇ, ποτὲ δὲ μὴ εἶναι· τοῦ λοιποῦ γὰρ ζώου τοῦτο δεκτικὸν μὲν ἐπιστήμης αὐτὸ γεγενῆσθαι, τῆς ψυχῆς ἐνιείσης καὶ μεταδούσης, αὖθις δ' ἀποβαλέσθαι [24] ἀναβαλέσθαι τε αὖθις καὶ χωρὶς αὐτῆς αὖθις μεῖναι, καὶ τοῦτο πολλάκις· ὃ δὴ πάθος καὶ ἐπὶ τοῦ [25] ὕδατος ὁρῶμεν, ψυ-

D χροῦ μὲν ὄντος, ἐκ δὲ πυρὸς θερμαινομένου εἶθ' ὅπερ ἦν πάλιν ψυχροῦ γεγονότος· ψυχὴ δὲ κατ' ἐπιστήμην καὶ νοῦν οὐδὲν ἂν τοιοῦτον πάθοι, ὅτι μηδὲ κατὰ τὸ ζῆν πάσχει. Ἅμφω γὰρ ταῦτα, ἐνέργειαί τινες οὐσιωδεῖς ψυχῆς καὶ ὁμοίως ἔχουσαι, ζῆν δήπου καὶ νοεῖν, ὡς καὶ τοῦ πυρὸς τὸ φλέγειν ὁμοῦ καὶ τὸ [26] φωτίζειν, καὶ οὐδὲν τούτων ἀπόλλυσι, πῦρ δήπου μένον. Οὔτ' οὖν ζωῆς ταύτης κατ' οὐδὲν οὐδεμία φθορὰ, οὔτε νοῦ [27]. Φθορὰν δέ ποθ' ἡμᾶς ἐπιστήμης καὶ μνήμης τῆς κατ' αὐτὴν καὶ νοήσεως;

Variæ lectiones.

[13] ταύτην omis. Vat. [14] ἐπ' αὐτὴν τὴν ψυχὴν ἦκει Vat. ἐπ' αὐτὴν ψυχὴ εἶκει Vind. [15] τοι Vind. et sic proxime id. [16] καὶ προσ. Vat. [17] ἄλλας ἡμ. Vat. [17a] ἐκβάλη Vind. [18] νοοῦμεν Vat. [19] γοῦν Vat. [20] δὲ non agnoscit Vat. [21] μὴ δὲ Vind. [22] πάθοι Vind. [23] Sic Vat. et Vind. marg., in textu συνεκπορῥυηκέναι. [24] ἀποβαλέσθ' Vat. [25] articulum non agnoscit Vat. [26] τὸ non est in Vat. [27] νοὸς Vat.

Notæ.

(33) Platonicum, ex *Phædro*. Vid. pag. 245 C, § 51 Heind. ibiq. interprett. Conf. Davis. ad Cicer. *Tuscul. Disp.* I, 23, et Wyttenbach. *De plac. immortal. anim. ad Phædon.* p. XIX.

ὑποτιθεμένους ἢ ἐννοοῦντας, οὐκ ἔστι τοῦτον τὸν τρόπον· μήτι γε καὶ τὸν νοῦν φθείρεσθαι τίθεσθαι καὶ νοεῖν. Ἔστιν οὖν ἀεὶ καὶ ἐπιστήμη πᾶσα καὶ ἡ κατ' αὐτὴν μνήμη καὶ νόησις ἐν ψυχῇ.

ς'. Τούτου δ' ὄντος καὶ ἀποδεδειγμένου, οὔτε τὸ ἀναμιμνήσκεσθαι τὴν ψυχὴν ἔστιν οὐδαμῶς, οὔτε τὸ προῦφεστάναι ταύτην τοῦ ζώου τοῦ μετεσχηκότος αὐτῆς· πόθεν δ' ἐτέρωθεν ἡμῖν [38] ἅπαντῶσιν αἱ [39] ἐπιστῆμαι μηδὲν πρότερον περὶ αὐτῶν εἰδόσιν; Ἐμοὶ δοκεῖν, ὅτι ὥσπερ σὺ προδημιουργῶν τὰς ψυχὰς τῶν σωμάτων λέγεις μὴ ἀμαθεῖς μηδ' αὐτῶν τῶν ἐπιστημῶν εἶναι, ἀλλ' ἐν ζωῇ τελείᾳ [40] τελείᾳ δὲ καὶ νῷ [41] τελούσας, τελείας εἶναι, καὶ [42] νόησιν πᾶσαν καὶ ἐπιστήμην, οὕτω δὴ καὶ μοὶ ἀποδεδειγμένου συγγεγενῆσθαι ταύτας καὶ συνυπάρχειν τοῖς μετέχουσι ζώοις, οὐδὲν ἧττον τελείας οὔσας ζωὴν καὶ νοῦν, τελείας εἶναι καὶ τὴν ἐπιστήμην [43] καὶ τὴν γνῶσιν αὐτῆς [44]. Ἢ τίνος ἕνεκεν οὐχ οὕτως; Ἀλλ' οὐδενὸς οἶμαι, οὐδ' ἂν σὺ φαίης· οὐδ' ἂν δείξαις. Λείπεται τοίνυν ὥσπερ αὐτὸ τὸ ζῶον τὰ τῆς νοερᾶς ταύτης ψυχῆς μετέχον, αἰσθήσεως δὲ ζῶον, οὐδὲν μὲν τέλειον κατὰ ταύτην τὴν αἴσθησιν ἐνεργεῖ, μήπω τῶν αἰσθητικῶν ὀργάνων τετελεσμένων, προαχθέντων δ' εἰς τοῦτο τέλους, τότ' ἐστὶ καὶ παντὸς τοῦ κατ' αἴσθησιν ἀντιληπτικόν, οὕτω δὴ καὶ νοῦν, ἐξ αὐτῆς ἀρχῆς ἀναμεμιγμένον καὶ συναναχεχραμένον αἰσθήσει καὶ σώματι, καὶ τέλειον ὄντα κατ' ἄλλα καὶ αὐτὴν τὴν ἐπιστήμην. τελείων δεῖσθαι καὶ τῶν ὀργάνων, δι' ὧν ἂν καὶ μετὰ σώματος δείξοι τὴν ἐν αὑταῖς ἐπιστήμας δύναμιν αὑτοῦ [45] καὶ ἐνέργειαν. Ὄργανα δ' ἐπὶ ταύταις εἶεν ἂν ψυχῆς, πορρώτερα μὲν, αἴσθησις καὶ ἡ ἐξ αὐτῆς φαντασία, αὐτῆς [46] δ' εὐθὺς ἐχόμενα κἀκείναις' [47] μικτὰ, διάνοια καὶ δόξα. Μετὰ τῶν τοιούτων νοῦς ἐπιστήμας ἐν τοῖς σώμασιν ἐνεργεῖ· καὶ ἐνεργεῖ μὲν εὖ, καλῶς δὴ καὶ τῶν ὀργάνων τούτων ἐχόντων [48]· οὐδὲν δ' ἄριστον, τοῦ ἀρίστου γε καὶ τούτων ἀπολειπομένων. Ταύτῃ τοι καὶ ἔστιν ἐν οἷς μὲν οὐδενὸς τῶν βοηθούντων ἐκτὸς δεῖται, ἀλλ' αὐτὸς ἀποχρῶν ἐστιν ἑαυτῷ, τοῦ ἐπιπροσθοῦντος παντὸς ὥσπερ ἀνακύψας· ἐν οἷς δὲ καὶ τοῦ βοηθοῦντος ἔξωθεν δεῖται, οὐχ ὡς ἐπιλελησμένος τῶν προεγνωσμένων αὐτῷ δεῖται, ἀλλ' ὥστε τὸ προπλασθὲν πᾶν καὶ κρύπτον αὐτὸν σαρκὸς πάχει [49] καὶ ὕλης μιγέντα δυνηθῆναι ῥᾷστα ῥῆξαι καὶ ἀποθέσθαι, καὶ καθάπερ πῦρ σώμασι δή τισιν ἐμφωλεῦον παχυτέροις τῇ ἐκτὸς πληγῇ ἐκραγῆναι, καὶ τὸ ἐν αὐτῷ γνωστικὸν φῶς ὅσον καὶ οἷον, ἐπιστήμην πᾶσαν πληροῦν δείξαι. Διὰ τοῦτο καὶ ὧν ἔφημεν αἰσθήσεώς τι καὶ τῆς ἐξ αὐτῆς φαντασίας ἅμα δὲ καὶ διανοίας καὶ δόξης, πρὸς τὴν τῶν ὄντων ἐπιστήμην καὶ γνῶσιν, ἐν χρείᾳ δήπου καθεστὼς φαίνεται, πλησιόντων ὥσπερ αὐτὸν ἐγκεκρυμμένον τῇ ὕλῃ καὶ ἀπορρη-

A 6. Quæ cum ita sint, ut demonstratum est, neque recordari animam admittendum est neque eam animali eam continenti præexsistere. Unde autem occurrunt scientiæ nobis prius nihil scientibus? Ut mihi videtur, quemadmodum tu, animarum præexsistentiam docens, eas non scientiarum ignaras dicis, sed quoniam vita perfecta et mente perfecta præditæ sint, perfectas quoque esse cogitatione ac scientia, ita mihi demonstratum est eas connasci et incipere una cum animalibus quæ eas accipiunt, et cum nihilominus perfectæ sint vita ac mente, ita perfectas esse scientia et cognitione. Aut quare non id ita esset? Profecto, ut opinor, neque tu contrarium diceres, neque demonstrares. Restat igitur ut, quemadmodum ipsum
B animal hanc intelligentem animam continens et sensibile, nihil tamen perfectum per hos ipsos sensus operatur, nondum perfectis sensuum organis; postquam autem ad perfectionem adducta sunt, tunc omnium quæ secundum sensum sunt capax est, ita et mens ab initio immista et confusa cum sensibus et corpore, etsi perfecta sit reliquis et ipsa scientia, perfectis tamen organis egeat per quæ simul cum corpore ostendat suam in ipsa scientia virtutem et efficaciam. Organa autem iis inservientia quæ longius ab anima stant, sunt sensus et phantasia; quæ autem ipsi animæ adhærent et præcedentibus mista sunt, cogitatio et opinio. Talibus organis mens scientiam in
C corporibus operatur, et recte quidem operatur, quando recte se habent illa organa; nihil autem excellit, ubi ea non excellunt. Unde fit ut nullo externo auxilio indigeat, sed sibi ipsa sufficiat, ab omnibus obstaculis quasi emergens: aliquando autem externo auxilio indiget, non quod oblita sit eorum quæ prius noverat, sed ut ante se plasmatum illud quod eam carnis crassitie circumdat et materiam commistam facile valeat frangere ac deponere, et quemadmodum ignis quibusdam crassioribus involutus, externo ictu, effringatur, et illud noscendi lumen quod in ea est, quantam et qualem scientiam adimplere possit, ostendat; ideo, ut diximus, sensus et phantasiæ ex eo procedentis,
D simul et cogitationis ac opinionis, ad entium scientiam cogitationemque, ope indigere videtur, quæ, ut ita dicam, eam feriunt materia involutam et effringunt, et ejus lucem ad scientiæ contemplationem meditationemque evocant. Inde, mea quidem sententia, scientiæ cognitio nobis advenit. Inde mens eam cum corpore cogitat et rationi eam

Variæ lectiones.

[38] ὑστέρως addit Vat. [39] αἱ abest a Vat. [40] τελείως Vind. [41] νοῖ Vat. [42] κατὰ Vind. [43] καὶ τελείας; εἶναι τὴν ἐπιστ. Vat. [44] αὐτὰς Vind. [45] αὐτοῦ non est in Vat. [46] αὐτοῦ Vat. [47] κἀκείνοις Vat. [48] τῶν δὲ τῶν ὀργάνων ἐχόντων Vat. [49] πάχη Vind.

tradit, neque est illa recordatio, neque oblitæ menti, secundum vestram sententiam, supervenit. Et sic igitur confutatur et solvitur illa opinio, nempe scientiam esse recordationem et animas corporibus præexsistere, quæ nihil ante corpora ullo modo sunt.

γνύντων, καί γε τὴν ἐξ αὐτοῦ φαῦσιν (34) ἐπὶ τὴν τῆς ἐπιστήμης θέαν καὶ κατανόησιν ἐκκαλουμένων. Ἐντεῦθεν, κατά γε τὸν ἐμὸν λόγον, ἐπιστήμη· ἡμῖν ἐγγίνεται γνῶσις. Ἐντεῦθεν νοῦς καὶ νοῶν ἐστι μετὰ σώματος ταύτην, καὶ μεταδιδοὺς λόγῳ, μήτ' ἀναμνήσεως· αὐτῆς οὔσης, μήτ' ἐπιλελησμένῳ νῷ, κατά γε τὸν ὑμῶν λόγον, ἐγγινομένης. Καὶ τοίνυν οὕτω γε καὶ διελήλεγκται καὶ λέλυται τό τε τὰς ἐπιστήμας ἀναμνήσεις εἶναι, καὶ τὸ τὰς ψυχὰς πρὸ τῶν σωμάτων, μήτι γε μηδαμῶς οὔσας, νομίζειν εἶναι.

7. Hæc quidem de origine et incorruptibilitate animæ dicta sunt et demonstrata; demonstratumque una est animas non præexsistere corporibus, neque ex aliis in alia migrare. Quoniam autem anima corpore soluta manet neque corrumpitur, inquirendum nobis est, quid per se sola actura sit et passura, et quomodo ipsum suum esse incolume servatura, et integra omnino sit non modo secundum suam essentiam, sed et secundum facultates cum et hoc habeatur finis naturæ ejus ac creationis ut, animal rationabile exsistens, secundum sensum et voluntatem vivat ac operetur. Cum enim duplex sit incorruptibilis et intelligens natura, et altera quidem semper per se subsistat, neque ullo modo cum corporibus uniatur, misceatur aut confundatur, quam dæmoniacam vos dicitis, concedimusque nos primam sortem prope Creatorem semper commorandi ac conversandi amisisse, mea quidem sententia, etsi vobis non placeat, id nihil infirmat nostros conatus ac nostram demonstrationem. Quoniam igitur illa omne corpus ac omnes sensus fugit, altera autem secundum has animas simul cum corporibus nascatur et cum iis misceri confundique debet, neque ullo modo corpora renuit, non potest dici illam corpus induisse, neque hanc corpore liberatam esse, id semper fugientem et ab eo longe abeuntem, non fieri potest ob dictam rationem eam non servare id ad quod nata est. Sed ei opus est corpore in quo omnes suos actus operabitur. Opus est ei corpore quocum pejora vel meliora patietur, prout virtutem aut malitiam properaverit operari; et secundum vos quoque sive in felicitate viventium anima fiet, aut severa experietur, cum bonis quidem animis meliora, malis autem pejora reserventur, nostra ac vestra sententia, et mœrores ac delicias et quæcunque alia non animæ solius aut solius corporis, sed amborum esse dicimus. Sed nondum ad id devenimus; solummodo autem hoc demonstratum est, nempe animam corpori compingi natura, neque

ζ'. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν περὶ γενέσεως καὶ ἀφθαρσίας ψυχῆς εἴρηται καὶ δέδεικται, συναποδειχθέντος ἅμα καὶ τοῦ μήτε πρὸ τῶν σωμάτων τὰς ψυχὰς ὑφεστάναι, μήτ' αὐτῶν ἐξ ἑτέρων μετοικίζεσθαι εἰς ἕτερα. Ἐπεὶ δὲ ψυχὴ λυθεῖσα τοῦ σώματος μένει καὶ οὐ διέφθαρται, προσεξεταστέον ἡμῖν ἂν εἴη, καὶ τί δήποτε, καθ' ἑαυτὴν γενομένη, δράσει καὶ πείσεται, καὶ πῶς αὐτὸ δὴ τοῦτο τὸ εἶναι ψυχὴ περισώσει, καὶ τὸ ὅλον ἀκήρατος (35) καὶ μὴ τὴν οὐσίαν μόνον, ἀλλὰ καὶ αὐτὴν δήπουθεν τὴν ἐνέργειαν, ἐπεὶ καὶ τοῦτο τέλος τῆς κατ' αὐτὴν φύσεως καὶ δημιουργίας νενόμισται, ζῶον δηλονότι λογικὸν διοικεῖν, κατ' αἴσθησιν καὶ προαίρεσιν καὶ ζῶν καὶ κινούμενον. Διττῆς γὰρ πάσης τῆς ἀφθάρτου καὶ νοητῆς φύσεως οὔσης, καὶ τῆς μὲν ἀεὶ καθ' ἑαυτὴν ὑφεστώσης, καὶ μήτι γε μηδαμῶς συνιούσης εἰς ἕνωσιν καὶ μίξιν καὶ κρᾶσιν σωμάτων, ἣν δὴ καὶ δαιμονίαν ὑμεῖς φατε καὶ ἡμεῖς συγχωροῦμεν ἀποστᾶσαν τῆς πρώτης μοίρας τῆς περὶ τὸν δημιουργὸν ἀεὶ μενούσης καὶ στρεφομένης, κατά γε τὸν ἐμὸν λόγον, κἂν ὑμῖν μὴ δέδοκται, καί γε τοῦτ' ἐστὶν οὐδὲν πρὸς τὴν νῦν ταράττον σπουδὴν καὶ ἀπόδειξιν. Ἐκείνης γοῦν πᾶν σῶμα φευγούσης καὶ πᾶσαν αἴσθησιν, τῆς δ' ἑτέρας καὶ κατὰ ταύτας δὴ τὰς ψυχὰς ὑμοῦ τοῖς σώμασι γεγενημένης, καὶ συμμεμίχθαι τούτοις καὶ συναναχεκρᾶσθαι πεφυκυίας, καὶ μηδαμῶς ἥκιστ' ἀπαναινομένης τὰ σώματα, οὔτ' ἐκείνην σεσωματῶσθαί ποτ' ἔστιν εἰπεῖν, οὔτε ταύτην τοῦ σώματος ἀπαλλαγεῖσαν καὶ τοῦτ' ἀεὶ φεύγουσαν καὶ ἀποστρεφομένην, οὐκ ἔστι καθ' ὃν δὴ καὶ γέγονε λόγον, καὶ πρὸς ὃ δὴ πέφυκεν, οὐ μὲν οὖν σεσωκέναι. Ἀλλὰ δεῖ γε ταύτῃ σώματός, ἐν ᾧ δὴ καὶ γενομένη πᾶν τὸ κατ' αὐτὴν πράξει. Δεῖ καὶ μεθ' ὅτου τὰ χείρω πείσεται ἢ τὰ βελτίω, ὡς ἔφθη, δηλονότι ἀρετὴν ἢ κακίαν μετὰ τούτου κατειργασμένη, καὶ ἡ τῶν ἡδυνόντων ἐν ἀπολαύσει καὶ καθ' ὑμᾶς γένοιτο, ἢ τῶν σκυθρωπῶν πειραθείη, καὶ ποιούντων κακῶς, ἐπεὶ καὶ ταῖς μὲν ἀγαθαῖς τῶν ψυχῶν ἀμείνω, ταῖς δὲ κακαῖς ἀποκεῖσθαι τὰ κακίω, καθ' ἡμᾶς γε καὶ ὑμῖν δέ-

Variæ lectiones.

τὸν Vind. ἐπιλελησμένωνVat. ἐφ' Vind. κ. ἐ. ὑφ. ἀεὶ Vat. ἡμέτερον Vat. σῶμα πᾶν Vat. καὶ πεφ. Vat. τὰ σώμ. abest a Vat. καὶ deest in Vat. κατεργασαμένη Vat. ἡμᾶ; Vat. ἡμῖν Vat.

Notæ.

(34) Proxime dixerat γνωστικὸν φῶς. Eam cognoscendi et quasi lucendi actionem nunc declarat voce Alexandrinis interpreti propria. Vid. Biel. *Thes.* III, p. 536, ibiq. *Cyrilli Lex.* ms. Brem. φαῦσιν, φῶς, φέγγος, quæ eadem habet Said. in voce. Zonaras autem *L. Gr.* p. 1796, φαῦσις, αὐγὴ, φέγγος, λαμπρότης.

(35) Ἀκήρατος, quod tantopere frequentat Nathanael, nec Platoni displicuit. Locus suppeditat Ruhnkenius *ad Tim.*, p. 17.

δοκται, καὶ τάς γε λύπας καὶ ἡδονὰς καὶ εἴ τι τοιοῦτον οὐ ψυχῆς δὴ μόνης οὐδ' αὖ σώματος, ἀλλ' ἀμφοῖν εἶναι λέγομεν (36). Ἀλλὰ μήπω τοῦτο, ἀλλ' ὅπερ ἐδείκτο κατὰ φύσιν εἶναι ψυχῇ, συνεζεῦχθαι σώματι, καὶ μὴ παντάπασιν ἐθέλειν αὐτοῦ χεχωρίσθαι. Καὶ διὰ τοῦτ' οἶμαι καὶ ὑμεῖς ἀεὶ ταύτην ἐπ' αὐτὰ δὴ τὰ [32] σώματα στρέφετε, καὶ οὐκ ἀφίετε ταύτην αὐτῶν, ὡς ἐκτὸς δή τούτων ἄλλοθί που μὴ δυναμένην μηδὲ πεφυκυῖαν μηδαμῶς ὁρᾶσθαι. Τοῦτ' ἤδη καὶ ἐμοὶ πειρατέον ἂν εἴη, ἐς ὅσον οἷόν τε σαφῶς δεῖξαι, καὶ ὅτι γε ψυχὴ λυθεῖσα τοῦ συγγεγονότος αὐτῇ σώματος, ἐπ' αὐτὸ δὴ τοῦτο, ὃ καὶ ἀπέθετο, καὶ οὐκ ἐπ' ἄλλο ἐπάνεισι, καί γε πειρατέον κατ' αὐτὰς δὴ ταύτας τὰς τοῦ Πλάτωνος ὑποθέσεις, καὶ ὡς ἐκεῖνος ἐξ ᾅδου ψυχὰς αὖθις ἐξάγων [33] ἐνίησι [34] σώμασιν, οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ τῶν τεθνεώτων λέγων τοὺς ζῶντας ἀναβιώσκεσθαι, καὶ τοιαύταις ἐπὶ τούτῳ ταῖς ἀποδείξεσιν ἐφεξῆς ἐστι κεχρημένος. Ἐκ τῶν ἐναντίων, φησὶν, ἀνάγκη γίνεσθαι τἀναντία, καὶ τοῦτ' ἐπὶ παντὸς ἀξιοῖ καὶ ἐπὶ πάσης γενέσεως, καὶ οὐδαμῇ βούλεται τῶν τοιούτων οὐδὲν τυγχάνειν ἄλλως γεγενημένον· καὶ τοίνυν τὸ μεῖζον ἐξ ἐλάττονός φησι πρότερον ὂντος γίνεσθαι [35] μεῖζον, καὶ αὖ τοὐλαττον ἐκ τοῦ μείζονος, καὶ τὸ δικαιότερον ἐξ ἀδικωτέρου, καὶ τὸ ταχὺ ἐκ τοῦ βραδέος, καὶ ἐξ ἀμείνονος τὸ χεῖρον· καὶ περίεισιν ἡ θέσις ἐπὶ τῶν τοιούτων ἁπανταχῇ ὡσαύτως ἔχουσα καὶ τὰ ἐναντία ἐκ τῶν ἐναντίων πεφυκέναι δεικνῦσα· καὶ δυοῖν ὄντοιν πάντων τῶν ἐναντίων μεταξὺ τούτων δύο τίθησι καὶ τὰς γενέσεις, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ τὸ ἕτερον, ἀπὸ δ' αὖ θατέρου πάλιν ἐπὶ θάτερον· μείζονος γὰρ καὶ ἐλάττονος αὔξησις μεταξὺ καὶ φθίσις· καὶ τὸ μὲν αὐξάνεσθαι καλεῖ, τὸ δὲ φθίνειν, καὶ συγκρίνεσθαι καὶ διακρίνεσθαι, καὶ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ πάντα οὕτω, κἂν μὴ ἔστι χρῆσθαι τοῖς ὀνόμασιν ἐνιαχοῦ. Ἔργῳ γὰρ ἁπανταχοῦ οὕτως ἔχειν ἀναγκαῖον, γίγνεσθαι αὐτὰ ἐξ ἀλλήλων, γένεσίν τε εἶναι ἑκατέρου εἰς ἄλληλα· καὶ τοίνυν τῷ ἐγρηγορέναι τὸ καθεύδειν φησὶν ἐναντίον, καὶ τῷ ζῆν δήπουθεν τὸ τεθνάναι, καὶ ἀπὸ μὲν τοῦ ἐγρηγορέναι τὸ καταδαρθάνειν [36], ἀπὸ δὲ τοῦ ζωῆς καὶ θανάτου, πῶς ἀπὸ μὲν τοῦ ζῆν γένεσι; (37) αὖθις τὸ ἀναβιώσκεσθαι, καὶ οὕτω δὴ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων τἀναντία ὄντα; καὶ ταῦτα [38] ἡμεῖς; ἐπόμεθα, καὶ ὀρθῶς ἔχει.

η'. Οὐ μὴν ἀλλ' εἰδέναι βουλόμεθα, τίνος ὄντος ἐλάττονος καί γε αὐξανομένου, τὸ μεῖζον γεγονὸς ἔσται, ἄλλου δή τινος, ἢ ὅγε [39] νῦν ἐστι μεῖζον, ἢ αὐτὸ δὴ τοῦτο, ἔλαττον ὂν πρότερον, πρὶν δηλονότι μεῖζον γενέ-

A omnino ab illo velle separari. Et ideo, ut opinor, vos eam semper ad corpora ipsa volvitis, neque eam ab his dimittitis, utpote quæ extra ea alibi non possit neque valeret sedere. Id jam et mihi conandum est quam evidentissime possum, ostendere et animam corpore sibi congenito liberatam ad idem corpus quod deposuit neque ad aliud esse redituram; et conandum quidem ex ipsis Platonis principiis et ostendendum, quomodo ille ex inferno animas reducens in corpora immittat, nonnisi ex mortuis viventes reviviscere dicens ac talibus demonstrationibus deinceps utens. Ex contrariis, inquit, necesse est contraria fieri, et id de omnibus censet ac de omni generatione, ac minime vult quidquam tale aliter factum esse. Atque B igitur majus ex eo quod ante minus fuerat dicit fieri majus, ac rursum minus ex majore, et justius ex injustiore, ac rapidum ex tardo, et ex meliore pejus. Et tractat ejus propositio de quibusvis talibus ita se habens et contraria ex contrariis nasci ostendens. Et cum omnia contraria duo sint, inter illa duas quoque generationes ponit, ex uno ad alterum, et ex hoc ad illud. Inter majus enim et minus est incrementum et corruptio. Et unum quidem crescere nominat, alterum vero corrumpi, et coagmentari et dissipari, et refrigescere et incalescere, et omnia ita, etsi alicubi nominibus uti non liceat. Re quidem ipsa ubique sic esse necessarium est, alia ex aliis nasci, et utriusque fieri C mutuam generationem. Atque igitur vigiliæ somnum dicit contrarium esse, et vitæ mortem, et ex hac conjunctione fieri generationes, ex vigilia somnum, e somno resurrectionem. De vita autem ac morte, quomodo e vita generatio ad contrarium, mortem scilicet, fiat, et ex morte ad revivi-scentiam, atque ita mortui ex viventibus sint dicit, viventes vero e contrario ex mortuis; et hæc dicit Plato, et hæc nos sentimus eumque sequimur, atque hæc recte se habent.

D 8. Attamen scire volumus ex quo minore ac crescente fiat majus, utrum ex alio quodam quam quod nunc majus est, an id ipsum quod minus erat priusquam majus fieret, deinde majus, quod

Variæ lectiones.

[32] τὰ non est in Vat. [33] ἀνάγων Vat. [34] ἐνίασι Vind. [35] γίγνεσθαι Vat. [36] καταδαρθεῖν Vat. [37] ἀπὸ δ' αὖ Vat. [38] μὲν addit Vat. [39] ὅτε Vind.

Notæ.

(36) Plotinus in libro, *Quid animal, quid homo*, p. 1 A Basil.: Ἡδοναὶ καὶ λύπαι φόβοι τε καὶ θάρρη — τίνος ἂν εἶεν; ἢ γὰρ ψυχῆς, ἢ χρωμένης ψυχῆς σώματι, ἢ τρίτου τινὸς ἐξ ἀμφοῖν κ. τ. λ. quæ excerpsit Suidas t. II, p. 46 Kust. Plotiniani loci ions est in Platonis *Timæo*, p. 42 A, 327 Bip. Cf. p. 423. Adde *Sympos.* p. 207 E, p. 240 Bip. Ad *Timæum* adhibe Proclum in Commentar. p. 326 seqq., et confer eos qui ex eodem fonte sua prata irrigarunt: Porphyr. *De abstin.* 1, 33, p. 54; Damascium *Περὶ ἀρχ.* p. 219; Michael. Psellum *Περὶ παντοδ. παιδ.* sect. 44, p. 105.

(37) *Mori, mortuum esse.* Cf. Wyttenb. ad Platon. *Phædon.*, p. 142 seqq.

est, factum sit. Et quidem Plato priorem sententiam supponens non ex altero minore majus factum esse alterum dixit, quoniam ita hominum generatio non esset. Quomodo enim potest dici, altero incrementum aut corruptionem patiente, quod illud passus est, hoc in altero factum esse? Majus enim esse ac minus esse, aliud sane et aliud, non autem est aliud et aliud id in quo hæc fiunt. Atque igitur de somno ac vigilia : qui nunc dormit, ille omnino evigilabit. Et generationes duorum contrariorum sunt ; non alius est qui obdormit atque ita somno premitur, et alius qui evigilat, sed idem hæc duo. Et mortuum esse dicimus eum qui prius vivebat; et ex mortuo reviviscere nullum alium, sed illum ipsum qui mortuus fuerat, quemadmodum de dormiente qui rursum evigilat. Et sic e minori crescente majus effectum est. Nonne sic ea se habent? Omnino sic. Vide igitur et considera quid dicamus hominem esse. Animal mortale omnino, dices, mente et ratione animaque rationali præditum, et duplicem eum esse dicimus, ex duobus unum, et corruptibilem et incorruptibilem, corruptibilem corpore, incorruptibilem anima, quæ permanet et nunquam dissolvitur. Cum unus specie homo sit, multifariam divisus est. Et est totus in unaquaque, in quotquot individua dividatur ac segregetur, et quodlibet individuum pariter est totum, qua homo est. Sed species quidem eadem semper manet ac semper incolumis : cætera vero non eodem modo, sed quomodo, docebunt quæ sequuntur. Atque huc devenimus idque dicturi sumus.

9. Cum anima et corpore homo constet, ac mortalis sit unusquisque ac dissolutionis capax, dicimus hunc et mori ac vitam resumere; quoad animam quidem, quæ est immortalis, non dicimus eum mori posse, quoniam ea neque potest mori, neque reviviscere. Ex morte enim oritur vita et ex mortuo, ut dicit Plato, et jam monstratum est. Anima autem non moriente, non verisimile est neque potest dici eam reviviscere. Cujus ergo id est? Reliquæ scilicet hominis partis, nempe quod in eo est, animalis ac corporis. Et ex illo mortuo non aliud sane corpus neque alius homo reviviscet, sed is qui prius erat vivens et deinde mortuus est. Et cum quo corpore mortuus est vivificabitur, quia ex dormiente

A σθαι, εἶθ' ὅπερ ἔστι γέγονε μεῖζον [60]· καὶ μὴν καὶ αὐτὸς Πλάτων ἐν τῇ ὑποθέσει τὸ πρότερον θεὶς οὐκ ἐξ ἐλάττονος ἑτέρου δή τινος ὄντος, ἕτερον ἔφησε μεῖζον γενέσθαι, ἐπεὶ οὕτω γε οὐδὲ γένεσις ἀνθρώπων [61] οὐκ ἂν εἴη. Πῶς γὰρ ἔστιν ἑτέρου πάσχοντος αὔξησιν ἢ φύσιν, ὃ δὴ πέπονθεν ἐκεῖνο, τοῦτ' ἐν ἑτέρῳ γεγενῆσθαι λέγειν; μεῖζον [62] γὰρ εἶναι καὶ ἔλαττον εἶναι, ἄλλο δήπουθεν καὶ ἄλλο, οὐκ ἄλλο δὲ καὶ ἄλλο [63] ἐφ' ᾧ δὴ γίγνεται ταῦτα· καὶ τοίνυν ἐπὶ τοῦ καθεύδειν καὶ ἐγρηγορέναι, ὃς ἂν νῦν καθεύδοι [64], οὗτος δήπου καὶ ἐγρηγορὼς ἔσται· καὶ αἱ γενέσεις δυοῖν ὄντοιν τούτοιν ἐναντίοιν, οὐκ ἄλλου τινὸς τοῦ καταβαρθάνοντος ὄντος, καὶ οὕτω καθεύδοντος, ἕτερος ἀναγείρεται, ἀλλ' ὁ αὐτὸς ταῦτα· καὶ τεθνηκέναι φαμὲν τὸν πρότερον ζῶντα· ἐκ δὲ τοῦ τεθνεῶτος ἀναβιώσκεσθαι οὐδένα B τῶν ἄλλων, αὐτὸν δ' ἐκεῖνον τὸν τεθνηκότα [65] κατά γε δηλονότι τὸν καθεύδοντα, καὶ αὖθις ἀναγειρόμενον. Καὶ τὸ ἐξ ἐλάττονος αὐξανομένου γιγνόμενον μεῖζον [66]. Ἢ οὐχ οὕτω ταῦτα; πάντως οὕτως. Ἔχε δὴ καὶ σκόπει, τί ποτέ φαμεν ἄνθρωπον εἶναι; Ζῶον θνητὸν πάντως, ἐρεῖς, νοῦ καὶ λόγου καὶ τῆς κατ' αὐτὸν ψυχῆς μετέχον, καὶ διπλοῦν [67] αὐτὸν εἶναί φαμεν [68], ἐκ δυοῖν ἕνα, καὶ φθαρτὸν δή τινα καὶ ἄφθαρτον, τὸ μὲν τὸ σῶμα, τὸ δ' αὐτὴν τὴν μένουσαν [69] καὶ μήτι γε λυομένην ψυχήν. Εἷς δὲ καὶ τὸ εἶδος ὢν ἄνθρωπος, εἰς πλείω μεμέρισται. Καὶ ἔστιν ὅλος ἐν ἑκάστῳ, ἐφ' οὗ δὴ [70] ἀτόμους ὄντας διαιρεῖται καὶ τέμνεται, καὶ ἕκαστος αὐτῶν αὖθις ὅλον ἐστὶν ὅ τι δὴ καὶ πέφυκεν ἄνθρωπος. Πλὴν ὅτι C γε τὸ μὲν εἶδος ἐν ταυτῷ μένει καὶ αἰεὶ [71] σέσωσται, τὰ δ' οὐ τὸν [72] ἴσον ἔχει τρόπον, ἀλλ' ὅπως τοῦ ἑφεξῆς ἂν εἴη λόγου. Καὶ πρὸς τοῦθ' ἥκει καὶ γοῦν εἰρήσεται.

θ'. Ἐπεὶ γὰρ ἐκ ψυχῆς καὶ σώματος σύνθετος [73] ἄνθρωπος, καὶ θνητὸς ἕκαστος καὶ λύσιν δεχόμενος, φαμὲν δὲ τοῦτον [74] καὶ θνήσκειν καὶ πάλιν ἀναβιώσκεσθαι, κατὰ μὲν τὴν ψυχὴν ἀθάνατον οὖσαν, οὐκ ἂν φαίημεν [75] οὔτε θάνατον καταδέχεσθαι [76]· ἐπεὶ μηδ' ἔστι θνήσκειν αὐτὴν [77] οὔτ' αὖ πάλιν [78] ἀναβιώσκεσθαι· ἐκ γὰρ τοῦ τεθνάναι τοῦτο, καί γε τοῦ τεθνεῶτος, καθὸ δὴ [79] Πλάτων φησὶ, καὶ ἤδη δέδεικται. Ψυχῆς δὲ μὴ θνησκούσης, οὐκ ἔστιν οὐ μὲν οὖν εἰκὸς ταύτην, οὐδὲ λέγειν ἀναβιώσκεσθαι. Τίνος δὲ τοῦτο; τοῦ λοιποῦ ἀνθρώπου καί γε (38) τοῦ ἐν αὐτῷ D ζώου καὶ σώματος. Καὶ ἐξ αὐτοῦ γε τοῦ [80] τεθνεῶτος οὐκ ἄλλο δήπου σῶμα οὐδ' ἕτερος ζωώσεται ἄνθρωπος, ἀλλ' ὃς ἦν πρότερον ζῶν, εἶτα τέθνηκε. Καὶ μεθ' οὗ δὴ τέθνηκε σώματος, μετὰ τούτου [81]

Variæ lectiones.

[60] ἢ αὐτὸ — μεῖζον neglexit Vat. [61] αὐτῶν Vat. [62] μείζονος Vat. [63] οὐκ — ἄλλο desunt in Vat. [64] καθεύδει Vat. [65] τεθνεῶτα Vat. [66] καὶ τὸν— μείζω Vat. [67] διπλὸν Vind. [68] καὶ addit Vat. [69] τὸ δ' αὖ τὴν μ. Vat. [70] καὶ addit Vat. [71] ἀεὶ Vat. [72] δ' αὐτὸν Vind. [73] σύνθετον Vat. [74] τοῦτο Vat. [75] φαίμεν Vat. [76] καταδεδέχθαι Vat. [77] ἐπεὶ — θνήσκειν absunt a Vind. [78] αὖ π. non est in Vat. [79] καὶ addit Vat. [80] τοῦ non habet Vat. [81] γε addit Vat.

Notæ.

(38) Semel monitum volo quod eruditioribus non obscurum est, illud καί γε, quo mirifice delectatur Nathanael, sic junctum vix aliam auctoritatem habere quam Lucæ evangelistæ XIX, 42 ; Act. apost. II, 18 (quanquam hoc loco insigniter variant codd. mss. Vid. Griesbach. N. T.) et Alexandrinorum interpr. quos ille assidue tractasse videtur. Horum locos congessit Bielius in *Thes.* II, p. 91, ubi Cyrillus explicat προσέτι δέ. Hesych. I, p. 108, interpretatur καίτοι.

C καὶ οὐ μή τι πάθῃ ζῶον οὐδὲν φθεῖρον τὴν ζωὴν, ὕδατι κεχρημένον· οὔτ' ἄνθρωπος οὐκ ἂν πάθοι, ἐπεὶ καὶ ἦν ὅτε δὴ καὶ ὕδατι τρεφόμενος ἔζη, οἴνου πέρι μηδὲν μηδαμῶς εἰδώς. Μετὰ γὰρ τὸν κατακλυσμὸν, φασὶν, ὁ οἶνος· καὶ εὐθὺς ἐξ αὐτῆς τῆς περὶ αὐτὸν πρώτης ἐπιστήμης καὶ πείρας σφαλερός (5).

* Ex codice 2105, pag. 264. Episcopus Philadelphiæ, cui inscripsit Chumnus opusculum, Theoleptus est qui sub Andronico seniore vixit. [*Vide* tom. CXLIII. EDIT.]

(1) Epist. ad Ephes. v, 18.

(2) Matth. vi, 11 ; Luc. xi, 3.

(3) Matth. x, 42· Ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον... οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

(4) Conf. Genes. i, 9.

(5) Genes. ix, 20. Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα· καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

Μέλει δ' οὐδὲν τῶν τοιούτων, οὐδ' ἀνθρώπου γ' εἵνεκα, τῷ Θεῷ· τῶν δ' ἀναγκαίων τοῖς ζῶσι μέλει, ἄρτου, φημί, καὶ ὕδατος· καὶ διὰ τοῦτο καὶ τὸ μὲν ἡμῖν ἄπονον ἅμα καὶ ἄφθονον· ἄρτον δ' ἐσθίειν ἐν ἱδρῶτι, ἐκείνου πρόσταγμα (1), διὰ τὸν καρπὸν πάντως, οὗ τοῦ καλοῦ (2), τῆς ὥρας καὶ τῆς βρώσεως ἡττηθέντες καὶ τῶν ἐντεταλμένων ὠλιγωρηκότες, μετέσχομεν.

Οὐ μὴν ἀλλὰ τοῦτον δὴ τὸν τρόπον τοῦτου καὶ δοκοῦντος πλείω καὶ ἀμείνω λόγον ἔχειν, πλεῖον ἔχειν καὶ παίδευμα, σωφροσύνης εἵνεκα καὶ τοῦ μὴ ἀσέμνως καὶ ἀσώτως βιοῦν, τοῦ γε δηλονότι τὸν οἶνον ὕδωρ γεγενῆσθαι ἢ τὸ ὕδωρ εἰς οἶνον μεταβαλεῖν, τί ὅτι (3) μὴ τὸ πρῶτον καὶ ἄμεινον, μηδ' ἕτερον ἴσως, ἐπὶ δὲ τοῦ δευτέρου τὸ θαῦμα τὸ ὕδωρ ἔστι μεταποιοῦν, καὶ εὖ καὶ καλῶς, καθὰ δὴ καὶ ἐν προοιμίοις εἰρηκότες ἐσμὲν, αὐτὸς ἐπιστήσας, τὸν λόγον ἐζήτησας. Ἀλλὰ σοῦ μᾶλλον τίς ἂν, καὶ ἐπισκεψάμενος καὶ πολυπραγμονήσας, ἐφεύροι ἂν ὀρθῶς, οὗ καρδία μὲν καθαρὰ καὶ ὁρῶσα Θεὸν, διαλογισμοὶ δ' ἐν αὐτῇ ἀναβαίνοντες ἐπ' ἐκεῖνον ἀκραιφνῶς διαβαίνουσι καὶ τὰ ἐκείνου θαυμάσια, ὥστε σε καὶ μετὰ τοῦ Πνεύματος ἔχειν ἀσφαλῶς ἐρευνᾷν τὰ τοῦ Πνεύματος; Ἐπεὶ δὲ καὶ ἡμῖν ἐρεῖν τὸ δοκοῦν ἐπέτρεψας, ἐροῦμεν, τῷ σῷ πνεύματι καὶ τῇ ἐξ αὐτοῦ θαῤῥήσαντες χάριτι.

Δύο ταῦτα ἐφ' ὕδατος, τὸ μὲν πρῶτον τῶν ἄλλων, τὸ δ' ἔσχατον τῶν ἄλλων καὶ ἐπὶ σταυροῦ, ὁρῶμεν θαύματα γεγενημένα· καὶ τὸ μὲν πρῶτον, αὐτὸ δὴ τοῦτο τὸ ἐν Κανᾷ καὶ ἐν γάμῳ, ὃ δὴ καὶ διεξιόντες ἐσμέν· ἐπὶ δὲ τοῦ σταυροῦ ὕδωρ ῥυὲν ἐκ τῆς τοῦ Σωτῆρος πλευρᾶς (4), μεταβαλόντος εἰς τοῦτο τοῦ θείκοῦ αἵματος ἐπ' ἐσχάτου τῶν θαυμάτων, ὡς ἐπὶ τοῦ πρώτου Χριστὸς αὐτὸς εἰς οἶνον τοῦτο μετέβαλε.

Καὶ οἶμαι εἰς ταυτὸν ἰέναι ἄμφω τὼ θαύματε, τό τε πρῶτον τό τ' ἔσχατον. Ἐκεῖ μὲν γὰρ γάμος, καὶ τιμᾷ τοῦτον Θεὸς (5), ὅτι καὶ τίμιος (6)· τίμιος δὲ τῶν ἐξ αὐτοῦ παίδων εἵνεκα, οὓς καὶ εἰσποιεῖται Χριστὸς καὶ Πατέρα αὐτῶν εἶναι λέγει Θεὸν πατέρα τὸν ἴδιον, καὶ προτρέπει γε κατὰ ταύτην τὴν σχέσιν ἀνθρώπους ὄντας τολμᾷν ἐπικαλεῖσθαι αὐτόν. Πότε δ' αὐτοὶ τοῦτό εἰσι, καὶ πότ' ἐπικαλούμενοι γνησίως εἰσίν; Ὁπηνίκα δηλονότι καὶ δι' ὕδατος καὶ Πνεύματος αὖθις ἀναγεννηθέντες (7) αὐτὸν Χριστὸν ὅλον φορέσωσι διαιωνίζον καὶ ἄφθαρτον ἔνδυμα. Τί λοιπόν; ἡ μὲν τοῦ βαπτίσματος πηγὴ δήλη ἐξ ἧς καὶ τὸ ἀναγεννᾶσθαι ἡμῖν· τὸ δὲ τοῦ Πνεύματος ἀφανὲς, καὶ τοῖς ἀπίστοις οὐ πάνυ τι πιστὸν ὅτι τοσαῦτα ὑπερφυῆ καὶ μεγάλα ἔστιν ὕδωρ δεδυνημένον. Οὐ γὰρ ὁρῶσι τὸ Πνεῦμα, καὶ,

A Nihil vero tale curæ est Deo, hominis causa; necessariorum autem ipsi cura pro viventibus, panis, inquam, et aquæ. Et ideo unum quidem nobis otium abundat; panem vero in sudore manducare, Dei mandatum est, propter fructum illum venustum, quem vennstate ac gula victi præceptorumque negligentes comedimus.

Attamen hoc modo cum id meliorem videatur majoremque rationem habere, plusque continere doctrinæ propter sapientiam ac vitam frugalem continentemque, nempe cum melius videatur vinum in aquam verti quam aquam in vinum: quid est quod non prius ac melius aut neutrum, sed secundum, nempe aquam miraculum converterit, bene, B ut in exordio diximus, inquiris. Sed quis melius quam tu et exquirens ac multum laborans recte inveniret, cujus cor purum est ac Deum videns, cujusque cogitationes ad eum ascendentes plene illius miranda penetrant, ita ut et cum spiritu ea quæ sunt Spiritus valeas penetrare. Quoniam vero nos ut nostram sententiam diceremus hortatus es, dicemus tuo spiritui et ei, quæ ex ipso est gratia, confidentes.

Hæc duo miracula in aqua facta videmus, unum quidem primum omnium cæterorum, alterum autem ultimum aliorum, et in cruce. Et primum C quidem illud est quod in Cana et in nuptiis, quod nunc explanamus; aqua vero in cruce effusa ex Salvatoris latere, ultimo miraculo in aquam converso divino sanguine, ut in primo Christus ipse in vinum convertit.

Atque opinor ad idem ambo miracula tendere, primum ac ultimum. Ibi enim nuptiæ, et eas honorat Deus, quia sane honorandæ sunt; honorandæ autem sunt, futurorum filiorum causa, quos adoptat Christus, ac Patrem eorum esse dicit Deum patrem suum, et homines incitat ut eum invocare secundum hanc relationem audeant. Quando autem id sunt, et quando eum legitime invocant? Quando sane per aquam ac Spiritum regenerati Jesum D Christum totum ferunt sempiternum et incorruptibile vestimentum. Quid denique? Fons baptismatis manifestus est ex quo regeneramur. Quod autem est spiritus, invisibile est, et infidelibus minime credibile est tot et tanta supra naturam posse aquam efficere. Non enim vident Spiritum, et quia eum non vident, neque intelligunt commutationem

(1) Genes. III, 19 : Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου.
(2) An τοῦ κακοῦ?
(3) Vernacule, sed negligentissime, *pourquoi que*. Veteres dicebant potius ὅτι τι.
(4) Joan. XIX, 34 : Εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ.
(5) Gregorius Naz. Orat. XL, p. 648 : Μιμήσομαι Χριστὸν. . . ὃς καὶ θαυματουργεῖ γάμῳ καὶ τιμᾷ συζυγίαν παρουσίᾳ.
(6) Epist. ad Hebr. XIII, 4 : Τίμιος ὁ γάμος ἐν πᾶσι.
(7) Joann. III, 5 : Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

aquæ in illum. Convertit igitur ac transformat eam in vinum Christus, ut credibilem efficiat ejus conversionem in Spiritum, ac simul ut ex nuptiis et genita natura confirmet incorruptibilem regenerationem.

Ideo et in cruce ex divino latere sanguis et aqua, quia hæc ambo Christus, ex puro virgineo sanguine caro factus et aqua baptizatus, et balneo ablutus, non sui causa, sed pro totius mundi piaculo.

Hæc nos de primo omnium Salvatoris miraculorum novimus; hæc de ultimo et in cruce peracto. Et cum aqua vinum facta sit, et rursus sanguis in aquam versus sit, nihil incredibile est vinum fieri ipsum sanguinem hujus qui talia perfecit miracula, extremum nobis et salutare mysterium et calicem quem ipse, Ecclesiæ hujus immaculatæ quam sibi acquisivit sponsus, ex perenni fonte miscet, vitæ æternæ, iis qui participant, pignus. Ita ut in hoc uno quod in Cana factum est, non solum aliorum primo, sed et solo in hoc genere, totam esse demonstratam salutis nostræ virtutem fidemque solide stabilitam.

Tu autem si quid excelsius noveris et docueris, utpote qui Dei miracula, hocce et cætera bene, imo melius penetrare valeas, huic et nos mentem adhibentes, tuæ scientiæ participes erimus.

A ὅτι μὴ ὁρῶσιν (1), οὐδ' αἰσθάνονται τῆς ἐς αὐτὸ τοῦ ὕδατος μεταβολῆς καὶ μεταποιήσεως. Μεταβάλλει γοῦν καὶ μεθίστησιν εἰς οἶνον τοῦτο Χριστὸς, ἵνα δὴ καὶ τὴν ἐς αὐτὸ τὸ Πνεῦμα μεταβολὴν τούτου πιστώσηται, καὶ ἅμα τὴν τῆς ἐκ γάμου καὶ γεννητῆς φύσεως πρὸς τὴν ἄφθαρτον πιστώσηται ἀναγέννησιν.

Διὰ τοῦτο καὶ ἐπὶ τοῦ σταυροῦ ἐκ τῆς θείας πλευρᾶς αἷμα καὶ ὕδωρ (2), ὅτι καὶ ἅμφω ταῦτα Χριστὸς, ἐξ ἁγνῶν παρθενικῶν αἱμάτων γενόμενος σὰρξ, καὶ ὕδατι βαπτισθεὶς, καὶ λουτρὸν λουσάμενος, οὐχ ἑαυτοῦ χάριν, ἀλλὰ παντὸς τοῦ κόσμου καθάρσιον.

B Οὕτως ἡμεῖς ἐσμεν περὶ τοῦ πρώτου τῶν ἄλλων πάντων τοῦ Σωτῆρος ἐπεγνωκότες θαύματος· οὕτως ἐπὶ τοῦ ἐσχάτου καὶ ἐπὶ τοῦ σταυροῦ. Καὶ ἅμα τοῦ μὲν ὕδατος οἴνου, αἵματος δ' αὖθις ὕδατος γεγενημένων, οὐδὲν ἄπιστον, μὴ οὐχὶ καὶ οἶνον αὐτὸ τοῦθ' αἷμα τοῦ τὰ τοιαῦτα θαυματουργοῦντος γενέσθαι (3), τὸ τελευταῖον, δίπου μυστήριον καὶ ἡμῖν γε σωτήριον, καὶ γοῦν κρατῆρα ὃν αὐτὸς, ὁ καὶ τῆς ἧς ἀσπίλου Ἐκκλησίας ἠγάγετο νυμφίος ὤν, ἐξ ἀενάου πηγῆς κιρνᾷ, ζωῆς αἰωνίου τοῖς μετέχουσι χορηγόν. Ὥστ' ἐν ἑνὶ τούτῳ τῷ ἐν Κανᾷ, μὴ μόνον πρώτῳ τῶν ἄλλων, ἀλλὰ καὶ μόνῳ γε ὄντι, πᾶσαν ἡμῶν ἀποδεδεῖχθαι τὴν τῆς σωτηρίας ἰσχὺν καὶ στερρὰν τὴν πίστιν ἐντεδρύσθαι.

C Σὺ δὲ ὅ τι ἂν ἄλλο καὶ γνοίης ὑψηλότερον καὶ διδάξαις, ἅτε καὶ Θεοῦ τῶν θαυμάτων, τούτου τε καὶ τῶν ἄλλων, ἐς τὰ μάλιστα καὶ πλέον ἐφικέσθαι δεδυνημένος, τούτῳ δὴ καὶ αὐτοὶ τὸν νοῦν προσσχόντες (4), τούτου ἂν καὶ γενοίμεθα.

(1) Joann. III, 8 : Τὸ πνεῦμα, ὅπου θέλει, πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ ὕδατος.

(2) Videtur excidisse verbum forsan ἐξῆλθεν.
(3) Scilicet in Eucharistiæ sacramento.
(4) Cf. Bæhr. ad Herodot. t. I, pp. 8, 926.

ΤΟΥ ΑΥΤΟΥ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ

Ἐλὶ τῇ πρὸς τὸν Ἠλίαν αἰτήσει τοῦ Ἐλισσαίου καὶ τοῖς κατ' αὐτὴν διηπορημένοις· πρὸς τούτοις δὲ καὶ ἔτι πλείω καὶ μείζω ἐκ τῶν Εὐαγγελίων καὶ ἠπόρηνται καὶ λέλυνται.*

—

EJUSDEM AD EUMDEM

In petitionem Elisæi ad Eliam et in dubia quæ de illa proponuntur; insuper plura ac majora ex Evangeliis in dubium vocata sunt ac soluta.

—

Prius quidem habebat me timor, neque ille parvus, ne nimis audax viderer si sacras Scripturas

D Εἶχε μὲν ἐμὲ καὶ πρότερον (1) φόβος, καὶ οὐδὲ μικρὸς ἦν οὗτος, μή τί γε τολμᾷν, ἐπὶ Γραφὰς

* E codice regio 2105, pag. 266, 2.
(1) Forsan cum de miraculo facto in Cana inquireret; vel est sententia in genere prolata.

ἱερὰς ἰόντα, εἰς βάθος ἢ εἰς ὕψος τούτων πειρᾶσθαι ἰέναι, μηδ' ἐξετάζειν, μήθ' ὅσα μὴ δεῖ, μήθ' ἃ μὴ πάνυ τι ἀσφαλὲς, μηδέ γε πολυπραγμονεῖν, μηδ' οἷον γυμνάζειν καὶ δοκιμάζειν ἐθέλειν τὸν νοῦν ἐν τοῖς ἀποκρύφοις αὐτῶν, ἐπεὶ μηδὲ πᾶσιν ἀφεῖται ταῦτα καὶ ὅσα τοῦ Πνεύματος, ἀλλ' οἷς καὶ τοῦτ' ἐστὶ δεδομένον, δεδυνῆσθαι ὀχλονότι τῶν δεδογμένων ἐφικνεῖσθαι καὶ ὑπηγορευμένων τῷ Πνεύματι· καὶ τὸ τῆς θείας φωνῆς πρὸς τοῦτ' οἶμαι μᾶλλον φέρειν, « Ἐρευνᾶτε (1) τὰς Γραφάς· » τουτέστι μὴ πρὸς πάντας εἶναι τὴν προτροπὴν, ἀλλά τι πρὸς ἐκείνους, οἷς καὶ τὸ εὑρίσκειν ἐστὶν ὡς ὀρθῶς ἔστιν ἐν αὐτοῖς, κεκαθαρμένους ὅλους καὶ σῶμα καὶ γλῶτταν καὶ ψυχὴν καὶ διάνοιαν, καὶ γοῦν τὸν τρόπον τοῦτον δεδυνημένους, χωρὶς κηλῖδος, φωτὸς εἶναι τοῦ θείου δεκτικοὺς, καὶ ἀποκαλύψεων καὶ μυήσεων ὑψηλοτέρων τοῦ καθ' ἡμᾶς νοῦ καὶ τῆς κατ' αὐτὸν ἰσχύος καὶ φύσεως. Εἰ γὰρ ἀνάγνοις χερσὶν οὐ θέμις τῶν ἁγνῶν ἅπτεσθαι καὶ καθαρῶν, ἦ που πολὺ καὶ πλεῖστον ὅσον τὸ δέος νοῦν μὴ κεκαθαρμένον μηδὲ διάνοιαν ἐμβιβάζειν βιάζεσθαι καὶ προσχωρεῖν καὶ οἷον συμπαρεκτείνεσθαι τοῖς ὑπερκειμένοις, καὶ μηδὲν ἐφικτοῖς, ὅτι μὴ μετ' ἀκραιφνοῦς ἁγνισμοῦ καὶ ἧς εἴπομεν τελείας καθάρσεως.

Οὐ μὴν ἀλλ', ἐπειδὴ Θεοῦ καὶ ταῦτα φωναί, « Ζητεῖτε (2), καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται, » πρόσιμεν καὶ αὐτοὶ, ζητοῦντες εὑρεῖν. Καὶ κρούομεν δὴ πρῶτον τὸν νοῦν, ὥστ' ἐν προσοχῇ γρηγορῆσαι καὶ ταπεινώσει καὶ συντριβῇ καρδίας· εἶτ' αὐτὸν ἄγομεν ἐπὶ τὰς ἐγκλειούσας πύλας καὶ τὰς ἐπικρύψεις αὐτῶν τῶν θείων Γραφῶν, βάλλοντα μὲν ἐς αὐτὰς, οὐκ ἀφόβως δὲ, καὶ γοῦν μετὰ πολλοῦ τινος τοῦ δέους ζητοῦντα ῥαγῆναι ταύτας ἐφ' ἱκανὸν καὶ ὑπανοιχθῆναι αὐτῷ, καὶ δὴ γενόμενον ἐντὸς μηδὲν ἴδιον μήτε νοῆσαι μήτ' εἰπεῖν, ἀλλ' ὅσον ἂν καὶ διδαχθείη, ὡς ὑπὸ παραπετάσματι τῷ φαινομένῳ κρυπτόμενον καὶ μὴ πάνυ τι δῆλον ὂν τοῖς πολλοῖς.

Οὐ μὴν ἀλλ', ἐπεὶ ταῦτ' ἀρχὴν τῶν ἑξῆς ὑποθεμένοις ἐπὶ τούτοις οὕτως ἔχουσι καὶ θαῤῥεῖν ἡμῖν ἔπεισιν, ἐπ' αὐτὸ καὶ δὴ λοιπὸν ἥκομεν, ὃ δὴ νῦν καὶ ζητοῦντές ἐσμεν. Ἔστι δὲ τοῦτο τί; Τὸ κατὰ τὸν Ἠλίαν καὶ Ἐλισσαῖον, ᾧ δήπουθεν ἑνί γε ὄντι καὶ ἀπόρῳ πλείω καὶ μείζω συνεισέρχεται, τῆς αὐτῆς ὄντα καὶ ταῦτα ἐρεύνης καὶ ἀπορίας.

Ἀκούει μὲν γὰρ Ἠλίας Θεοῦ εἰρηκότος Ἐλισσαῖον χρίσαι ἀντ' αὐτοῦ εἰς προφήτην (3), καὶ χρίει. Εἶτ' ἄμφω ἐπὶ τὸν Ἰορδάνην ἰόντες, Ἠλίας αὐτὸν πατάξας τῇ μηλωτῇ τέμνει (4), καὶ βαίνουσι διὰ ξηρᾶς, τῶν ῥευμάτων αὐτοῖς ὑποκεχωρηκότων. Ἐπὶ δὲ τούτῳ Ἠλίας ἐπιτρέπει Ἐλισσαῖον τὸ δοκοῦν αὐτῷ αἰτῆσαι, ὡς καὶ ἐσόμενον αὐτῷ, τοῦ Ἠλιοῦ (5) πεποιηκότος. Ὁ δὲ τὸ ἐπ' ἐκείνῳ πνεῦ-

A legens, earum profunditatem vel altitudinem penetrare tentarem, et si inquirerem ea quæ non oportet, aut quæ non securum est inquirere, et si nimio ardore studio incumberem, et si exerceri, et explorare vellem eorum mentem quæ in iis absconduntur, cum non omnibus detur ea et quidquid est a Spiritu sancto, sed iis tantum quibus datum est, penetrare posse et intelligere dogmata a Spiritu sancto prædicata. Ac is est sensus divinæ hujus vocis : « Scrutamini Scripturas; » ea exhortatio non ad omnes pertinet, sed ad eos tantum quibus licet recte invenire quæ in eis continentur, mundum habentibus corpus et linguam et animam et cogitationem, atque ita, cum sine macula sint, divinæ lucis capacibus, ac revelationum initiationumque nostra mente ac vi et natura excelsiorum. Si enim immundis manibus non licet sancta ac pura tangere, sane quamplurimum timendum est ne mens aut cogitatio non mundata nequeat adire et accedere ac pervenire ad ea quæ supra ipsam versentur, neque penetrari valeant, sine perfecto illo candore perfectaque, quam diximus, purificatione.

Attamen quoniam Dei hæ quoque voces sunt : « Quærite, et invenietis, pulsate, et aperietur, » accedimus et nos, quærentes ut inveniamus. Et pulsamus primum mentem, ita ut in attentione vigilemus et humilitate ac contritione cordis; deinde ipsam ducimus ad portas claudentes et celantes divinas Scripturas, eas quidem pulsantem, non absque timore, et cum maximo metu cupientem eas frangi sufficienter ac aperiri, et, quando intus fuerit, nihil privati aut cogitare aut dicere, sed quantum satis erit ut doceatur, tanquam tapete perspicuo velatum neque multitudini manifestum.

Attamen, quoniam hæc principium eorum quæ secutura sunt, supposuimus, hisque se ita habentibus, fiduciam habere nobis licet, ad id tandem venimus, quod nunc quærere debemus. Quid autem illud est? Quod ad Eliam et Elisæum spectat, unum quidem ac difficile, cui plura et majora conjunguntur, quæ eodem egent examine, nec minus difficilia videntur.

Audit enim Elias Deum dicentem ut Elisæum loco ipsius in prophetam ungat; et ungit. Deinde ambo ad Jordanem procedentes, Elias flumen pallio pelliceo percutiens dividit, et per siccum incedunt, fluctibus iis obedientibus. Deinde Elias Elisæo permittit ut a se quidquid placuerit, postulet, tanquam ipsi adfuturum, efficiente Elia. Ille vero postulavit ut spiritus Eliæ duplex super ipsum fie-

(1) Joan. v, 39.
(2) Matth. vii, 7.
(3) III Reg. xix, 7.
(4) IV Reg. ii, 8.
(5) Ob Ἠλίας melius τοῦ Ἠλίου.

ret. Et difficile quidem arbitratus est Elias quod postulatum erat, sed non omnino neque semper. Sed « Si videris me, inquit, quando tollar a te, erit tibi ita ut postulasti. » Et abierunt posteà. Postquam autem abiere, Elisæus currum ignis aspicit, in eoque Eliam statim raptum atque ablatum. Et postquam id vidit, et in petita gratia confidit, statim conversus ad Jordanem, pallio pelliceo et ipse flumen percutit. Illud autem minime obedit, neque finditur neque dividitur ut prius, neque siccum dat Elisæo apud ipsum videre aut transire. Et propheta, cum mœreret quod non modo non duplicem, ut postulaverat, sed ne simplicem quidem spiritum accepisset, atque ignei currus et Eliæ ascensionis spectator factus: et pallium quidem pelliceum idem, et Jordanis idem et in iisdem fluctibus; divisio autem nulla neque eadem ac prius separatio. Quid deinde? Hinc rursus ad Eliam vertitur et illius Deum invocat: in hac prece autem Jordanem rursum percutit, et secat verberans, et illum tanquam per siccam terram transit, neque magis neque minus quam Elias et ejus spiritus, sciens jam se eadem posse.

μα ἐπ' αὐτῷ γενέσθαι δισσὸν αἰτεῖται (1). Καὶ σκληρὸν Ἠλίας τὸ αἰτηθὲν νομίζει, ἀλλ' οὐ καθάπαξ, οὐδὲ μέχρι παντός· ἀλλ', « Ἐὰν ἴδῃς με, » φησὶν, « ἀναλαμβανόμενον, ἔσται σοι οὕτως. » Καὶ ἀπῆσαν ταῦτ' εἰπόντες. Ἐπεὶ δ' ἀπῆσαν, Ἐλισσαῖος ἅρμα πυρὸς βλέπει, ἐπὶ δὲ τούτου Ἠλίαν εὐθὺς ἁρπαγέντα φερόμενον ἄνω. Καὶ ὅτι ταῦτ' εἶδε καὶ τεθάρρηκεν ἤδη τὴν χάριν, καὶ δῆτα, στραφεὶς ἐπὶ τὸν Ἰορδάνην, τῇ μηλωτῇ καὶ αὐτὸς πατάσσει· ὁ δ' οὐχ ὑπείκει (2), οὐδὲ σχίζεται ὡς τὸ πρῶτον οὐδὲ διαιρεῖται, οὐδὲ ξηρὸν οὐδὲν δίδωσιν ἐν ἑαυτῷ οὔτε βλέψαι τὸν Ἐλισσαῖον, οὔτ' ἐπὶ τούτου βῆναι. Καὶ ὁ προφήτης ἐν ἀπορίᾳ, ὅπερ ἤτησε καὶ δὴ λαβεῖν ἤκουσε, μὴ ὅτι γε διπλοῦν, ἀλλ' οὐδ' ἁπλοῦν εὑρηκὼς, καίτοι τοῦ πυρίνου ἅρματος καὶ τῆς τοῦ Ἠλιοὺ ἀνόδου θεατὴς γεγενημένος· καὶ ἡ μὲν μηλωτὴ ἡ αὐτὴ, καὶ Ἰορδάνης ὁ αὐτὸς, καὶ ῥείθροις αὖθις ἐν τοῖς αὐτοῖς· ἡ δὲ διαίρεσις ἥκιστα οὖθ' ἡ τομὴ κατὰ τὸ πρῶτον οὐδέ γε δήπουθεν ἡ αὐτή. Τί λοιπόν; Ἐπιστρέφει αὖθις πρὸς Ἠλίαν, καὶ τὸν ἐκείνου ἐπικαλεῖται Θεόν· ἐπὶ δὲ τῷ ῥήματι τούτῳ τὸν Ἰορδάνην αὖθις πατάσσει, καὶ ῥήγνυσι πατάξας, καὶ ὡς ἐπὶ ξηρᾶς αὐτοῦ διαβαίνει, οὐ πλέον οὐδὲ μεῖζον, ἀλλ' ὅσον Ἠλίας καὶ τὸ ἐκείνου πνεῦμα, γνοὺς εἶναι καὶ αὐτὸς ἤδη δεδυνημένος.

Et hæc quidem ita se habuerunt. Ibi autem quæritur et illud: Quare non obvius, sed durus Elias Elisæi postulationi occurrit, tanquam invidia actus neque patiens se minus habere quam eum qui ab ipso unctus erat? Quæritur autem, et maxima difficultate abundat illud, quod Elias in oculis Elisæi currum ascendat et sursum currat, Jordanis vero ab Elia divisus Elisæo resistat, neque cedat, neque obediat: et hæc sunt spiritus qui super illum erat, et juxta preces Elisæi, duplex super Elisæum factus erat. Non enim verisimile erat mentitum esse Eliam, neque quisquam id dicere auderet. Sed quid?

Καὶ ταῦτα μὲν οὕτως. Ἐνταῦθα δὲ ζητεῖται μὲν κἀκεῖνο, τί ὅτι μὴ προσηνὴς, ἀλλὰ σκληρὸς Ἠλίας ἐπὶ τὴν τοῦ Ἐλισσαίου αἴτησιν ἁπάντᾳ, ὡς ὑπὸ φθόνου δήπου γε ἠγμένος καὶ μὴ ἀνεχόμενος ἔλαττον ἔχειν τοῦ ὑπ' αὐτοῦ χρισθέντος. Ζητεῖται δὲ, καὶ πλείστης ὅσης ἔστι μετέχον τῆς ἀπορίας, καὶ τὸ Ἠλίαν μὲν ἐν ὄψεσιν Ἐλισσαίου ἐφ' ἅρματος βῆναι καὶ δραμεῖν ἄνω, Ἰορδάνην δ' ὑπ' αὐτοῦ τμηθέντα πρὸς Ἐλισσαῖον ἀντέχειν, καὶ μηθ' ὑποχωρεῖν μήτε καθυπείκειν, καὶ ταῦτα τοῦ ἐπ' ἐκείνῳ πνεύματος, κατὰ τὸ δοκοῦν Ἐλισσαίῳ, διπλοῦ ἐπὶ τούτῳ γεγενημένου· οὐ γὰρ ἦν εἰκὸς ψεύσασθαι Ἠλίαν, οὐδ' οὐδεὶς ἂν εἶποι. Ἀλλὰ τί;

Sed nondum hoc. Sed de priore credo oportere nos prius loqui.

Ἀλλὰ μήπω τοῦτο· ἀλλὰ περὶ τοῦ πρώτου καὶ χρῆναι οἶμαι ἐρεῖν ἡμᾶς πρῶτον.

Queritur ac moleste fert et dolet Elias, quando Elisæus contendit quod ignorabat ille ac nesciebat Eliæ spiritum. Oportebat enim ut ille non eum spiritum, neque eum duplicem postularet. Nunc autem idem est ac si quis sciens divitiarum thesauros esse apud aliquem, thesauros quidem sciret, numerum vero nesciret, sed minores eos ac dimidios credens, duplices eos peteret; atque ita quærens, eos ipsos, et neque iis plures postularet.

Δυσχεραίνει καὶ δυσανασχετεῖ καὶ σκληρύνεται Ἠλίας, αἰτησαμένου τοῦ Ἐλισσαίου, ὅτι δὴ ἀγνοῶν ἦν οὗτος καὶ μὴ τὸ πᾶν εἰδὼς τοῦ κατ' ἐκεῖνον πνεύματος· ἔδει δὲ οὐ τοῦτο, οὐδὲ διπλοῦν αὐτὸν αὐτὸ ζητῆσαι. Νῦν δ' ἐστὶ ταυτὸν, ὥσπερ ἂν εἴ τις, παρ' ἑτέρῳ χρημάτων θησαυροὺς εἰδὼς, τοὺς μὲν θησαυροὺς ᾔδει, τὸν δ' ἀριθμὸν οὐκ ᾔδει, ἀλλ', ἐλάττους καὶ τοὺς ἡμίσεις ἴσως νομίζων, διπλοῦς αὐτοὺς ἐζήτει· οὕτω δὲ ζητῶν, αὐτοὺς ἐκείνους, καὶ οὐχὶ τῶν ὄντων πλείους, ἐζήτει.

Quis enim major spiritus ac vis in prophetam fieret quam posse voce aquam in cœlis coercere ac stabilire, et sursum manere, cum tamen natura nequeat cogi ac manere, et per determinatum tempus, eam coacervare ita ut voce rursum ruere

Τί γὰρ ἂν πλέον καὶ γένοιτο ἐπὶ προφήτῃ πνεύματος καὶ ἰσχύος, ἢ ὕδωρ μὲν ἐν οὐρανοῖς γλώττῃ δεδυνῆσθαι πεδῆσαι (3) καὶ ἱδρύσαι, καὶ μένειν ἄνω μὴ πεφυκὸς καρτερεῖν βιάσασθαι καὶ μένειν, καὶ τοσοῦτον ἐπὶ χρόνον, εἶτ' ἀθρόον, ὥστε ῥυῆναι

(1) IV Reg. II, 9: Καὶ εἶπεν Ἐλισσαῖε· Γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ.

(2) IV Reg. II, 14.

(3) III Reg. XVII, XVIII.

τῇ γλώττῃ αὖθις πρᾶξαι καὶ κατὰ γῆς ἐκχύσαι· πῦρ δ' ἄνωθεν ἑλκύσαι κάτω, τόπον οὐχ ἕτερον, αὐτὸν δ' ἔχον τὸν ἄνω, ἐπεὶ δ' ὤθησεν ἐπὶ θυσίαν, οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ ὕδωρ ὅπερ ἐπ' αὐτὴν ἔβαλε, καὶ πάντα τὰ περὶ αὐτὴν, ἀνάλωσε συμφλέξας (1); Πάντως δὲ οὐδὲ τοῦτο μικρὸν, ὅτι ἄρτῳ βραχεῖ καὶ ὕδατι βραχεῖ καὶ τῇ δυνάμει τῆς βρώσεως ταύτης τεσσαράκοντα ἡμέρας ἐπορεύθη καὶ τεσσαράκοντα νύκτας (2). Ἀλλά τι καὶ εἰς Σάραφθα (3) ἦκε, καὶ ἦν ἤκουσε χήραν, ἐπειδὴ, παρ' αὐτῇ γενόμενος, παρ' αὐτῇ δήπου καὶ ἦν σκηνώσας, ὅρα μοι κἀκεῖ τίνα καὶ ὅσα καὶ οἷα τὰ θαύματα· τὸ περὶ τὴν ὑδρίαν τοῦ ἀλεύρου κενουμένην καὶ μήποτε λείπουσαν, ἀλλ' αἰεὶ πληρουμένην· τὸ περὶ τὸν καψάκην τοῦ ἐλαίου ὡσαύτως ἔχον (4). Ὅτι δὲ καὶ νεκρὸν τὸν τῆς αὐτῆς χήρας παῖδα Ἠλίας ἤγειρε (5), τί τις ἂν φαίη τούτου μεῖζον; Τῶν τοίνυν τοιούτων καὶ τοῦ ἐνεργοῦντος ταῦτα πνεύματος τὸ διπλοῦν τί ποτ' ἂν γένοιτο καὶ ὅσον; Ἀλλ', « Ἐὰν ἴδῃς με, » φησὶν (6), « ἀναλαμβανόμενον, » σχεδὸν τοῦτο λέγων· « Ἐπεὶ μὴ ταῦτά σοι ἀποχρώντως μηδ' ἱκανῶς ἔχει πρὸς ἀπόδειξιν τοῦ ἐν ἐμοὶ πνεύματος, ἀλλ' οὐκ ἔτι καὶ ὑπὸ πυρὸς ἅρματος ἁρπαγέντα με καὶ λαμβανόμενον (7) ἰδὼν ἄνω, οὐκ ἂν πλέον τοῦ ἐν ἐμοὶ ὄντος καὶ μεῖζον οὔτε νομίσοις οὔτ' εἶναι παρὰ σοὶ ζητήσοις, πλέον πάντως καὶ γνοὺς; ἐξ αὐτῆς ὄψεως τοῦτο καὶ γοῦν διδαχθεὶς τοῦ νῦν σοὶ καὶ νομιζομένου καὶ τοῦ γε πρὸς τὴν αἴτησιν κατ' αὐτὴν ἐρχομένου.

eam jubeat et in terram effundat; ignem vero ab alto attrahere, non alium habentem locum, nisi illum superiorem; postquam autem eum in victimam injecit, non modo eam, sed et aquam, quam in ipsam infudit et omnia quæ circa ipsam erant, complexus est ac incendit. Neque illud parvum est quod exiguo pane, ac exigua aqua et cibi hujus virtute quadraginta dies incessit et quadraginta noctes. Dein venit in Sarephtha, et apud viduam diversatus est aliquandiu Vide tunc quæ et quanta et quot miracula. Vide hydriam farinæ vacuefactam et nunquam deficientem, sed semper repletam; olei vide lagenam eodem modo se habentem. Quod ejusdem viduæ mortuum filium Elias suscitaverit, quid hoc majus diceretur? Eorum igitur talium operantisque talia Spiritus, duplum quale et quantum esset! Sed, « Si videris me, inquit, sursum ablatum: » quasi diceret: « Quoniam hæc non tibi sufficiunt ut demonstretur qualis sit qui in me est spiritus, sed videns me raptum et sursum ablatum neque plus quam in me est neque majus esse credes, neque apud te majus esse concupisces, majus ex ipso visu illud sciens et igitur edoctus quam prius credideras et cujus desiderio tenebaris. »

Ἀλλὰ ταῦτα μὲν ἐφ' οἷς καὶ περὶ τῶν κατὰ τὸν Ἠλίαν καὶ Ἐλισσαῖον διηπορημένοι ἐσμέν· ὁ λόγος δὲ προαχθεὶς ἐφ' ἕτερα μείζω καὶ ὑψηλότερα, ἐχόμενα τῶν λελεγμένων, ἄγει.

Sed ea quidem sunt in quibus ambigimus de Elia et Elisæo. Sermo autem ad alia majora et excelsiora adductus, præcedentibus tamen conjuncta, nos ducit.

Καὶ γὰρ ἐν τοῖς Εὐαγγελίοις ἄγγελος φαίνεται τῷ Ζαχαρίᾳ· καὶ δὴ φανεὶς καὶ περὶ παιδὸς αὐτῷ τοῦ Ἰωάννου εὐαγγελιζόμενος, « Ἔσται μέγας, » φησὶ (8), « καὶ αὐτὸς ἐν πνεύματι καὶ δυνάμει προελεύσεται Ἠλιού. » Καὶ σκόπει μοι κἀνταῦθα τὸ κατὰ τὸν Ἠλίαν ὅσον καὶ οἷον μέγα καὶ μέγιστον, μηδενὸς ὄντος ἄλλου, μήτε πλείονος μήτε μείζονος, ὥστε τοῦτο περὶ τοῦ παιδὸς εὐαγγελίσασθαι τῷ Ζαχαρίᾳ.

Etenim in Evangeliis angelus apparet Zachariæ; et postquam apparuit et de filio Joanne prophetizans: Erit, inquit, magnus, et ipse procedet in spiritu et virtute Eliæ. Et hic etiam considera quantum et quam excelsum et sublime sit quod ad Eliam spectat, cum nihil sit aliud neque celsius neque majus quod de filio Zachariæ evangelizari possit.

Σκόπει δὲ καὶ αὖθις, Χριστοῦ ταῖς φωναῖς προσσχών (9), Χριστοῦ τοῦ Θεοῦ, τοῦ καὶ δι' ἀγγέλου τὰ εἰρημένα λελαληκότος· « Οὐκ ἐγήγερται, » λέγει (10), « μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου τοῦ Βαπτιστοῦ· » τοῦ ποίου τούτου; τοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοὺ ἐλθόντος. Ἀλλὰ κἀνταῦθα τὸ συμβαῖνον ἄπορον, οὐχὶ μικρὸν πάντως. Εἰ γὰρ ὁ Βαπτιστὴς τῶν λοιπῶν πάντων καὶ προφητῶν μείζων, τί οὐχὶ καὶ ἐν μείζονι πνεύματι, οὐδ' ἐν

Considera et rursum, Christi vocibus attendens Christi Dei, per angelum nota illa verba dicentis: « Non surrexit, inquit, major inter natos mulierum Joanne Baptista. » Qualis erat Joannes? In spiritu et virtute Eliæ venerat. Atque quod hic occurrit, non caret difficultate, neque omnino parvum est. Si enim Baptista cæteris omnibus vel prophetis major est, quid est quod non in majore spiritu, neque in majore virtute, sed in iisdem

(1) III Reg. XVIII, 38. — Forsan συμφλέξαν. Elias ὤθησε καὶ ἔβαλε· ignis, πῦρ ἀνάλωσε συμφλέξαν.
(2) III Reg. XIX, 6, 8.
(3) III Reg. XVII, 9; πορεύου εἰς Σαρεπτά.
(4) III Reg. XVII, 16.
(5) III Reg. XVII, 17.
(6) IV Reg. II, 10.
(7) Legerim fere ἀναλαμβανόμενον. Excidit præpositio, quod fieri amat.
(8) Luc. I, 15, 17.
(9) Sic προσσχόντες supra. Nil mutandum in hoc auctore. Grammaticus Bachm. Anecd. t. II, p. 369, ait πρόσχες esse Atticorum, idque δι' εὐφωνίαν. Idem tradit scholiastes in Pauli Silent. Thermas v. 12: Τὸ πρόσχες διὰ δύο σσ ὤφειλε γράφεσθαι· ἐπεὶ δὲ κακόφωνον ἐγένετο οὕτως, ἀποβάλλει τὸ ἓν σ.
(10) Matth. XI, 11.

ac ipse Elias? Aut quomodo salvum erit illud majus quam apud Eliam, si Elias nihil minus, sed idem habuerit? Quis autem minor quidem Baptista, major vero illo in regno cœlorum?

πλείονι δυνάμει, ἀλλ' ἐν τοῖ. αὐτοῖς καὶ ἴσοις ἥκει τῷ Ἠλιού; ἢ πῶς περισωθήσεται τὸ μεῖζον αὐτῷ, τοῦ Ἠλιοὺ μηδὲν ἧττον μηδ' ἔλαττον, ἀλλὰ ταυτὸν ἐσχηκότος; Τίς δὲ καὶ ὁ μικρότερος μὲν τοῦ Βαπτιστοῦ, μείζων δ' αὐτοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (1);

Sed accipe prius a me quæ prius et ab angelo dicta sunt. «Convertet enim, inquit de Joanne, multos de filiis Israel ad Dominum Deum ipsorum. Deinde addit: « Et ipse præcedet in spiritu et virtute Eliæ. » Averterant enim tunc filii Israel vultum et corda eorum a facie Dei; averterant inde et converterant ad Baal, et ipsum sequebantur, et omnia hæc quæ et historiæ et libri referunt, contra altaria Dei, contra ejus sacerdotes, dirissima facta sunt. De illis irascitur Elias, et mala illa in eos qui fecerunt convertit, et in prophetas opprobrium et in sacerdotes indignationem, et liberat Israel ex suo errore, et ad Deum rursum convertit. Illo igitur spiritu, illa virtute opus erat, ut multos filiorum Israel converteret, et ei submissos salvaret. Et illud est, opinor: « In spiritu et virtute Eliæ venturus est. »

Ἀλλ' ἐκεῖνά μοι πρῶτα, τὰ καὶ παρὰ τοῦ ἀγγέλου πρῶτα, λάβε. « Ἐπιστρέψει » γὰρ, περὶ τοῦ Ἰωάννου φησί (2), « πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν· » εἶτ' ἐπάγει· « Καὶ αὐτὸς προελεύσεται ἐν πνεύματι Ἠλιοὺ καὶ δυνάμει. » Ἀπέστρεψαν μὲν γὰρ καὶ τότε οἱ τοῦ Ἰσραὴλ τὸ πρόσωπον καὶ τὰς καρδίας αὐτῶν ἀπὸ προσώπου Θεοῦ· ἀπέστρεψαν ἐκεῖθεν καὶ ἐπέστρεψαν ἐπὶ Βάαλ, καὶ ὀπίσω αὐτοῦ ἠκολούθησαν (3), καὶ πάντ' ἐκεῖνα, ὅσα καὶ ἱστορίαι καὶ βίβλοι φέρουσι, κατὰ θυσιαστηρίων Θεοῦ, κατὰ τῶν ἱερέων αὐτοῦ, δεινότατα κατεπράχθη (4)· ζηλοῖ δ' ἐπὶ τούτοις Ἠλίας (5), καὶ στρέφει τὰ κακὰ ταῦτα κατὰ τῶν πεπτηχότων (6) καὶ τῶν γε προφητῶν τῆς αἰσχύνης (7) καὶ ἱερέων τῶν προσοχθισμάτων (8), καὶ ῥύεται τὸν Ἰσραὴλ ἐκ τῆς πλάνης, καὶ ἐπὶ Θεὸν αὖθις στρέφει. Ἐκείνου καὶ γοῦν τοῦ πνεύματος, ἐκείνης κἀνταῦθα τῆς δυνάμεως ἔδει, πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ὥστε τὸν Βαπτιστὴν ἐπὶ Θεὸν αὐτοὺς ἐπιστρέψαι, καὶ ὑπ' αὐτῷ γε τούτους σεσῶσθαι. Καὶ τοῦτ' ἐστὶν, οἶμαι, τὸ ἐν πνεύματι αὐτὸν ἐλεύσεσθαι καὶ τῇ αὐτῇ τῷ Ἠλιοὺ δυνάμει.

Superest demonstrandum, et quid præterea? quomodo major est Baptista. Eo ipso baptismate quod perfecto in Christo perfectionem antecedit, et populum ipsi præparat, non modo ex filiis Israel, sed ex omni natione ac genere hominum; neque illud modo, sed quod et Christus ad ipsum venit, et, inclinato capite, baptisma recipit, ille ipse qui agnus Dei est, et omnia mundi peccata tollit, et in baptismate purificat; ipse est Christus qui minor quidem Joanne reputatus, major tamen illo est. Etenim in omni baptismate, cum aliud ad baptizantem pertineat, aliudque ad baptizatum, qui baptizat baptizato major esse videtur. Sed non eodem modo de Christo est, cum Deus sit, et aqua baptizantem baptizet spiritu, sine quo baptismate non licet in regnum cœlorum introire. Hujus perfecti baptismatis et Joannes fit particeps. Quomodo autem? Manu quidem purissimum caput in aqua

Λείπεται δεῖξαι — καὶ τί λοιπόν; — δι' ὃ καὶ μείζων ἐστὶν ὁ Βαπτιστής· αὐτὸ δὲ τοῦτ' ἔστι τὸ βάπτισμα, πρόδρομον ὂν τοῦ τελείου καὶ ἐν Χριστῷ, καὶ λαὸν ἑτοιμάζον κατεσκευασμένον αὐτῷ, οὐκ ἐκ παίδων Ἰσραὴλ μόνον, ἀλλὰ καὶ παντὸς ἐξ ἔθνους καὶ γένους ἀνθρώπων παντὸς, καὶ οὐ τοῦτο δὲ μόνον· ἀλλ' ὅτι καὶ Χριστὸς πρὸς αὐτὸν ἔρχεται καὶ, κλίνας τὴν κορυφὴν, τὸ βάπτισμα καταδέχεται· αὐτὸς οὗτος ὁ καὶ ἀμνὸς ὢν τοῦ Θεοῦ καὶ τὴν τοῦ κόσμου πᾶσαν αἴρων ἁμαρτίαν (9), καὶ καθαίρων ἐν τῷ βαπτίσματι, οὗτός ἐστι Χριστὸς, ὁ καὶ μικρότερος μὲν τοῦ Βαπτιστοῦ νομιζόμενος καὶ αὖθις ὢν μείζων. Καὶ γὰρ ἐπὶ παντὸς τοῦ βαπτίσματος, τοῦ μὲν εἰς Βαπτιστὴν τελοῦντος, τοῦ δ' εἰς βαπτιζόμενον, ὅ γε βαπτίζων τοῦ βαπτιζομένου μείζων εἶναι δοκεῖ· ἀλλ' οὐχ οὕτως ἐπὶ Χριστοῦ, Θεοῦ ὄντος καὶ τὸν βαπτίζοντα ὕδατι βαπτίζοντος πνεύματι (10), οὗ δὴ πνεύματος καὶ χωρὶς οὐκ ἔστιν οὐδ' εἰσελθεῖν

(1) Matth. xi, 11: Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν. In explicando difficili hoc, sed mystico, Evangelii loco, refutandisque quorumdam sententiis suaque exponenda, versatur Phot. Epist. 135, quæ legatur diligentissima.

(2) Luc. i, 16.

(3) III Reg. xviii, 18, 21: Καὶ εἶπεν Ἠλιού . . . Ἐπορεύθης ὀπίσω τῶν Βααλίμ. . . εἰ ἔστι Κύριος ὁ θεὸς, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δὲ Βάαλ, πορεύεσθε ὀπίσω αὐτοῦ.

(4) III Reg. xix, 10: Ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραὴλ, τὰ θυσιαστήριά σου κατέσκαψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ.

(5) III Reg. xix, 10: Καὶ εἶπεν Ἠλιού· Ζηλῶν ἐζήλωκα τῷ Κυρίῳ παντοκράτορι.

(6) III Reg. xx, 21: Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ κακά. Verba sunt Eliæ.

(7) III Reg. xviii, 25: Καὶ εἶπεν Ἠλιοὺ τοῖς προφήταις τῆς αἰσχύνης.

(8) III Reg. xvi, 33: Καὶ ἔστησε (Achab) θυσιαστήριον τῷ Βάαλ ἐν οἴκῳ τῶν προσοχθισμάτων αὐτοῦ. Ibid. xviii, 29: Καὶ ἐλάλησεν Ἠλιοὺ ὁ Θεσβίτης πρὸς τοὺς προφήτας τῶν προσοχθισμάτων. Suidas in Μελχόμ· Προσοχθίσματα γὰρ καὶ βδελύγματα τὰ εἴδωλα προσαγορεύειν εἰωθεν ἡ Γραφή. Vide ibi Ernest. in Glossis sacris p. 89, coll. pag. 119.

(9) Joan. i, 29: Ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Verba sunt Baptistæ, cum ad eum accederet Jesus baptizandus.

(10) Matth. iii, 11: Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι. . . ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν. . . αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Cf. Luc. iii, 16.

εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τοῦ τοιούτου βαπτίσματος τελείου ὄντος καὶ Ἰωάννης ἐν μεθέξει γίνεται (1). Γίνεται δὲ πῶς; χειρὶ μὲν ἐν ὕδατι τῆς ἀχράντου κορυφῆς ἁπτόμενος, Πατρὸς δ' ἄνωθεν ἀκούων μαρτυροῦντος (2), Πνεῦμα δ' ἐν ὀφθαλμοῖς περιστερᾶς ἐν εἴδει καταβαῖνον ἰδών (3), καὶ τοῦτον δὴ τὸν τρόπον τῆς Τριάδος ὅλης οὕτω φανερωθείσης αὐτῷ, εἰ μὲν βούλει, εἰς βάπτισιν, ὁ ἐμὸς λόγος, εἰ δ' οὖν, εἰς ἔλλαμψιν· ἧς δὴ παντουργοῦ Τριάδος καὶ τὸ πᾶν ἐστι τῆς τοῦ βαπτίσματος χάριτος, τὸ πᾶν ἐστι καὶ τὸ τῆς σωτηρίας ἡμῶν ἐς αὐτὴν βεβαπτισμένων, καὶ τὴν ὁμολογίαν ἀσφαλῆ καὶ ἀκραιφνῆ φυλαττόντων, μηδέν τι τοῦ ὀρθοῦ παρενηνεγμένην, μηδὲ ταράττον μηδὲ συγχέον μηδὲν ἔχουσαν, καὶ τὸ στερρὸν αὐτῆς σαλεῦον καὶ περιτρέπον αὐτήν. A tangens, Patrem vero desursum audiens testificantem, Spiritum autem oculis sub columbæ specie descendentem videns; et hoc modo tota Trinitate ipsi se manifestante, sive in ablutionem velis, sive in illuminationem. Cujus omnipotentis Trinitatis est omnis baptismatis gratia, et omnis nostrum qui in ipsa baptizati sumus salus, et fidelem ac puram servamus confessionem, nihil a recto aberrantem, neque quidquam confusionis aut impuritatis habentem, et quod ipsius firmitatem agitare aut labefactare valeat.

(1) Ipse Joannes Baptista ad Jesum verba faciens in Evangelio Matthæi III, 14 : Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

(2) Matth. III, 17 : Καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. Cf. Marc. I, 11 ; Luc. III, 22.

(3) Matth. III, 16 ; Marc. I, 10 ; Luc. III, 22 ; Joann. I, 32.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΔΙΑΘΗΚΗ

ΚΑΙ ΠΡΟ ΤΗΣ ΤΕΛΕΥΤΗΣ ΩΣ ΕΠ' ΑΥΤΗ ΤΗΤΕΛΕΥΤΗ ΤΗ ΔΙΑΘΗΚΗ ΜΙΚΤΟΣ ΣΥΝΤΑΚΤΗΡΙΟΣ.*

Σπουδάζει δὲ πρῶτον δεῖξαι ὅτι κρεῖττον καὶ λυσιτελέστερον ἐν ὑγείᾳ σταθερᾷ καθεστῶτας διατίθεσθαι, ἢ νόσον ἀναμένειν λύουσαν, καὶ ἡμέραν ἐσχάτην χωρίζουσαν τῆς ζωῆς. Ὁποίας δ' ὁ λόγος ἔτυχεν οἰκονομίας, ἀριζούσης ἐντέχνως καὶ κατὰ καιρὸν ἑκάστῳ τὸ πρόσφορον, ὡς μήτε τι τῶν δεόντων εἰρῆσθαι δόξαι παραλειφθῆναι, μήτε τὸ ἐξ ἀνάγκης ταπεινὸν παρεμπίπτον, καὶ ὃ μὴ ἔστι φυγεῖν, ὑπεκλύειν καὶ πάνυ τι χαυνοῦσθαι καὶ χαλᾶν τὸν τόνον ποιεῖν, εἰδεῖεν ἂν οἱ τὸν λόγον ἐπιμελῶς μετιόντες.

NICEPHORI CHUMNI

TESTAMENTUM

ET ANTE MORTEM, TANQUAM IN IPSA MORTE TESTAMENTO MIXTUS SERMO VALEDICTORIUS.

Ostendit primo melius esse ac utilius in firma sanitate testamenta componere quam labantem, exspectare et ultimam vitæ diem. Quanta autem prudentia sit oratio, perite accommodans et opportune unicuique, quod convenit, ita ut nihil eorum quæ dicenda sunt, omittatur, neque ex necessitate orta debilitas, quæ vitari nequit, dissolvat aut infirmet aut relaxet sonum, animadvertent quicunque orationem hanc attente adibunt.

Ἔθος τοῦτο σχεδὸν τοῖς πᾶσιν, ἢ τοῖς γε πλείστοις, ἐπὶ τὰ τελευταῖα τοῦ βίου καὶ τὴν τούτου κατάλυσιν ἀφικνουμένοις, περὶ διαιρέσεις τῶν ὑπαρχόντων καὶ μερισμοὺς, καὶ οἷς ἂν βούλοιντο κλήρους προσγενησομένους, τὴν σπουδὴν ἔχειν, καί γε τὴν ψυχὴν αὐτὴν, πρὸς τὴν ἔξοδον ἐπειγομένην, ἐθέλειν B Solent fere omnes, aut saltem plerique, in vitæ exitu et appropinquante dissolutione, de dividendis bonis et distribuendis, quibus voluerint hæredibus, curam agere, et animam ipsam, jam ad exitum impulsam, rursum ad sollicitudines ac labores, qui ipsam minime decent convertere. Mihi quidem

* E codice 2105, p. 245, 2.

mirum videtur, si homo, in ipsa ultima die constitutus, non jam omnes rebus terrestribus adhærentes cogitationes rejecerit, sed, adhuc, de propriorum bonorum cogitationibus, imo vero de bonis ipsis sollicitus sit, convertatque se ad ea quæ mundana sunt, dum ad alia jam vocatur, nesciens in quænam, utrum in jucunda, an in tristia, et quæ in æternum protenduntur; neque ad illud tantum et constanter aspiciat, quo, anima soluta a corpore, ab ducentibus transmittenda est, nesciens quisnam ipsam accepturus sit locus, utrum supplicii an quietis? Hanc porro doctrinam et disciplinam habemus, ut præsentem vitam, mortis meditationem faciamus, quæ bene futurum sæculum nobis præparabit et commode nos huic adaptabit. Et beati qui his hortationibus totam mentem adhibentes, totam vitam iis submittere, cum iisque vivere conantur.

Quando autem quis eas in oblivione posuerit, mortemque ipsam tanquam vitæ hujus rerum meditationem fecerit, his adhortationibus contradicens, me, ut dicebam, ille in stupefactionem injicit, cum hoc modo ultimis diebus et in ipso fine utatur. Etenim si velis, dum jam te pungit mors, testamenta conficere, aliunde vero non sustines a bonis decidere, quidni omne vitæ tempus mortis tempus reputes, et priusquam vere finis adveniat, ad ipsum respiciens, scribas?

Etenim res ita se habet: cum nati simus mortales, una nobiscum gignitur quæ vitam dissolvit corruptio et fluxus. Et sane nobis in viam et vitæ cursum incidentibus non modo licet ab initio constanter animadvertere quem ad finem requiescere debeamus, sed jam in his quæ prætereunt, aspicere possumus adjunctam corruptionem. Vita enim nostra tanquam in vestigiis tota incedit, et mors accurrens ac comitans id quod vita transacta reliquit, id statim accipit comprehenditque, et omnibus vitæ partibus fluentibus transeuntibusque occidimur, quæque jam morti adjiciuntur. Ita ut, si mors te in timorem injiciens, ultima die te testamentum conficere cogit, quidni et hodie, illa regnante (et quanta possideat, omnino vides), testamenta scribis, corpus quidem validum habens, mente vero nondum violento morbo turbata, neque ea cogitatione cum formidine agitatus, quod nempe jam moreris.

ποιεῖσθαι (1). Καὶ μακάριοί γε οἱ ταύτῃ νουνεχῶς τείαν ὅλην σπουδάσαντες ὑποθέσθαι τῇ παραινέσει,

Ὅταν δέ τις μὴ μόνον ταύτης κατωλιγωρηκὼς φανείη, ἀλλὰ καὶ τὸν θάνατον μελέτην ὡσανεὶ τιθῆται (3) τῶν ἐν βίῳ πραγμάτων, πρὸς τοὐναντίον παντελῶς τοῦ παραγγέλματος ἥκων, ἔμοιγε, ὅπερ ἔφην, οὐ πόρρω θαύματος ὁ τοιοῦτος, τοῦτον δὴ τὸν τρόπον τοῖς ὑστάτοις καὶ τῇ τελευτῇ κεχρημένος. Καὶ γὰρ, εἰ βούλει, νύττοντός σε τοῦ θανάτου, γράφειν διαθήκας, ἄλλως δ' οὐκ ἀνέχῃ δοκεῖν ἐκπίπτειν τῶν προσόντων, τί μὴ καὶ πάντα τὸν ζωῆς χρόνον θανάτου χρόνον γε λογίζῃ, καὶ, πρὶν ἢ καθαρῶς τὸ τέλος ἀφικέσθαι, πρὸς αὐτὸ γράφεις βλέπων;

Καὶ γὰρ οὕτως ἔχει· θνητοῖς ἡμῖν γε γεννωμένοις συναποτίκτεταί πως καὶ ἡ τὴν ζωὴν αὐτὴν λύουσα φθορὰ καὶ ῥεῦσις. Καί γε παρὰ τὴν ὁδὸν ἐμπεσοῦσι καὶ τὸν δρόμον τοῦ βίου μὴ μόνον ἔστιν ἡμῖν ἐξ ἀρχῆς ἀπταίστως ἐνορᾶν πρὸς ὃ δὴ καὶ καταπαύσομεν τέλος, ἀλλ' ἤδη καὶ ἐν τοῖς καθ' ὥραν ζῶμεν, ἐν τούτοις ἔστι συνορᾶν καὶ τὴν φθορὰν εὐθὺς παρεζευγμένην· ὡς γὰρ ἐν ἴχνεσί τισι βαινούσης τῆς ζωῆς ἡμῶν ἁπάσης καὶ τοῦ θανάτου παραθέοντος καὶ συμπαρομαρτοῦντος, ὅπερ ἐκείνη παρῆκε διαβᾶσα, τοῦτ' εὐθὺς αὐτὸς μεταδεξάμενος ὀφέλει, καὶ νενεκρώμεθα λοιπὸν πᾶσι τοῖς τῆς ζωῆς μέρεσι ῥέουσι καὶ παρερχομένοις, καί γε τῷ θανάτῳ προσγιγνομένοις. Ὥστ', εἴπερ ὁ θάνατός σε δεδιττόμενος ἐπὶ τῆς τελευταίας βιάζεται διαθηκῶν μεμνῆσθαι, τί μὴ καὶ τὴν σήμερον, ἐνδυναστεύοντος τούτου (καὶ βλέπεις πάντως ὁπόσον ἐγκαταλαμβάνῃ), γράφεις τὰς διαθήκας, ἐῤῥωμένως μὲν ἔχων τοῦ σώματος, μή πω δὲ τὸν νοῦν διεφθαρμένος ἐκ κραταιᾶς κατασεισάσης νόσου, μηδὲ τὴν διάνοιαν οὐμενοῦν ὑπὸ δέους ἔχων ὅτι θνήσκεις τεθορυβημένην;

(1) Nobilis est Ciceronis locus Tusc. 1, 30: « Tota philosophorum vita, ut sit idem (Plato), commentatio mortis est. » Vide Wyttenb. ad Phædon. p. 207, et in Philom. t. III, p. 96. Joannes Climac. p. 145: Καὶ θαῦμα ὄντως, πῶς καὶ Ἕλληνές τι τοιοῦτον ἐφθέγξαντο, ἐπεὶ καὶ φιλοσοφίαν, τοῦτο εἶναι ὁρίζονται, μελέτην θανάτου. Seneca Epist. 26: « Meditare mortem. » Adde Diogenem Epist. 10 init. in Notit. Mss. t. X.

(2) Codex sic; sed olim fuit προσαχόντες. Conf. not. 9, col. 1386.

(3) Relinquo ὅταν φανείη καὶ τιθῆται, cum videantur sic ab auctore ipso, non a librario, relicta.

Οἷον γὰρ δὴ καὶ τοῦτο, ὅταν πυρετὸς λάβρος (1) ἀναφλεχθεὶς ἐκτήκῃ, κρείττω καὶ ἰατρῶν τέχνης καὶ πάσης ἄλλης μηχανῆς τὴν ἀκμὴν ἔχων, καὶ τὴν φθορὰν καὶ λύσιν κατεργαζόμενος· εὐτόνως, καί γε τὸν δεσμὸν παραλύων τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος, ἢ ὅταν ῥῖγος ἐπεισφρῆσαν τὸν ὅλον συγκλονῇ σωματικὸν ὄγκον, καὶ τὰ τούτου πέρατα καταλαμβάνῃ νεκροποιὸν ψῦχος, τοῦ ζωτικοῦ πνεύματος συστελλομένου καὶ βίᾳ περὶ τὴν καρδίαν ἀναχωροῦντος, εἶτα προσιών τις διαλέγηται περὶ γραμμάτων τὴν οὐσίαν καταμεριζόντων καὶ ἀποταττόντων κλήρους τοῖς ἔτι τῷ βίῳ περιεσομένοις, καὶ ὁ μὲν ταῦτα συμβουλεύῃ, ὁ δὲ, πρὸς τὴν ἀκοὴν εὐθὺς παταχθεὶς δεινῶς τὴν καρδίαν, ἑαυτὸν τῆς μακρᾶς πλάνης καὶ τῆς πολλῆς ἐκείνης ματαιότητος ταλανίζῃ, ὑφ' ἧς ἠγνόει τὸν πάντα τῆς ζωῆς χρόνον κατειλημμένος, καὶ διελέγχῃ δὴ τότε τὸ παρεστὼς αἴφνης τῆς ἀπλανοῦς συναισθήσεως τοὺς μόχθους ἐκείνους καὶ πᾶσαν αὐτῷ τὴν προτέραν σπουδὴν εἰκῇ καὶ μάτην ἐκπεπονῆσθαι καὶ πρὸς οὐδὲν ὄφελος ἀπαντῆσαι; ὅταν γοῦν ταῦτα, καὶ τοιούτοις ἐνασχολουμένῳ τῷδε τοῖς λογισμοῖς προσεπιτιθῶνται καὶ τῶν γνησίων εἰσὶν οἱ καὶ τῶν ξένων, οἱ, χρέος ὥσπερ αὐτοῖς ἀνάγκης ἐξ ἁπάσης ἐπωφλημένον, χρήματα ἐκείνου καὶ πράγματα διαλαβεῖν ἐκζητοῦντες, καί γε βιαζόμενοι συμμερίσασθαι τὰς κτήσεις, οἷον δὴ καὶ τοῦτο; Ὁ μὲν γὰρ διαιρεῖ κατὰ τὴν οἰκείαν, οὐ μὴν δὲ κατὰ τὴν ἐκείνων ἑκάστου βούλησιν, οὐδέ γε κατὰ τὴν ἄπληστον ἕφεσιν· καὶ αὐτοὶ λοιπὸν δυσανασχετοῦντες ἀποστρέφονται τὴν χάριν, ὁ μὲν πλέον εἰσπράττων ἢ ὅσον ἐκεῖνος ἐκὼν εἶναι δίδωσιν, ὁ δὲ τὴν ἴσην μοῖραν δυσχεραίνων καὶ μὴ πάνυ τι καταδεδεγμένος· ἔστιν ὃς καὶ τὸ νεμηθὲν ὅλον ἀπείπατο τελέως, καὶ ἡ πρόφασις εὐπρεπὴς καὶ τὸ δικαίωμα γενναῖον· « πολλῷ γὰρ πλεῖον, » φησὶ, « νομίσας, βεβαίαις ἐν ἐλπίσιν ἐθάρρουν· » οὐ μὴν ἀλλὰ, καὶ τοῦ καιροῦ καλοῦντος πρὸς οἰμωγὰς καὶ θρήνους, οἱ δὲ, γνωμης ἀπλησταίᾳ, δάκρυα πάντα καὶ τὸ πενθεῖν παρωσάμενοι, ἐς μάχας πολλάκις καὶ πρὸς ἀλλήλους χωροῦσι, τὸν τοῦ πάθους καιρὸν ἔριδος ὠσανεὶ καιρὸν καὶ πολέμου τιθέντες.

Quidnam patieris quando te adurens febris consumet, medicorum arte et alia quavis validior, ac violenter corruptionem dissolutionemque operabitur, solvetque animæ et corporis vinculum; aut quando frigus sensim procedens omnem agitabit corporis molem, extremasque partes occupabit ubicumque mortem ferens; quando vivificans spiritus coercebitur et in cor tandem recedet, ac deinde aliquis accedens, tecum aget de codicillis bona tua dividentibus hæreditatesque tuas iis qui supererunt assignantibus, tuque, statim ac audieris corde vehementer turbatus, teipsum a longo errore et perpetua illa vanitate avertes, qua tota vita deceptus es nesciens, convincerisque statim certo intellectu omnes illos labores omnemque priorem curam vane impensam fuisse nec quidquam utile habuisse? Quando hæc igitur agi cœperint, et quando illi talibus occupato supervenient vel extranei, qui tanquam ex necessitate debitas illius res ac divitias comprehendere nitantur, propriaque ipsius bona sibi ipsis distribuere cogant, quid inde evenit? Hic enim dividit pro sua voluntate, non juxta uniuscujusque eorum beneplacitum, neque juxta inexpletam cupiditatem. Et illi indignantes gratiam renuunt, alius quidem plura exspectans quam quæ ille volens ac libens tradit; alius vero æqualem tantum sibi partem donari non fert, nec seipsum non plus accipere. Est qui totum quod ipsi concessum est rejiciat, prætextumque decentem jusque generosum adhibeat: « Multo majora, inquit, exspectabam, et firma spe nitebar. » Sed tamen, dum tempus ad lamenta ac gemitus invitat, alii eo quod non iis pro mente successerit in pugnas sæpius abeunt, lacrymas doloremque omittentes, doloris tempus, belli ac litium tempus designantes.

Καὶ τὰ ἐντεῦθεν τίνα; Ὁ, τρόπον ὃν ἔφημεν, κατηπειγμένος πρὸς τὴν ἐκδημίαν, τὰ μὲν ταῖς ἐκείνων χαυνωθεὶς καὶ μαλακισθεὶς, ἅμα δὲ καὶ καθυφεὶς λογομαχίαις, τὰ δὲ βουλόμενος ἑαυτὸν ἀπαλλάξαι, ἀπαλλαττόμενον ἤδη τοῦ βίου, καὶ τῆς ἐκτόπου ταύτης ἐπηρείας καὶ περὶ αὐτόν τε καὶ τὸ δίκαιον ἀγνωμοσύνης, ἀφεὶς τὰ κατὰ γνώμην ἐν διαθήκαις γράφειν, γράφει τὰ τῆς τυραννίδος. Εἶτα τὰ γράμματα τελευταίαν φασὶ βούλησιν καὶ ἀκίνητόν τινα διαθήκην, καὶ ὡς ἔξεστιν οὐδενὶ ἀθετεῖν καὶ παραποιεῖν· καὶ τοιαῦτα οἱ βιασάμενοι ἰσχυρὰ καὶ γενναῖα τοῖς ἀπροαιρέτοις καὶ κατηναγκασμένοις ἐπιψηφίζονται.

Et quæ postea sequuntur? Qui, quo modo diximus, ad mortem ita adductus est, eorum quidem vanis sermonibus debilitatus ac mollitus et subactus, seipsum jam vita liberatum, volens quoque liberare ab insana hac insolentia, non in testamentis pro libitu disponit, sed juxta meram tyrannidem. Deinde codicilli ultimam dicunt voluntatem et immobile quoddam testamentum, et tale ut nemini liceat illud avertere et contemnere. Talia igitur jusserunt fieri, et valida ac rata decernunt quæ non voluntarie, sed coacte facta sunt.

Ἀλλ' οὐκ ἐγὼ οὕτως· ἀλλ', ὅπερ ἐκ παντὸς τρόπου δοκιμάσας ἐν τοῖς τοιούτοις ἄριστον ἔγνων, τοῦτ' ἤδη καὶ ἐπὶ τοῖς ἐμαυτοῦ πράξω. Τὸ δέ ἐστι (2);

Non ita ego. Quod omnimodo optimum esse in talibus expertus sum, id jam in propriis faciam. Quid autem illud est?

Νῦν, ὅτε νόσου μηδὲν ἐνοχλεῖ, νῦν, ὅτε μὴ κατα-

Nunc, cum nullus me impedit morbus, cum non

(1) Cod. λαῦρος.
(2) Sic codex. Forsan Τί δέ ἐστι; τόδε δέ ἐστι τί;

In lecto solutus recumbo, neque de vita non modo incertum est num hujus futura sit crastina dies, sed jam et de hodierna differunt inter se medici et pugnant, dum alii spiritum usque ad vesperam iturum esse contendunt, alii vero circa sextam aut nonam aut quam aliam ex arte aut ignorantia statuerunt horam, dissolvendam esse animam dicunt et a corpore erupturam ; cum nihil veri aut manifesti ipsis dicentibus et affirmantibus apparet, neque rursum interrogantibus ; sed cum totum corpus valet, valetque ratio propria operari et recte discernere ; nunc cum nemo me turbat aut agitat, statui testamentum meum conficere, et confectum est, nihil coacti aut inconsulti continens.

Et optimum est illud omnino et universis apud omnes judices sententiis, et quantum mihi quidem videtur, apud reliquos etiam homines. Omnes enim leges et legislatores id ante omnia, ut ita dicam, examini subjiciunt, et quam maximam rei hujus rationem habent, testamenta fuisse confecta, dum testatoris mens in sanitate, tanquam in solido fundamento, stabilita erat. Ac bene quidem id curaverunt legiferi et judices, quippe quod justissimum omnium sit. Ut e contrario impium prorsus est, si quis aliquid econtra violenti adhibeat.

Si igitur hæc ita se habent (ac prorsus ita se habent), quandonam magis decet examinantes fidem scriptis adhibere firmam, neque dubitare, quam cum ambulanti ac valenti et vim habenti quidquid agendum sit, agenti, ac toti in se et in suis cogitationibus bene disposito, quæ ipsi visa sunt, composita fuere ? Et sane qui in extremis testamenta curant conficiuntque, illud et curant ante alia quam maxime ostendere eum nempe validum fuisse cum testamenta confecit, etsi revera mente ac lingua defecerit ; quasi nihil omnino prætendentibus testamenta auxiliarentur, si quid ejusmodi defuerit.

Habe igitur et hæc circa ea : et animadverte mentem et linguam valentis, et ægrotantis, robusti, et membris deficientis, vigore dissoluto. Examina et cogitationem minime impeditam et circa proprios motus liberam neque ullo morbo agitatam et perversam, et ægrotationis pondere ac torpore vinctam : et adhuc quam maximo timore laborantem animam et valde turbatam, jam se dissolvi sentientem, et a sensibus recedentem organaque relinquentem, vix voce respirantem ac loquentem, et, si minus obscure et interruptis verbis, sed prorsus invitam et coactam. Hæc itaque animadverte : et nisi velis veritate offendi, vim tribue iis quæ manifeste ex entibus revera et apparentibus stabiliuntur ; et omnes, tu sane legislator et recto utens

A λύων ἐπὶ κλίνης εἰμὶ, μηδὲ περὶ ζωῆς, μὴ μόνον ἀμφίβολος ἡ αὔριον εἰ ταύτης ἔσται, ἀλλ' ἤδη καὶ περὶ τῆς σήμερον, ἰατροὶ διαφέρονται καὶ ζυγομαχοῦσιν, οἱ μὲν δὴ καὶ πρὸς ἑσπέραν ἥξειν καὶ ἀρκέσειν τὰς ἀναπνοὰς φιλονεικοῦντες, οἱ δὲ περὶ ἕκτην ἢ ἐννάτην, ἤ ἥντινα ἐκ τῆς τέχνης ἢ τῆς ἀμαθίας κατεσκόπησαν, ὥραν λυθῆναί φασι τὴν ψυχὴν τοῦ σώματος ἀπορράγεῖσαν, γνωστὸν δ' οὐδὲν ἐπὶ τοῦ ὄντος οὐδὲ δῆλον οὔτ' αὐτοῖς τοῖς λέγουσι καὶ λίαν ἰσχυριζομένοις, οὔτ' αὖ τοῖς πυνθανομένοις · ἀλλ' εὐεκτεῖ μὲν ὅλον τὸ σῶμα, κύριοι δ' οἱ λογισμοὶ ὁρᾷν τὸ ἑαυτῶν καὶ ὀρθῶς κρίνειν · νῦν, ὅτε ταῦτα, μηδενὸς ὄντος τοῦ ταράττοντος καὶ θορυβοῦντος, δεῖν ἔγνων ἀπειργάσθαι μοι τὴν διαθήκην (καὶ ἀπείργασται), μηδὲν βίαιον τῇ ψυχῇ μηδ' ἀβούλητον ἔχουσαν.

B Καὶ κράτιστόν γε τοῦτο πάντως καὶ παρὰ κριταῖς πᾶσι ψήφοις ἁπάσαις, καὶ παρ' ἀνθρώποις, ἔμοιγε δοκεῖν, τοῖς λοιποῖς ἅπασιν. Αὐτίκα γὰρ καὶ νόμοι πάντες καὶ νομοθέται τοῦθ', ὡς ἔπος εἰπεῖν, πρὸ παντὸς ἄλλου διασκοποῦνται, περὶ τούτου καὶ τὸν ὅλον ποιοῦνται λόγον, ἐπ' ἀκραιφνοῦς τινος τῆς τοῦ συντάττοντος γνώμης, ὡς ἐπ' ἀσφαλοῦς τινος, ἱδρῦσθαι τὰ διατάγματα. Καὶ καλῶς γε τοῦτο σὺν τοῖς νομοθέταις καὶ τοῖς δικασταῖς διεσπούδασται, ἅτε δὴ καὶ δίκαιον ὂν παντὸς μᾶλλον · ὡς τοὐναντίον παντελῶς ἀνόσιον, εἴ τι δηλονότι παρὰ τοῦτο κραταιοῦν τις βιάζεται.

C Εἰ γοῦν τοῦθ' οὕτως ἔχει (ἔχει δὲ πάντως), πότε μᾶλλον εἰκός ἐστι τοῖς ἐξετάζουσι περὶ τῶν γεγραμμένων βεβαίας ἀφίχθαι τὰς πίστεις, καὶ μηδαμῶς αὐτοὺς ἀμφιβάλλειν, ἢ ὅταν ὑγιαίνοντι καὶ βαδίζοντι, καὶ μετ' ἰσχύος σύμπαν τὸ πρακτέον καθιστᾷν ἔχοντι, καὶ ὅλῳ γε τῷ διατιθεμένῳ ἑαυτοῦ καὶ τῶν λογισμῶν ὄντι, τάττηται τὰ δεδογμένα. Καὶ μὴν οἱ ἐν τοῖς τελευταίοις σπουδασταὶ καὶ συγγραφεῖς τῶν συνταγμάτων, τοῦτο καὶ σπουδάζουσι μᾶλλον πρὸ τῶν ἄλλων δεικνύναι, ἐῤῥωμένως ἔχοντα τὸν καταλύοντα νοὸς καὶ γλώττης ἴσχειν πρὸς τὰς διαθήκας, ὡς τοῦ γέ τινος τούτων αὐτὰς ἀπολελεῖφθαι μηδὲν εἶναι ποιοῦντος τοῖς προϊσχομένοις ἥκιστα εἰς συμμαχίαν.

D Ἔχε (1) δὴ τοίνυν περὶ ταῦτα καὶ σὺ, καὶ σκόπει νοῦν καὶ γλῶτταν ὑγιαίνοντος· τὸ ὅλον, καὶ κατανοοῦντος, εὐρωστοῦντος, καὶ τὰ μέλη διαπεπτωκότος, τοῦ ψυχικοῦ τόνου παραλελυμένου. Σκόπει μοι καὶ διάνοιαν ἀκώλυτον παντάπασι καὶ ἐλευθέραν περὶ τὰς ἰδίας κινήσεις, μηδὲν ὑπ' οὐδενὸς πάθους μηδαμῶς σαλευομένην καὶ περιτρεπομένην, καὶ νόσου πεπεδημένην βαρύτητι καὶ νάρκῃ. Ἔτι δὲ καὶ τὴν ὑπὸ δέους ὅτι πλείστου ἀγωνιῶσαν σκόπει ψυχὴν καὶ μάλα τι τεθορυβημένην, αἰσθομένην ἤδη τῆς λύσεως, καὶ τῶν μὲν αἰσθητηρίων ἀναχωροῦσαν καὶ ἀπορῥηγνυμένην ὀργάνων, τοῖς δὲ φωνητικοῖς ὀλίγον ἐμπνέουσαν καὶ ἐνεχοῦσαν, καὶ, εἰ μὴ τὸ πλέον ἄσημον καὶ παρακεκομμένον, ἀλλ' οὖν τὸ ὅλον ἀποτρόπαιον καὶ κατηναγκασμένον. Σκόπει δὴ

(1) Quem compellet nescio ; ex sequentibus imperatorem adloqui suspicari quis poterit.

ταῦτα· καὶ, εἴ γε μὴ βούλει λυμαίνεσθαι ταῖς ἀληθείαις, δὸς τὸ κράτος τοῖς καὶ προδήλως ἐκ τῶν ὄντων καὶ φαινομένων κρατιστουμένοις, καὶ πάντας, ὅ γε δίκαιος σὺ νομοθέτης καὶ τῶν ὀρθῶν μεταποιούμενος ψήφων, τάττε ἰσχυροὺς ὄντας καὶ ἀκμαίους ἐν ῥώμῃ σώματος καὶ ὑγείαις, ἀλλὰ μὴ καταπαλαιούσαις νόσοις καὶ παραλυούσαις τοῦ ζῆν ἀγωνιῶντας καὶ κατατεινομένους, διαθηκῶν μεμνῆσθαι. Καὶ ἅμα δικασταῖς ἐνδίκως ἐπίτρεπε τοῖς τοιούτοις μᾶλλον τῶν διαταγμάτων προσανέχειν καὶ ὅλου; ἑαυτοὺς ἐπινέμειν, τῶν ἑτέρως γιγνομένων μὴ τὸν ἴσον λόγον ἥκιστα πεποιημένους. Ταῦτα δὴ νομοθέτει, καλῶς ἐπεσκεμμένος, καὶ τοῦ δικαίου μὴ μόνον, ἀλλά τι καὶ τοῦ συμφέροντος τῷ τε κληροδοτοῦντι καὶ τοῖς κληρονομοῦσιν. ὡς εἰκὸς, προμηθούμενος.

judicio, jube validos et corpore ac sanitate robustos, non vero frangentibus ac dissolventibus morbis laborantes et agitatos, testamenta conficere. Ac simul judicibus juste præcipe ut talibus testamentis præsertim adhæreant ac se totos impendant, minime rationem eamdem eorum quæ aliter fiunt, habentes. Hanc legem feras, bene consulens, et non modo justitiam, sed et utilitatem intendens tum testatoris, tum hæredum ipsorum.

Πῶς τοῦ συμφέροντος; πρῶτον μὲν ὅτι κατ' ἐξουσίαν πᾶσαν, ὅπερ ἔφην, μηδὲν ἐκείνος βιασθείς, μηδ' ὑπ' οὐδενὸς ἔχων σπαρασσομένην τὴν καρδίαν, ἀλλ' ἀνέτως πράττων καὶ ἐλευθέρως τὰ δεδογμένα, οἶδε καὶ διαιρεῖν καὶ πρυτανεύειν προσηκόντως καὶ ὡς αὐτῷ συνοίσει καὶ ζῶντι καὶ ἀποιχομένῳ· ἔπειθ' ὅτι καὶ οἱ τὰς μερίδας λαγχάνοντες οὐδὲν αὐτῷ προσκόψουσιν, οὐδ' ἐπαχθεῖς τινες ἔσονται καὶ βαρεῖς, συνεπιτιθέμενοι μετὰ τῆς νόσου, καί γε τὸν τῆς περιστάσεως καιρὸν πρὸς τὴν πλεονεξίαν καὶ κακὴν ἐπιθυμίαν προσλαμβάνοντες σύμμαχον, ἀλλὰ στέρξουσι τοῖς νεμηθεῖσι, σαφῶς εἰδότες ὡς οὐδὲν αὐτοῖς ὀμενοῦν ἔσται πλέον βιασαμένοις, ἅμα δὲ καὶ δεδιότες μὴ τοῦ παντὸς ἐκστήσονται διαπεσόντες, ἀχαριστίαν ἐπὶ τοῖς δωρεὰν ἥκουσι καταγνωσθέντες. Ἔξεστι γὰρ εὐθὺς καὶ ἐπιδιατάττεσθαι καὶ τῆς διαθήκης παντελῶς τοὺς ἀγνώμονας ἐξορίζειν, τοῖς δ' εὐγνωμονοῦσιν ἀμεταχίνητον ποιεῖν ἑστάναι τὴν χάριν· οἷς καὶ συνήνεγκε πάντως, χωρὶς ἔριδος ἁπάσης καὶ φιλονεικίας καὶ τῆς ἐπὶ δικαστήρια καὶ δικαστὰς ἕλξεως, ἀπειληφόσιν ἐν τῇ προθεσμίᾳ τοὺς κλήρους, πολλῷ μὲν πρότερον ἀπονενεμημένους, τότε δ', ὡς ἔδοξε τῷ διελόντι, σφίσιν αὐτοῖς εἰσποιηθέντας.

Quomodo utilitati consules? Quia omnino libere, ut dicebam, neque coactus, neque ullo modo agitatum cor ferens, sed libenter ac libere, quæ ipsi bona videntur faciens, scit et dividere et procurare convenienter, quidquid utile erit tum viventi, tum defuncto; deinde quia qui partes obtinuerint, neque in ipsum infenso animo erunt, neque ei importuni et molesti, una cum morbo eum prementes, et ipsum calamitatis tempus cupiditatis et malæ ambitionis auxiliarium adhibentes; sed contributis contenti erunt, bene scientes nihil sibi ipsis amplius futurum, si vim adhibeant, simul vero metuentes ne ab omnibus destituantur, si ingratos se pro gratuito donatis ostendant. Licet enim statim aliud testamentum conficere, et ex eo omnino ingratos excludere, gratis vero immobilem statuere donationem; quibus et contulit omnino absque lite ac controversia et ante tribunalia ac ad judices citatione, præstituto die hæreditatem accipientibus, multo ante distributam, tunc, ut distributori placuit, eas suas fecisse.

Καὶ τοίνυν δόξαν μεγαλοψυχίας, ἅμα δὲ καὶ φιλοτιμίας καὶ τῆς περὶ τὸ παρέχειν ἐλευθερίας, πότε μᾶλλον δικαίως ἀποίσεταί τις, ἐκ τῶν ἐνόντων καὶ ὧν ἀπολαύειν ἔχει δοκῶν ἀπονέμειν, ἢ τῶν ἀλλοτρίων μεταδιδούς, καὶ ὧν ἄκων ἐκπίπτειν νενόμισται καθάπαξ. Καὶ γὰρ ἐν τοῖς τελευταίοις μηδὲν τῶν ἰδίων ἔχων μεθ' ἑαυτοῦ φέρειν, πάντων δ' ἀπωσμένος, καὶ τοσοῦτον δυνάμενος αὐτῶν συμμετέχειν ὅσον καὶ τῶν μηδέποτε προσγεγενημένων, κἂν πάντα προοῖτο τοῖς βουλομένοις, οὐδὲν μᾶλλον οἰκεῖα δοκεῖ ἢ νόθα καταχαρίζεσθαι· ἃ γὰρ μὴ δεδύνηται κατέχειν, μεθῆκε. Καὶ γοῦν οὐδ' ἔτι τότε οὐδέ γε τοῖς ἐμπαθεστάτοις πρὸς οὐδὲν τῶν παρόντων οὐδεμία προσπάθεια· πῶς γάρ; οἷς ἤδη μὴ μόνον κτημάτων καὶ πραγμάτων, ἀλλά τι καὶ τοῦ σώματος λύσις καὶ ἀπόθεσις γίγνεται. Διὰ τοῦτο καὶ οὐδὲ θερμοί τινές εἰσιν οἱ τῶν ἐκείνου μεταλαγχάνοντες ὁμολογεῖν αὐτῷ καὶ πάνυ τι τὴν χάριν ἀπομνημονεύειν· ἀλλ' ἀμβλυτέραν ὡσανεὶ πρὸς τοῦτο δείκνυνται τὴν γνώμην, ἐφ' οἷς αὐτοῖς ἐκεῖνος ὑγιαίνων καὶ τρυφῶν μηδ' ἔβαλεν εἰς νοῦν, μηδ' ὅσον ἐν γραφαῖς, τῶν προσόντων μηδ' ὁποσονοῦν ἀπονεῖμαι.

Atque igitur magnanimitatis et honoris et in dando liberalitatis opinionem sibi acquiret justius, si ex eis quæ ipsi liberum est dare et quibus frui potest, dare videtur, quam si ipsi jam externa et e quibus excidere invite creditur. Etenim in extremis nihil proprii secum ferre valens, omnibusque denudatus, eaque distribuendi capax quasi nunquam ad se pertinuissent, etsi omnia cupientibus cederet, non magis propria donare videtur, quam aliena; quæ enim jam non valet continere, dimisit. Nec enim tunc vel generosissimis remanet ullus ad præsentium quodlibet affectus. Quomodo enim remaneret? Quibus jam non modo divitiarum ac opum, sed et corporis dissolutio fit et depositio. Idcirco non ardent qui bona ejus percipiunt, illi gratias agere ejusque meminisse; sed ad id mollem ostendunt mentem, eo quod ille, cum sanitate frueretur et deliciis, non statuerit, ne scripto quidem, bona sua ipsis distribuere.

Καὶ περὶ ψυχῆς δὲ ἥντινα τότε μνείαν καὶ τῶν δεομένων ποιεῖται βοηθεῖν αὐτῇ δεδυνημένων, νε-

Et de anima, quam nunc eorum, quæ ipsam adjuvare queant, mentionem facit, eam, ut ita

dicam mortuam et inanem facit, neque ullo modo Deo gratam, cum neque lex vetus infirmi aliquid aut emortui in sacrificium adhiberet. Quoniam enim id quod offertur, vitam nunquam cessantem remunerationem habet, quomodo inane offerretur? quomodo et abominandum, ut jam mortis particeps?

Et sane etsi quis plurimi faceret tanquam viventia mortuo dona remanere, neque prorsus corrumpi, eo quod non pro tempore neque quando dignum erat, sed ut ita dicam, morticina facta sint, quoniam iis pro anima tempus adest (ut quibusdam visum, et mihi quoque videtur), cum adhuc mens et corpus robore ac sanitate florent, ad testamenta eundum est, et bona dividenda, et quibus placet, concedenda, eo quod qui in extremis constitutus bona dividit, nullam sibi a nemine honoris aut gratiæ confessionem vindicat. Sed adhuc gratiores facit eos qui in hæreditates veniunt et parvi sunt, quo diutius et longiore tempore noverunt quantum lucri facturi sint per eos qui ante se perceperunt; neque in fine, etsi minus desiderio et cupiditate ferantur aut indigne et ægre sustinent, aut in concedentem indignantur, et pro gratis irati fiunt. Abit vero et emigrat tranquillus qui moritur, quoad illos saltem, neque ab ullo quolibet modo turbatur. Et sane quicumque cum eo conjuncti sunt tali hujus solius temporis ac rei sunt, solisque abeuntis ac defuncti hujus quem amant, meminere, ac de ejus morte dolent, ad illud unum spectantes neque ullius alterius rei rationem habentes neque quidquam aliud cogitantes quod dolorem ac præsentem statum deceret.

Absque dubio quivis eum laudat, qui priusquam finis adveniat, ad illud aspicit, recte sane ac bene dispositus. Laudo et ego et plus quam alii, nec alio modo oportere statui de meis pro voluntate disponere. Et sic dispono.

Igitur id primum omnes scire ac bene scire volumus, et qui nunc meo testamento adsunt, et qui futuro illud tempore legent, nos nihil ex injustitia, quantum in memoriam redit, conscios esse post maturum examen laboremque, bonis nostris addidisse, quæ multa sunt, Dei misericordia ac dono; frequentibus quoque hujus beneficiis, qui nobis cum divina sanctitate imperat. Neque, cum ipsius misericordia plurimum posse visi sumus, nemo est ex iis qui nostræ potestati subjecti sunt, qui violentas aut tyrannicas aut affligentes manus nostras expertus sit, ingemueritque a nobis quidquam mali perpessus. Neque extraneorum cupiditate ac mutatione minores visi sumus. Ideo nihil nos

A χράν τινα ταύτην, ὡς εἰπεῖν, καὶ ἀχερδῆ ποιεῖται. καί γε μὴ παντάπασιν, ἐμοὶ δοκεῖν, Θεῷ κεχαρισμένην, ὅτι μηδ' ὁ πάλαι νόμος ἄῤῥωστον οὐδὲν οὐδ' ἄπνουν (1) ἦγεν εἰς θυσίαν. Ζωῆς γὰρ μή ποτε ληγούσης τὸ προσενηνεγμένον ἀνταλλαγὴν ἔχον, πῶς ἂν ἀχρεῖον καὶ ἀνενεχθείη; πῶς καὶ βδελυκτὸν, νεκρότητος μετέχον;

Ἀμέλει τοι καὶ εἴ τις ποιοῖτο περὶ πλείστου ζώσας ὡσανεὶ καὶ τεθνεῶτι τὰς δωρεὰς αὐτῷ μένειν καὶ μὴ παντάπασί γε διεφθάρθαι, ἅτε δὴ καὶ μὴ κατὰ καιρὸν καὶ ὅτ' εἰκὸς ἦν, θνησιμαίας δ', ὡς εἰπεῖν, γιγνομένας, ἀντὶ ψυχῆς ὄντος τοῖς πράγμασι τοῦ καιροῦ, ὥς τισιν ἔδοξε κἀμοὶ συνδοκεῖ, νοῦς αὐτῷ καὶ σώματος τετονωμένων καὶ ῥώμῃ καὶ ὑγείαις ἀκμαζόντων, ἰτέον πρὸς τὰς διαθήκας, καὶ B διαιρετέον τὰς ὑπάρξεις, καὶ προσαρμοστέον οἷς ἂν αἱροῖτο, ὡς τοῦ γε πρὸς τοῖς ἐσχάτοις ἀφιγμένου τὰς διανομὰς σπουδάζειν ἐμπαρέχειν οὐδεμίαν αὐτῷ παρ' οὐδενὸς ἔχοντος οὔτε φιλοτιμίας οὔτε χάριτος ὁμολογίαν. Ἔτι τε καὶ πλέον εὐγνώμονας ποιεῖ τοὺς εἰς τοὺς κλήρους ἐρχομένους, καὶ μικροὺς αὐτοὺς ὄντας, τὸ πόῤῥωθεν αὐτοῖς προσεθισθῆναι καὶ πλείονι τῷ χρόνῳ, πᾶν ὅσον κερδανοῦσιν ἐκ τῶν προειληφότων ἄνωθεν ἐπεγνωκότας· καὶ οὐδέν εἰσιν ἐπὶ τέλους, κἂν ἔλαττον ἀπυφέρωνται τῆς ὀρέξεως καὶ τῆς ἐπιθυμίας, οὔτε δυσανασχετοῦντες καὶ χαλεπαίνοντες, οὔτ' αὖ νεμεσῶντες τῷ χορηγοῦντι καὶ ἀντ' εὐχαρίστων γιγνόμενοι ὀργίλοι. Ἅπεισι δὲ καὶ ὁ τὴν ἐκδημίαν στελλόμενος ἀτρέμας, τό γε κατὰ τούτους, παρὰ μηδενὸς μηδὲν τεθορυβημένος. Καὶ C τοίνυν πάντες οἱ συνιόντες αὐτοῦ δὴ τούτου μόνου καὶ γίγνονται τοῦ παρόντος καιροῦ καὶ τοῦ πράγματος, καὶ τοῦ χωρισμοῦ καὶ τῆς ὑποχωρήσεως τοῦ ποθουμένου, καὶ τοῦ γε ἐπ' αὐτὸν πένθους, πρὸς οὐδὲν ἄλλο βλέποντες, μηδὲ περὶ μηδενὸς ἑτέρου ποιούμενοι τὸν λόγον καὶ τὰς στροφὰς τῶν λογισμῶν ὁρωμένους.

Ἀμέλει τοι καὶ πᾶς τις ἐπῄνησε τὸν οὕτω τὰ καθ' ἑαυτὸν, πρὶν τὸ τέλος ἀφικέσθαι, πρὸς τοῦτο πόῤῥωθεν ἀποβλέποντα, εὖ γε καὶ καλῶς διαθέμενον. Ἐπαινῶν δὲ κἀγω καὶ πλέον τῶν ἄλλων, οὐχ ἕτερον ἢ τοῦτον δὴ τὸν τρόπον δεῖν ἔγνων τὰ κατὰ γνώμην ἐπὶ τοῖς ἐμοῖς ἐκθέσθαι· καὶ διεκτίθημι.

Καὶ τοίνυν τοῦτο πρῶτον πάντας εἰδέναι καὶ πάνυ τι ὀρθῶς εἰδέναι βουλόμεθα, τούς τε νῦν παρόντας τῷ διατάγματι καὶ τοὺς τῷ χρόνῳ ὕστερον συνεσομένους, ὡς οὐδὲν ἡμεῖς ἐξ ἀδικίας, ὅσον ἐπὶ μνήμης ἥκει, ἑαυτοῖς σύνισμεν πανταχόθεν ἐξετάζουσι καὶ βασανίζουσιν, οὐμενοῦν εἰς προσθήκην ἐπὶ τοῖς προσοῦσιν ἐσπουδακόσι, πολλοῖς αὐτοῖς οὖσιν, οἰκτιρμοῖς Θεοῦ καὶ χορηγίαις, ἔτι δὲ καὶ συχναῖς τισιν εὐποιίαις τοῦ θεοφιλῶς ἡμῶν καὶ ὁσίως κρατοῦντος (2). Οὐδ' ἐπειδὴ καὶ δεδυνῆσθαι ὑπ' αὐτῷ ἐλεοῦντι πλεῖστον ἐδόξαμεν, οὐδένες τῶν ἀνθρώπων τῆς ἡμετέρας χειρὸς καὶ δύναμεως, οὔτε τινὸς βίαιας καὶ τυραννικῆς οὔτ' ἐκθλιβούσης οὐδαμῶς, ἐπειράθησαν, οὐδ' ἐπεστέναξεν οὐδεὶς ἐπ' οὐδενὶ τῶν ἐαυ-

(1) De conditionibus hostiarum in vetere lege vid. Levit. c. XXII.
(2) Imperatoris, scilicet.

τοῦ, κακῶς ὡς πεπονθὼς ὑφ' ἡμῶν. Οὐδέ γε τῶν ἀλλοτρίων ἐπιθυμίας οὐδεμιᾶς καὶ μεταποιήσεως ἧττους ἐφάνημεν. Διὰ τοῦτο καὶ ὀφείλειν οὐδέν φαμεν οὐθ' ἁπλοῦν οὔτε πολλαπλοῦν (1) ἀποδοῦναι, ὡς συκοφαντήσαντες ἢ βίᾳ καὶ πονηρῶς ἀφελόμενοι. Παντὸς γὰρ μᾶλλον τὸ ἀδικεῖν ἐχθρὸν ἡμῖν ὂν διαφερόντως ἐμισήθη, καὶ πᾶν τὸ ἐξ αὐτοῦ ἑδδελύχθη ὡς βλαβερὸν καὶ πολέμιον. Καὶ μὴν καὶ τοῖς ἄλλοις διεγενόμεθα συμβουλεύοντες, οἷς καὶ προσῆκον ἦν ἡμῶν συμβουλευόντων ἀκοῦειν· καὶ συχνοί τινες ἐπὶ τούτοις ἡμῖν λόγοι ἐξεπονήθησαν, προσανέχειν μὲν ἀεὶ δικαιοσύναις, φεύγειν δ' ἐκ παντὸς τρόπου τὴν ἀδικίαν.

A deberedicimus'neqnequidquam aut simplex aut multiplex reddere nobis incumbit, ut sycophantis accidit et iis qui violenter et injuste aliquid abstulerunt. Injustitia enim nobis odio plus quam quodlibet fuit, et quidquid ex ea oritur, abominandum nobis fuit, ut funestum et hostile. Imo et aliis consilia dedimus, quos decebat nos consulentes audire; et frequentes a nobis de iis orationes elaboratæ sunt, hortantes ut justitiam amplectantur, injustitiam vero omnimodo fugiant.

Διὰ τοῦτο καὶ παραιτεῖσθαι νῦν οὐκ οἶδ' ὅτι δεῖ ἢ καὶ περὶ συγγνώμης δεῖσθαι, ἐγνωσμένων δή τινων ἡμῖν ὄντων, τῶν γε πρὸς ἀνθρώπους καὶ κακὰ ἡμῖν μεγάλα σφόδρα βουληθέντας καλῶς ἐξειργασμένων. Συνέβη γὰρ ἐμοὶ παρὰ πολλῶν καὶ τοῦτο μέγα δὴ καὶ μέγιστον ἐπηρείας, χαλεπῷ τινι βληθέντων φθόνῳ, ἐξ οὐδεμιᾶς δ' ἄλλης οὐδαμῶς λόγον ἐχούσης αἰτίας κεκινημένων· ὑπὲρ ὧν καὶ τότ' ἔφην, « Ἴλεως αὐτοῖς εἴης, Κύριε, » καὶ νῦν δέ φημι, « καὶ τῆς ὀργῆς σοῦ μηδαμῶς, τῆς δ' ἐπὶ πᾶσιν οἷς ἂν δέοιντο χρηστότητος πεῖραν λάβοιεν καὶ φιλανθρωπίας, καὶ μὴ στήσαις αὐτοῖς μήτε ταύτην, μήθ' ἑτέραν ἰσχύσασαν ἐν καρδίαις αὐτῶν, ἁμαρτίαν. »

Quapropter non credo mihi implorandam esse aut orandam veniam, cum nobis succurrant quæ in homines qui malis permagnis nos opprimere voluerunt, bene egerimus. Mihi enim accidit ut multi valde et plurimum nocuerint, dira invidia sollicitati, neque ulla alia rationis aliquid præferente causa impulsi. Pro quibus et tunc dicebam : « Sis iis misericors, Domine, » et nunc dico ; « Nunquam iram tuam experiantur, bonitatem vero illam et misericordiam sentiant, quam in omnes illa indigentes effundis, neque statuas illis aut hoc, aut aliud, quodcunque in cordibus eorum inoleverit, peccatum. »

Τοῖς βασιλεῦσι δ' ἡμῶν, εἰ καὶ μὴ πᾶν ὅσον εἰκὸς ἦν καὶ πρὸς χρέος δίκαιον ἦκον ἀποχρώντως ἀποδεδώκαμεν (οὐδὲ γὰρ ἦν, οὔτ' ἔστι πρὸς τὰς εὐεργεσίας (ὁρᾶτε δ' αὐτὰς ὁπόσαι, καὶ τὰς ὑπερβολὰς ὁρᾶτε τοῦ μεγέθους) τὸ ἱκανὸν ἐκπλῆσαι), ἀλλά γε τὸ πᾶν ὁπόσον οἷόν τε ἦν ἐς πλεῖστον ἐξ ὅλης ψυχῆς, ὅλης καὶ καρδίας καὶ διανοίας, ἀποδεδώκαμεν, καὶ εἰ μὴ τῆς ἀξίας ἐφικνούμενον (τοῦτο γὰρ παντὸς μᾶλλον ἀδύνατον), ἀλλὰ τῆς ἡμετέρας οὐκ ἐλλεῖπον δυνάμεως. Εἰ δέ τι καὶ συνεισηνέγκαμεν ἐκ τῆς πάνυ ταύτης προθυμίας ἐς τὰ κοινῆ χρήσιμα καὶ πάνδημον τὴν λυσιτέλειαν ἔχοντα, ταῖς σοφαῖς τοῦ βασιλέως ἐξυπηρετούμενοι μὴ λίαν ἀγεννῶς βουλαῖς καὶ γνώμαις, οὐκ ἐμὸν ἂν εἴη λέγειν, τοῦ δ' ἐγκρίναντος εἰς τοῦτο μοίρας καὶ διακονίας ἡμᾶς· παρίημι καὶ αὐτῇ τῇ ἀληθείᾳ λέγειν (2) καὶ παριστάνειν, διαβολῆς καὶ συκοφαντίας καὶ φθόνου παντὸς γενναιοτέραν τὴν ἰσχὺν ἐχούσῃ καὶ τὴν φωνὴν ὑψηλοτέραν, ἐπειδὴ καὶ πάντων ἰσχυρότερον, ἐμοὶ δοκεῖν, ἡ ἀλήθεια (3)· ὥστ', εἴ τις καὶ ζῶσιν, εἴ τις καὶ τεθνεῶσιν, εἰκῆ καὶ μάτην ἡμῖν ἐπηρεάζειν ἐθέλει, οὐδὲν αὐτῷ πλέον ἔσται, τῶν πραγμάτων, ἅμα δὲ καὶ τῶν ἐπὶ τούτοις βαθέως συνιέντων καὶ ὀρθῶς εἰδότων κρίνειν, ἀντεπιδοώντων. « Μυῖαι σαπριοῦσιν ἔλαιον, » φησὶν ὁ εἰπὼν (4), καὶ τὰ καλὰ ὁ φθόνος βουλήσεται (5), μὲν, οὐ δυνήσεται δὲ παρὰ τοῖς νοῦν ἔχουσι καὶ δικαίως ἐξετάζειν καὶ, διαιτᾷν αἱρουμένοις.

B

C

D

Οὐ μὴν ἀλλ', ἵνα μὴ περὶ τούτου πολλὰ λέγειν ἔχοντες, καὶ πάντα καθεξῆς πειρώμενοι λέγειν, ἐτέ-

Attamen, ne cum, de eo multa dicere possimus, si singula dicere tentaremus, aliam viam quam

(1) Vetere lege sancitum erat ut, pro surrepto bove uno, quinque redderentur, quatuor oves pro una. Exod. xxii, 1.

(2) An excidit τοῦτο?

(3) Veritas παγκρατὴς dicta fuit Bacchylidi Stob. tit. 11, 7. Æschines orator ibid. 16 : Οὕτως ἰσχυρόν ἐστιν ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖν τῶν ἀνθρωπίνων λογισμῶν.

(4) Eccles. x, 1.

(5) An repetendum σαπρίζειν animo? vix puto. Excidisse verbum videtur ; ἀμαυροῦν, verbi causa, simile aliud.

proposita sequeremur, hæc censeo mihi omnino omittenda ac Deo confidenda qui omnia novit et manifesta et obscura, et manum veritati porrigit neque sinit eam a quocumque vinci aut conculcari. Reliquum est ut ad propositum redeam idque conficiam.

Volebamus igitur bona nostra disponere nostramque de iis voluntatem statuere. Id igitur perficimus, propositum nostrum adimplentes.

Et ea est nostra voluntas, ut super omnibus bonis nostris, vitæ nostræ socia et comes ad hujus vitæ felicitatem ab ipso Deo conformi mecum anima parata, constituatur, et ut ante alia animæ meæ curam habeat, quidquid conveniens est, pro ea statuens neque sollicitudine quæ ipsi debetur, inferior. Et sane animæ meæ studium habenti licebit omnino quidquid ipsi videbitur ex meis bonis impendere, neque ullam rationem de impensis reddere, aut de iis quæ egerit. Et filiis hæreditatem præstabit et aliis genere propinquis. Et servis bene faciet, et alia omnia pro potestate faciet, ut a nobis plurima eorum dicentur, et dictu magis necessaria per partes exponentur.

Porro mihi sic volenti ac disponenti nulla obstat lex aut refragatur, neque contradicit; sed omnes, ut ita dicam, tum divinæ, tum humanæ leges ad id simul ferunt, mihi nempe ut liceat de meis facere quidquid volo. Ac simul quid justius esset, quam ut ea quæ omnia quæ egomet ipse, participat, me defuncto, super iis bonis constituatur, quippe quæ nihil minus quam ipse, ad ea operam contulerit? Contigit enim nobis, et mirum in modum contigit, domum adaugere, non modo metendo ubi non seminaveramus, et colligendo unde disperseramus, et benedictionem non modo ab accedentibus accipiendo, sed et ab iis qui nostrorum conscii erant et nobis prosperum successum et alia bona precabantur; (quæ sola ratio agros solet pingues reddere et fructus producere, et uberes reditus et abundantiam afferre; dum contraria ratio valde ac juste abradit, et neque manum, neque sinum adimplet metentis et colligentis); sed et firmis laboribus et consiliis optimæ hujus ac mirandæ uxoris. Non id dicendo erubesco, veritatem omnibus præponens. Nobis vita floruit ac multum, quantumque licebat profudit, aliis ex non minoribus initiis, imo vero ex majoribus, non eadem adeptis.

ραν τῆς προκειμένης εἴημεν τραπέντες, ταῦτα μὲν δοκῶ μοι παντελῶς παρήσειν, καί γε τῷ Θεῷ θαρρῆσαι πάντ' εἰδότι καὶ φανερὰ καὶ ἀφανῆ, καὶ χεῖρα ὀρέγοντι τῇ ἀληθείᾳ καὶ μηδὲν ταύτην ὑπ' οὐδενὸς μήτε κρατεῖσθαι μήτε καταπατεῖσθαι συγχωροῦντι· λοιπὸν δ' ἂν εἴη πρὸς τὸ προκείμενον ἐπανιέναι καὶ τὰ τῆς προθέσεως συμπεραίνειν.

Σκοπὸς γοῦν ἦν ἡμῖν περὶ τῶν ὑπαρχόντων διαθέσθαι καὶ τὴν ἐν τούτοις ἡμετέραν γνώμην εὔδηλον θεῖναι. Τοίνυν καὶ συμπεραίνομεν ἤδη, τὸν σκοπὸν πληροῦντες (1).

Καὶ βουλήσεως οὕτως ἔχομεν, ἐπὶ πᾶσι τοῖς οὖσι τὴν τοῦ βίου κοινωνὸν, ἐπ' εὐδαιμονίᾳ τούτου πρὸς ὁμόψυχίαν ἐκ Θεοῦ συνηρμοσμένην, κυρίαν καθεστάναι, καί γε πρὸ τῶν ἄλλων τῆς ἐμῆς ψυχῆς φροντίδα πεποιῆσθαι, πᾶν ὅσον γιγνόμενόν ἐστιν ὑπὲρ αὐτῆς θεοφιλῶς πράττουσαν, καὶ τῆς περὶ ταύτην ἐπιμελείας οὐκ ἀπαλλαττομένην. Καὶ μὴν ἐν τούτῳ τὴν σπουδὴν ἐχούσῃ ἐξέσται ταύτῃ πάντως καὶ τὸ δοκοῦν σύμπαν ἐκ τῶν πραγμάτων ἀναλῶσαι, μηδέ τινι τῶν ἁπάντων μηδαμῶς λόγον ὑπεχούσῃ, μήτε τῆς δαπάνης, μήτε τῶν πραττομένων. Καὶ παισὶ κλήρους χορηγήσει καὶ τοῖς γνησίως ἄλλως ἔχουσι πρὸς γένος. Καὶ οἰκέτας εὖ ποιήσει. Καὶ τἆλλα πάντα πράξει κατ' ἐξουσίαν, ὡς καὶ ἡμῖν εἰρήσεται τὰ πλείω τούτων καὶ μᾶλλον ἀναγκαῖα λεχθῆναι κατὰ μέρος ἐκτεθέντα.

Ἀτὰρ ἐμοὶ οὕτω βεβουλημένῳ, ἅμα δὲ καὶ διατιθεμένῳ, ἀντιτίθησιν οὐδεὶς πάντως οὐδ' ἀντεπάγει τῶν νόμων, οὐμενοῦν οὐδ' ἀντιλέγει· ἀλλὰ καὶ θεῖος, ὡς εἰπεῖν, ἅπας θεσμὸς καὶ ἀνθρώπινος πρὸς τοῦθ' ὁμοῦ φέρουσιν, ἐξεῖναί μοι ποιεῖν ἐπὶ τοῖς ἐμοῖς πᾶν ὅσον βούλομαι. Ἅμα δὲ καὶ δίκαιον τί ἂν γένοιτο τούτου γε μᾶλλον, ἢ τὴν πάντων ὧν αὐτὸς μετέχω καὶ ταύτην ἐξ ἴσου μετέχουσαν, ἅτε καὶ μηδὲν ἧττον αἰτίαν γεγενημένην μηδ' ἔλαττον εἰς ταῦτα συμβαλομένην, ἐπ' αὐτοῖς τούτοις, ἐμοῦ ὑπεξιόντος, καὶ καθάπαξ ἐγκαταστῆναι; Ἐγένετο γὰρ ἡμῖν, καὶ πάνυ τι καλῶς ἐγένετο, τὸν οἶκον ἐπαυξῆσαι, οὐκ ἐκ τοῦ θερίζειν μόνον ὅπου καὶ ἐσπείραμεν, καὶ συνάγειν ὅθεν διεσκορπίσαμεν (2), καί γε τὴν εὐλογίαν μὴ μόνον ἐκ τῶν παριόντων, ἀλλά τι καὶ τῶν συνειδότων πάντων καὶ τὴν εὐθηνίαν ἡμῖν καὶ τἆλλα τῶν ἀγαθῶν συνευχομένων, καρποῦσθαι· ὃ δὴ καὶ μόνος τρόπος ἀρούρας οἵδε πιαίνειν καὶ καρποὺς ἐκτρέφειν, καὶ γενναίας τὰς ἐπιδόσεις καὶ τοὺς πλεονασμοὺς εἰσφέρειν, ὡς τοῦ ἐναντίου γε παντὸς εὖ μάλα καὶ δικαίως κατεξηραίνοντος, καὶ μήτε τὴν χεῖρα μήτε τὸν κόλπον πληροῦντος τοῦ θερίζοντος καὶ συνάγοντος· ἀλλά τι καὶ ταῖς καλαῖς φιλοπονίαις, ἅμα δὲ καὶ περινοίαις (3) τῆς πάντ' ἀρίστης ταύτης καὶ θαυμαστῆς ὁμοζύγου. Οὐ γὰρ αἰσχυνοίμην λέγων, παντὸς μᾶλλον προτιμῶν τὴν

(1) Sic vernacule, « remplissant le but. » Sed qui diligenter scribunt talem loquendi modum fugiunt, cujus metaphora est inconcinna: scopus enim tangitur, non impletur; ad scopum pervenimus, eum non implemus. Sunt tamen vel boni scriptores qui ad hunc lapidem impegerunt, aliud agentes profecto. Possem, si his esset hic locus, Harpii, Campofortii, vivorum etiam eorumque excellentissimorum hominum, exempla in medium proferre.

(2) Respectu ad hæc verba Matthæi XXV, 24: Σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας.

(3) Conf. similia apud Gregor. Nazianz. t. I, p. 291 C.

ἀλήθειαν· ἐνευθήνησεν ἡμῶν ὁ βίος καὶ πλεῖστον εἰς ὅσον οἷόν τε ἦν ἐς τὰ μάλιστα προῆκε, τῶν ἄλλων, οὐκ ἐξ ἐλαττόνων τῶν ἀφορμῶν, ἀλλά γε καὶ πολλῷ μειζόνων, οὐ τὰ ἴσα κατακτησαμένων.

Ἐγὼ μὲν γὰρ ὅλον ἐμαυτὸν ἐπιδοὺς τοῖς τοῦ A κρατοῦντος κελεύσμασι καὶ ταῖς ὑπὲρ τῶν κοινῶν πραγμάτων ἀσχολίαις, ἦγον οὐδαμῇ σχολὴν τῶν κατ' οἶκον ἐπιστρέφεσθαι καὶ προσαναλίσκειν τούτοις πόνους καὶ φροντίδας· αὕτη δὲ τὸ ἐαυτῆς ὅλον πληροῦσα καὶ τὸ ἐμὸν ἀντ' ἐμοῦ συνεισέφερεν. Ἐξ οὗ δὴ μὴ μόνον οὐδὲν τῶν ὄντων, ὅποι μὴ προῆκε διαῤῥυὲν, παραπώλετο, ἀλλά τι καὶ πρόσοδοι ταύτῃ καὶ πορισμοὶ ἐκ δικαίων τῶν τρόπων ἐπενοήθησαν, καὶ περισσὰ τῷ οἴκῳ μετὰ πολλῆς τῆς περὶ τοὺς πένητας εὐσπλαγχνίας, πολλοῦ καὶ τοῦ περιαλγεῖν καὶ τοῖς δυστυχοῦσι συμπαθῶς ἐπικάμπτεσθαι, καί γε διαφέροντα τῶν ἄλλων γεγένηται, καὶ πολλῷ μᾶλλον ἐπαινετὰ, ἢ κατὰ τὴν θαυμαστὴν ἐκείνην, καὶ μόναις ταῖς τοῦ Σολομῶντος σοφίαις, οὐδαμῇ δ' ἄλλως, ἐξευρημένην, ἢ ἐγὼ σμικροπρεπῆ τινα καὶ χειρωνακτικὴν μᾶλλον νομίζω, πρὸς ἄπρακτον τὰς χεῖρας; ἐρεῖδουσαν καὶ ταλασιῶν ἐπιμελουμένην, καὶ πέρι ἔρια καὶ ἱματισμοὺς καὶ δισσὰς χλαίνας, καὶ σιτηγίας καὶ τραπέζας οἰκετῶν (1), καὶ τοιαῦτα, τὸ σύντονον καὶ σπουδαῖον καὶ μεγαλοφυὲς ἐνδεικνῦσαν.

Ἀλλ', ὅπερ ἔφην, τίνι μᾶλλον ἐπιτρεπτέον ἂν εἶη μετ' ἐμὲ τὰ κατ' ἐμὲ καὶ ἡμέτερα, εἰ μὴ καὶ παρὼν ἦγε ταῦτα ἐπιτετράφθαι δεῖν ἔγνων, καὶ ἐπιτέτραπται. Αὕτη καὶ καλῶς ἅμα καὶ θεοφιλῶς οἰκονομήσει, καὶ, τὴν ἐπὶ πᾶσιν ἐξουσίαν καὶ ἐλευθερίαν τοῦ ὁρᾶν κατὰ βούλησιν ἀνέγκλητον παντελῶς καὶ κρείττω δικαστηρίου παντὸς ἔχουσα, πάντ' ἐσεῖται συμφερόντως ἅμα καὶ κοσμίως διαπραξαμένη. Καὶ τοὺς κλήρους, πρὸς τὴν ἐμὴν ὁρῶσα γνώμην, οὕτως παρέξεται.

Πρῶτον μὲν οὖν ὑπὲρ τῆς ἐμῆς, ὅπερ ἔφην, φιλοπονήσει ψυχῆς. Καὶ τῆς φιλοπονίας ἔσται τὸ πρῶτον· τῇ τοῦ Θεοῦ μητρὶ, πρὸς ἣν καὶ ἐκ κοιλίας ἐπερρίφην μητρὸς, καὶ ἣν τοῦ βίου παντὸς κραταιὰν σκέπην ἐθέμην, ᾗ δὴ καὶ προσεκπνεύσω ἡδέως τὸ πνεῦμα προέμενος, κακίᾳ μὲν πάσῃ καὶ πονηρίᾳ δεδουλευκὸς, πίστιν δ' ὅμως ὀρθὴν καὶ τὴν εὐαγγελικὴν περισῴζον, καὶ διὰ ταύτην μόνην καὶ τὰς ἐν τῷ βίῳ γενομένας ἀντιλήψεις θαῤῥοῦν, μηδὲν ἐμποδὼν τῆς τῶν ἐμῶν τρόπων γεγενημένης φαυλότητος, ταύτῃ δὴ, καὶ διὰ ταύτην τῇ ἀνατεθειμένῃ ταύτῃ μονῇ καὶ παρ' ἡμῶν ἐξ αὐτῶν ἱδρυμένῃ κρηπίδων, χρυσίου νομίσματα . . . . . καθοσιῶσαι (2)· ταύτῃ καὶ τὸν ἐμὸν χοῦν προσρίψαι καὶ βόρβορον, D τὸ μιαρὸν σῶμα, καὶ κρύψαι τὸ ἀκάθαρτον τῷ καθαρῷ ἐδάφει τοῦ ἱεροῦ, μηδὲν μὲν τούτου μηδ' ὅπτεσθαι προσῆκον, ὅτι μηδὲ θεμιτὸν ἀκάθαρτον ἐγγὺς ἰέναι τῶν καθαρῶν, καὶ διὰ τοῦτο μακρὰν ἀπελήλασθαι μᾶλλον δίκαιον, καὶ ἐξῶσθαι καὶ ἀπερρίφθαι ἀχρεῖον ἐν ἀχρείοις καὶ βέβηλον ἐν βεβήλοις. Καὶ ὦ; (3) ἐκεῖ δὲ κείμενον ἀνακάλεσαι σὺ, πάναγνε παρθένε, καὶ μῆτερ τοῦ πρὸς ζήτησιν ἐλθόντος τοῦ

Ego quidem totum me imperatoris jussis tradens et reipublicæ laboribus, nunquam omisi propriis incumbere iisque operas cogitationesque impendere. Illa vero, quidquid ad se pertineret, adimplens id, quod ad me spectaret pro me conferebat. Unde non modo nihil bonorum effluens quo non oportebat, periit; sed et reditus et fructus ex justis rationibus excogitati sunt, et domui superflua, cum multa erga pauperes misericordia, multaque erga infelices compassione et affectu, et aliis præstantia accessere et multo magis laude digna, quam quæ mulier illa miranda, sola Salomonis sapientia, non autem aliunde, inventa, (quam ego illiberalem opificem potius censeo), ad fusum manus admovens et laneas vestes conficiens, et in lanis ac vestimentis ac duplicibus lacernis, et victu et domesticorum mensis ac talibus virtutem et ardorem et magnanimitatem ostendit.

Sed, ut dicebam, cuinam post me potius commendarem quæ ad me pertinent ac nostra, nisi et præsens illi commendari oportere statuissem; et illi commendata sunt. Illa enim et bene et religiose administrabit, et cum in omnia potestatem, et pro voluntate agendi immunem libertatem et omni tribunali majorem habitura est, omnia convenienter et digne peraget. Et hæreditates ad meam attendens mentem, ita administrabit.

Primo quidem de mea anima, ut dixi, sollicita erit. Ea ejus prima cura sit, Dei genitrici, in cujus sinum, inde e ventre matris, projectus sum, et quam vitæ omnis validam protectricem proposui, cui spiritum commendans, lætus exspirabo; qui spiritus, licet omni malitiæ ac parvitati servierit, fidem tamen veram et evangelicam servavit, et per eam solum ac propter eas quæ in vita, gratias accepit, confidit, non obstante morum meorum miseria, Ei et propter eam soli templo a nobis a fundamentis erecto, aureos nummos..... consecrare. Hoc prope templum volo meos cineres et lutum, miserum hoc corpus deponi, et impurum puro templi limine abscondi, quod limen nihil tamen tangere deberet, eo quod nefas sit quidquam impuri quod mundum est tangere, et justum esset meum corpus longe rejici et expelli inane in inania et profanum in profana. Et ut ibi jacens corpus revoces tu, Immaculata Virgo, et mater Illius qui eum qui erraverat quæsitum venit, eum qui omnibus culpis et malis delapsus erat, et qui manus in cruce tetenderat, non ut attraheret et revocaret et salvaret justos tantum,

(1) Prov. xxxi, 10: Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; . . . μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὐχρηστον ταῖς χερσὶν αὐτῆς . . . καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις.

(2) Relictum est hic, ut et infra non semel, spatium vacuum, quo nummorum numerus, nondum a testatore constitutus, postea posset inscribi.

(3) Codex, ὡς.

sed ut omnes e manu maligni eriperet et nullum eorum qui ad ipsius imaginem facti erant amitteret. Ita sane hoc terrenum corpus tot immunditiis corruptum advoces et animam iis (quot et quantis scis ipsa) maculatam benigne accipias et cures, neque avertas a puero tuo tuæ protectionis vultum salutarem. Oportebat enim nos cum eo corpore quocum reformati sumus Christi sanguine, tota vita in tua domo projici (idque nos optime decuisset); quoniam vero decipientis et occidentis fallacia et dolo et prava electione anima ad divinam creata imaginem in tentoriis peccatorum maluit illud habitare (fœtidum hoc tentorium dico), et adhuc videns quod omni impuritate replebatur, nunc mortuum dimisit maculis plenum et projectum in delubri tui limen. Tu autem benigna, et misericors et compatiens, et preces exaudiens, immundæ animæ et corpori indulgeas, quæ pessimis desideriis et voluptatibus indigne indignis servierunt, et totam meam terram a pessimo Belial et peccatis conculcatam sanctuarii tui terræ misceas et hujus terræ virtute salves; animam vero, quocunque voles, tuo apud Filium interventu (flectitur enim et te intercedentem exaudit), longe a perpetuo manentibus flagellis, ac æternis suppliciis mittas.

Attamen, quoniam ea (oportet et nunc et semper orare) te oravimus, et ex iis plurimis beneficiorum miraculis quæ per vitam experti sumus, et de futuris possimus confidere, neque de salute nostra desperare, permitte nunc nostri valedictorii sermonis ac testamenti reliqua confloere.

Quid igitur? Imperatoribus nostris qui multa dedere, licet nihil invicem reddidimus, neque reddere possumus, etiamsi totam manum plenam afferamus, nunc ideo omnino nobis deficiendum esse putabimus? Sed improbi prorsus ac ingrati merito diceremur. Unde, etsi minus dignum sit decensque, sed tamen quomodocumque reddendum est, gratitudinis ostendendæ causa, aureos nummos..... et æquo inter Patrem et imperatorem, et Filium et imperatorem dividendi sunt.

Postea pueros nostros, tu quæ inter omnes matres filios tuos diligis, considera, si quidem quatuor nobis filii sunt, et duæ filiæ.

Et earum primam, sponsam Deo omnium regi libentem libens offerentes conjunximus. Utinam divino illo conjugio ac thalamo numquam decidat, neque ejus splendorem amittat! Quod autem perse-

πλανηθέντος (1) καὶ πάσαις ἁμαρτίαις καὶ τοῖς ἐσχάτοις κακοῖς ἐγκατολισθήσαντος πλάσματος, καί γε τὰς χεῖρας τείναντος ἐν σταυρῷ, οὐχ ἵνα δὴ καὶ ἀνελκύσῃ καὶ ἀναλάβηται καὶ σώσῃ μόνους δικαίους καὶ τοὺς ἧττον ἡμαρτηκότας, ἀλλ' ἵνα πάντας ἐκ χειρὸς ἁρπάσῃ τοῦ πονηροῦ, καὶ τῶν κατὰ τὴν ἰδίαν εἰκόνα γεγενημένων οὐδαμῶς οὐδένα ζημιωθῇ. Ναὶ, καὶ τὸν ταῖς ἀσωτίαις ἁμὸν φθαρέντα χοῦν ἀνακάλεσαι, καὶ τὴν ψυχὴν ταύταις κατεστιγμένην (ὁρᾷς ὁπόσον) εὐμενῶς πρόσου καὶ ἴασαι, καὶ μὴ ἀποστρέψῃς ἀπὸ τοῦ παιδός σου τὸ τῆς σῆς ἐπισκοπῆς κοσμοσωτήριον πρόσωπον. Ἔδει μὲν γὰρ ἡμᾶς μεθ' οὗ καὶ ἀνεπλάσθημεν σώματος αἵμασι θείοις Χριστοῦ ἐκλέξασθαι παραβρίπτεῖσθαι μᾶλλον διὰ βίου παντὸς ἐν οἴκῳ τῷ σῷ (καὶ εἶχεν ἂν ἡμῖν τοῦτο καλῶς) · ἐπεὶ δὲ τοῖς τοῦ ἀπατῶντος καὶ κτείνοντος ἐμπαιγμοῖς καὶ μηχαναῖς, καί γε μοχθηρᾷ τῇ προαιρέσει, ἡ πρὸς τὴν θείαν εἰκόνα δημιουργηθεῖσα ψυχὴ σκηνώματι ἁμαρτωλῷ μᾶλλον ἠγάπησεν ἐγκατοικεῖν (αὐτὸ δὴ λέγω τὸ δυσῶδες σκῆνος), καὶ ἔτι ζῶν, ἅτε δὴ καὶ πάσης γέμον ἀκαθαρσίας, νῦν ὧδε νεκρὸν ἀφῆκε στιγμάτων γέμον καὶ ἐῤῥιμμένον ἐπ' ἐδάφους τεμενισμάτων τῶν σῶν · σὺ δὲ πάντως εὐμενὴς, συμπαθὴς, ἵλεως, καὶ γοργεπήκοος πρὸς ἱκεσίας, καὶ σπλαγχνίσθητι τοίνυν ἐπὶ ἀσώτῳ ψυχῇ καὶ σώματι, καί γε ταῖς κακίσταις ἐπιθυμίαις καὶ ἡδοναῖς ἀτόποις ἐκτόπως δεδουλευκόσι, καὶ τὴν ἐμὴν γῆν ὅλην τῷ πονηρῷ Βελίαρ καὶ ταῖς ἁμαρτίαις καταπεπατημένην τῇ τοῦ ἱεροῦ μίξον γῇ, καὶ σῶσόν γε τῇ ταύτης δυνάμει · τὴν δὲ ψυχὴν, ὅποι σὺ βούλει, ταῖς πρὸς τὸν υἱὸν μεσιτείαις (πείθεται γὰρ, καὶ πρεσβευούσης ἑτοίμως ἐπακούει), πόῤῥω που πάσης αἰεὶ μενούσης μάστιγος καὶ βασανιζούσης ἀθάνατα πέμψον.

Οὐ μὴν ἀλλ', ἐπειδὴ ταῦτα, δέον ὂν ἔν γε τῷ παρόντι καὶ διὰ παντὸς ἱκετεύειν, καθικετεύσαμεν, κἀκ τῶν ἐν τῷδε τῷ βίῳ περὶ ἡμᾶς πλείστων ὅσων γεγενημένων ἐν εὐεργεσίαις θαυμάτων ἔχομεν καὶ περὶ τῶν μελλόντων θαῤῥεῖν, καὶ τῶν πρὸς σωτηρίαν οὐκ ἀπογινώσκειν ἐλπίδων, φέρε [δὴ καὶ τοῖς ἐξῆς προσδῶμεν τοῦ συνταχτηρίου καὶ διατάγματος.

Τί γοῦν; τοῖς ἐμοῖς βασιλεῦσι πολλὰ δεδωκόσιν ἐπεὶ μηδὲν ἀντάξιον ἀπεδώκαμεν, οὔτ' ἔχομεν ἀποδοῦναι, κἂν ὅλην τὴν χεῖρα προσείσωμεν γέμουσαν, ἀπολειφθῆναι διὰ τοῦτο δεῖν εἶναι καὶ τοῦ παντὸς ἡγησόμεθα; ἀλλὰ πονηροί τινες πάντως καὶ ἀγνώμονες δικαίως ἀκούσομεν. Ὅθεν εἰ καὶ μή τι οἷον καὶ ἀξιόχρεων, ἀλλ' ἀποδοτέον ὁποσονοῦν, δείγματος εὐγνωμοσύνης ἕνεκεν, χρυσίου νομίσματα. . . . . καὶ διαιρετέον ἐξ ἴσου τῷ τε πατρὶ καὶ βασιλεῖ, καὶ τῷ υἱῷ, καὶ βασιλεῖ (2).

Μετὰ τοῦτο, παῖδας ἡμῶν, ἡ φιλόπαις σὺ πασῶν μᾶλλον μήτηρ, ἐπίσκεψαι, οἳ δὴ καὶ τέτταρες μὲν ἡμῖν υἱοὶ, θυγατέρες δὲ δύο γεγένηνται.

Καὶ τούτων τὴν πρώτην, νύμφην Θεῷ τῷ βασιλεῖ πάντων ἐκοῦσαν ἑκόντες φέροντες ἐνηρμόσαμεν. Καὶ γένοιτο ταύτην μήτε τοῦ νυμφῶνος μήτε τῆς θείας παστάδος ἀποπεσεῖν, μήτε τῆς ἐκεῖθεν λαμ-

(1) Respectu ad parabolam boni pastoris Matth. xviii, 12 : Ἐὰν γένηταί τινι ἀνθρώπῳ ῥ' πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ, ἀφεὶς τὰ ῾ῳθ', ἐπὶ τὰ ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον ; Conf. Luc. xv, 4.

(2) Andronico Seniori et Andronico Juniori.

πρότητος. Ὡς μὲν οὖν καὶ συμπαραμείνοι, καὶ δι' αἰῶνος ἔστι τῷ νυμφίῳ συνδεδεμένη, μηδὲν λυθεῖσα τῆς ἐκείνου φαιδρότητος, δίδωσι θαρρεῖν καὶ τοῖς φαινομένοις, ὅλην τὴν ψυχὴν ἐξόπισθεν αὐτοῦ πορευομένην θεῖσα, καὶ τὴν καρδίαν ὅλην δεινῶς τῷ πόθῳ βεβλημένην καὶ τετρωμένην ἀσφαλῶς αὐτῷ προσκολλήσασα, καί γε τῆς ἐκείνου δεξιᾶς ἀντιλαμβανομένης ἐξημμένη καὶ πρὸς τὴν ἐν αὐτῷ χειραγωγούσης κατάπαυσιν. Ταύτῃ τοι καὶ ὀλίγα ταύτῃ δεομένῃ τῶν κάτω, ὅτι μὴ καὶ μόνων τῶν ἀναγκαίων τῇ φθειρομένῃ ζωῇ, ὀλίγα καὶ ἡμεῖς ἀπεμερισάμεθα, τὸ δόξαν ἱκανὸν ἱκανῶς χορηγήσαντες.

A veratura sit et in æternum cum sponso conjuncta futura sit, neque unquam hunc splendorem amissura, confidimus ex his quæ videmus : tota enim anima post illum currit, et totum cor miro amore perculsum et vulneratum firmiter illi adunat, et ejus dexteræ protensæ adhæret, quæ ad quietem æternam ipsam ducit. Huic sane paucis indigenti, iisque solis quæ corruptibili isti vitæ necessaria sunt, pauca et nos relinquimus, quod nobis videtur sufficere concedentes.

Τὴν ἐμὴν μεγάλαις μὲν Θεοῦ διαρεαῖς, ὑπερβολαῖς δέ τισιν οἰκτιρμῶν τοῦ δι' αὐτοῦ βασιλεύοντος, εὐδαιμονεστάτην καὶ εὐτυχεστάτην βασίλισσαν (1), ὁ αὐτὸς βασιλεὺς, οὕτω τοῦ Θεοῦ κινήσαντος καὶ δόξαν αὐτῷ, νύμφην ἐφ' ᾧ δὴ καὶ εἵλετο τῶν υἱέων ἠγάγετο, ἀρίστῳ τὰ πάντα καὶ καλλίστῳ (2). Καὶ ὑμεῖς ὁρᾶτε πάντως καὶ μετ' ἐκπλήξεως ὡσανεὶ τὴν χρηστότητα τῶν τρόπων θαυμάζετε, ἧς ταῖς περιουσίαις καὶ τὸν ἐμὸν ὅλον πόθον πρὸς ἑαυτὸν ἑλκύσας ἐμὲ κενῶσαι πεποίηκεν. Ἀλλ', ὦ μοι σὺ καλλίστη συζυγία ἐξ ἀμφοτέρων τῶν γενῶν ἀνδρῶν καὶ γυναικῶν κατ' ἐκλογὴν ἡρμοσμένη, καὶ θαυμασιωτάτη ξυνωρὶς, μὴ τῶν ἄλλων πάντων μόνον ἐμοὶ, ἀλλὰ καὶ αὐτῆς προτιμωμένη πνοῆς καὶ ζωῆς, σοῦ χάριν καὶ ὁ θάνατος ἐμοὶ μνημονευθείς, μετὰ τοὺς πρώτους ἐκείνου; καὶ μεγάλους φόβους, ἔτι δηκτικώτερος καὶ πικρότερος γίγνεται, ὅτι σε οὐκ ἔτ' ὄψομαι (3), οὐδ', εἴ τί γε κἀν τοῖς ἐν ᾅδου φρικτὸν καὶ ἀηδὲς (μᾶλλον δὲ, οὐχ ἓν τοῦτο· ἔστονται δὲ, οἶδα, πολλὰ καὶ χαλεπὰ ἀξίως εἰς δίκην τῶν ἐνταυθοῖ κακῶς βεβιωμένων), σὺ πρὸς θέαν ἰοῦσα διαλύσεις, ἢ τό γε δεύτερον κουφότερα ποιήσεις τὰ στυγνὰ ταῦτα καὶ σκυθρωπὰ, ὡς ἐν τοῖς παροῦσι πᾶσαν ἐξ ἀνιαρῶν συμβαμάτων κουφίζεις καὶ τελέως ἐξαίρεις πικρίαν μόνον ὀφθεῖσα· καί γε βρασμὸν καταπαύεις καρδίας σβεννῦσα, καὶ θραυσμὸν θεραπεύεις, καὶ κοιμίζεις ψυχῆς παθαινομένης καὶ λογισμῶν τάραχον. Τί τοῦ σοῦ χωρισμοῦ πρὸς κόλασιν δραστικώτερον; πῶς οἴσω, τοὺς ὀφθαλμοὺς μύσας, μᾶλλον δ' ὅλους ἐρρυηκότας ἀποβαλόμενος, τὸ σὸν κάλλος καὶ τὸ τοῦ προσώπου ἄνθος καὶ τὸ τῆς μορφῆς ὡραῖον ἀθέατον; Τίς ἀνθ' ὑμῶν ἐν ὁμιλίαις ἐσεῖται γυκαίνων καὶ στυγνάζοντα παρακαλῶν καὶ παραμυθούμενος, τῷ χωρισμῷ ἢ καὶ ταῖς ἐκεῖσε μάστιξιν ὀδυνώμενον; Οἴμοι, ὅτι με λίθος καλύψει βαρὺς καὶ τάφος συγκρύψει, καὶ, ὑμῶν τῷ φίλτρῳ κεκινημένων καὶ προσιόντων, καὶ γοεραῖς φωναῖς ἀνακαλουμένων τὸν πατέρα, κόνις ὢν κωφὴ καὶ ὀστᾶ μόνα γεγυμνωμένα πάσης σαρκὸς καὶ αἰσθήσεως, ὁ τὰ πολλὰ νῦν ἐγὼ λαλῶν, οὐδαμῇ οὔτε τῆς φωνῆς ὑμῶν οὔτε τῆς λαλιᾶς ἐπαΐων γνωσθήσομαι! Ἀλλὰ περιττὸν ἴσως ἐπὶ τοῖς τοιούτοις μη-

B Meam, Dei quidem dono, nimia autem Hujus qui per Deum imperat, misericordia, faustissimam felicissimamque imperatricem, ipse imperator, sic Deo movente quod sibi placeret, sponsam uni filiorum quem voluit, optimo ac pulcherrimo elegit. Et vos videte omnino et cum stupore morum bonitatem admiremini, cujus excessu totum meum amorem ad se attraxit et corripuit. Sed, o pulcherrimum conjugium ex utroque sexu virorum ac mulierum egregie formatum, et admirandum par, non modo aliis omnibus a me prælatum, sed et meo spiritui ac vitæ, tui causa mors quæ mihi imminet, post primos illos magnosque timores, mordacior amariorque fit, eo quod te non jam videbo, neque, si quid in inferis horrendi ac funesti sit (imo vero non unum tantum; erunt vero, scio equidem, multa ac dira in eos qui his in terris male vixerint), tu sub oculos C veniens, id dissipabis, aut leviora facies hæc tristia ac horrenda, ut nunc, ubi appares, omnem ex miseris eventibus ortum mœrorem mitigas ac omnino aufers; et sane cordis motus sedas et exstinguis, et vulnera sanas, et afflictæ animæ cogitationumque tumultum lenis. Quod durius supplicium quam a te separari? Quomodo sustineam, postquam oculos clausero, imo vero totos eos effluxos amisero, tuam pulchritudinem et vultus tui florem tuæque fortunæ splendorem jam non contemplari? Quis, pro vobis, mediis in coetibus erit lenians et afflictum consolans et adhortans, vestri separatione et futuræ vitæ pœnis vulneratum? Ebeu! me teget gravis lapis, et tumulus me operiet; et cum vos amore ducti accedetis, et dulci voce patrem com- D pellabitis, ego cinis inanis et ossa omni carne nudata et sensu, ego qui nunc tot verba emitto, neque vocem vestram, neque vestros sermones audiam! Sed forsan est superfluum sic talibus immorari, quoniam hic neque cantus est neque tragœdia, sed sola mortis memoria, et ut paucis dicatur, ut rem præsentem decet, quæ humanæ naturæ sunt necessario, ut pote mortali, vincta. Unde et ab his recedens, longos annos vivas, et læteris, et exsultes

(1) Annotator recentissimus, quem Boivinum esse suspicor, ad marginem codicis : « Irenen, quæ postea Eulogia nominata est. » Nupserat Joanni Palæologo.

(2) Idem annotator : « Nondum itaque obierat Despota Chumni gener. »

(3) Similes querelas, ut philosophis et christianis indignas, ac prorsus indecoras, vituperat Joannes Chryst. Eclog. p. 229 : Εἰ γὰρ ἐπίστευον ὅτι ὁ τετελευτηκὼς οὐ τετελεύτηκεν, . . . οὐκ ἂν τοιαύτας ᾠφῆκαν φωνὰς ἀπιστίᾳ; γεμούσας, « Οὐκέτι σε ὄψομαι. »

neque quidquam triste unquam experiaris, Deo inter prospera vitam vestram ducente et sinceras divitias præstante, dum vos irreprehensibiles in mandatis ac justitiis ejus ambulabitis, et in iis præceptis quæ semitis nostris lumen faciunt. In quibus et jugiter adhærere et nunquam declinare aut transgredi, neque pedes ad lapidem offendere, duram nempe et optimam conscientiam lædentem ex acuto et infructuoso corde ortam cogitationem, vestrum est gratissimum opus et omnium linguis jactatum, mirandumque est omnino votum vestrum. Et igitur nos non solum totum amorem nostrum et desiderium, sed omnes fere divitias impertiemur nec vestrorum quidquam vobis deerit; quodcumque autem vel minimum a matre accipietis, illud scitote ita mihi visum et juxta meam voluntatem factum.

Tu vero mihi filiorum primogenite, meæ deliciæ meumque ornamentum, meæ gloriæ splendida corona, dulcis et omnino suavis aspectus, et totius animæ meæ cordisque ineffabiles amores excitans, vide et a longinquo et jam nunc qui post me futurus sis et quantus, gratus nempe et semper matri obedire paratus et facere quæ ipsi placuerint ipsamque juverint, legem Dei observans. Nihil enim præstare potes quod digne ejus doloribus, cum te genuit, aut ejus curis, cum te aleret, aut aliis, quæcunque fuerint, beneficiis respondeat, etiamsi te totum impendas, vitamque profundas. Quid enim? Si, quod accepisti, reddideris, corporis in maternis visceribus formationem, simulque animæ cum illo conjunctionem, et cum tantis doloribus nativitatem, inquit Job, et quæcunque alia tibi nutriundo ac adaugendo evenerunt, et ad id ætatis elato (occurrat autem et longa felixque senectus, ut et mens, juxta preces nostras, tibi occurrit profunda et gravis, quidquid tuam ætatem decet, transgresso et senilem intellectum dignasque sene cogitationes in juvenili corde ponenti). Si igitur et existentiam, et quæ deinde tibi evenerunt bona a matre, ex ejus curis et precibus accepisti, quid et quantum pro his omnibus a te reddi oporteret, ut quidquid decet a te redditum fuisse videatur! Cum non possis, da quantum potes, honorem nempe absque mensura, sed quodam excessu superadditum; quo magis enim dabis, eo majus lucrum facies. Reddas matri quidquid ad me pertinet, et quidquid

(1) Conf. Psalm. cxviii, 105

(2) Si non totus esset Chumnus in Bibliorum imitatione, quam et hic inesse ob adjectivum ἀκροτόμου suspicor, ob alterum ἀκάρπου suspicarer meminisse Æschylei versiculi in Septemthebana de Amphiarao: Βαθεῖαν ἄλοχα διὰ φρενὸς καρπούμενος.

(3) Joannes, puto, Chumnus, qui fuit cubicularius. Huic parentavisse videtur Niceph. Gregoras

A κύνειν, ἐπεὶ μηδὲ μονῳδία τὰ παρόντα καὶ τραγῳδία καὶ θρῆνος ἐπιτάφιος, μνήμη δὲ μόνη θανάτου, καὶ, ὡς ἐν βραχέσι φάναι καὶ καθόσον προσήκει τῷ λόγῳ, τὰ ἐξ ἀνάγκης τῇ ἀνθρωπίνῃ φύσει, θνητῇ γε οὔσῃ, παρεζευγμένα. Ὅθεν καὶ, ἀφέμενος τούτων, ζῴης ἐς μήκιστα, φημὶ, χρόνων μηκίστων καὶ συνευφραίνοιό γε καὶ συναγάλλοιο, καὶ λάβοις μηδεμίαν μηδέποτε πεῖραν μηδενὸς τῶν λυπούντων, Θεοῦ διὰ τῶν εὐθυμοτέρων ἀεὶ τὸν βίον ὑμῖν ἄγοντος καὶ τρυφὴν ἀκραιφνῆ χορηγοῦντος, ἀμέμπτοις ἐν ταῖς ἐντολαῖς αὐτοῦ καὶ τοῖς δικαιώμασι, καὶ τοῖς ταῖς τρίβοις ὑμῶν φῶς ἐμποιοῦσι προστάγμασι (1) καὶ πρὸς αὐτὸν ὁρθῶς ὁδηγοῦσι, πορευομένοις· οἷ; καὶ τὸ ἐμμένειν ἀεὶ, καὶ μηδαμῇ παρεκκλίνειν μηδὲ παρενηνέχθαι, μηδὲ τοὺς πόδας ἥκιστα πρὸς λίθον

B δόξαι προσκόψαι, σκληρὸν ἴσως καὶ τὴν καλὴν συνείδησιν θραύοντα λογισμὸν ἐξ ἀκροτόμου καὶ ἀκάρπου καρδίας (2), ἔργον ὑμῶν ἐπιμελὲς, καὶ ταῖς ἀπάντων κείμενον γλώσσαις καὶ πάνυ τι θαυμαζόμενον σπούδασμα. Καὶ γοῦν ἡμεῖς ὑμῖν οὐ τὸ πᾶν ἐσμεν μόνον φίλτρον καὶ πόθον τὸν ὅλον, ἀλλά τι καὶ τὸν ὅλον σχεδὸν πλοῦτον κενώσαντες, καὶ δέει τῶν ὑμετέρων ὑμῖν οὐδενὸς ἔτι· μικρὸν δ' ὅσον πρὸς μητρὸς λήψεσθε, τοῦτ' ἴστε καὶ ἐμοὶ δεδογμένον καὶ κατὰ γνώμην γεγενημένον.

Σὺ δέ μοι τῶν υἱέων ὁ πρῶτος (3), τὸ ἐμὸν ἐντρύφημα καὶ καλλώπισμα, ὁ τῆς ἐμῆς καυχήσεως λαμπρὸς στέφανος (4), ἡ γλυκεῖα καὶ κατάκρως (5) θέλγουσα ἐρατεινὴ ὄψις, καὶ τῆς ἐμῆς ὅλης ψυχῆς, καρδίας ὅλης, στοργαῖς ἀῤῥήτοις ἐς βάθος ἐφικνουμένη, σκόπει μοι καὶ μακρόθεν καὶ ἐκ τῶν νῦν τίς ἂν καὶ μετ' ἐμὲ γένοιο καὶ ὅσος, εὐγνώμων ἅμα καὶ πρόθυμος πάντα καθυπείκειν μητρὶ, καὶ φίλα πράττειν αὐτῇ καὶ κεχαρισμένα, Θεοῦ ταῦτα νόμοις

C κεκελευσμένος. Ἔχεις γὰρ οὐδὲν ἱκανὸν οὐμενοῦν, οὐδ' ἄξιον, οὔτε τῶν ἐπὶ σοὶ ὠδίνων, οὔτε τῶν τροφείων, οὔτε τῶν ἄλλων ὧν ἔτυχες καλῶν, ἐκπλῆσαι, κἂν σεαυτὸν ὅλον πρόῃ, ζωῆς ὀλιγωρήσας. Τί γάρ; εἰ, ὅπερ εἴληφάς, ἀποδῷς, σύμπηξιν σώματος ἐν σπλάγχνοις μητρικοῖς, ἅμα δὲ καὶ ψυχῆς πρὸς τοῦτο δεσμὸν, καὶ σὺν μόχθῳ γέννησιν, Ἰὼδ λέγει (6), καὶ τἆλλα ὅσα καθ' ἕξης ἀπήντησε τρεφομένῳ καὶ αὐξανομένῳ καὶ πρὸς τοῦθ' ἡλικίας καλῶς ἐληλακότι (ἀπαντήσοι δὲ καὶ γῆρας; βαθὺ καὶ πίον, ὡς καὶ νοῦς, κατὰ τὰς εὐχὰς ἡμῶν, ἀπήντησε βαθὺς καὶ πολιὸς, παντὸς προανακύψας τοῦ τῷ χρόνῳ

D προεστηκοντος, καὶ πρεσβυτικὴν σύνεσιν ἐν νεαζούσῃ θεὶς καρδίᾳ καὶ γηραιοὺς λογισμούς)· εἰ τοίνυν καὶ τὰ πρῶτά σοι τοῦ εἶναι παρὰ μητρὸς, καὶ τὰ καθεξῆς δὲ καὶ τοῦ εὖ εἶναι τὰ μὲν ἐπιμελείαις συνῆλθε, τὰ δ' ἐυχαῖς μητρικαῖς, τί ἂν καὶ ὅσον ὑπὲρ πάντων τούτων ἀποδοὺς, πᾶν ὅσον προσῆκον φανείης ἂν ἀποδεδωκώς; Ἐπεὶ δὲ μὴ ἔχεις, ὃς ὅσον ἔχεις, τιμὴν τὴν μὴ κατὰ μέτρον, ἀλλ' ὑπερβολαῖς τισι προσενηνεγμένην· ὅσον γὰρ ἂν δώσεις (7) πλέον, τοσοῦτον καὶ

oratione, cujus lemma protulit Fabricius Bibl. Gr. t. VII, p. 645.

(4) Videtur meminisse verborum Salomonis Prov. xvii, 6: Στέφανος γερόντων τέκνα τέκνων, καύχημα δὲ τέκνων πατέρες αὐτῶν.

(5) Id adverbium est e rarissimis.

(6) An Job. xiv, 1?

(7) Puto scripsisse δώσῃς; nihil mutavi, cum esset inter duas malas lectiones eligendum.

κερδανεῖς πλέον. Ἐνταῦθά μοι κένωσον καὶ τὸ ἐμοὶ ἐπιβάλλον, καὶ πᾶν τὸ πρὸς ἀμφοτέρους, τοῦ πατρὸς ὑπεκστάντος, τῇ μητρὶ πρᾶξον, εὐγνωμοσύνην ἀνόθευτον ἐπὶ τούτοις, ὑπακοὴν πρόσθες, ἐκπλήρωσιν ἐνταλμάτων, τὸ πάνθ' ἕτοιμον εἶναι τοσαύτῃ καὶ τοιαύτῃ θεοφιλεῖ μητρὶ πειθαρχεῖν καὶ φιλόπαιδι, σοὶ πρῶτον τὴν ὄνησιν ἔχοντα πλείστην καὶ μεγίστην. Καλόν σοι καὶ μάλα τι συνοῖσον εὐσέβειαν μητρικὴν εὐλαβεῖσθαι, καὶ τὴν πολλὴν αὐτῆς ἐν πᾶσι θεραπεύειν εὐλάβειαν. Ταῦτα δὴ πρᾶττε· καὶ τοῖς ἀδελφοῖς ἀντὶ πατρὸς ἔσο, φιλόπαις ὁμοῦ καὶ φιλάδελφος, εἰρήνην τὴν μετ' αὐτῶν καὶ πάντων μεταδιώκων, ἀγάπην ἐν εὐθύτητι ψυχῆς ἣν Θεὸς ἐγκελεύεται. Ὑπερηφανείας ὑπερφρονητὴς ἴσθι, κατ' οὐδενὸς μὲν τῶν ἄλλων, κατ' αὐτῆς δὲ καὶ μόνης ὅλας τὰς ὀφρῦς ἐπηρμένος, καὶ γενναῖός τις πρὸς αὐτὴν ἀεὶ παρατεταγμένος, ὥστε μή τι φανῆναι ταύτῃ δεδουλωμένος. Ἀδικίαν ἐξ ὅλης ψυχῆς βδελυξάμενος μίσησον. Καί γ', ἐν τούτοις ἔχων καὶ κατευθύνων, πᾶσιν ἐν ἀγαθοῖς ζῆθι, καὶ τῶν τοῦ πονηροῦ πασῶν μηχανῶν ἀνώτερος καὶ ὑψηλότερος περισώζου, μηδὲν τοῖς αὐτοῦ κέντροις μήτε πλησσόμενος, μήτε βλαπτόμενος. Βλάψοι σε δὲ καὶ μηδεὶς ἕτερος, ταῖς ἐκείνου μεθοδείαις (1) καὶ τέχναις κεχρημένος, καί γε φανερῶς ἐπιβουλεύων ἢ ἀφανῶς βλάπτων. Καὶ ἔντεινε καὶ κατόρθου, ἐπιβαίνων καὶ καταπατῶν καὶ δράκοντα μὲν σκολιὸν σκολιά σοι σοφιζόμενον καὶ ἐπινοοῦντα, ἀλλὰ καὶ λέοντα (2) ὠρυόμενον καὶ ἅρπαγμα καὶ βρῶσιν τὴν σὴν ψυχὴν ἐκζητοῦντα (3). Στέργε καὶ ὅσον ἔλαχες εἰς κλῆρον, ἡμῶν προῖκά σοι καὶ μερισάντων καὶ τελέως ἀποτισάντων. Καὶ νῦν δὲ τελευταῖον μέρος χάριν ἑτέραν ἀπειληφὼς ἔχε, νομίσματα χρυσοῦ , ἤ εἴ τι ἕτερον τῶν ἡμετέρων τοσοῦτον ἂν ἀποτιμηθείη, ἀγαπῶν ἐν τούτῳ.

Οὐ μὴν ἀλλ' ἐπιστρεπτέον ἤδη καὶ πρός σέ μοι τὸν δεύτερον μὲν τῷ χρόνῳ, μηδὲν δ' ἧττον ἀποφερόμενον στοργῆς ἡμῶν καὶ φίλτρου, ἅτε δὴ καὶ μηδὲν ἧττον τῆς πατρικῆς μετέχοντα σχέσεως καὶ τῶν ταύτῃ προσηκόντων. Ὡς γοῦν πρὸς ὁμοτίμους ὄντος μοι τοῦ λόγου, τὴν ἴσην καὶ πρὸς ἀμφοτέρους νουθεσίαν, ἴσας δὲ καὶ τὰς εὐχὰς ποιοῦμαι. Καὶ βούλομαί σοι καὶ ἐπεύχομαι ὅσα δὴ καὶ εἴρηται καὶ τῷ πρὸ σοῦ γεννηθέντι συνταξάμενος ἐπηυξάμην. Καὶ εἴης ἐν μὲν τοῖς καλοῖς καὶ ἀμείνοσι μηδενὸς ἧττω μοῖραν ἀποκεκομισμένος, τοῦ δὲ χείρονος παντὸς εἴης κρείττων, μηδενὸς μετέχων, καί σε κακία μηδεμία μηδαμῶς ἐν οὐδενὶ κρατήσοι χειρωσαμένη, ἐν δ' ἀρεταῖς ἁπάσαις τὸν εὑρετὴν ταύτης καὶ σοφιστὴν νικήσῃς, καὶ νικήσῃς ταῖς μητρικαῖς εὐχαῖς ἐγκαθωπλισμένος, καὶ πρὸς τὰς ἐπιβουλὰς, ἢ δι' ἑαυτοῦ τοῦ πολεμίου πειρωμένου ἢ δι' ἑτέρων μηχανωμένου, ἀπερίτρεπτός τις καὶ κραταιὸς παρεμβάλλων. Ἐπαρήξει, εὖ οἶδα, μητρὸς θερμὴ πίστις, Θεὸν ἰσχυρὸν καὶ ἐξουσιαστὴν κατὰ πάσης ἀντικειμένης δυνάμεως ἀρωγὸν ἐπικαλουμένη καί γε παρεχομένη, ᾧ δὴ καὶ οὐδὲν οὕτως ἥδιον ὡς υἱὸς

A utrique debetur, post meam mortem, matri tuæ tribuas : sinceram gratitudinem, pro beneficiis tantis obedientiam quoque addas, mandatorum adimplectionem ; in omnibus tantæ ac tali, tamque piæ et filiorum amanti matri obedire semper paratus sis, et inde plurimam ac maximam utilitatem percipies. Pulchrum tibi est et valde utile matris pietatem venerari, et quam maxime in omnibus hujus reverentiam curare. Hæc igitur age : et fratribus sis pro patre; paterno simul ac fraterno amore plenus, pacem cum iis et cum omnibus habens, caritatemque eam in animæ rectitudine, ut jubet Deus. Superbiam contemnas, contra nihil aliud, contra eam vero solam tota supercilia attollens, generoseque in eam tanquam acie pugnans,
B ita ut nunquam ei servire videaris. Injustitiam toto corde abominatus odi. Hæc observans et adimplens, in omnibus bonis vive, et supra omnes maligni machinas assurgens, ac excelsior iis effectus stes, neque ejus aculeis læsus, neque ictus. Nemo autem alius te lædat, istius dolis et artibus usus sive aperte insidietur, sive obscure lædat. Sed firmus ac rectus maneas, premens et conculcans draconem istum obliquum obliqua tibi insinuantem suadentemque, sed et leonem rugientem et tuam animam rapere ac vorare quærentem. Ama quidquid in hæreditatem sortitus es, a nobis qui tibi id gratis impertivimus et perfecte rependimus. Et nunc ultimam partem, gratiam alteram accipe ac retine nummos aureos..... Et si quid aliud bonorum nos-
C trorum tanti æstimetur hoc contentus sis.

Sed tamen nunc oportet me ad te converti; qui mihi ætate quidem secundus es, non minus autem dilectionis et amoris a me obtines, quippe qui non minus habeas paternam formam et quæ ad eam pertineant. Cum igitur ad eos qui pari apud me honori sunt, sermonem habeam, ad utrumque eadem consilia easdemque preces dirigam, ac tibi opto precorque quæcumque dicta sunt et ei qui prior to genitus est, precatus sum. Neque minorem in pulchris bonisque partem referas ; quidquid vero malum est, superes, nihil tale experiens, neque ulla malitia te vincat domitetque,
D in omnibus vero virtutibus malitiæ inventorem et auctorem vincas, et vincas matris precibus armatus, et adversus ejus insidias, sive per se inimicus tentet, sive per alios artificia struat, constans ac fortis resistas ! Tibi auxiliabitur, ut scio, matris ardens fides, Deum fortem ac omnipotentem adversus omnem oppositam potestatem adjutorem invocans et præstans, cui sane nihil tam jucundum est quam filius matrem lætificans, et juxta ipsius mandata hanc legis partem, quam diligentissim

(1) Τὰς μεθοδείας diaboli dixit Paulus ad Eph. vi, 11.

(2) Psalm. xc, 13 : Καταπατήσεις λέοντα καὶ δράκοντα.

(3) Petr. I Epist. v, 8 : Ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν τίνα καταπίῃ.

observans, atque deinceps quidquid decet piæ matri tribuens, ita ut, propter Deum, et meis adhortationibus obedias, quod voluerit mater, id exsequaris et ardenter sequere. Et tibi apud Deum erit pro mercede gloria, et apud omnes homines, præsertim vero apud pios, splendida ac pulcherrima tibi adoptabitur gloriæ corona, dulces ac suaves vel his in terris tui amoris fructus carpenti; sed et in futura ac æterna vita, quales neque oculus vidit, neque auris audivit, neque in cor hominis ascenderunt, sinceris deliciis frueris. A nobis autem, quid tibi bene sapienti amplius erit quam ea quæ prius accepisti, et ea vota quæ nunc facimus? Si quid amplius iis addi oporteat, ultimum sane donum et gratiam addimus, nihil quidem minus, sed omnino primogenito æquale.

Et hæc quidem nobis videntur. Reliquus est filiorum quartus.

Qui enim in medio est ac tertius, libenter omisi, neque qua erga eum voluntate sim, scio et quo in ordine ponam, quippe qui vitæ monstrosam confusionem et inordinationem elegerit, pro ea vita quæ prius ordinata erat et sapiens et nobis placens; utrum cum iis qui eamdem vitæ formam gerunt, cui et ipse a teneris libens se ipsum tradidit, et in qua etiam nunc versatur, minime quidem moribus, sed solo habitu ac vestimento et sane invitus, a nobis decoris causa quasi coactus; an ibi, quo mala ac prava ejus electio ducit, longe scilicet a Deo et a virtute. Accessit enim et accurrit ad vocantem Christum, et crucem ejus sustulit et se illum secuturum esse promisit; deinde in rectis semitis claudicavit, et postquam bene ad cœlestis agri aratrum manum misit, qui multa bona in cœlestibus horreis colligit, avertit se retro, eheu! et malas cupiditates libidinesque cordis sui secutus est, et qui prius intra Christi Ecclesiam vivere elegerat, nunc maligni præda apparet, simul a salutari ac sacro expulsus grege, totus scelesti ac perfidi dæmonis flagellis ac vulneribus confossus, qui non per januam, sed aliunde per præcipitia ascendit in eos quibus insultare solet, ille malitiæ auctor, et boni fugam et nobis prorsus electionem infelicibus proponere amat. Non enim omnimodam virtutem ei concedemus, nos omnino culpa liberantes. Et si nos in bono firmiter stare vellemus, fugeret Satanas et certo recederet, et post nos rejiceretur cum Christo in acie stantes, qui et mundum universum et hujus principem, tentatorem istum devicit. Sub

A εὐφραίνων μητέρα, καὶ κατὰ τὰς ἐκείνου ἐντολὰς καὶ τοῦτο δὴ τὸ μέρος· ἐπὶ πλεῖστον ὅσον πεπολιτευμένος. Καὶ γοῦν τὸ εἰκὸς πᾶν θεοφιλεῖ μητρὶ περισώζων, ὥστε καὶ Θεοῦ χάριν καὶ ταῖς ἐμαῖς δὲ παραινέσεσιν εἶχον, πάντ' ἔσο μητρὶ πρὸς ἃ δὴ καὶ βούλοιτο ὑποτασσόμενος καὶ ἐφεπόμενος προθύμως· καὶ κεῖσεται μέν σοι δόξα παρὰ Θεοῦ πρὸς ἀμοιβὴν γιγνομένη, ἀλλὰ καὶ παρὰ πᾶσιν ἀνθρώποις, καὶ μάλιστά γε τοῖς εὐσεβοῦσι, λαμπρὸς οὗτος δόξης καὶ κάλλιστος ἐναρμοσθήσεται στέφανος. ἡδεῖς μὲν καὶ γλυκεῖς κἀνταῦθα τοῦδε τοῦ σπουδάσματος τοὺς καρποὺς τρυγῶντι· ἀλλὰ καὶ ἐν τοῖς ἀεὶ μένουσι καὶ ἀπεράντοις, ὡς οὔτε ὀφθαλμὸς εἶδεν (1) οὔτε οὖς ἤκουσεν, οὔτε ἀνέβη ἐπὶ καρδίαν ἀνθρώπου, οὕτω τὴν τρυφὴν ἀκήρατον τρυγήσεις. Παρ' ἡμῶν B δὲ, ὧν καὶ προλαβὼν πραγμάτων ἀπειλήφεις, καὶ νῦν δὲ τῶν εὐχῶν, τί πλέον ἔσται σοι εὐγνωμονοῦντι; ἦν δέ τι καὶ πλεῖον δέῃ προστεθῆναι, ὑστάτην δηλονότι δωρεὰν καὶ χάριν προστίθεμεν ἤδη, μηδὲν μὲν ἔλαττον, τῷ δὲ πρωτοτόκῳ κατ' ἴσον.

Καὶ ταῦτα μὲν ὑμῖν· λοιπὸς δ' ὁ τέταρτος τῶν υἱέων.

Τὸν γὰρ ἐν μέσῳ καὶ τρίτον ἐκὼν παρῆκα, ἐπεὶ μηδ' ἔχω τίς περὶ αὐτὸν γένωμαι τὴν γνώμην, καὶ οἷ τάξω, σύγχυσιν ἀλλόκοτον βίου καὶ ἀταξίαν ἑλόμενον, ἀντὶ τοῦ πρώην κοσμίου καὶ σώφρονος καὶ ἡμῖν ἐπεράστου, πότερον μετὰ τῶν ἐπὶ τοῦ αὐτοῦ σχήματος τελούντων, ᾧ δὴ καὶ οὗτος ἐκ παιδὸς ἐκὼν εἶναι φέρων ἑαυτὸν ἐνῆκε (2), καὶ νῦν ἐστιν ὁρώμενος ἐν τούτῳ, ἥκιστα μὲν τοῖς τρόποις, τῇ δ' ἀμπεχόνῃ καὶ ταῖς περιβολαῖς μόναις καὶ ταύταις δῆπουθεν ἀέκων, παρ' ἡμῶν ὡσανεὶ τοῦ καλοῦ χάριν τετυραννημένος, ἢ ὅποι πονηρὰ παντελῶς καὶ μοχθηρὰ ἐξάγει προαίρεσις, πόρρω δηλονότι C Θεοῦ καὶ παντὸς τοῦ καθήκοντος. Προσῆλθε μὲν γὰρ καὶ προθύμως προσέδραμε τῷ καλοῦντι Χριστῷ, καὶ τὸν σταυρὸν ἦρε καὶ ὀπίσω κατακολουθεῖν αὐτοῦ (3) ἐπηγγείλατο· εἶθ' ὅλαις ταῖς εὐθείαις ἐχώλανε τρίβοις, καὶ βαλὼν καλῶς ἐπ' ἄροτρον χεῖρα οὐρανίου γεωργίας καὶ πολλὰ τάγαθὰ ἐν ἀποθήκαις αἰωνίοις θησαυριζούσης, ἐστράφη ὀπίσω οἴμοι! τῶν κακῶν ἐπιθυμιῶν (4) καὶ θελημάτων τῆς καρδίας αὐτοῦ, καὶ τῆς Χριστοῦ μάνδρας ἐντὸς ἀγαπήσας πρῶτον ἐνδιαιτᾶσθαι, θήραμα νῦν ἐλεεινὸν (5) ὁρᾶται, ὁμοῦ τῆς σωτηρίας καὶ τῆς ἱερᾶς ἐξωσθεὶς πυίμνης, στιγματίας ὅλος ταῖς τοῦ λῃστοῦ καὶ κλέπτου (6) μάστιξι καὶ πληγαῖς, μὴ διὰ τῆς αὐλῆς, ἀλλ' ἀλλαχόθεν ποθὲν διὰ κρημνῶν τινων ἀναβάντος (7), οἷς ἐκεῖνος εἰωθεν ἐπιπηδᾶν, ὁ δημιουργὸς D τῆς κακίας, καὶ τὴν ἀπὸ τοῦ καλοῦ φυγὴν καὶ ἡμῖν τοῖς τὰ πάντα μοχθηροῖς τὴν προαίρεσιν προξενεῖν τεχναζόμενος. Οὐ γὰρ τὸ πᾶν αὐτῷ δώσομεν τῆς ἰσχύος, ἑαυτοὺς ἐξαρούμενοι παντελῶς τῆς αἰτίας·

(1) Pro ὡς forsan οἷς. — Paulus I ad Cor. II, 9 : Ἃ ὀφθαλμὸς οὐκ εἶδεν. . .

(2) De monastica vita id est intelligendum, quam a puero fuerat amplexus natu tertius ille Chumni filius.

(3) Matth. XVI, 24 : Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Conf. Luc. XV, 27.

(4) Sap. Sirach. XVIII, 30 : Ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου. Cf. t. II, p. 124, n. 1.

(5) Excidit forsan nomen τοῦ πονηροῦ vel alius belluæ, cujus præda fuerit Chumni filius.

(6) Juncta sunt ea nomina et apud Joannem X, 8.

(7) Gregorius Nazianz. Orat. XXVIII, p. 474 : Δέδοικα δὲ τοὺς λῃστὰς καὶ κλέπτας, μὴ, διὰ τῆς αὐλῆς ὑπερβάντες, ἢ ἀναιδείᾳ συλήσωσιν, ἢ δι' ἀπάτης κλέψωσιν, ὥστε θύσαι.

ἀλλ', εἴ γε μόνον καὶ ἡμεῖς βουληθείημεν ἐπὶ τοῦ καλοῦ ἑδραίως ἑστάναι, φεύξεται ὁ Σατανᾶς, οἶδ' ὅτι, καὶ ὑποχωρήσει, καὶ ἡμῶν ὀπίσω καθυπαχθήσεται μετὰ Χριστοῦ καὶ τεταγμένων καὶ συνισταμένων, τοῦ τὸν κόσμον ὅλον, καὶ αὐτοῦ δὴ τὸν ἄρχοντα, τὸν πειραστὴν τοῦτον, νενικηκότος. Ὑφ' ᾧ δὴ σωτῆρι καὶ κεφαλῇ καὶ σὲ διὰ παντὸς τοῦ βίου πεπολιτεῦσθαι ἐγὼ καὶ νομίσας καὶ θαρρήσας, καί γε τὴν πρὸς αὐτὸν πορείαν ἀμεταστρεπτὶ κατευθύνειν, καταπατοῦντα τὴν τοῦ καὶ τὴν ἀρχὴν ἀπατήσαντος ὄφεως κεφαλὴν καὶ τῇ τοῦ ξύλου ἀποπλανήσαντος καὶ θανατώσαντος βρώσει, καὶ ἀεὶ δ' ἀπατᾷν ἐν τοιούτοις πειρωμένου τρυφαῖς καὶ ἡδοναῖς καὶ ἥτταις σαρκὸς, ὁρῶ σε νῦν (ὦ πόσον καὶ οἷον κακὸν ἐν τοῖς ἐμοῖς ὀφθαλμοῖς!) τοῖς ἐκείνου μᾶλλον συμπατούμενον καὶ συντριβόμενον θανατηφόροις ποσί. Κἂν καὶ αὐτὸς εἰς σκληρὸν ὡσανεὶ λίθον τὴν καρδίαν μεταβαλὼν ἀναισθήτως ἔχῃς τοῦ πάθους καὶ τῆς συντριβῆς, ὅλην ἀποσυληθεὶς καὶ κλαπεὶς κακῶς τὴν διάνοιαν, ἀλλὰ πότ' ἀνανήψεις, καὶ συνέσεως καὶ λογισμῶν καὶ σεαυτοῦ γενήσῃ, ὁ ἐν νηπίοις ἔτ' ὢν (1) καὶ τῇ πρώτῃ γε καὶ μετ' αὐτὴν ἡλικίᾳ συνιεὶς ἐμφρόνως, νῦν δ' ὑποσυρεὶς ταῖς ἀφροσύναις, καὶ, ὅτε μᾶλλον ἔδει σε τῶν ἀγνοημάτων παντελῶς ἀπηλλάχθαι, νουνεχεστέρας ἐπιβάντα τῆς ἡλικίας, τότε πρὸς τὰ χείρω μεταστραφεὶς εἰς ἐλεεινὴν τὴν ταλαιπωρίαν (2) ἐν τῷ ἀκάνθας ἐμπαγῆναί σοι τὰ πικρὰ κέντρα τοῦ πονηροῦ; Καὶ γὰρ τοιοῦτον τὸ ἐκκλίνειν ἀπὸ τῶν ἐντεταλμένων τρίβων Χριστοῦ· τοιοῦτον καὶ τὸ τὸν ζυγὸν αὐτοῦ ἀποσείσασθαι τὸν ἐλαφρὸν καὶ χρηστὸν (3), καὶ πρὸς ἀνοδίας καὶ βάραθρα, καὶ τοιαύτας ἀνωμάλους καὶ προσκόμμασι συνθλιβούσας, ἀποδραμεῖν, ἀφέντα βαδίζειν μὲν καὶ ἐπιπορεύεσθαι τὴν ἐν εὐλογίαις ἐπηγγελμένην γῆν καὶ τὴν δι' αὐτῆς πρὸς παράδεισον ὄθεν ἐξεπέσομεν φέρουσαν, πατεῖν δὲ τὴν ἀκάνθας καὶ τριβόλους, ἐν κατάραις φύειν καταδικασθεῖσαν (4) καὶ γεωργεῖν. Ἔτι ἐλπὶς ἐμοὶ μή τί σε πρὸς τέλος τὰς ἐπὶ σοὶ τῆς μητρὸς καλὰς ἐκείνας ἐλπίδας καταισχῦναι, καὶ ματαίας ἀπεληλεγμένας δεῖξαι. « Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος (5) · » ἐπίστρεψον καὶ σὺ, καὶ ἐπιστραφήσεταί σου, καί γε τὰ συντρίμματα, καὶ τοὺς ἐξ ἀφροσύνης ὀδωδότας καὶ μάλα τι κατειργασμένους καὶ σεσηπότας μώλωπας, ἐξιάσεται· πῶς καὶ τίνα τρόπον; Ἔλαιον ἐπιχέας καὶ ἐπιθεὶς καταδέσμους (6), μηκέτι τοῦ καλοῦ μήτ' ἀποσαλευθῆναι, μήτ' αὖθις ἀπορραγῆναι, μηδαμῶς ἀνιέντας· καὶ τότε τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ πρῳΐμον ῥαγήσεταί σοι τὸ φῶς (7) τὴν νῦν κατέχουσαν σκοτόμαιναν καὶ ἀχλὺν ὅλην διωσάμενον καὶ ἀποτινάξαν, καὶ ἴασις τῇ σῇ σαρκὶ καὶ ἐπιμέλεια γενήσεται τοῖς ὀστέοις (8), καὶ τῇ ψυχῇ σου προσρεῖ, « Σωτηρία σοῦ εἰμι ἐγὼ (9), » καὶ σεσωκὼς αὐτὴν ἔσται. Καὶ τοίνυν ἡμεῖς, πατὴρ

A quo salvatore et capite cum te per totam vitam acturum esse putarem et confiderem, et ad eum constanter cursum tuum directurum, caputque serpentis hujus qui ab initio decepit, et fructus comestione in errorem inducit occiditque, tentaique semper et deliciis et voluptatibus et carnis remissione decipere, video te nunc, (o quantum et quale in oculis meis malum!) dæmonis pedibus mortiferis conculcatum et contritum. Et si ipse in durum lapidem cor tuum convertens neque affectum, neque contritionem sentias, tota mente tua abrepta et male decepta, nonne evigilabis, et intelliges et rationis tuique ipsius fies, qui adhuc in teneris annis et prima post eos juventute sapienter intelligens, nunc vero dementia correptus, et, cum potius oportuisset te ab ignorantia liberari, prudentiorem ætatem ingressum, tunc ad pejora versus in miserandam infelicemque vitam cucurristi, dum ut spinæ in te infiguntur amari inimici aculei? Ea enim est sors eorum qui a Christo declinant; qui jugum Christi leve ac suave excutiunt, et ad invia et profunda, et inordinatas obstaculisque refertas semitas, incurrunt, dum ambulare et incedere in plena benedictionibus terra et ad paradisum, unde decidimus, ferente, deberent, conculcare vero eam quæ et spinas et aculeos in maledictionibus gignere et ferre damnata est. Spes adhuc mihi est fore ut tandem non opprobrio optimas illas matris tuæ de te spes fallere velis, et vanas apire demonstres. «Convertimini ad me, et convertar ad vos, dicit Dominus.» Convertere et tu, et convertetur ad te, et contritiones tuas, et ex dementia orta et producta et corrupta vulnera sanando auferet. Quomodo autem? Oleum infundens desuper et ligamina imponens, quæ neque ea sinent a bono recedere aut sursum frangi. Ac brevi sanabit te, et matutinum lumen has tenebras quæ nunc te comprehendunt franget, et omnem horrorem repellet et deturbabit, et sanatio carni tuæ et cura fiet ossibus tuis, et animæ tuæ dicet: « Salus tua ego sum,» et eam salvabit. Et tunc nos, pater simul, ac mater, teneri et mites, nedum duri ac justa ira pleni, filii amantes erimus; et quod ad te spectat, bene pœnitentiam agentem et ad priorem Deoque dilectam vitam redeuntem, providi erimus, ne eorum quæ ad cursum conferunt defectu dejiciaris et indolens officiique despiciens fias; et concedemus quod tibi sufficere possit, quatuordecim nempe auri talenta, mille aureos nummos adæquantia. Tantam igitur dicimus fore tuam partem, si te ad bonum converteris.

(1) Legendum forsan ἐτῶν.
(2) Videtur nonnihil deesse.
(3) Matth. xi, 30: Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.
(4) Genes. iii, 17: Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. . . ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι.
(5) Zachar. i, 3.
(6) Luc. x, 34: Κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον.
(7) Isai. lviii, 8.
(8) Proverb. iii, 8.
(9) Psalm. xxxiii, 3.

ὁμοῦ καὶ μήτηρ, καὶ μετ' ἐμὲ αὖθις μήτηρ, μειλίχιοι, προσηνεῖς, ἀντὶ τῆς νῦν ἐπιπλήξεως καὶ δικαίας ὀργῆς, φιλόπαιδες ἐσόμεθα καὶ τὸ ἐπὶ σοὶ, καλῶς μετεγνωκότι καὶ πρὸς τὴν πρώην πολιτείαν τὴν καὶ Θεῷ φίλην ἐπανιόντι, οὐ μὴν ἀλλὰ καὶ προμηθεῖς, ἵνα μὴ τῇ ἐκλείψει τῶν συντεινόντων πρὸς τὸν δρόμον ἐγκοπή σοι γένοιτο καὶ ῥᾳθυμία, καί γε τοῦ σπουδάσματος ὀλιγωρία, καὶ χορηγήσομεν δὴ τὸ ἀποχρῶν καθάπαξ. χρυσοῦ δηλαδὴ τάλαντα τέτταρα καὶ δέκα, χιλίων ἀπαριθμησιν νομισμάτων δηλοῦντα. Τοσοῦτον γάρ φαμεν εἶναι καὶ τὸ ἐπιβάλλον σοι μέρος (1), ἐν ἐπιστροφῇ δηλονότι τοῦ καλοῦ γεγονότι.

Te vero, ultimum et reliquum, ut dicebam, meorum filiorum, Nicolaum meum, nescio quæ et qualis te maneat fortuna, ubi vita mea fracta erit, cum adeo imperfectæ ætatis sis, neque adolescentiam absolveris. Magnam vero fiduciam præstant eamque validam tui mores, jam ad bellum accincti ac bonas spes nobis polliciti; incutit vero mihi timorem mors plerumque improvisa superveniens, cum neque diem crastinam videre certi simus. Sed id ad me attinet; sed et tua tenera ætas me ad timendum inducit, quæ nondum res valet accipere easque gerere; timeo ne forte, cum sis junior, patre tuo mortuo, nemo te protegat manumque tibi porrigat, te ad meliora verbis et exemplis ducturus; ac deinde ne tam bonæ indolis nihil jam tibi supersit, si inimica fortuna fluctibus latuerit dæmonque malus te tentaverit.

Σὲ δὲ τὸν ὕστατόν μοι καὶ λοιπὸν, ὅπερ ἔφην, τῶν παίδων, τὸν ἐμὸν Νικόλαον, οὐκ οἶδα τίς ἂν καὶ ποία ὑποδέξηται τύχη, τῆς ζωῆς ἐμοὶ τμηθείσης, ἐν οὕτως ἀτελεῖ σοι καθεστηκότι τῇ ἡλικίᾳ, καὶ μήπω τὴν μειρακικὴν παραμείψαντι. Δίδωσι μὲν γὰρ θαῤῥεῖν καὶ πολλὰ δίδωσι θαῤῥεῖν ὁ τρόπος, παραγυμνούμενος ἤδη καὶ τὰς χρηστοτέρας ἡμῖν μνηστευόμενος τῶν ἐλπίδων· φοβεῖ δέ με τὸ τοῦ θανάτου ἀπρόοπτος τὰ πολλὰ ἐπιὸν, καὶ μηδὲ περὶ τῆς αὔριον μηδεμιᾶς οὔσης ἐγγύης. Ἀλλὰ τοῦτο μὲν ἐμοῦ χάριν· πολλὰ δὲ καὶ τὸ σὸν ἀπαλὸν ἐν χρόνῳ δεδίττεται, καὶ τὸ πρὸς ἀντιλήψεις τῶν πραγμάτων οὐχ οἷόν τε ἔτι αὐτῶν ἐφικνεῖσθαι· καὶ δεδίττεται, μή ποτέ σοι νεωτέρῳ ὄντι, καὶ θανάτῳ τὸν πατέρα ἀποβαλομένῳ, οὐκ ἐπαμύνοι τις, οὐδέ γε χεῖρα ὀρέξοι, ἐπὶ τὰ βελτίω διαδεικνὺς καὶ προσεμβιβάζων· εἶτα τῆς ἀγαθῆς φύσεως οὐδέν σοι κευθμῶσι καὶ πειραθείσης δαίμονος κακοδαίμονος;

Sed quid mihi hæc sunt? Sis misericors ac benevolus, qui multam in Christo virtutem ac potentiam adeptus es, multa unguenta, multa miracula, sancte ac magne Nicolae, indigentium ardens protector, ad quem ego meum dilectissimum filium ferens, e maternis visceribus ereptum, commisi et consecravi; et multum ideo fiduciæ habui, quod prius maxima ac deinde tuæ erga me bonitatis protectionisque testimonia retuli, etsi ingratus ipse miraculis visus sum, ita ut metuendum potius mihi sit, ne mea improba et prava vita filius non in bonum utatur. Unde et a me ille sejunctus, et tua sola protectione confidens ac vivens et operans, meliora multo quam pro nostris precibus ac voluntate referet. Tunc igitur, qui eum tibi infantulum ut servum acceperis, et nunc, ut ita dicam, tua gratia emeris et a nobis traditum habueris, adjava eum et libera ab omnibus insidiis, tuisque alis eum obumbrans, ei requiem præbeas sole diei usto, et sagittis in die volantibus vulnerato, neque permittas eum luna per noctem aut a timore nocturno et a qualibet re perambulante in tenebris turbari et capi. Et hoc modo eum ab omni malo immunem serves, vitam ejus in bonis dirigas, eumque quantum licet defendas. Deinde ita per omnem virtutem ductum, te duce, et doctore et protectore, Christo repræsentes in æternum exsultantem et supernæ beatitudinis hæredem constituas.

Ἀλλὰ τί τούτων ἐμοί; ἵλεως μοι καὶ εὐμενὴς εἴης ὁ πολὺς μὲν ἐν Χριστῷ δύναμιν καὶ παῤῥησίαν, πολὺς δὲ καὶ τὰ μύρα, πολὺς καὶ τὰ θαύματα (2), ὁ θερμὸς τῶν ἐπιδεομένων προστάτης, ὁ ἱερὸς καὶ μέγας Νικόλαος, πρὸς ὃν ἐγὼ φέρων αὐτόν μοι τὸν φίλτατον, ἄρτι τῶν μητρικῶν ὠδίνων ἐκραγέντα, θερμῶς πιστεύσας ἐνέθηκα, καὶ μάλα τι τῷ δόγματι καὶ πλεῖστα καὶ μεγάλα τεθάῤῥηκα, τεκμήρια παμμεγέθη πρότερον καὶ καθεξῆς ἀεὶ τῆς σῆς περὶ ἐμὲ φιλανθρωπίας καὶ προστασίας ἀπενεγκάμενος, εἰ καὶ ἀγνώμων αὐτὸς ἐφάνην τοῖς θαύμασιν, ὥστε περὶ τούτου δέος μᾶλλον, μὴ τῆς ἐμῆς φαύλης καὶ πονηρᾶς μενούσης ζωῆς ὁ παῖς οὐκ εἰς καλὸν ἀπόναιτο· ὅθεν καὶ χωρὶς οὗτος γενόμενος, καὶ ὑπὸ τῇ σῇ σκέπῃ μόνῃ καὶ θαῤῥῶν καὶ ζῶν καὶ στρεφόμενος, οἰὸ' ὅτι ἀμεινόνων ἐπὶ πολλῷ καὶ βελτιόνων τῶν κατ' εὐχὴν καὶ βούλησιν ἡμῶν πειραθήσεται. Καὶ γοῦν, ὡς καὶ τὴν ἀρχὴν βρέφος αὐτὸν οἰκέτην παρειληφὼς, καὶ νῦν ὠνητὸν, εἰπεῖν, τῆς σῆς χάριτος παρ' ἡμῶν ἀποδιδόμενον, εἰσποίησαι, καὶ ῥύου μὲν ἀεὶ πάσης ἐκ παγίδος θηρεύοντος (3), ὑπὸ δὲ τὰς σὰς πτέρυγας σκιάσας ἀνάπαυε μήθ' ἡμέρας τῷ ἡλίῳ συγκαιόμενον καὶ φλεγόμενον καὶ τοῖς ἐν αὐτῇ πετομένοις τιτρωσκόμενον βέλεσι, μήτε τῇ σελήνῃ τὴν νύκτα, μηδ' ὑπὸ φόβου νυκτερινοῦ καὶ πράγματος μηδενὸς ἐν σκότει διαπορευομένου μήτε ταραττόμενον μήθ' ἁλισκόμενον. Καὶ τοῦτον δὴ τὸν τρόπον ἀθιγῆ κακοῦ παντὸς πε-

(1) Luc, xv, 12: Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας.

(2) Nicolai filii patronus, quem invocat pie Chumnus, S. Nicolaus, Myrorum in Lycia episcopus, cognominatus fuit Myroblytes ac Thaumaturgus. De eo exstat Lequienii Dissertatio in Continuatione Memor. Desmol. t. VI; quam propter nomen auctoris ac raritatem indicare visum est. Exstant et in cod. 400 inediti in S. Nicolaum Græci versus.

(3) Psalm. cxxiii, 7: Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.

ρισώζων, ἐν ἀγαθοῖς ζθυνον τὴν ζωὴν, ἐκτείνας εἰς ὅσον δυνατὸν ἐς πλεῖστον. Εἶθ' οὕτω διὰ πάσης ἀρετῆς ἡγμένον ὑπὸ σοὶ καὶ ὁδηγῷ καὶ χειραγωγῷ καὶ προστάτῃ, Χριστῷ παραστήσαις ἐν τοῖς ἰδίοις συναγαλλόμενον, καί γε κληρονόμον δείξαις τῆς ἐκεῖθεν μακαριότητος.

Παρ' ἡμῶν δέ σοι, παιδίον φίλτατον, ἐκ τῶν καθ' ἡμᾶς φθαρτῶν καὶ γηΐνων ἕξει πρὸς κληρονομίαν ὅσα τῇ μητρὶ ἐπεσκήψαμεν, ἴσα καὶ ὁμότιμα λέγω τοῖς πρὸς τοὺς ἀδελφοὺς καὶ πρώην, καὶ νῦν δ' ἐν τοῖς ἐσχάτοις, δεδωρημένοις. Καὶ γοῦν, ὡς ἐν βραχεῖ τὸ ὅλον καθαρῶς φάναι, πᾶν ὅσον παρ' αὐτῆς λάβοις, τοῦτο νόμιζε καὶ ἡμῖν εἶναι τὸ διδογμένον. Οὐ μὴν ἀλλ', ἐπειδὴ καὶ πρὸς σὲ ταῦτα καὶ λείπεται διαλεχθῆναι πρὸς ἄλλον οὐδένα, ὅτι μηδ' ἔστι πρὸς ὃν πᾶσα ἀνάγκη, αὖθις πρὸς ὑμᾶς ἐπιστρέφω καὶ δή φημι· Ἔχετε, φίλτατοι παῖδες, τὴν τελευταίαν ἐξ ἐμοῦ ἤδη παραίνεσιν καὶ νουθεσίαν, καὶ φυλάσσετέ μοι καλῶς τὴν καλὴν ταύτην παρακαταθήκην· ἔχετε καὶ τοὺς κλήρους οὐ παντάπασιν ἀγεννεῖς, οὐδέ γε τὰς ὑστάτας ταύτας τῶν δωρεῶν, καὶ ἀρκεῖσθε οἷς ἕκαστος ὑμῶν ἔλαχε, μηδενὸς ἀντεχόμενοι, μηδὲ μεταποιούμενοι πλείονος· ἔχετε καὶ τὰς εὐχὰς, καὶ βιῶητε κατ' αὐτάς· καὶ τύχοιτε πάντων τῶν ἐν αὐταῖς, καὶ ἀποπέσοιτε τούτων ἀπ' οὐδενός· καὶ χαίροιτε ἀεὶ ἐν Χριστῷ τὴν χαρὰν ταύτην, ἔν τε τοῖς παροῦσιν, ἔν τε τοῖς ἀπεράντοις, διαρκῆ καὶ ἀκήρατον πρυτανεύοντι, μεσιτείαις τῆς πανυπεράγνου καὶ ἀσπίλου μητρὸς αὐτοῦ, τῶν θείων ἀγγέλων, τῶν σεπτῶν ἀποστόλων, τῶν μαρτύρων, τῶν ἱεραρχῶν, τοῦ Νικολάου, καὶ πάντων δὴ τῶν ἁγίων.

A nobis vero tibi, dilectissime filiole, ex corruptibilibus terrenisque bonis in hæreditate dabuntur quæ matri mandavimus, æqua et æque æstimabilia nempe iis quæ fratribus et prius et nunc in extremis, data sunt. Atque igitur, ut paucis vocibus loquar, quidquid ab ea accepturus es, illud crede et nobis visum esse. Sed tamen, postquam et hæc de te dicta sunt, et jam neminem habeo quem alloquar, aut quem alloqui necesse sit, rursum ad vos me convertam dicamque: Habete, dilectissimi filii, ultimam meam adhortationem ac consilium, et observate bene pulchrum hoc depositum. Habete et hæreditates non omnino ignobiles, neque donorum vilissima, et contenti estote eis quæ singuli obtinetis, nihil petentes amplius, nihil vobis amplius vindicantes; habete et preces nostras ac juxta illas vivite; et assequamini quidquid in eis continetur, et a nulla earum deficiatis. Et semper hac lætitia fruamini et præsenti tempore ac futuro, in Christo perpetuo ac sincere regnante, purissimæ et immaculatæ Matris ejus intercessione, divinorumque angelorum, venerandorum apostolorum, martyrum, pontificum, sancti Nicolai, et omnium sanctorum.

ΘΕΣΠΙΣΜΑ

ΕΠΙ ΤΗ ΜΕΓΑΛΗ ΚΑΙ ΤΕΛΕΥΤΑΙΑ ΕΟΡΤΗ

ΤΟΥ ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΠΑΝΤΟΣ ΜΥΣΤΗΡΙΟΥ*,

Αὐτοῦ μὲν ὅθεν καὶ κατῆλθεν ἐς οὐρανοὺς αὖθις μετὰ σαρκὸς ἀναβεβηκότος ἐξ ἁγνῆς Παρθένου προσληφθείσης αὐτῷ, τῆς δὲ παναγίας ταύτης Μητρὸς αὐτοῦ, τὸ νῦν δηλονότι τελούμενον, τρόπον ὃν ηὐδόκησεν ἐς αὐτὸν μεταστάσης. Καὶ γοῦν τὸ θέσπισμα βούλεται μὴ κατὰ μίαν μόνην ἡμέραν, κατὰ τὸ πάλαι κρατῆσαν ἔθος, τὴν ἑορτὴν ταύτην τελεῖσθαι, ἀλλ', ἐξ ἀρχῆς τῆς καὶ πρώτης τοῦ μηνὸς ἐν ᾧ τὸ μυστήριον, ἀρξαμένην, μέχρις αὐτοῦ παντὸς ἐξήκειν, κἀκεῖ δὴ συμπεραίνειν ὅποι καὶ ὁ μὴν περαίνει.

EDICTUM

DE MAGNA ET PERFECTA CELEBRATIONE

TOTIUS MYSTERII AD CHRISTUM SPECTANTIS,

Tum Christi ipsius, qui ascendit rursus in cælum, unde venit, cum carne adjuncta ei ex sancta Virgine, quam Matris ejus sanctissimæ transfiguratæ in hunc modum, quem probavit etiam nunc perficiendum. Edictum quippe mandat, ut hoc festum non per unam solam diem, secundum antiquam consuetudinem celebretur, sed ut inde a primo initio mensis, cui assignatum est hoc mysterium, illud peragatur continuo usque ad ejus finem, et finis mensis designet simul finem festorum.

Ἅ μὲν ἡ τοῦ Θεοῦ Μήτηρ, εὖ διὰ παντὸς τὸ τῶν ἀνθρώπων ποιοῦσα γένος, θαυμαστὰ οἷα καὶ

Quam mirabilia sint et excedentia omnem vitam, ea quæ Dei Mater perpetuo in hominum genus

* E codd. regiis 2105, p. 413, et 3010, p. 362, signandis deinceps, illo littera A, hoc littera B. In utroque titulus et illa quasi προθεωρία sine varietate leguntur, sed notandum in B locum illum

contulit beneficia, omnes homines probe intelligunt, et optimæ intentionis sunt omnes qui talia confiteri et prædicare aggrediuntur. Etenim nullus est sensum et rationem habens qui non illud vehementer exoptet. Omnes autem probe sciunt esse vere super omnem virtutem naturamque sermonis de hoc convenienter loqui vel parem gratiam referre posse quantumvis zelantissimos; non solum si unusquisque sua voce et lingua talia nitatur concinnare, verum et si omnes in unum conveniant ad illud, quicunque nunc sunt et quicunque antea vita functi sunt: non certe, neque si foret labium unum osque unum quo omnes erumperent in unam vocem, ne paululum quidem sic aptissima etiam symphonia attingere valerent ad sublimem hanc tam magnificorum mirabilium confessionem quæ excedens cuncta ad infirma deprimi minime potest. Est igitur omnis natura hominum vere inferior et impotens ad hujus virtutis indagationem, ut dignum quid de tot et tantis beneficiis loqui possit: sed et impotens quoque foret quam accipere posset linguas ipsas Angelorum et Archangelorum vel si qui sint aliorum spirituum in Dei laudibus perpetuo assuetas, et acciperet eas et adimpleret cantica gratiarum ereberrima: non enim homines tantum, verum etiam potestates cœlestes obstupefacit mirabilium excellentia et sublimitas quæ pro nobis patrata fuerunt hodieque producuntur.

A ὑπερφυῆ παντὶ τῷ βίῳ παρέσχετο πάντες; εἰσὶν ἄνθρωποι σαφῶς εἰδότες, καὶ γνώμης εὖ εἰσι πάντες ἔχοντες ἀνομολογεῖν καὶ κηρύττειν· καί γε τῶν ἁπάντων ἔστιν οὐδείς, αἰσθήσεως γοῦν καὶ λογισμῶν μετέχων, μὴ τοῦτο σφόδρα βεβουλημένος. Οὐ μὴν ἀλλὰ καὶ πάντες εὖ εἰσι καὶ καλῶς εἰδότες, ὡς ἔστιν ἀληθῶς ὑπὲρ πᾶσαν λόγου καὶ δύναμιν καὶ φύσιν ἐφ' ἱκανὸν ταῦτα ἐξισχύσαι λαλῆσαι, ἢ τὴν ἀνάλογον καὶ πάνυ τι προτεθυμημένους εὐχαριστίαν πρᾶξαι, μὴ ὅτι γε καθ' ἕνα φθεγγομένους καὶ κατὰ μίαν γλῶσσαν ἕκαστον ἐπιχειροῦντας ἀπονέμειν, ἀλλ' οὐδ' εἰ πάντες εἰς ταὐτὸν (1) συνιόντες, ὅσοι τε νῦν εἰσι καὶ ὅσοι πάλαι γεγόνασιν· οὐμενοῦν, οὐδ' εἰ χεῖλος ἓν καὶ ἓν στόμα πρὸς φωνὴν μίαν (2) γενόμενοι, οὐδ' οὕτως ἂν οὐδὲ κατὰ

B μικρὸν ἔσχον ἐγγὺς ἰέναι τοῦ τινα ταύτην συμφωνίαν παγκόσμιον πρὸς ἀνθομολόγησιν ἆραι, τοῦ τῶν θαυμάτων μεγαλείου μὴ κάτω πίπτουσαν καὶ τοῦ παντὸς ἀπολειπομένην. Ἀλλ' ἔστι μὲν ὄντως μικρὰ πᾶσα φύσις ἀνθρώπων καὶ ἀσθενὴς πρὸς τοῦτό γε δυνάμεως ἐξεταζομένη, ὥστ' ἔχειν ἄξιόν τι τῶν τοσούτων καὶ τοιούτων εὐεργετημάτων ἐρεῖν· ἔστι δὲ καὶ αὖθις ἀσθενὴς, εἰ καὶ τὰς ἀγγελικὰς αὐτὰς ἢ καὶ ἀρχαγγελικὰς, εἴ τινές εἰσιν ἄϋλων γλῶσσαι πρὸς διηνεκεῖς ὕμνους εἰθισμέναι Θεοῦ, βουληθείη προσλαβεῖν καὶ προσλάβοι, ἔπειτα συνεργάζοιτο τοὺς εὐχαριστηρίους ἀποπληροῦσα· οὐ γὰρ ἀνθρώπους μόνον καὶ τὴν καθ' ἡμᾶς πᾶσαν λογικὴν φύσιν, ἀλλὰ καὶ τὰς ἐπουρανίους δυνάμεις, ὑπερβαίνον ἐκπλήττει τῶν θαυμασίων τῶνδε τὸ μέγεθος, ὑπὲρ ἡμῶν ἀπείρων ὅσων καταπραχθέντων καὶ νῦν ἐνεργουμένων.

Attamen quod hæc semper ordineque celebrari debeant pleni firmiterque censemus, atque confidimus. Ergo ut sermonem obiter opportuneque ordiamur ab hoc quod fuit in principio: homo plasmatus manu Dei divinæ consors effectus est imaginis, inde super omnes visibiles creaturas honore coronatus, tanto majore gloria et decore donatus, quanto formationis ejus verbum altius efferebatur, cum accepit unde imaginem quam gerebat conservaret, si custodiri præcepta curarit. Postquam autem per voluptatem nudatus est, et, præcepta parvipendens, decipientibus fidem adhibuit, statim decidit, in ipso loco ubi constitutus fuerat in voluptate et fruitione multorum maximorumque bonorum, simulque amisit meritum

C Οὐ μὴν ἀλλὰ καὶ καθεξῆς ἀεὶ ταῦτα τελεῖσθαι βεβαίας ἡμεῖς τὰς πίστεις καὶ ἀσφαλεῖς ἔχομεν τὰς ἐλπίδας. Καὶ, ἵν' ἡμῖν ὁ λόγος, ὥσπερ εἰς ἀρχὴν ἀνελθών, ἐκεῖθεν καθ' ὁδὸν προΐοι, ἐπλάσθη μὲν ἄνθρωπος χειρὶ Θεοῦ, καὶ μετέσχε θείας εἰκόνος (3), καὶ τούτῳ πλείῳ τετίμηται πάντων τῶν ὁρωμένων· εἶχε δ' ἂν καὶ πλέον ἀπειληφέναι τιμῆς καὶ δόξης, πρὸς ὅ καὶ μᾶλλον ὁ τῆς κατ' αὐτὸν δημιουργίας ἔφερε λόγος, καὶ ἀπέλαβεν ἄν, εἰ, τὴν εἰκόνα περισώσας, μετὰ τῆς ἐντολῆς ἐφυλάχθη. Ἐπεὶ δ' ὑφ' ἡδονῆς ἐκλάπη, καὶ, τῶν προσταχθέντων ὀλιγωρήσας, ἐνεπίστευσε τοῖς ἀπατῶσι, πίπτει μὲν εὐθὺς ἐκεῖθεν ὅπη καὶ τρυφῆς (4) ἐτάχθη καὶ πολλῶν καὶ μεγάλων ἀγαθῶν μετουσίας· ἀποπίπτει δ' ὁμοῦ καὶ ἧς ἀξίας ἔμελλεν ἀμείνονος πειραθῆναι,

integrum a θέσπισμα ad περαίνει fuisse serius D lineola transversa inductum, ab ipso ut videtur librario, ab eo saltem homine qui opusculorum in codice contentorum indicem confecit. In eo igitur indice generali, quum primum hocce scripsisset lemma, τοῦ αὐτοῦ θέσπισμα ἐπὶ τῇ μεγάλῃ καὶ τελευταίᾳ ἑορτῇ τοῦ κατὰ Χριστὸν παντὸς μυστηρίου, eo deleto, novum substituit, hisce scilicet conceptum verbis: τοῦ αὐτοῦ λόγος ὅπως δεῖ ἑορτάζειν τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου ἀπὸ τῆς πρώτης τοῦ αὐγούστου μηνὸς μέχρι τῆς ἐσχάτης. Nova illa Andronici lex, an diu viguerit nescio; nec Strozzæ librum de Assumptione consulere potui, in quo forsan is antiquitatum liturgicarum locus tractatus fuit. — Apponam non intempestive e codice regio 1630, pag. 61, 63, 133, tria epigrammata, εἰς τὴν κοίμησιν τῆς Θεοτόκου. — α'. Ζῆς καὶ θανοῦσα· ζῶσα τίκτεις παρθένος. — β'. Σαῖς ἠγκαλίζου πρὶν με χερσὶ, παρθένε, Θηλῆς δὲ σῆς ἔσπασα μητρικὸν γάλα. Τὸ πνεῦμά σου νῦν αὐτὸς ἠγκαλισμένος, Τὸ σῶμα πέμπω πρὸς τρυφῆς τὸ χωρίον. — γ'. Γῆν ἐκ πόλου μοι, γῆς ἐγὼ σοι τὸν πόλον Ἰδοὺ βατὸν τίθημι, μῆτερ παρθένε.

(1) Poterunt admoveri, si tanti est, Joannis Diaconi similes hyperbolæ ex initio laudationis Joannis Palæologi (*Vide tom.* CLVIII).

(2) Genes. xi, 1: ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν καὶ φωνὴ μία πᾶσι.

(3) Genes. ii, 7; ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον. Vide et i, 27.

(4) In Bibliis non semel paradisus dicitur ὁ παράδεισος τῆς τρυφῆς.

καὶ ἀτρέφει πάλιν εἰς γῆν συντριβεὶς τῇ ἁμαρτίᾳ, μήθ' ὅπερ ἦν φυλάξας, μήτε γενόμενος πρὸς ὃ δὴ κρεῖττον καὶ ὑψηλότερον παιδαγωγούμενος ἐκαλεῖτο.

A propter quod meliori bono potiri in proximum babebat: et rursum in terram conversus est attritus peccato; neque quod erat custodiens neque ad hoc melius erectus ad quod instruebatur et vocabatur.

Καὶ ὁ μὲν οὕτως ὤλισθε, Θεοῦ καὶ τῆς θείας ἀποπεσὼν μοίρας· ὁ δ' αὖθις βούλεται πρὸς ἑαυτὸν ἑλκῦσαι. Βούλεται τοῦτο, καὶ σκοπεῖ τῆς φιλανθρωπίας τὸ μέγεθος. Ἑαυτὸν ὅλον εἰς ἡμᾶς οὐκ ἀπαξιοῖ κενῶσαι (1), καί γε βαστάσαι πεπτωκότας καὶ προσλαβεῖν κειμένους, οὐκ εἰς ὅπερ ἦμεν μόνον, ἀλλὰ καὶ πρὸς ὃ παρήγαγε πλάσας αὖθις ἀνασώζων, μηκέτι μήτε παρὰ τοῦ φθονοῦντος ἐπιβουλευομένους, μήτε πίπτοντας, μήτ' αὖθις ἀχρειουμένους.

Ille vero sic titubavit ut a Deo et a divina felicitate excideret; sed iterum ad Deum assurgere studet. Studet autem cum bonitatis altitudinem recogitat ejus qui seipsum omnino pro nobis exinaniens, ut sustineret lapsos et assumeret erigeretque ad se prolapsos, non solum reddens quod antea eramus, sed ad quod nos perduxit iterum salvando reformans, ut neque ab invidi hostis machinationibus caperemur, neque iterum peccaremus, neque denuo absque fructibus essemus.

Ταῦτα Θεὸς βούλεται, καὶ πρὸς αὐτὴν εὐθὺς βλέπει τὴν ἐπ' ἐσχάτων τῶν χρόνων ἑαυτοῦ Μητέρα, πρὶν ἢ καὶ τὸν ὅλον παραγαγεῖν κόσμον ἀπὸ πασῶν ἑαυτῷ γενεῶν ἐκλέξας. Καὶ γίνεται δὴ τοῦτο Θεοῦ μυστήριον πρὸ πάσης κτίσεως, εἰπεῖν, ἀποκεκρυμμένον· εἶτα, κατὰ γενεὰς τυπούμενον καὶ σκιὰς λαμβάνον, σώζει κἀνταῦθα, ὅποι δηλονότι ὁ τύπος (2) αὐτοῦ ἢ σκιὰ παρεδείχθη. Καὶ δῆλον τοῦτο πανταχῇ σκοπουμένῳ.

B Hæc eadem cupit Deus, et per antiqua tempora in suam Matrem directo respicit, eligens eam antequam ordinaret orbem universum ex omnibus a se creatis generationibus. Sicque apparuit hoc mysterium Dei ante omnem creationem decretum, sed, ut ita dicam, absconditum: deinde secundum generationes figuratum et sub umbris positum ibi salutem operatur, ubi typus ejus vel umbra quædam demonstratur et accipitur. Et hoc evidenter novit qui rem attente considerat.

Δουλοῦται (3) μὲν γὰρ εἰς Αἴγυπτον Ἰσραὴλ καὶ ὑπὸ Φαραὼ τυραννεῖται πικροῖς ἐκπιεσμοῖς προσταλαιπωρῶν, καὶ καταπονούμενος ὑπὸ βαρύτητος ἔργων, καί γε πρὸς αὐτὰ δὴ ταῦτα κατασυρόμενος, ὅσα καὶ βίβλοι φέρουσι καὶ ἱστορίαι παλαιῶν περὶ ἐκείνου διηγημάτων· ἐγείρεται δὲ Μωσῆς ζηλῶν ὑπὲρ τῶν πασχόντων, καὶ φεύγει μὲν Αἴγυπτον, προσχωρεῖ δὲ Θεῷ. Κἀκεῖνο βλέπει τὸ μέγα καὶ θαυμαστὸν ὅραμα (4) πῦρ ἐν τῇ βάτῳ, πῦρ καῖον καὶ μηδαμῶς κατακαῖον (5), ὅτι μηδ' ὕστερον ὁ ἐκ ταύτης καλέσας αὐτὸν (6), εἰσιὼν τὴν παρθένον, οὔτε κατέφλεξεν, οὔτ' οὐδὲν εὐδαμῶς ἐλυμήνατο. Ταῦτα Μωσῆς τότε, καὶ πατεῖν γῆν ἁγίαν εὐθὺς ἀκούει, καὶ τὰ ὑποδήματα τῶν ποδῶν λῦσαι (7)· καὶ λύει καὶ ἀποτίθεται. Τίνος χάριν; Ὅτι μηδὲ θέμις ἴσως νεκρὸν οὐδὲν ἐκεῖ ψαύειν, ὅποι Θεοῦ παρουσία, καὶ τύπος Ἐδὲμ τῆς ἀφθάρτου, πρὸς ἣν ὁ τότε φανεὶς ἡμᾶς αὖθις εἰσοικίσαι προμηνύει, καὶ τὰ σύμβολα δίδωσιν· ἢ τάχα καὶ ἀπερρίφθαι προστάσσει πᾶν ὅσον ἐξ ἁμαρτίας βοήθημα τῆς ἀσθενοῦς σαρκὸς ἥρμοσε, καὶ τοὺς γυμνοὺς τοῦ λοιποῦ θαρρεῖν ἡμᾶς πόδας ἐπὶ τῶν ὄφεων βιησομένους καὶ τῆς κεφαλῆς τοῦ δράκοντος (8), ὃς αὐτοὺς ἀπατήσας ὑπέδησεν. Εἶδε ταῦτα Μωσῆς καὶ τὴν ἐλευθερίαν ἐντεῦθεν Ἰσραὴλ πιστοῦται, καὶ ἀπέρχεται θαρρῶν τῇ δυνάμει τῆς ὄψεως, καταμαθὼν ἐκεῖθεν καὶ τὴν κοινὴν πάντων ἐλευθερίαν ἀνθρώπων, ὡς ἀπὸ Φαραὼ τυραννίδος τότε τὸν Ἰσραὴλ,

C narrant Biblia et veterum historiæ: surrexit autem Moses zelans super patientes, fugiensque Ægyptum sese Deo approximavit. Videtque visionem hanc magnam et stupendam, ignem in rubo, ignem urentem, minime vero consumentem, quia ille qui Moysem ex rubo vocavit, postea descendens ad virginem, ejus virginitatem nec abstulit neque vel minimum obscuravit. Tuncque audivit Moyses se calcare terram sanctam, et jussus solvere calceamenta pedum suorum, solvit et accessit. Quarenam? Quia non licet quidquam mortuum locum tangere ubi Deus præsens est. Typus quoque immaculatæ (Virginis) ut Edem, ad quem nos regressuros et inhabitaturos symbolis multis prænuntiavit ille qui in Virgine apparuit: et statim

D jubet nos rejicere quidquid in remedium et auxilium contra peccatum infirmæ carni coaptavit, et sic liberos ab omnibus confidenter pedibus calcare serpentes, et caput draconis qui nos decipiendo indumentis carere fecerat. Hæc vidit Moyses et credidit in libertatem Israel et abiit confisus in virtute visionis, ita docens communem omnium hominum libertatem, Deum quippe nasciturum propter nos ex Matre virgine, ut quemadmodum tunc

(1) Paul. Epist. ad Philipp. II, 7, de Christo; Ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. Cf. p. 50.
(2) A sine articulo.
(3) B, δηλοῦται. Ad rem vide Exodum c. I.
(4) Exod. III, 3: Εἶπε δὲ Μωϋσῆς· Παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο.
(5) Exod. III, 2; ὅρα ὅτι ὁ βάτος καίεται πυρί· ὁ δὲ βάτος οὐ κατεκαίετο.
(6) Exod. III, 4: Ἐκάλεσεν αὐτὸν ὁ Κύριος ἐκ τοῦ βάτου.
(7) Exod. III, 5: λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί.
(8) Respectu ad Ps. XC, 13.

exemit Israel ex tyrannide Pharaonis, ita nos adumbrabat ex antiquis diebus ab acerbo tyranno, qui est Satan, liberandos esse. Igitur, ut dixi, solvit omnes malo servientes, et quod liberaverit e manu forti Ægyptiorum figura est mysterii salutis et symbolum salvandorum in finem.

Sed iterum Ægyptii tentant persequi eos qui servitutem fugiebant; currebant post eos cum omnibus equis et curribus nitentes in eos irruere : citoque occupassent et redegissent in novam et acerbiorem servitutem, nisi subito circumfusa salvasset, nubes scilicet quæ obumbrabat per totam diem et abscondebat eos : nubes symbolum evidens est sicut et vellus Gedeonis. Vellus illud imbrem ostendit vivificantem de cœlo propter nos aridos et pene mortuos cadentem; nubes autem Virginem significat quæ nobis præbetur ut umbraculum universa terra et omnibus cœlis immensius.

Sed propter quid aliud mare Rubrum in mirabilia elatum et Dei populum multum salvavit, submersit vero robur Pharaonis et principes Ægyptios, quomodo tanta potuit operari nisi quia ad Illam vere efferebatur quæ finis erat earum quas Abraham suscepit promissionum, et per quam facta est multiplicatio seminis Abrahæ, quod multiplicatur ex ipsa generatum, orbem universum regenerans, et in seipso adunans omnes dum Ipse congregat veros Abrahæ liberos?

Deinde petra producit aquam, maximum miraculum, et spargit undique fluenta quæ in continuos fluvios effluunt : et populus siti perustus in deserto bibit usque ad satietatem. Petra autem pars est montis qui typum habet Virginis ex qua prodiit Christus Lapis angularis et vitalis petra, sive quia cum a Deo longe essemus nos congregavit, et statuit in infrangibile vinculum secum; sive quia nos potavit aqua ex seipso effluente et saliente in vitam quæ nunquam deficiet.

Quid amplius? famem patiuntur in deserto, quæ est acerbissimus dolor : illi ergo iterum in Moysem concitantur ad iram, qui nullo modo exorto tumultu perterritus, dixit eis : « Si enim cum percussit petram fluxit aqua, nonne et panem poterit dare? Qui eis produxit cibum non ex terra, et qui potens est panes etiam ex lapidibus proferre, in novum miraculum mutata potentia; unde ergo illos enutrivit? de cœlis eos satiavit tunc ostendens perseverare

οὕτως ἡμᾶς; ἐφ' ἡμερῶν ἐσχάτων (1) τοῦ πικροῦ Σατὰν ῥύσασθαι τυράννου, Θεὸν ἐκ μητρὸς παρθένου καθ' ἡμᾶς γεγονότα. Καὶ γοῦν, ὅπερ ἔφην, σώζει κἀκεῖ τοὺς τυραννουμένους, καὶ τῆς βαρείας Αἰγυπτίων χειρὸς ἀπολύει ὁ τοῦ σωτηρίου τοῦδε μυστηρίου τύπος καὶ τὰ σύμβολα τῶν ὕστερον σωζομένων.

Οὐ μὴν ἀλλὰ πειρῶνται πάλιν Αἰγύπτιοι τῶν τὴν δουλείαν φευγόντων καταδιώκειν ὀπίσω (2), καὶ κατεδίωκον ἅρμασιν ὅλοις, ἵπποις, ἐλαύνοντες (3) ἐπ' αὐτούς. Καὶ τάχ' ἂν κατέλαβον καὶ εἶλον ἂν αὖθις ἄγοντες ἐπὶ πικρὰν δουλείαν, εἰ μὴ κἀνταῦθα περιφανῶς ἡ τοῦ μέλλοντος σκιὰ περιέσωζε, νεφέλη τῆς ἡμέρας ὅλης ἐπισκιάζουσα (4) καὶ συγκρύπτουσα, νεφέλη σύμβολον ἐναργὲς, ὡς ὁ τοῦ Γεδεὼν αὖθις πόκος (5). Τὸν γὰρ ζωτικὸν οὗτος ὄμβρον πρὸς ξηροὺς ἡμᾶς ἄτε καὶ νεκροὺς ὅλους καταβάντα, ἡ δὲ νεφέλη τὴν παρθένον σαφῶς προγράφει, τοῦ κόσμου πάντως σκέπην καὶ πάντων φανεῖσαν οὐρανῶν πλατυτέραν.

Οὐ μὴν ἀλλὰ τοῦτο μὲν δὴ τοσοῦτον. Ἐρυθρὰν δὲ τερατουργοῦσα καὶ διασώζουσα μὲν τῷ Θεῷ λαὸν περιούσιον, βυθίζουσα δὲ δύναμιν Φαραὼ καὶ τριστάτας Αἰγυπτίους (6), πόθεν ἄλλοθεν τὰ μεγάλα ταῦτα δεδύνηται, ἢ πρὸς αὐτὴν δὴ ταύτην καθαρῶς ἀναφέρουσα, πρὸς ἣν καὶ τὸ τέλος τῶν Ἀβραὰμ ἐπηγγελμένων, καὶ ὁ πληθυσμὸς τοῦ σπέρματος τοῦ ἐξ αὐτῆς γεννηθέντος (7), κόσμον ὅλον ἀναγεννήσαντος καὶ οἰκειωσαμένου μὲν ἑαυτῷ, οἰκειωσαμένου δὲ γνησίους τῷ Ἀβραάμ;

Εἶτα πέτρα πηγάζει (8) καὶ τὸ πλέον τοῦ θαύματος, ὅτι μεταφερομένη ῥεῖθρα προβάλλει κατὰ ποταμοὺς ἀενάους (9)· οἱ δὲ πίνουσιν εἰς κόρον, δίψει κάμνοντες ἐν ἀνύδρῳ. Καὶ ἡ πέτρα πάντως ἐξ ὄρους τύπον ἔχοντος τὴν παρθένον, ἐξ ἧς Χριστὸς ἀκρόγωνιος λίθος (10) καὶ ζωῆς πέτρα, τὸ μὲν συνάπτων ἡμᾶς ἀπὸ Θεοῦ μακρυνθέντας καὶ συνέχων εἰς ἀῤῥαγῆ σύνδεσμον, τὸ δὲ ποτίζων ὕδωρ ἀϊδίως ἐκβλύζον καὶ μή ποτε λήγουσαν ζωὴν ἐμπαρέχον.

Τί ἔτι; πεινῶσιν ἐν ἐρημίαις, καὶ πάθος τὸ χαλεπώτατον λιμὸς αὐτοὺς καταλαμβάνει· οἱ δὲ πάλιν φέρονται κατὰ Μωσέως, μηδεμιᾶς μηδαμῶς μηδ' ἐν ἐλπίσι μηχανῆς φαινομένης· « Εἰ γὰρ ἐπάταξε » φασὶ « πέτραν, καὶ ὕδωρ ἐῤῥύη, μὴ καὶ ἄρτον δύναται δοῦναι (11); » Ὁ δ' ἀπὸ γῆς μὲν αὐτοῖς τροφὴν οὐκ ἤνεγκε, καὶ ταῦτ' ἐξὸν ἄρτους καὶ τοὺς λίθους γενέσθαι (12), τῆς αὐτῆς τῷ προτέρῳ θαύματι μεταποιούσης δυνάμεως· ψωμίζει δὲ πόθεν; ἐξ οὐ-

(1) Phrasis est biblica ἐπ' ἐσχάτων ἡμερῶν; conf. psal. 110, 17.
(2) Exod. XII, 8 : κατεδίωξεν (Φαραὼ) ὀπίσω τῶν υἱῶν Ἰσραήλ.
(3) Forsan ἵππους, vel ἱππεῖς, ἐλαύνοντες.
(4) Ex. XIII, 21; Num. X, 34.
(5) Vide Judic. VI, 37, sqq. — B sine articulo ὁ.
(6) Exod. XV, 4 : ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἐῤῥίψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας τριστάτας· κατεπόθησαν ἐν Ἐρυθρᾷ θαλάσσῃ.
(7) Vide Genes. XV, 5.
(8) Exod. XVII, 6.
(9) Psal. LXXVII, 16 : ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.
(10) Christus ἀκρογωνιαῖος dictus fuit non semel in apostolicis epistolis. Fons locutionis est in Isaia XXVIII, 16.
(11) Psalm. LXXVII, 20 : ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα καὶ χείμαῤῥοι κατεκλύσθησαν, μὴ καὶ ἄρτον δυνήσεται δοῦναι;
(12) Respectu ad verba Satanæ, Matth. IV, 3 : εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.

ρανῶν τρέφει (1), ἐκεῖθεν εἶναι δεικνὺς καὶ τὰ πρώην τελούμενα. Καὶ οἱ τῶν ἄρτων ἀπεγνωκότες τρώγουσι μάννα, κατηήν τινα τροφὴν καὶ πολλῷ τοῦ ζητουμένου τιμιωτέραν, ἅμα δὲ καὶ ἄφθονον, καὶ ῥᾳδίαν πᾶσι τοῖς κομίζεσθαι βουλομένοις. Ἀνεῖτο γὰρ ἀπολαμβάνειν, μὴ καθ' ὅσον μόνον ἐπαρκέσαι τῇ χρείᾳ, ἀλλὰ καὶ περιττὸν ἔχειν κτᾶσθαι, εἰ καὶ ἄλλως ἦν τὸ περιττεῦον ἀνόητον· ἕτερον δηλονότι θαῦμα καταργοῦν τὴν ἀπληστίαν, ἅμα δὲ καὶ τὴν ἀπιστίαν διορθούμενον, εἰ τούτου χάριν τὸ πλέον ἀπεῖθουν, ὥστ' αὖθις ἔχειν, ἐπιλείποντος τοῦ διδομένου, τῷ προλαβόντι (2) χρῆσθαι, καὶ μὴ τῷ χορηγοῦντι θαῤῥοῦντες ἦσαν ἀεὶ καὶ πλουσίως παρέχειν δεδυνημένῳ. Τοῖς μὲν οὖν ἡ βρῶσις ἐπεστήριξε τὴν καρδίαν, μηκέτι διαπιστεῖν ἐπ' οὐδενὶ τῶν ἀπόρων, ὡς οὐχὶ γενήσεται τούτοις ἐπιστρέφουσι πρὸς Θεὸν καὶ γνησίως ἐπικαλουμένοις, καθὰ δηλονότι καὶ Μωσῆς (3) ὁ μέγας ἐκείνου θεράπων γνήσιος αὐτῷ γενόμενος μετὰ παῤῥησίας ἐπεκαλεῖτο, καὶ πάντ' εἶχεν εὐθὺς ἁπαντῶντα πρὸς τὰς αἰτήσεις· ἐπεστήριξε δ' ὁμοίως οὐ τοὺς (4) τότε μόνους τῶν ἀνθρώπων, ἀλλὰ καὶ τοὺς καθεξῆς ἅπαντας, μὴ διαπιστεῖν οὐμενοῦν ὡς οὐ καταβήσεται πρὸς ἡμᾶς ἐξ οὐρανῶν ἄρτος ζωῆς (5) καὶ τρυφῆς τῶν αἰωνίων παρεκτικός.

Καὶ δὴ λοιπὸν ἡ χρυσῆ καθίσταται στάμνος καὶ δέχεται τὸ μάννα (6), καὶ τὴν εἰκόνα τοῦ μέλλοντος ἐν ἑαυτῇ λαμπρῶς φέρει.

Σὺ δέ μοι καὶ τὰς πλάκας βλέπε καὶ τὸν ἐν αὐταῖς θεόγραφον νόμον (7) μὴ τοῖς ἐκτὸς μόνον βοηθοῦντα, σωμάτων ὡσανεὶ κινδυνευόντων σωστικὸν ὄντα, ἀλλά τοι καὶ ψυχῶν ἐφικνούμενον καὶ παιδαγωγοῦντα ταύτας, καί γε σφαλερᾶς πάσης ἐξαιροῦμενον περὶ Θεοῦ δόξης. Βλέπε δὴ ταῦτα, καὶ, τὸν νοῦν τοῖς ὁρωμένοις καλῶς προσέχων, μάνθανε τὸν ἐνυπόστατον λόγον δακτύλῳ Θεοῦ, πνεύματι θείῳ, τῇ παρθένῳ γραφέντα, καὶ τῶν πατρικῶν κόλπων κενωθέντα μὲν, οὐκ ἀποστάντα δὲ, μένοντα δ' ἐν αὐτοῖς καὶ πληροῦντα πάντα, χωρητὸν γενέσθαι τοῖς μητρὸς κόλποις, καὶ τοῦτον δὴ τὸν τρόπον ἐπανασῶσαι κόσμον ὅλον, καὶ ψυχὰς ῥύσασθαι, ἀγνοίας σκότει καὶ σκιᾷ θανάτου (8) κατεχομένας.

Οὐ μὴν ἀλλὰ ταῦτα μὲν οὕτω· καὶ οὕτως ἄνωθεν τὰ κατὰ τὴν παρθένον Θεοῦ μητέρα διὰ πολλῶν καὶ μεγάλων ἥκοντα τῶν συμβόλων, πανταχῆ παρέχοντα δύναμιν θαυμάτων ὑπερφυῶν εὑρήσεις, ἅμα δὲ καὶ σωτηρίαν τῶν ἐσχάτως κινδυνευόντων. Καὶ τὰ πλείω διεξιέναι παρῆκεν ὁ λόγος, ὅτι μηδὲ πέφυκε μὴ ὅτι γε διὰ πάντων (τοῦτο γὰρ παντὸς μᾶλλον ἀδύνατον), ἀλλὰ μηδ' ἐφ' ἱκανὸν αὐτῶν ἱκέσθαι δυνηθῆναι· πῶς γάρ; ὅπου γε καὶ ταῦτα ὧν ἀρ-

A quæ prius effecta fuerant. Et qui panes non habebant manducaverunt manna, novum quoddam alimentum, multo quam postulabant pretiosius, simul abundans et lectu facile his qui illud requirebant. Licebat enim assumere non solum quantum necessitati sufficeret, sed etiam habere quod superfluum perderetur, inutileque ad quemcumque usum. Alterum certe sic habebatur miraculum, quod excludebatur insatiabilis appetentia, et simul corrigebatur incredulitas, dum, si propter aliquam etiam plus quam satis erat colligeretur, ad servandum in futurum, sic, deficiente forsan donante accipiens frueretur, non possibile foret, qui a sic non confidebant duci suo quasi non valenti esse ad dandum et semper et abundantius. Illis ergo

B cibus ille refocillavit cor, ne animo frangerentur in quacunque tribulatione, diffidentes a Deo exaudiri cum converterentur ad eum ut invocarent, sicut certo sciebant exauditum fuisse Moysem magnum et legitimum Dei servum cum fide postulantem et invocantem, qui et omnia statim obtinuit juxta petitiones. Sed et sic refocillavit non tantum corda hominum qui tunc erant, omnes autem simul eos qui postea facti sunt, ne omnino diffiderent quin propter nos de cœlo caderet panis vitæ et voluptatis præstans æterna bona.

Cæterum in tabernaculo positum fuit vas aureum includens manna, quod in se splendide profert imaginem futurorum.

C Sed mecum considera sacras Tabulas et in illis scriptam legem Dei vivificantem, quæ non solum externe auxilium præstat, quasi corporibus in periculo versantibus salutem proferat, sed quæ etiam ad animas attingit et docet illas, et ab omni vana gloria revocat ad Deum. Hæc considera attentissimo spiritu, disceque sermonem digito Dei subsistentem Spiritu Dei in Virgine scriptum, e sinu Patris exeuntem quidem, sed non relinquentem, sed in eo manentem et replentem omnia, contentum simul in sinu Matris, ut ita salvaret universum mundum et animas liberaret mersas in tenebris erroris et ignorantiæ et in umbra mortis sedentes.

D Hæc autem adeo sunt vera, ut si a principio quæras quæ de Matre Dei per multa et singularia symbola significentur, semper et ubique invenies inesse potestatem mirabilium supernaturalium simul atque salvationis eorum qui in extremis periculis versantur. Et sermo plerumque cum ista loquitur liquet aptum non esse non modo ad omnia experimendum, quod plane impossibile est, sed ne quidem ad quoddam exponendum quod conveniret earum

(1) Vide Exod. xvi.—Deuter. viii, 3 : ἐψώμισέ σε μάννα.
(2) B, προσλαβόντι.
(3) B, Μωϋσῆς.
(4) B, ὁμοίως αὐτούς.
(5) Respectu ad Joan. vi, 33 sq.: ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ... Εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.
(6) Vide Exod. xvi, 33.
(7) Deuteron. v, 22.
(8) Frequens in Bibliis metaphora. Psal. cvi, 14 ; ἐξήγαγεν αὐτοὺς ἐκ σκότου καὶ σκιᾶς θανάτου.

rerum. Nec mirum. Cum ergo de istis modo diximus, non ut quædam seligentes inter multa delibare narrando confideremus, sed ut solummodo per strictiorem indicationem, dicta nuper demonstraremus, scilicet salutares esse semper et ubique figuras et umbras eorum quæ postea absque velo de Virgine revelata et ostensa fuerunt. Postquam enim adimpletæ sunt figuræ et umbræ depulsæ, veritasque inter homines sincere illuxit, gloriam afferens Virgini quæ splendore suo cœlos omnes obscurat, cœlestesque cunctas claritates longe vincit atque ipsa Seraphim et Cherubim superat, quis sermo vel quæ lingua tot et tantorum mirabilium poterit exponere plenitudinem? Ego igitur vereor ne pœna dignus inveniar, qui non jam manum sed impura labia ad arcam Deo plenam admoverim, veteris illius miraculi iteratione mihi proposita, quo monerer prohiberi eos qui non sunt absque macula, ne audeant accedere vel ad umbras arcæ: et hoc a Deo ipso mihi videbar audire: « Quare te cum sordes non expurgaveris salutari carbone, sicut fecit Isaias, neque linguam exemeris pondere malorum quæ ea irretiunt, mirabilia sustines enarrare quibus impar est etiam angelorum natura, quæ hæret præ ignorantia, intelligens celsitudinem? »

His territus cogitationibus, non possum ultra accedere. Sed cum a te salvatus sim, o Mater Dei, a te dum ceciderim, erectus, dum frangor, refectus, numquid tandem virtutem sermonis adeptus, et quamdam emittere vocem permissus, non potero conari ut loquar? Minime ergo tacebo mysterium salutis, sed ut licebit eructabo.

Nos sub jugo suo servos tenebat ille qui a principio erravit et apostatavit a Deo, nosque gloriæ ejus a qua decidit et avulsus est hæredes futuros tentationibus lacessebat, propter antiquam rebellionem in passiones nos præcipitans quasi compedibus vinciebat inextricabilibus, ne iterum ab ejus tyrannide liberati, possemus ad Dominum regredi, et, morte nobis pro custode constituta, in infernum includeret et custodiret sub portis tenebrarum. Nos vero ejus potestati tyrannicæ triste servientes, neque tantis in quibus versabamur malis permoti, gaudebamus de ruina, gloriabamur in passionibus quæ nos ad mortem usque trahebant, propter errorem et tantam dejectionem misericordia digni. Et quales erant qui talia patiebantur? imaginem Dei gerentes, miserrime jacentes in servitute et sub tyrannide inimici, miserrimique magis propter insensibilitatem, quia, factorem deserentes, seipsos hosti tradebant, qui manu dura tenens, sequentes

τίως ἐμνήσθημεν, οὐχ ὥστε καὶ ὀλίγα ἐκ πολλῶν ἡμᾶς ἀπολεξαμένους ἐρεῖν, τούτου χάριν ἐμνήσθημεν, ἀλλ' ὥστε μόνον ἅψασθαι, καὶ τὸ λεχθὲν ὑποδεῖξαι, σώζοντας εἶναι δηλονότι πανταχοῦ τοὺς τύπους, καὶ τὰς σκιὰς τῶν ὕστερον ἐπὶ τῆς παρθένου δι' ἅπαντὸς ἐπικαλύμματος λαμπρῶς ἐκφανθέντων. Ἐπεὶ δ' οἱ τύποι παρῆλθον καὶ ὑπεχώρησαν αἱ σκιαὶ, καὶ καθαρῶς ἡ ἀλήθεια γέγονεν ἐν ἀνθρώποις, δόξαν φέρουσα τῇ παρθένῳ πάντας οὐρανοὺς ἀποκρύπτουσαν καὶ ὑπεραναβαίνουσαν μὲν τὰς ἄνω λαμπρότητας, αὐτὰ δὲ (1) κάτωθεν ἑαυτῆς Σεραφὶμ καὶ Χερουβὶμ ἀφιεῖσαν, τίς ἂν λόγος ἢ ποία γλῶσσα τῶν τοσούτων καὶ τοιούτων ἀπείρων καὶ φρικτῶν θαυμάτων ἐκδιηγεῖσθαι κατισχύσοι τὰ πλήθη; Ἐγὼ μὲν οὖν δέδοικα μή ποτέ μοι καὶ τοῦτο κατάκριμα γένοιτο φέρον εὐθύνην, εἰ, μὴ χερσὶ μόνον, ἀλλὰ καὶ χείλεσιν ἀνάγνοις τῇ θεοδόχῳ πρόσειμι κιβωτῷ, πόρρωθεν αὖθις ἑτέρου θαύματος ἀπειλοῦντος, ἅμα δὲ καὶ ἀπείργοντος τῶν μὴ καθαρῶν μηδένα τολμᾷν προσάπτεσθαι μηδὲ τῆς ἐν ταῖς σκιαῖς κιβωτοῦ (2)· κἀκεῖνο τοῦ Θεοῦ δικαίως ἀκούσαιμι λέγοντος· « Ἵνα τί σὺ, μήτε καθαρσίῳ τῶν ῥύπων χρησάμενος ἄνθρακι, καθ' Ἡσαΐαν (3) ἴσως, μήτε τὴν γλῶτταν ἀνεὶς τοῦ ἐπικειμένου βάρους τῶν πεδούντων κακῶν, ἐκδιηγῇ θαυμάσια, πρὸς ἃ μηδ' ἀγγέλων ἐξαρκεῖ φύσις; ἀπορεῖ καὶ γὰρ αὐτὴ κατανοοῦσα τὸ μέγεθος. »

Τούτων με φοβούντων τῶν λογισμῶν, οὐκ ἔχω προσβῆναι τοῖς ἐφεξῆς. Πλὴν, ὅτι διὰ σοῦ σέσωσμαι, μῆτερ Θεοῦ, καὶ πεσὼν ἀνωρθώθην, καὶ συντριβεὶς ἀναπέπλασμαι, πῶς ἂν ὅλως, λόγου δύναμιν ἔχων καὶ φωνήν τινα δυνάμενος ἀφιέναι, ἄλλο τι σπουδάσαιμι πρὸ τοῦ ταῦτα κηρύττειν; οὔκουν οὐδὲ τὸν τῆς σωτηρίας σιωπήσομαι τρόπον, ἀλλ', ὡς ἐνὸν, ὑμνήσω.

Εἶχε μὲν ἡμᾶς δουλωσάμενος ὁ καὶ τὴν ἀρχὴν πλανήσας καὶ ἀποστήσας Θεοῦ, καὶ δόξης μὲν ἐκείνης ὅθεν αὐτὸς ἐκβληθεὶς ἀπερρίφη κληρονομεῖν μέλλοντας ἐν μηχαναῖς ἀπωσάμενος, πρὸς δ' ἰσχάτης ἀτιμίας πάθη κατενεγκὼν, καὶ εἶχεν ἀφύκτοις ὡσανεὶ πέδαις δεσμεύσας, ὡς μηδ' ἔχειν αὖθις ἡμᾶς, ἐκλυθέντας τῆς αὐτοῦ τυραννίδος, πρὸς τὸν δεσπότην ἀναδραμεῖν, καὶ θάνατον ἡμῖν ἐπέστησε φύλακα, καὶ καθεῖρξεν ἐν ᾅδου καὶ πύλαις σκότους κατησφαλίσατο. Καὶ ἡμεῖς ἦμεν τῇ τούτου δυναστείᾳ καὶ τυραννίδι δουλεύοντες, μηδ' αὐτῶν δὴ τούτων ἐν οἷς ἐσμεν δηλονότι κακοῖς αἰσθανόμενοι, τῇ δ' ἀπωλείᾳ συνευφραινόμενοι, πάθη τιμῶντες ἦμεν ἐξ ὧν ἐπ' αὐτὸν ἐτρέχομεν θάνατον, ἐλεεινοὶ τῆς ἀπάτης καὶ τῆς τοσαύτης ἀδοξίας· καὶ ταῦτα τίνες; οἱ τῆς εἰκόνος Θεοῦ, ἐλεεινότεροι τῆς δουλείας καὶ τῆς τοῦ ἐχθροῦ τυραννίδος, πολλῷ δὲ πλέον ἅπαντες ἀθλιοι τῆς ἀναισθησίας, ὅτι τὸν δημιουργὸν ἐγκαταλιπόντες, φέροντες ἑαυτοὺς τῷ πολεμίῳ πα-

(1) Codd. αὐτάδε. In A præsertim conjunctio δὲ passim ad encliticarum modum est scripta, accentu rejecto.

(2) Percussus est a Deo Oza, quod arcam fœderis manu contrectasset, ut est in II Reg. c. VI. Sunt et alia exempla similia.

(3) Vide Isai. VI, 6, 7.

ραδεδώκαμεν· ὁ δὲ χειρωσάμενος ὅλους εἵλκεν ἀκολουθοῦντας προθύμως εἰς βάραθρα τὸ ἑαυτοῦ καταγώγιον.

A trahebat gaudenter in infernum, quod est domus ejus.

Οὐ μὴν ἀλλὰ περιδεῖν μέχρι παντὸς οὐκ ἦν τοῦ ταῖς χερσὶ πλάσαντος καὶ τῆς ἰδίας μεταδόντος εἰκόνος καὶ τῆς τιμῆς· οὔκουν οὐδὲ παρεῖδεν, οὐδ' ἀφῆκε τρόπον ὃν ἔφημεν δούλους ἀγομένους, οὓς μὴ μόνον ἐλευθέρους, ἀλλὰ καὶ τῶν ἐπὶ γῆς ἁπάντων ἄρχειν προέκρινε· Χωρεῖ δ' ἐς αὐτοὺς, καὶ τοῦ κρατοῦντος ἐξαιρεῖται, καταλύσας τὴν δυναστείαν, ἅμα δὲ καὶ τὸ τῆς ἀγνοίας διαλύσας σκότος ὑφ' ᾧ κατεῖχε πλανωμένους ἡμᾶς· χωρεῖ δὲ πῶς; — Ἀλλ' ἐνταῦθά μοι καὶ ὁ πᾶς λόγος, ἐπειδὴ καὶ πάντες τύποι, καὶ σύμβολα, καὶ οἱ προκηρύττοντες πόρρωθεν, ἐνταῦθα πληροῦσι, τέλος ἔχοντες τὴν παρθένον. Αὐτὸς καὶ γὰρ ὁ προαιώνιος τοῦ Θεοῦ Λόγος καταβὰς ἐν αὐτῇ, καθαρᾷ οὔσῃ καὶ ἀμώμῳ, καὶ τί δ' ἄλλο ἢ τοῦ κατελθόντος ἀξίᾳ, σὰρξ γίνεται δι' ἡμᾶς, φορίσας ταύτην ἐκ τῶν αὐτῆς ἀχράντων καὶ πανάγνων αἱμάτων, καὶ, τὴν κατ' εἰκόνα προσλαβὼν φύσιν ὅλην φθαρεῖσαν, μίγνυται ταύτῃ, καὶ ἀναπλάττει τῇ κοινωνίᾳ, τοὺς ἰδίους αὖθις ἐπανασώζων πρὸς ἑαυτὸν, καὶ οἰκειούμενος τοὺς ἀπωσθέντας τῇ ἁμαρτίᾳ.

Non poterat autem nos omnino deserere qui manibus nos plasmaverat, propriam imaginem et gloriam tribuens: igitur neque deseruit neque amovit creaturas quas dicebamus in servitutem mortis destinatas, dum eas non modo liberas fecerat, sed insuper ut essent super omnia quæ sunt in terra. Venit autem ad eos et ex potente eripit, ejus solvens potentiam, et dissipans umbram ignorantiæ qua nos involverat deceptos et errantes. Quomodo autem venit? Huc enim tendebat totus meus sermo, sicut et omnes figuræ et omnia symbola, et B omnes a retro prophetiæ huc adimplentur finem unum habentes Virginem. Ipsum enim æternum Dei Verbum descendens in illa quæ erat pura et irreprehensibilis, et de cætero quodammodo digna Eo qui veniebat, factum est pro nobis caro; hanc carnem assumens ex innocente et immaculato Virginis sanguine, accipiens totam naturam vitiatam in imagine Dei, sese illi miscuit, et reformavit illam hac unione, suos iterum salvans et ad te erigens uniensque quos vastaverat et exinaniverat peccatum.

Οὗτος ὁ τῆς ἡμετέρας σωτηρίας τρόπος· τοῦτο τὸ πάλαι καὶ προτυπούμενον καὶ προμηνυόμενον, καὶ τοῖς προφήταις λαλούμενον, φρικτὸν καὶ μέγα μυστήριον, Θεὸς γενόμενος ἄνθρωπος, ἵνα σώσῃ τὸν ἄνθρωπον, Θεὸς ἐν μήτρᾳ Παρθένου καὶ σωματούμενος καὶ πλαττόμενος, καὶ χρονικὴν καταδεχόμενος γέννησιν, καὶ ὡς βρέφος ὁρώμενος καὶ βαστα-ζόμενος ἀγκάλαις μητρὸς, ὁ τὰ πάντα πληρῶν καὶ μηδαμοῦ μηδόλως χωρούμενος. Πρὸς ταῦτα τίνες ἀγγέλων, τίνες ἀρχαγγέλων, οὐ κατεπλάγησαν; ποῖα Σεραφὶμ, ποῖα Χερουβὶμ, οὐκ ἐθαύμασεν, ὁρῶντα τὴν τοσαύτην τοῦ Θεοῦ κένωσιν καὶ τὸν τοσοῦτον αὖθις ὄγκον τῆς περὶ ἡμᾶς φιλανθρωπίας καὶ τῆς ἐπέκεινα πάσης ὑπερβολῆς ἀγαθότητος.

Talis est nostræ salutis ordo: tale est quod olim præfiguratum est, prænuntiatum et per prophetas prædictum, tremendum magnumque mysterium: Deus nempe homo factus ut hominem salvaret, Deus C in utero Virginis incorporatus et formatus, et temporalem accipiens generationem, visus et gestatus ut puer inter matris brachia, dum ipse omnia replet et nullibi omnino loco mutari potest. Ad hæc quinam angelorum et archangelorum non obstupuerunt? Quæ seraphim, quæ cherubim non mirata sunt, tantam cum cernerent Dei exinanitionem, et simul tantam exuberantiam, amoris Dei, et supereminentiam excellentis bonitatis?

Τοιγαροῦν καὶ πᾶσαι τῶν οὐρανῶν δυνάμεις εὐθὺς ἀνύμνησαν, καὶ μεθ' ἡμῶν δεῖν ἔγνωσαν στῆναι γενεαῖς ἁπάσαις τὴν Παρθένον μακαριζόντων, καὶ μακαριζόντων ὁμοῦ μὲν αὐτῶν δὴ τούτων ἕνεκεν τῶν οὕτως ὑπερφυῶν αὐτῇ μεγαλείων γεγενημένων, ὁμοῦ δ' ὅτι καὶ τὴν κοινὴν ἐλευθερίαν D δι' αὐτῆς ἡμῖν ὑπῆρξεν ἀπολαβεῖν, ἅμα δὲ καὶ τῶν καθεξῆς εὐεργεσιῶν χάριν, ἃς οὐ διέλιπεν οὐδ' οὐ μήποτε λίπῃ διὰ παντὸς κατεργαζομένη. Παραλαβοῦσα καὶ γὰρ ἡμᾶς ἰδίαν ὡσανεὶ κληρονομίαν, τοῖς τοῦ Υἱοῦ αὐτῆς αἵμασιν ἀπὸ τῆς μοχθηρᾶς καὶ φαύλης δουλείας ἐξηγορασμένους, ἐκεῖνα καὶ πεποίηκεν ὑπὲρ ἡμῶν καὶ ποιεῖ, ὧν καὶ γέμει σύμπας ὁ βίος, ἐξαισίων ἀεὶ τελουμένων.

Omnes itaque virtutes cœlorum propensius in hymnos eruperunt et nobiscum agnoverunt ab omnibus generationibus benedicendam esse Virginem tum propter ea quæ ipsi collata sunt magna et supernaturalia; tum quia per illam nobis datum est desuper accipere communem libertatem, simulque propter cætera beneficia quæ nunquam intermisit, quin in nos supra modum abunde perfecerit. Suscipit enim nos quasi propriam hæreditariam familiam proprii Filii sui sanguine redimendos ex miseranda vilissimaque servitute, propter nos ista fecit, et nunc quoque facit, quibus omnis nostra repleatur vita bonis faustissimis et æternis.

Ἐπειδὴ γὰρ ὁ κατὰ τῆς πρώτης ἡμῶν ἐπιχειρήσας ἐλευθερίας, καὶ κακῶς αὐτὴν ἀφελόμενος, τὴν ὅλην ἡμῶν καθύβρισεν ἀξίαν, ἀπαλλάττεται δ' οὐδ' αὖθις καὶ κατὰ τῶν δευτέρων ἀεὶ μηχανώμενος ἀμεινόνων ἐπὶ πολλῷ πρὸς δόξαν γεγενημένων, οὐδαμόθεν ἄλλοθεν ἡμεῖς ἐξάντεις τῶν αὐτοῦ ποικίλων

Cum autem ille qui prius contra nostram libertatem insurrexit eamque nobis misere ademit, integram nostram fœdans dignitatem, non cesset posterioribus hisce et pretiosissimis semper insidiari bonis quæ proxime ad gloriam nos ornant, per nullum alium, o Virgo, ejus varias effugiemus se-

ductiones quam per te quam heroem ducem belli invenimus et potentem patronam, undique ipsius frangentem fervidos impetus. Ille enim duplex suscitat bellum, sive nostras saucians animas ipsisque occulte insidians, sive illas impellens ad res externas, ut sic manifeste suam compleat in illis invidiam et malitiam. Tu vero fortis contra utrumque bellum potens præstas omnibus auxilium, nec solum succurrere desideras, sed et facile potes. Nobis idcirco succurris et præcedis, ut pugnes atque ut prius mala ingruentia corrigas et innoxia reddas quam ab eis omnino infirmemur. Neque hoc solum. Sed cum adversus ejus insidias, agentes nihil proficimus et difficillime impetum sustinemus, quasi voluntariis malis succumbentes (ille enim nos voluntarie corruptos impugnans libere agit in id quod desiderat : vult autem pessima et ad hæc impellit), et indignationem Dei contra nos provocamus, qui, justa concitus ira, statuam parat infligere pœnam, tu cito prævenis et apud illum facta mediatrix, hunc maternis precibus juribusque flectis; nam super propria jura preces protendens et illi commemoras quod similis tui ex natura tua participavit, et quod in tuis visceribus illum gestasti, ex uberibus tuis lac illi præbuisti, et quod passionis suæ finem cernere præstolata juxta crucem ubi moriebatur steteris, omnia et ipsa patiens quæ ipse pro nobis reis et damnatis subiit ut nos solveret a judicio. Illum ergo converti facis pia negotiatrix : insuper donans ut Deum nedum iratum, imo diligentem et bonis cumulantem experiamur; donans ut ab eo bona donaque suscipiamus pro malis quæ suscepturi eramus et pœnis quas solvere debuissemus. Nihil enim est omnino quod tu desiderans pro nostra benelicentia a Deo non possis impetrare : imo potes omnia certe et donas multo magis et facilius quam forte nos in votis habere possumus. Propterea videris et petitiones prævenire et nos quasi dona jam accepta efflagitamus omnia quibus indigemus, et quæ ante postulationes per te nobis fiunt. Cum autem aliquando in rebus utilibus perperam desideramus, perperamque studemus et agimus, tu ipsa hæc optime dirigens et agens, in hoc maxime ostendis bonitatis thesaurum, quia circa quæ non cogitamus neque petimus, vel etiam cum desideramus et tendimus ad pejora, nos istis violenter eripis aut etiam facis ut multum proficiant, cum in ipsis vere potest inesse utilitas; quasi invitos benevolens in hanc nos trahis viam, et deinde sensum et scientiam adepti, vim diligamus qua in experientiam boni introivimus. Ita nos e vitiis eripis, illa longe depellens, ne primum in ista impingamus cum improviso periculum instat cadendi; et si forte inciderimus ruinam et perniciem reformas; et si quid horum potenter prævaluerit, tu nostram experta fiduciam, et periculum evidenter aperis, et potissimum remedium præbes

A μηχανημάτων, ἢ σὲ, Παρθένε, πρόμαχον καὶ προστάτιν κραταιὰν κεκτημένοι, πανταχόθεν αὐτῷ περιτρέπουσαν τὰς ὁρμάς. Ὁ μὲν γὰρ διπλοῦν ἐγείρει τὸν πόλεμον, τὸν μὲν, ψυχῶν αὐτῶν καθικνούμενος καὶ ἀφανῶς ταύταις ἐπιβουλεύων, τὸν δὲ, βάλλων πρὸς τὰ ἐκτὸς καὶ φανερὰν ἐν τούτοις πληρῶν τὴν ἀπέχθειαν· σὺ δ' ἀλλ' ἀπαντᾷς ἀμφοτέρωθεν ἐπίκουρος κραταιὰ, πάντα βοηθεῖν μὴ μόνον γε βουλομένη, ἀλλὰ καὶ ῥᾳδίως δεδυνημένη. Ταύτῃ τοι καὶ βοηθεῖς προϊσταμένη καὶ προμαχοῦσα, καὶ, πρὶν ἢ καθαρῶς ἡμᾶς αἰσθέσθαι τῶν ἐπιόντων κακῶν, τρέπεις ταῦτα καὶ καταργεῖς. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ πρὸς τὰς ἐπιβουλὰς ἐκείνου εἴ γε μηδὲν ἡμεῖς ἀντιπράττομεν, συμμαχοῦμεν δὲ μᾶλλον, αὐθαιρέτοις ὡσανεὶ κακοῖς περιπίπτοντες (ὁ δὲ παρειλῃφὼς ἐκόντας φθειρομένους ἄγει κατ' ἐξουσίαν

B πρὸς ὅ τι καὶ βούλοιτο· βούλεται δὲ καὶ ἄγει πάντως ἐπὶ τὰ χείριστα), νεμεσᾷ μὲν Θεὸς ἡμῖν, καὶ, πρὸς ὀργὴν δικαίαν κεκινημένος, βούλεται τὰς εὐθύνας ἐνδίκους εἰσπράττεσθαι· σὺ δὲ φθάνεις κἀνταῦθα γιγνομένη μεσίτις, ταῖς μητρικαῖς καταδυσωποῦσα παῤῥησίαις, καὶ ὡς ὑπὲρ ἰδίων κατατείνεις τοὺς ἱκτηρίους, τὸ τῆς φύσεως συγγενὲς προβαλλομένη, ἅμα δ' ἴσως κἀκεῖνα προβαλλομένη, ὡς αὐτὸν σπλάγχνοις ἐνεδέξω καὶ μαζοῖς ἔθρεψας καὶ γάλα ἐπότισας, καὶ πάθος αὐτοῦ τὸ τελευταῖον κατιδεῖν καὶ σταυρὸν ἠνέσχου (1) καὶ θάνατον, καὶ πάνθ' ὅσα ἐκὼν ἐκεῖνος δι' ἡμᾶς τοὺς κατακρίτους

C ὑπέμεινε, τῆς καταδίκης ἀπολυτρούμενος. Τοίνυν καὶ κάμπτεις πρεσβεύουσα· εἶτα δίδως ἡμῖν, ἀντ' ὀργιζομένου, φιλανθρωπευομένου πειρᾶσθαι Θεοῦ· δίδως καὶ πάσχειν εὖ παρ' αὐτοῦ καὶ δωρεὰς λαμβάνειν ἀνθ' ὧν ἐμέλλομεν κακῶς πάσχειν καὶ δίκας δικαίας ἀποτινύναι. Οὐδὲ γάρ ἐστιν οὐδὲν οὐμενοῦν, ὅ γε σὺ βουλομένη μή τι καὶ δεδύνησαι πρὸς εὐεργεσίαν ἡμῶν ἐκ Θεοῦ κατατίθεσθαι· ἀλλ' ἰσχύεις πάντα πάνταπασι, καὶ νέμεις πολλῷ μᾶλλον

D καὶ ῥᾷον ἢ ὡς ἂν ἡμεῖς ἐπευξαίμεθα. Διὰ τοῦτο καὶ χορηγεῖς προκαταλαμβάνουσα τὰς αἰτήσεις, καὶ ἡμεῖς οἱονεὶ κατόπιν τῶν δωρεῶν ἥκομεν αἰτοῦντες, πάντων, ὧν ἂν ἐν χρείᾳ γενοίμεθα, καὶ πρὸ τῶν αἰτήσεων ἡμῖν διὰ σοῦ γιγνομένων. Καὶ τοίνυν περὶ τῶν συμφερόντων ἐστὶν ὅτε κακῶς ἡμῶν βουλευομένων, ἔτε καὶ κακῶς ἐπεγνωκότων καὶ πραγματευομένων, αὐτὴ ταῦτα πράττεις ἀρίστως οἰκονομοῦσα, καί γε τὸν πλοῦτον τῆς φιλανθρωπίας ἐν τούτῳ πλέον ἀποφαίνεις, ὅτι περὶ ὧν ἡμεῖς οὔτ' οἴδαμεν, οὔτ' οὐδὲν αἰτοῦμεν, ἔστι μὲν οὖν ὅτε καὶ βουλόμεθα τὰ χείρω, οὐ τούτοις ἡμᾶς βιάζῃ καὶ πάνυ τι ποιεῖς κεχρῆσθαι, λυσιτελέσιν οὖσιν ὡς ἀληθῶς κεχρῆσθαι, ἄκοντας ὥσπερεὶ τὸν τρόπον τοῦτον εὐεργετοῦσα, εἰ καὶ μετὰ τὴν αἴσθησιν ἡμεῖς ἀγαπῶμεν ἐν πείρᾳ τοῦ καλοῦ γεγονότες. Καὶ νοσημάτων τοίνυν ἀπαλλάττεις, τὰ μὲν πόῤῥωθεν ἀναιροῦσα, ὡς μηδ' ἐν αὐτοῖς ἡμᾶς μηδέ γε τὴν ἀρχὴν ἀλῶναι, μέλλοντας ἤδη ἀπροόπτως ἁλῶναι· τῶν δὲ καὶ συμπεσόντων τὸ βλαβερὸν ἐκτρέπεις·

(1) Stabat enim juxta crucem : vid. Joann. xix, 25.

εἰ δέ τινα τούτων καὶ κατίσχυσεν ἐν δυναστείᾳ, σοῦ τάχα τὴν πίστιν ἡμῶν δοκιμαζούσης, καὶ ὁ κίνδυνος καταφανὴς ἦκε, πάσης ἐπινοίας καὶ ἰατρῶν τέχνης χρείττων καὶ τῶν δοκούντων ἰσχυρῶς ἐν τοῖς τοιούτοις βοηθεῖν δύνασθαι, ἀλλ' ἡμεῖς ὡς ἐπὶ σὲ μόνην ὅλαις ἐλπίσιν, ὅλοις ὀφθαλμοῖς καθαρῶς εἴδομεν, εὐθὺς (ὦ πολλῆς καὶ μεγάλης καὶ πάντα δυναμένης ἰσχύος! ὦ θερμῆς ἐπικουρίας! ὦ ταχίστης τῶν κακούντων ἀπαλλαγῆς!) ἀνιστᾷς μὲν ἡμᾶς νεκροὺς κειμένους, καὶ, πλὴν ἀναπνοῶν ὀλίγων, ἀμυδρῶν τινων καὶ τούτων, τὸ ζῆν ὅλον ἐκλελοιπότας, φυγαδεύεις δὲ νόσους ἀνηκέστους, καὶ πάθη κραταιὰ διαλύεις, μηδενί τινι τῶν ἄλλων μηδαμῶς εἴχοντα. Ὅθεν καὶ οἱ τῆς ἑσπέρας ἐν κλαυθμῶνος ἡμεῖς σκηνοῦντες; πρωΐνοί τινες; αὖθις ἥκομεν, ἐν ἀγαλλιάσει τρυφῶντες (1), καὶ διπλᾶ χαίρομεν, ὅτι τε μηδὲν οἷον ἐκ τῶν συνενεχθέντων εἰκὸς ἐπὶ τέλους κεκράτηκε, καὶ ὅτι διὰ σοῦ τὴν σωτηρίαν εἰλήφαμεν, ἔχοντες κἀπὶ τοῖς ἐξῆς οὐχ ἥκιστα θαῤῥεῖν ὡς οὐδὲν ἡμᾶς οὐδ' αὖθις οὐδαμῶς βλάψει, σοὶ διὰ παντὸς προσανέχοντας.

A præstantiusque omni scientia omnique arte medicorum et omnibus iis qui videntur posse in talibus auxiliari, si nempe in te solam omnem reponamus spem, statim (o immensa et maxima et omnipotens virtus! o fervidum remedium! o celerrima malorum evacuatio!) erigis nos morte affectos, et debiles, ultimum quasi vitæ flatum exhalantes; fugas autem morbos insanabiles, et potens dolores solvis omnibus cæteris impares. Unde et nos qui vespere in domo luctus plorantes sedebamus, mane iterum procedimus in lætitia exsultantes, et duplici gaudio lætamur et quia ne unum quidem ex malis ingruentibus vere in finem nobis dominari potuit, et quia per te salutem accipientes indubitanter confidere posuimus quod nullum ex exterioribus vel minime nobis denuo nocere possit, dum in te plenam fidem habuerimus.

B

Καὶ μὴν ταῦτα μὲν κοινὰ πᾶσι καθ' ἕνα καὶ κατὰ καιρὸν, ὡς εἰπεῖν, ἐνεργούμενα· ἃ δ' ἐν ἐμοὶ διαφερόντως, πῶς ἂν εἰπὼν ἀποχρώντως ἂν εἴποιμι; Ἐπιλείψει με διηγούμενον ὁ χρόνος, καὶ μὴ ὅτι γε κατὰ μίαν γλῶσσαν, ἀλλ' οὐδ' ἂν μυρίαις ὅσαις ἀπομερισαίμην, ὥστ' ἄλλην ἔχειν ἄλλα διεξιέναι. Πλὴν ὅτι καὶ τὰ πρὸς ἕκαστον ἐμοὶ σαφῶς διαφέρει, ἔστιν, οἶμαι, τῶν ἁπάντων οὐδεὶς ὃς ἐπὶ τούτῳ διπλῆν ἔχει γνώμην. Καὶ γὰρ τό τε σχῆμα καὶ ὁ τῆς ἀρχῆς λόγος εἰσποιεῖται πάντας, ὅ τ' ἐμὸς τρόπος, καὶ ὑμεῖς ἴστε πάντως ὡς ἐπὶ παντὶ κάμπτομαι συμφοραῖς κεχρημένῳ. καὶ τοὐναντίον αὖθις εἰσποιοῦμαι τὴν χάριν, εἴ τις εὖ ἔχων ἀπαλλάττοιτο, θείας προμηθείας ἠξιωμένος. Διά τοι τοῦτο καὶ πλέον τῶν ἄλλων ἁπάντων αὐτὸς ἀνθομολογεῖσθαι τῇ Μητρὶ τοῦ Θεοῦ δίκαιος, ἢ μᾶλλον, ὅσον εὐχαριστίας ἀνθ' ὧν ἔφημεν καὶ πολλῶν ἑτέρων (οὐμενοῦν εἴποι τις ἂν ἡλίκων καὶ ὅσων) κοινῇ πᾶσιν εἰς ἀναγκαίαν ὀφειλὴν ἔρχεται, τοῦτ' ἐμοιγε μὴ τὸ πᾶν μόνον, ἀλλὰ καὶ πολλῷ πλείονος ἐν προσθήκῃ προσόντος κατὰ τὸν ἴσον ἔρχεται λόγον, καὶ εἰ μὴ πρὸς ἀξίαν, ἀλλ' οὗν ἀποτινύναι τὰ δυνατὰ, τοῦτ' αὐτὸς οὐκ ἂν ἀγνωμονήσαιμι. Πλατυνομένῳ μοι δὲ τὴν καρδίαν εἰκότως πλατυνθήσεται καὶ τὸ στόμα, τοῖς εὐχαριστηρίοις, ὡς γοῦν ἐφικτὸν, ἐπιθέμενον, ἐπεὶ καὶ τοῦτο πόσον ἐν ὁπόσοις εὗρον ἐγὼ στενοῦσιν ἀνιαροῖς, εὐρυχωρίαν δηλονότι ψυχῆς καὶ καρδίας πλατυσμόν (2).

Sed hæc omnibus communiter et singulis pro tempore contigerunt: quæ vero mihi excellentius facta sunt quomodo sufficere possim ad dicendum? Deficiet tempus narranti; non quod unam tantum habeam linguam, sed et quamvis illam in mille possem dividere, ut alia aliud proclamaret. Et insuper si mecum mature recogitem quid unusquisque valeat, nullus est, ut opinor, qui in illo negotio duplicem habeat scientiam. Etenim auctoritatis forma ratioque semper vigent, et hæc mea regula; nam ipsi probe scitis quantum totus efficiar pro eo C qui graviora patitur, et contra in gratiarum actionis erumpam cum aliquis moritur bonus miseratione divina dignus habendus. Propterea magis quam cæteri omnes Matri Dei me confiteri justum est, præsertim cum gratias referre quam maximas propter ea quæ dixi et alia permulta, (quis enim dicere possit quot et quanta sint?) officium exsistat solemne et necessarium communeque omnibus, illud sacrum munus non modo totum mihi incumbit, sed et multo magis pro multitudine bonorum de quibus sermo est, et si non attingere potero ejus meritum, at saltem non inficiabor pro posse confiteri. Dilatabo ergo cor meum et simul dilatabitur os meum vocibus gratiarum juxta id quod possum et quod statui; cum ita invenerim in quantiscunque curis coarctatus et latitudinem mentis et cordis dilatationem. D

Ἐμεγάλυνας μὲν ἡμᾶς, καὶ εἰς θρόνον τοῦτον, καὶ μοῖραν ταύτην τὴν ὑψηλὴν καὶ πασῶν τῶν ἄλλων κρατοῦσαν, ἐξ αὐτῶν σπαργάνων ἐνεβίβασας φέρουσα, καί γε διὰ τῶν εὐθυμοτέρων ἀεὶ τὸν βίον ἰθύνειν, τοῦτο σὸν ἐξ ἀρχῆς βούλημα, καὶ εἴχομεν ἂν οὕτω τοῖς δεξιοῖς συνόντες καὶ τῶν ἀριστερῶν

Magnificasti enim nos, eripiens ex istis pannis miseriæ et extollens usque ad thronum istum et sortem hanc sublimem et cæteris omnibus excellentiorem, a principio volens et curans ut fortissime semper vitam rexerimus, unde possemus ita in bonis et perfectioribus consistere, ut a nullo

(1) Respicit Psalm. xxix, 6 : Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. Est ἐν κλαυθμῶνος dictum pro ἐνὶ δόμῳ κλαυθμῶνος. Ellipsis est bene græca, phrasis ipsa orientalis.

(2) Orationis color est biblicus. Psalm. cxviii, 32 : ἐπλάτυνας τὴν καρδίαν μου. Isa. v, 14 : ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ. Atque sic alibi.

vel minime unquam dimoveremur, dummodo voluntati tuæ obsequentes cordis nostri desideria fugeremus. Postquam autem, a recta bonorum via deflectentes, ad ea quæ non oportet convertimus, juste immisit cruciantes dolores. Conclusi igitur quasi quibusdam seris propriis desperationibus, adversis contriti, et dolentes, nullam undique spem redemptionis habentes, te ipsam suscipimus in omnes difficultates pugnantem, et infortunia confringentem, cum habeas universum harum rerum regimen, et nobis donas in secundis negotiis proficere, et eadem quæ prius adversa erant feliciora deinde experiri.

Nunc autem eo devenit conceptus sermo ut optime singula proferrentur clarissima miracula adimpleta in nostrum auxilium et in profligationem innumerabilium impugnantium undique inimicorum (quomodo eos numerarem ?). Surgunt enim agminibus pressis ex universa terra ; surgunt autem alii, ex propria nostra impietate occasionem sumentes, alii vero nos impugnant propter quamdam in nostris rebus utilitatem (quæ res tamen omnino sunt dona elargita nobis gratia tua) ; etenim illos triste movent bona et felicitas nostra. Si igitur separatim impugnant, parum turbantes, et minus insidiantes, forte non erit negotium nobis insurgentibus resistere. Sed aliquando omnes circumfusi contra aliquem irruunt, et vim faciunt ex omnibus partibus, et simul, cum nulla sit potior ad istas pugnas præparatio quam vigilantia et meditatio, subvertunt præsertim voluntates et cogitationes corrumpunt. Quis in istis extremis pro nobis aget et omnia vertet in melius? quis inter varias et multiplices gravissimasque pugnas quas sustinemus pro nostra pace decertans, hostes, ut aiebamus, vere dissipabit? Quis nobis etiam dormientibus se constituit custos semper vigilans, qui perseverantibus curis supervenientia mala præveniat? Quis ut murus ferreus circa nos positus et arcus intentos et gladios districtos cum feriunt confringit? et omnes insidias a nobis avertit? Quis iterum flagellat Ægyptum percutiens primogenitos, plagas inducens statutas numero, Pharaonem submergens, gentium superbiam dejiciens, et ita salvat Israel electum suum? Quis (ne longius protraham sermonem) has multas magnasque operatur virtutes? Et qui sumus nos pro quibus tot et tanta patrata sunt miracula? Hæc autem mente revolvens aiebam : « Aversus es a nobis, nec iterum nos respicies in misericordiam. » Tu vero dixisti : « Absit ut vos dimittam vel ut unquam vos derelinquam : neque auferam misericordiam a vobis propter Virginem Matrem quæ fervidis suis precibus compassionem meam implo-

(1) Et hoc est biblice dictum. Ezechiel xx, 16 : Ὀπίσω τῶν ἐνθυμημάτων καρδίας αὐτῶν ἐπορεύοντο.
(2) A, κατασκευαῖς.
(3) Psalm. xxxvi, 15, 16.
(4) Exod. xii, 29 : Κύριος ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ.
(5) Exod. xi, 1 : Ἔτι μίαν πληγὴν ἐγὼ ἐπάξω.
(6) Isa. lxiv, 7 : Ἀπέστρεψαν τὸ πρόσωπόν σου ἀφ' ἡμῶν.
(7) Phrasis biblica. Lament. iv, 16 : Οὐ προσθήσει ἐπιβλέψαι αὐτοῖς.

A ὑπ' οὐδενὸς ἂν οὐδ' ἀπωσοῦν ἡνωχλήθημεν, εἴ γε τοῦ σοῦ θελήματος ὀπίσω καὶ μὴ τῶν καρδιῶν ἡμῶν ἐπορεύθημεν (1) · ἐπεὶ δὲ, τῆς τῶν καλῶν εὐθείας ἐκτραπέντες, πρὸς ἃ μὴ προσῆκον ἐστράφημεν, ἦκεν εἰκότως ἐνοχλοῦντα τὰ λυπηρά · καὶ γοῦν ἡμεῖς ἐν ἀθυμίαις ὑπὸ τῶν ἰδίων ὡσανεὶ σειρῶν συσφιγγόμενοι, καὶ ταῖς δυσχερείαις ἐπιστυγνάζοντες, ὧν τῆς λύσεως οὐδ' ἐν ἐλπίσιν οὐδαμοῦ φαινομένης, αὐτὴ πρὸς τὰς δυσκολίας ἁπαντᾷς, καὶ, διωσαμένη τὰς ἀνάγκας, ἐπειδὴ καὶ πᾶς εἶκει σοι τῶν τοιούτων θεσμὸς, ῥᾴοσιν ἡμᾶς ποιεῖς κεχρῆσθαι τοῖς πράγμασι, καί γε βελτιόνων αὐτῶν δὴ τούτων ἀποπειρᾶσθαι τῶν προτοῦ δυσχερῶν.

B Οὐ μὴν ἀλλ' ὁ λόγος ἐνταυθοῖ γενόμενος ἐπ' αὐτὰ σαφῶς ἦκε τὰ καθ' ἑκάστην ἐναργῆ τελούμενα θαύματα, πρὸς ἐπικουρίαν μὲν ἡμῶν, θραῦσιν δὲ τῶν ἐπιόντων (πόσων ἂν εἴποιμι ;) πάνυ μὲν οὖν πλείστων, καὶ πανταχόθεν βαλλόντων ἐχθρῶν. Κινοῦνται μὲν γὰρ ἀπὸ πάσης σχεδὸν ἀνισταμένοι γῆς · καὶ κινοῦνται, οἱ μὲν τὴν ἰδίαν ἀσέβειαν πρόφασιν ἔχοντες, οἱ δὲ μηδὲν ἕτερον ἐγκαλοῦντες ἢ ὅτι χρηστά τινα τὰ ἡμέτερα (χορηγίαι ταῦτα πάντως καὶ δῶρα σῶν χαρίτων), καὶ πλήττει τούτους ἡ τῶν ἀγαθῶν εὐθηνία. Εἰ μὲν οὖν ἀπὸ μέρους ἡμῖν ἐπῆσαν, τὰ μὲν ὡσανεὶ διενοχλοῦντες, τοῖς δ' ἧττον ἐπιβουλεύοντες, τάχ' ἂν καὶ μικρὸν ἢ οὐδὲν ἡμῖν ἦσαν πρᾶγμα πρὸς ἅμυναν ἀντεπιοῦσι · νῦν δ' ὅτι πάντες κύκλῳ κατὰ ταὐτὸν περιῤῥέουσι, καὶ πᾶσι προσπαλαίουσι μέρεσι καὶ δεινὰ μελετῶσιν, ἅμα

C δὲ καὶ πρὸς ταυτὶ παρεσκευασμένοις οὐδέν ἐστιν αὐτοῖς πλέον τῆς παρασκευῆς καὶ μελέτης, περιτρέπονται δὲ μᾶλλον αὐτοῖς βουλεύμασι καὶ ταῖς παρασκευαῖς (2) συμφθειρόμενοι, τίς ἐστιν ὁ ταῦτα ὁρῶν καὶ πρὸς τὸ κρεῖττον ἡμῖν μετασκευάζων ; τίς ὁ τὴν ἡσυχίαν ἡμῶν ἐν τοῖς πλείστοις ἀγόντων προπολεμῶν, καὶ τρόπον τὸν εἰρημένον τοὺς ἐχθροὺς ἀμυνόμενος ; τίς ὁ καὶ καθεύδουσιν ἡμῖν ἐφιστάμενος φύλαξ διὰ παντὸς ἄγρυπνος, καὶ ταῖς ἐμμόνοις ἐπιστασίαις τὰς ἐπερχομένας βλάβας ἀπείργων ; τίς ὁ σιδηροῦν περιτιθεὶς τεῖχος, καὶ τόξα τεινόμενα καὶ ῥομφαίαν ἐρχομένην ἐν αὐτῷ συντρίβων (3), καὶ πάσας μηχανὰς ἀπωθούμενος ; τίς ὁ πάλιν Αἴγυπτον μαστίζων, καὶ πατάσσων πρωτότοκα (4), καὶ πληγὰς ἐπάγων (5) ἀριθμουμένας, καὶ βυθίζων

D Φαραὼ, καὶ καθαιρῶν ἐθνῶν ἔπαρσιν, καὶ περισώζων Ἰσραὴλ κλῆρον ἴδιον ; τίς (ἵνα μὴ μηκύνω καθ' ἕκαστον λέγων) ὁ τὰς πολλὰς ταύτας καὶ μεγάλας ἐνεργῶν δυνάμεις ; καὶ τίνες ἡμεῖς, ὅτι τὰ τοσαῦτα καὶ τοιαῦτα δι' ἡμᾶς θαύματα ; Ἐγὼ μὲν εἶπον εἰς ἐμαυτὸν βλέψας · « ἀπέστρεψας ἐξ ἡμῶν (6), καὶ οὐκ ἔτι οὐ μὴ προσθῇς εἰς οἰκτιρμοὺς βλέψαι (7) · » Σὺ δ' εἶπας · « Οὐ μὴ ἀνῶ, οὐδ'

οὐ μή ποτε ὑμᾶς ἐγκαταλίπω (1), οὐδ' ἀποστήσω τὸ ἔλεός μου ἀφ' ὑμῶν (2), διὰ Μητέρα καὶ Παρθένον ἐν ἱκεσίαις ἀεὶ τὸ συμπαθὲς θερμῶς ἐκκαλουμένην. » Τοίνυν οὐδ' ἀφιστᾷς· ἀλλ' ἐκεῖνα κάνταῦθα πάντα σχεδὸν ὁμοῦ τὰ πάλαι θρυλλούμενα, ὧν καὶ ὁ λόγος προλαβὼν ἐμνήσθη, καὶ καθεξῆς πλείω προστίθης, ὡς καὶ μηδὲν ἔλαττον ἐκ τῶν νῦν ἢ τῶν πάλαι, πολλῷ δὲ μᾶλλον, τὴν σὴν θαυμάζεσθαι κραταιὰν χεῖρα. Καὶ γοῦν ἐσμεν ἡμεῖς λαὸς ἠλεημένος, χορηγὸν τῶν οἰκτιρμῶν αὐτὴν ἔχοντες τὴν Παρθένον.

A rat.» Itaque non elongas, sed hæc, quæ innumerabilia antiquitus celebrata sunt et modo commemoravit sermo meus etiamnunc labentibus sæculis renovas et multiplicas, ut nihil minus, verum etiam magis nunc quam olim, potens glorificetur manus tua. Nos ergo sumus populus misericordiæ, pro pietate patronam et advocatam habentes Virginem.

Ἐπεὶ δὲ τοῦτ' ἐσμὲν, ἔδει μὲν ὑμᾶς, ὦ νῦν τε παρόντες καὶ τοῖς χρόνοις ὕστερον συνεσόμενοι τῷ λόγῳ (πάντως γὰρ οὐδ' ὑμᾶς τοὺς μεθ' ἡμᾶς ἀνθρώπους ἐπιλείψει τὰ θαύματα), καὶ χρήματα πάντα προσφέρειν καὶ νεοποφορεῖν πάντα πράγματα, φειδομένους μηδενὸς ὧν ἔχομεν, ὅτι μηδ' ἡμῶν οὐδὲν ἴδιον, ἀλλ' ὅσον ἂν προσενέγκωμεν ἀπειληφότες κομίζομεν. Καὶ ἀπόδοτε πᾶς, εἰ καὶ μὴ τὸ πᾶν, ἀλλ' ὅσον μὴ τῆς προσηκούσης εὐγνωμοσύνης δοκεῖν καθάπαξ ἀπολελεῖφθαι. Ὁ δὲ παρὼν οὐ τοῦτο βούλεται λόγος, ἀλλ' ἕτερον τρόπον τὴν προσαγωγὴν εἶναι· τίνα δὴ τοῦτον; ὕμνους, εὐχαριστίαν, τὰ δυνατὰ πᾶσι, πάντας ἀποτινύναι, μάλιστα μὲν καὶ κατὰ πάντα χρόνον, ἅτε καὶ τὰς εὐεργεσίας κατὰ πάντα τοῦτον κομιζομένους· εἰ δ' οὖν (ἀλλὰ τοῦτο μὲν εἰς γνώμην ὑμῶν ἀνεῖται), ἀλλ' ὅ γε νῦν ἡμεῖς θεσπίσαι δεῖν ἐγνωμεν.

B Tales cum simus, oportet vos, sive qui nunc vivitis, sive qui subsequentibus temporibus in finem futuri sunt (nullis enim hominibus vobis non magis ac nobis miracula deerunt) res omnes offerre Deo et fructus universos operum, ne uno quidem de iis quæ possidemus reservato, cum nihil nobis proprium sit, sed quantum offerimus omnia recepimus. Totum ergo date, et si non totum, at certe tantum ut non videamini debitæ gratitudinis immemores. Præsens autem sermo non hoc solum sibi vult, sed alterum intendit modum accedendi ad Deum. Sed quis est ille modus? scilicet quod omnes solvant hymnos, gratiarum actiones, singuli omnia quæ possunt, præsertim per omne spatium temporis, cum in singulis vitæ momentis beneficia accipimus indesinenter. Et nunc cum istud omne ad vestram doctrinam dedicatum sit, optime novimus et intelligimus decretum festi a nobis tradendum esse.

Μὴν μὲν οὗτος ἤδη προσάγει, καθ' ὃν τὸ τῆς κοιμήσεως, εἴτουν μεταστάσεως (3), ἢ πρὸς τὸν Υἱὸν ἐν οὐρανοῖς ἐνδημίας (4), ἢ ὅ τι τοιοῦτό τις ἕτερον τὴν ἑορτὴν βούλοιτο λέγειν, ἐνεργηθὲν φαίνεται τῇ Παρθένῳ· καὶ ἡμεῖς, κατ' ἔθος πάλαι κρατῆσαν, ἐν μιᾷ δή τινι τῶν ἡμερῶν, μέσῃ τοῦ μηνὸς, πανηγυρίζομεν, νηστείᾳ τὰς πρὸ αὐτῆς (5) πρότερον ἁγνισθέντες. Κἀγὼ τὸν τῆς νηστείας ἐπαινῶν νόμον, οὐ πάνυ τι τὸ λοιπὸν ἀποδέχομαι, μίαν μόνην ἀποκεκληρῶσθαι τῇ πανηγύρει πρὸς τὰς πανύχους ὑμνῳδίας ἡμέραν. Ἀλλά τοι μίαν εἶναι τὴν ἑορτὴν, ἐφ' ὅλας μεριζομένην τὰς ἀπ' ἀρχῆς τοῦ μηνὸς μέχρι τῆς νῦν διαφερόντως γε τιμωμένης, καὶ δὴ τῆς τελευταίας, τοῦτο δεῖν οἶμαι, κἂν τῷ παρόντι βούλομαι νομοθετῆσαι. Καὶ πᾶς τις πάντως τὸν νόμον ἐρεῖ δίκαιον, ὁ καὶ ποσῶς γοῦν

C Equidem jam instat mensis ille in quo divinitus patratum in Virgine declaratur mysterium mortis, seu transmigrationis, seu habitationis in cœlis apud Filium, seu festi hujus alio nescio quo adhuc nomine, si quis velit, nuncupati: et nos juxta morem antiquitus constitutum, in una dierum medii hujus mensis festum celebramus jejunio prius sanctificatis diebus quæ præcedunt. Ego vero, jejunii legem laudans et approbans, non magnum quid judico unam diem fuisse ad festum constitutam pro nocturnis psalmodiis. Sed credo unam esse observandam festivitatis diem, medium tenentem inter omnes quæ sunt a principio mensis usque ad hanc quæ ultimo excellentius est celebranda et in præsenti hujus legem statuere volo. Et hanc legem justam habebit quicunque vel minimum intelliget

(1) Deuteron. xxxi, 6 : Οὔτε μή σε ἀνῇ. (ὁ Κύριος). οὔτε μή σε ἐγκαταλίπῃ. Cf. Paral. I, xxviii, 20. — Supra p. 119, n.

(2) Paral. I, xvii, 13 : τὸ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ.

(3) Utrumque nomen reperitur de Assumptione Mariæ usurpatum : cf. Morcelli Calendarium ad d. xv aug. — Vide Addenda.

(4) Sic codices. Cogitabam de rescribendo ἐκδημίας, quod sæpius de morte fuit metaphorice dictum ; sed me retraxit non Clementis Alexandrini locus quem exhibuit inter alios hanc significationem illustraturus vir doctiss. Anal. t. XIII, p. 625, sed Pauli potius Epist. II ad Cor. v, 8 : θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. In epigrammate (Anth. Pal. III, 5) de Cresphonte displicet metaphoricum id nomen ἐκδημία, quod in lemmate legitur· ὁ ε' (χίων) ἔχει Κρησφόντην ἀναιροῦντα Πολυφόντην τοῦ Πατρὸς τὸν φονέα· ἔστι δὲ καὶ Μερόπη βάκτρον κατέχουσα, καὶ συνεργοῦσα τῷ υἱῷ πρὸς τὴν τοῦ ἀνδρὸς ἐκδημίαν. Languet nimium vel in lemmatis oratione et improprium quid sonat vox ἐκδημία. Quæ fuit olim proposita a critico excellentissimo, correctio ζημίαν, mentem scriptoris assecuta est, non ejus ipsam manum. Dederat, opinor, ἐκδικίαν.

D

(5) Anastasius Sinaita *De tribus quadragesimis*, in ipso fine : Ἐτυπώθη.. Ἀπ' ἀρχῆς αὐγούστου νηστεύειν ἄχρι τῆς Κοιμήσεως τῆς Θεοτόκου, καὶ πάλιν διαλύειν. Sanctum est id jejunium in Nomocanone ap. Cotel. Monum. t. I, p. 138· Τῆς δὲ ἀπὸ πρώτης αὐγούστου πάλιν (νηστεύομεν), τοῦ Σωτῆρος διὰ τῆς Θεοτόκου κοίμησιν, ὥσπερ μέγα δῶρον. Quo tamen de jejunio non consentiebant vel orthodoxi.

quantum Virgini debitores sumus ut incessanter illi decantemus hymnos ; quicunque, inquam, hujus festi sublimitatem sentiet.

Itaque, ut dixi, non aliud initium mensis aliudque erit festi, neque jejunio magis affligemur quam hymnis delectabimur : sed simul utrumque et sic certe magis augebitur et protrahetur festivitas : atque requiescent incolæ nec non viatores omnes, ut universum omnibus, inquam, fiat solemne festum diei unius ejusdemque. Et simul primam diem mensis et duas alias, festi scilicet et jejunii primam intelligimus diem, nihil ex sequentibus nec minimum excludentem, nihil iterum ex hac in qua exprimitur mysterium, nihil certe quoque ex ultima, hymnorum gratia et cæterorum quæ ad festivitatem pertinent, quia hæc in quacunque omnia pari cultu observantur. Quod autem dico de prima die hoc de reliquis intelligetur juxta eum ritum assignatum. Non enim multas et diversas hasce dies, festum separantes, sed unam esse festivitatis unius rationem statuit lex mea quam hæc princeps civitas, cæteras longe antecellens maxima cura servabit semper suæ patronæ et custodi : et secundum choros festum dividens pro monachis et sacerdotibus, non vero pro cæteris ex omni conditione (nam pro beneficiis communibus communem omnino oportet esse gratiarum actionem). Festum igitur agetur pernoctando inter preces et hymnos in uno templorum, primo quidem ante alia in illo templo miraculis frequentibus conspicuo, quod ex prodigio altero, Ex Hodegon nuncupatur ; secundoque in altero templo, et ordine in aliis : quam autem vocamus mediam mensis et mysterii certe plenitudinem significantem novimus, ibi celebrabitur, ubi velut in terrestri firmamento seu cœlo altero, in templo, inquam, quod, si quem juvaret vocare sublime, magnum, maximum inter omnia, non alienum foret a veritate, cum in ipso habitat Dei sapientia : solemnitatem vero quæ in finem servatur mensis et ultima futura est splendide recipiet clarissimum quod est in Blachernis templum.

A ἡσθημένος ὧν αὐτοὶ ἀκαταπαύστων ὕμνων διὰ παντὸς ὀφείλομεν τῇ Παρθένῳ, ἅμα δὲ καὶ τοῦ μεγέθους τῆς ἑορτῆς ἡσθημένος.

Τοιγαροῦν, ὅπερ ἔφην, οὐκ ἄλλη μὲν ἀρχὴ τοῦ μηνὸς, ἄλλη δ' ἔσται τῆς πανηγύρεως, οὐδὲ νηστεύσομεν πλέον ἢ τοῖς ὕμνοις τρυφήσομεν· ἀλλ' ὁμοῦ ταῦτα, καί γ' ἐπὶ πλέον τὰ τῆς ἑορτῆς ἔσται καὶ πορρωτέρω, κἀκεῖ δήπου καὶ παύσεται ὅπου καὶ μὴν ὁ πᾶς ἰὼν παύσεται, ὡς εἶναι δὴ τοῦτον, εἰπεῖν, ὅλον ἑρομηνίαν, καὶ μίαν δῆτα καὶ τὴν αὐτήν. Ἅμα τε πρώτην τοῦ μηνὸς, καὶ δυοῖν τῶν ἄλλων, τῆς ἑορτῆς, τῆς νηστείας, πρώτην εἰσόμεθα, οὐδὲν ἀποφερομένην τῶν ἑφεξῆς ἔλαττον, οὐδ' αὖ τῆς ἐν ᾗ τὸ μυστήριον, οὐδέ γε τῆς ἐσχάτης, Ὕμνων χάριν καὶ τῶν ἄλλων τῶν προσηκόντων τῇ
B πανηγύρει, ἀλλ' ὁμοτίμως ταύτῃ πάντα τετελεσμένην. Ὃ δέ φημι περὶ τῆς πρώτης τοῦτ' ἐστὶ καὶ ταῖς λοιπαῖς κατ' ἴσον τρόπον ἀπονενεμημένον, μηδὲν τῶν γιγνομένων μηδ' αὐτῶν ἐλλειπουσῶν, μήτε τῆς μέσης καὶ κυρίας, μήτε τῆς ἧς εἰρηκότες ἐσμὲν, ἐσχάτης, τῶν ἑορταζόντων. Οὐδὲ γὰρ μᾶλλον πολλάς τινας ταύτας τὴν ἑορτὴν διαιρούσας, ἢ μίαν εἶναι τῆς ἑορτῆς συναπτούσης ὁ ἐμὸς βούλεται νόμος, ὃν ἡ βασιλὶς αὕτη, καὶ τῶν ἄλλων ἁπασῶν κρατοῦσα, τιμήσασα πόλις τῇ πολιούχῳ κράτιστον ἐν χρόνῳ τῷ παντὶ φυλάξει, καί γε κατὰ χορείας τὴν ἑορτὴν διελομένη, τῶν μὲν μοναστῶν, τῶν δ' ἱερέων, μηδὲ τῶν λοιπῶν τῶν ἐξ ἁπάσης μοίρας ἀπολιμπανομένων (ὑπὲρ γὰρ κοινῶν τῶν εὐεργετημάτων κοινὴν
C εἶναι δεῖ πάντως καὶ τὴν εὐχαριστίαν), τὴν μὲν ἐν τῷδε τῶν νεῶν διανυκτερεύουσα ταῖς προσευχαῖς καὶ τοῖς ὕμνοις, πρώτῳ δὴ τῶν ἄλλων, ὅποι καὶ ἡ τῶν θαυμάτων αὐτουργὸς ἀφ' ἑτέρου πάλιν θαύματος Ἐξ ὁδηγῶν καλεῖται (1), τὴν δ' ἐν ἑτέρῳ, καὶ καθεξῆς ἐν ἄλλοις· ἣν δὲ μέσην ἔφημεν καὶ τοῦ γε μυστηρίου ἐνταῦθα δὴ τελέσει, ἔνθα δὴ καὶ ὡς ἐν ἐπιγείῳ δή τινι στερεώματι ἢ οὐρανῷ δευτέρῳ, ἢ ὅ τι τις τοιοῦτον ὑψηλὸν καὶ μέγα καὶ μέγιστον ἀγαπᾷ λέγειν, οὐκ ἔξω που τῆς ἀληθείας λέγων, ἐνοικός ἐστιν ἡ τοῦ Θεοῦ σοφία (2)· τὴν δ' εἰς τέλος ἰοῦσαν καὶ τελευταίαν τοῦ μηνὸς ὁ ἐν Βλαχέρναις φαιδρὸς φαιδρῶς ὑποδέξεται νεώς (3).

(1) Æ les intelligenda Virginis Hodegetriæ, de qua multus est Cangius in Const. Christiana ; dictæ Ἐξ ὁδηγῶν, quia hic loci Virgo duobus cæcis apparuerat, eosque ad ecclesiam duxerat. Sed variatur in narranda nominis origine. Verba ἐν τῷδε τῶν νεῶν indicare videntur, in hac ecclesia edictum Andronici fuisse lectum.

(2) Ecclesia S. Sophiæ significatur, quam hyperbole oratoria terrestre firmamentum aut alterum cœlum vocat. Non aliter Phranzes III, 8, p. 64 : Τὸν παμμέγιστον ἐκεῖνον ναὸν καὶ θειότατον τῆς Θεοῦ Σοφίας, τὸν οὐρανὸν τὸν ἐπίγειον ... καὶ στερέωμα δεύτερον. Similes hyperbolæ poetastri anonymi in cod. 1630, p. 133, 2, εἰς χρυσῆν ἀντυγα ναοῦ τοῦ Σωτῆρος. α'. Ἡδύ μὲν αἰθὴρ, ἄστρα, μήνη, φωσφόρος· Δόμου δὲ Σωτῆρ, ἄγγελοι, μήτηρ εἰλοι· Τίς ἰσότης πρὸς ταῦτα. πεῖα σύγκρισις; Τὴν ἦτταν εὗρες, οὐρανέ· πλὴν προσκύνει. β'. Ἡ τοῦ πόλου κάτεισι Χριστὸς εἰς δόμον, Ἢ καὶ πόλον τε-
D θεῖκε τόνδε τὸν δόμον· Ἄμφω δὲ μᾶλλον· καὶ κατῆλθε σὺν φίλοις, Καὶ τὸν δόμον τέθεικεν οὐρανὸν νέον. — γ'. Κάλλος ἦν ἔρις· οὐρανὸς ἄστρασιν ηὔχει νικᾶν· Αἰθὴρ ἀστράπτων ἤτεε πρὸς τὰ γέρα· Ὡς δὲ δόμος πρυβάλλετο δεσποτικὴν μόνον αἴγλην Ἔσβετο οἷα λύχνος κάλλεα οὐράνια. — δ'. Ἄστρα μὲν αἰγλήεντα καὶ ἀστέρας ἠδὲ σελήνην, Οὐρανὲ, καὶ σὺ φέρεις, οἶδα, φαεινότατε· Ἀλλ', ὅτε τόνδε χορὸν καὶ χρυσῆν ἄντυγ' ἀθρήσω, « Μικρὰ » λέγω « φαίνεις, καὶ σὺ καὶ ἠέλιος. » Similis color alius epigrammatis ibid. p. 56, εἰς ναὸν τῆς ὑπεραγίας Θεοτόκου· Παρθένε παμβασίλεια, τεὸς δόμος οὐρανός ἐστιν, Ἔμπης τῶν χθονίων πρῶτα φέρων θαλάμων. Οὗτος ἐκεῖσ' ἀνάγει· σὺ δὲ θῆκας, Παρθένε, γῆθεν Ἄντυγος οὐρανίης εὑρεῖην κλίμακα.

(3) Frequens mentio in Byzantinis auctoribus Blachernarum ; quo in Constantinopoleos suburbio ecclesia sita fuit Deiparæ.

Ἀλλὰ μὴν ἡμῶν οὕτως ἐπεγνωκότων τὴν ἑορτὴν τιμῆσαι, ἢ μᾶλλον τὸν τρόπον τοῦτον ἐν πλείοσι τῶν ἡμερῶν ἡμᾶς καθαγιάσαι, ἔστιν ὅστις οὐκ ἀσπάζεται τὸ δεδογμένον, οὐδέ γε κράτιστον εἶναι βούλεται, καὶ πρὸς τὴν ἀκοὴν εὐθὺς ἀνίσταται τὴν ψυχὴν, πρόθυμος ὢν τρέχειν καὶ συντελεῖν πᾶν τῇ πανηγύρει, τό γε αὐτῷ προσῆκον; Ἐγὼ μὲν οὐκ οἶμαι· ἀλλά τοι καὶ τοὐναντίον ὑπὲρ πολλῶν ὀηλονότι τῶν ὀφλημάτων μικρὰν ἢ οὐδεμίαν εἶναι τὴν ἔκτισιν ὅ γε φιλέορτος ἐρεῖ καὶ περὶ τοῦ παρόντος εὖ ἐσκεμμένος· ἅμα δὲ καὶ οὐδὲ προσάγειν μᾶλλον ἡμᾶς εἶναι φήσει τόνδε τὸν τρόπον ἢ μεγάλων δή τινων ἀξιουμένους εἶναι· ποίων δὴ τούτων; ὁμιλίας Θεοῦ, κοινωνίας ἀγγέλων σὺν ἡμῖν ὑμνούντων, ἀποστόλων συμφωνίας μεθ' ἡμῶν ἑορταζόντων, πάντων τῶν καλλίστων, ὅσα δὴ τοῖς τοιούτοις εἰς ταὐτὸν ἥκειν ὁ πνευματικὸς οἶδε λόγος.

Nobis autem ita de reverenti celebratione festi edoctis, vel potius de modo quo plures has dies sanctificandas habemus, si quis male ferens hoc decretum illudque maximi momenti judicans statim temereque ab obedientia retrahat animam suam, zeloque præcipiti concitatus finem solemnitatis ambiat et festinet in celebrando, illud numquid ipsi profectui erit? Ego non opinor: sed e contra certum est parum vel nihil multorum debitorum suorum ipsum esse solaturum, quod faciet festa diligens et imprimis ad præsentem solemnitatem bene dispositus: simul autem testari poterit ille quod nos qui accedemus juxta ritum hunece statutum, majorum quorumdam bonorum erimus digni. Quorumnam? Conversationis Dei, societatis angelorum nobiscum canentium, concentus apostolorum hujus nostræ festivitatis partem ambientium; uno verbo optimorum quorumque charismatum quæ in talibus contingere novit mens spiritualium studiosa.

Καὶ ἵνα τί μὴ μακρότερον, ἴσως ἂν εἴποι τις, καὶ διὰ παντὸς, εἴπερ ἐφικτὸν ἦν, τοῦ βίου τῶν καλῶν τῶνδε μεθέξομεν, στενοχωρήσομεν δ' ἐν οὕτω βραχεῖ χρόνῳ τὸν τῆς ἑορτῆς χρόνον, φθονοῦντες ὥσπερ ἑαυτοῖς τῆς πλείονος ἀπολαύσεως; Τοῦτ' οἴδαμεν καὶ ἡμεῖς, καί γε τὴν πανήγυριν ἐς μήκιστον ἀποτεῖναι πολὺς ἡμῖν ἐγένετο λογισμὸς, καθυφήκαμεν δ' αὖθις τῶν πολλῶν χάριν, ὡς ἂν δὴ πάντες, ἴσης ὡσανεὶ τῆς προθυμίας ἐξημμένοι, καὶ εἰσοίσουσι κατ' ἴσον, τοῦ ῥᾴστου πᾶσι νενομοθετημένου. Εἰ μὲν γὰρ χρημάτων θησαυροὺς κενοῦν ἔδει ἢ πόνους ἀνηρῆσθαι, μεγάλης δή τινος ἰσχύος ἔργα, τῆς ἐνούσης μικρᾶς οὔσης, ἐξέκλινεν ἄν τις ἴσως, τὸ μὴ δεδυνῆσθαι πρόφασιν ἔχων· νῦν δ' οὐδὲν τῶν τοιούτων· ἀλλ' ὅπερ ἔφημεν, ἁγιασμοῦ καὶ τρυφῆς μετουσία καὶ φαιδρᾶς πανηγύρεως, ἧς ἀπολειφθῆναι μὴ ὅτι γε ῥᾳθυμίας, ἀλλ' οὐδ' αἰσθήσεως ὑγιοῦς, οὐδ' αὖ εἰδότος ἐν οἷς ἐστιν ἀπόνως μετὰ τοῦ καλοῦ γίγνεσθαι. Καίτοι γε καὶ, πόνων εἴπερ ἔδει καὶ συχνῶν καμάτων, ὑπὲρ τίνος ἂν μᾶλλον δικαιότερον ἢ καὶ λυσιτελέστερόν τις ἐνίδρωσεν, ἢ ἐν τῷδε καὶ ὑπὲρ ὃ πέφυκε προθύμως ἐπεκτεινόμενος; Εἰ γὰρ καὶ μικρῶν ἕνεκεν καὶ φαύλων ἔστιν ὅτε πραγμάτων ὑπερμοχθοῦντας κατιδεῖν ἔστιν ἐνίους, καὶ κλέπτει τὸ ὄγκοῦν κέρδος τῆς ταλαιπωρίας τὴν αἴσθησιν, ποίας οὐχὶ μέμψεως ἄξιοι, οὓς τὸ μὴ θελῆσαι μόνον τὸ τῆς πανηγύρεως λαμπρὸν ἐζημίωσε;

Sed forte quis adhuc quærat quare non diutius, non semper, hisce vitæ bonis gaudebimus, coarctabimus autem brevius festivitatis tempus, quasi nosmetipsos fraudantes uberrima voluptate. Ita et nos sentiebamus, et sæpe solemnitatem in longiores protrahere moras cogitavimus; pepercimus autem in gratiam multorum, ut scilicet omnes quasi uno eodemque zeli fervore inflammentur et idipsum sentiant et sic facibus una lege dirigantur. Si enim oporteret thesauros exhaurire aut subire labores quibus magnæ vires adhibendæ forent ab eo qui ad hoc impar exsisteret, se non posse juste ille quereretur. Nihil autem horum accidit; sed, ut diximus, benedictionis, sanctæque lætitiæ et refulgentis solemnitatis unio proponitur, quæ si negligantur, signum est non modo segnitiæ, sed etiam sensus minus recti, et ignorantiæ eorum quibus ad perfectionem absque labore pervenitur. Quod si, ut certe apparet, laborum suscipienda est multitudo, ad quid potiori jure et quæstuosius quis insudabit, quam ad hoc in quo summe proficiet secundum quod nisus fuerit zelo et contentione. Etenim si quosdam videmus in minimis vilioribusque negotiis supra modum voluntarie patientes, quibus spes lucri sensum mœstitiæ et pœnam laboris quasi omnino lenit, qua non erunt vituperatione digni, quos avertit sola voluntas repugnans festivæ solemnitati!

Καὶ οὐ τοῦτο λέγω μηδένα μὴ δεῖν ἁπὸ πάσης τῆς ἑορτῆς ἐκ πάνυ τι πίπτειν ῥᾳθύμου ψυχῆς, ὅτι μηδ' οἶμαί τινα τῶν ἁπάντων ἐς τοσοῦτον ἀγνωμοσύνης ἐλθεῖν, οὐδ' αὖ ὥσπερ ἐν νεκρότητι ζῆν αἱρεῖσθαι καὶ ἀναισθήτως ἔχειν πρὸς ἅπαν καλὸν, ὥσθ' ὅλην ἀπὸ νάρκης καὶ παντελοῦς ἀκινησίας φυγεῖν τὴν πανήγυριν· ἀλλὰ τὸ μὴ διὰ πάσης ἤ, τό γε δεύτερον, μὴ διὰ τῆς πλείονος ἱκέσθαι σπουδάσαι, τοῦτ' ἐν αἰτίᾳ καὶ, ὡς ἔγκλημα τοῦ λοιποῦ τοῖς κατοχνήσασι γίγνεσθαι τὸ παρὸν βούλεται ψήφισμα. Τάχα δὲ καὶ ἀγανάκτησιν ἐπανατείνεται, οὐχ ἧττον δὴ τούτοις, ἢ τοῖς ἐπὶ τὸ δεῖπνον ἐν εὐαγγελίοι

Et non possum quin dicam quemcunque crassissimæ ignaviæ notam animæ suæ inurere, qui totum festivitatis cursum non celebraret; neminem enim judicarem omnium vestrum tantæ esse insulsitatis, tanta vitali fortitudine carere qua ad omne bonum vivide movemur, ut propter torporem et nimiam quietis insaniam omnem festivitatem negligeret: præsens itaque decretum huc tendit ut noscant ignavi, quod si non toti studeant interesse festo vel saltem ejus majori parti, hoc illis in crimen et in accusationem cæterorum vertetur. Eo ipso enim divinam incurrunt indignationem non minus,

quam illi qui, ad cœnam evangelicam vocati, sese diversis de causis excusarunt, villæ visitandæ, uxoris ducendæ, jugorum quinque boum recens emptorum experientiæ faciendæ. Etenim, sicut illis non erat æqua excusatio, ita nec istis, et nullus unquam adducere poterit sufficientem, cum nihil sit utilius, neque aptius nedum ad retrahendum, verum etiam ad fortius impellendum, quam invitari et suaderi sensu ad festivitatem celebrandam. Quid enim hac fiet honorabilius? quid majorem utilitatem proferet? Et quandonam in omnibus erit simul et quod utile est et quod jucundum? Te ergo attliciat omnium eorum ad quæ te studeres applicare lucrum majus et multo præstantius, etiamsi non valeas ea quæ sunt invisibilia introspicere et eorum quæ parent solummodo consideres voluptatem et pulchritudinem, choros scilicet sacerdotum, cœtus monachorum, aliorumque permultas turmas Virginis laudes canentium: horum omnium legitimum ordinem, gravitatem et cum cœlestibus similitudinem. Quantam vero lætitiam et voluptatis abundantiam infundunt pia sacraque carmina Dei laudibus plena et solemnitatem addentia! Et quis est qui se avertat ab his omnibus quæ audiet et contemplabitur, ut rebus cæteris libentius inhæreat quam festo huic? Nemo omnium prorsus!

De cætero quid amplius dicam? age continuo festi societatem insume ut ea quæ ipsi sunt apta adimpleas; expiare jejunio, temperantia mundare, et sanctificare precibus! in gaudio spirituali omnia tibi sint pariter spiritualia. Si velis, Davidem imitare choros saltantium ducentem; subsilientem ante arcam et saltantem in jubilatione. Et si fores in extremis terræ cum apostolis accurre; pro certo enim mihi est, eos invisibiliter adesse, hymnosque profundere abundantes, sicut olim subito omnes adfuerunt ex finibus terræ accurrentes ad solvendos Virgini funebrium cantus. Sequere coryphæos, neque chorum derelinque, ne accedas ad nuptialem domum jam reclusam, et ne, dum intus celebrantur sancta mysteria, stes exterius pulsans et conquerens quod excludaris a lætitia. Age igitur; certa bonum certamen, ante cæteros præcurre, et jacturam probe edoctus, ad Matrem Dei iterum accede videndam.

Si, cum aliquid ex his quæ aliter relucent, licet non vere utilia sint, sed e contra brevi corrumpantur, sub quadam specie honoris et bonitatis proponitur participandum, non potes quin ante

κληθεῖσιν, εἶτα παραιτησαμένοις (1) ἐπὶ προφάσεσιν, ἀγροῦ θεωρίᾳ, καὶ γάμῳ γυναικὸς, καὶ ζευγῶν πέντε νεωνήτων δοκιμασίᾳ. Καὶ γὰρ, ὥσπερ ἐν ἐκείνοις οὐκ εὔλογος ἡ παραίτησις, οὐδ' ἐνταῦθ' εὔλογος, κἂν ὁποίαν τις ὡς ἐξαρκοῦσαν ἐξαιρεῖσθαι προβάλλοιτο, οὐδενὸς ὄντος μήτε λυσιτελεστέρου, μήθ' οἷου μεθέλκειν ἰσχυροτέρου καὶ πρὸς ἑαυτὸ στρέφειν τὸν γοῦν μετ' αἰσθήσεως εἰς τὴν ἑορτὴν ἐπειγόμενον. Τί γὰρ ἂν ταύτης καὶ γένοιτό ποτε τιμιώτερον; ἢ τί πλεῖω τὴν δνησιν φέρον; ἢ τῷ τῶν ὅλων κατ' ἴσον μετὰ τοῦ λυσιτελοῦντος ἅμα προσέσται πολὺ καὶ τὸ χάριεν; ὥστ' ἢ τὸ κέρδος ἑλκέτω σε πάντων ὂν μεῖζον καὶ πολλῷ μεῖζον τῶν ἐφ' ἃ σπουδάσεις ἐνασχολούμενος, ἢ, μὴ δυνάμενος πρὸς τοῦτο καθαρῶς βλέψαι ἀοράτως ἐρχόμενον, γενοῦ τῆς τρυφῆς καὶ τοῦ κάλλους τῶν ὁρωμένων, χοροὺς ἱερέων βλέπων, χοροὺς μοναστῶν, ὁμηγύρεις ἄλλας τὴν Παρθένον ὑμνούντων, πάντων τὴν εὐταξίαν, τὸ σεμνὸν πάντων, καὶ τὴν πρὸς τὰ οὐράνια μίμησιν. Ἃ δὲ καὶ θεῖα καὶ ἱερὰ μέλη καὶ ᾄσματα, τὰς αἰνέσεις πληροῦντα, κοσμοῦσι τὴν ἑορτὴν, ποίαν ἡδονῆς ὑπερβολὴν ἀπολείπει; ἢ τίς, ἀπὸ τῶν τοιούτων ἀκουσμάτων ἅμα καὶ θεαμάτων στραφείς, ἑτέροις ἀγαπήσει μᾶλλον, ὡς δή τισι λαμπροῖς, ἡδέως προσανέχειν, ἢ τούτῳ; τῶν ἁπάντων (2) οὐδείς.

Καὶ δή μοι λοιπὸν δεῦρο πᾶς τῆς ἑορτῆς μετέχων ἐν αὐτῇ τὰ εἰκότα τελέσθητι, ἁγνίσθητι τῇ νηστείᾳ, δι' ἐγκρατείας καθάρθητι, ταῖς προσευχαῖς ἁγίασθητι· πάντ' ἔστω σοι πνευματικὰ, πνευματικῆς οὔσης τῆς πανηγύρεως. Εἰ βούλει δὲ, καὶ προσκίρτησον τῆς κιβωτοῦ, καὶ χόρευσον ἐν ἀγαλλιάσει, καθηγεμόνι τῶν ἁλμάτων τῷ Δαυὶδ (3) χρώμενος. Κἂν τελῇς εἰς τὰ ἔσχατα γῆς, μετὰ τῶν ἀποστόλων δράμε· πέποιθα γὰρ αὐτοὺς καὶ πάλιν, μόνον μὴ φαινομένους, ἀθρόους ἀφῖχθαι καὶ συνεργάζεσθαι τοὺς ὕμνους, ὡς πάλαι ποτ' αἰφνης ἐκ περάτων γῆς συνελθόντες ἦσαν τοὺς ἐξοδίους (4). Μὴ γοῦν ἀπολειφθῇς τῶν κορυφαίων, μηδὲ κατόπιν τῆς χορείας, μηδὲ κλεισθέντος τοῦ νυμφῶνος (5) ἔλθῃς, ἐν ᾧ δηλονότι ταῦτα τῶν ἱερῶν τελεῖται, μὴ μείνῃς ἔξωθεν κρούων, εἶτα σεαυτὸν ταλανίζων ὅτι τῆς χαρᾶς ἀπεκλείσθης. Ἴθι σπουδαῖος τὴν καλὴν ἁμιλλαν ἁμιλλώμενος, καὶ προτρέχων τῶν ἄλλων, καὶ ζημίαν εὖ εἰδὼς τῇ τοῦ Θεοῦ Μητρὶ δεύτερος ὀφθῆναι.

Εἴ τι τῶν ἑτέρως λαμπρῶν, μηδὲν δ' οἷων ἀπόνασθαι χρησίμων, ἃ τε καὶ ταχὺ φθειρομένων, ἁπάντων δ' ὅμως ὡς δή τινων τιμίων, προὔκειτο μεταλαγχάνειν, οὐκ ἂν ἠνέσχου μὴ πρότερος τῶν

(1) Vide Lucam XIV, 16 sqq.

(2) A, προσανέχειν· ἢ τοῦτο· τῶν ... B, προσανέχειν, ἢ τοῦτο τῶν ... Quam feci correctio sententiam probabilem parit. Puto tamen aliud quid latere.

(3) Respicitur narratio biblica (II Reg. VI) de Davide ante arcam saltante.

(4) Puto hic innui ab auctore piam de Mariæ dormitione fabulam. Narrat enim Germanus, apostolos Mariæ morituræ, imo dormituræ, et in cœlos assumendæ, subito nec exspectatos, nec sine fulminis ac turbinum fragore, adstitisse, ac feretrum in humeros sustulisse, ὑμνοις καὶ φωτισμῷ τὸ σῶμα τῆς Παρθένου πρὸς τὸ μνῆμα τιμίως καὶ εὐλαβῶς ἐξοδεύοντας.

(5) Respicitur parabola de virginibus fatuis apud Matth. XXV, 10, καὶ ἐκλείσθη ἡ θύρα.

ἄλλων δοκεῖν μεταλαγχάνειν· νῦν δὲ τοσοῦτον ὄντος πολλῷ τιμιωτέρου τοῦ γιγνομένου κέρδους, ἄλλῳ τινὶ παραχωρήσεις ἔμπροσθεν καταλαμβάνειν; Μὴ σύ γε πάντως, ὁ φιλόθεος καὶ φιλέορτος, καὶ τῶν καλῶν ἐπιγνώμων· ἀλλ', ἐν αἰσθήσει τῶν παρόντων γενόμενος, ταχὺς σύνεσο τοῖς τελουμένοις.

